

Η ΑΓΙΑ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗ

ΕΝ ΦΛΩΡΕΝΤΙΑ,

ΣΥΝΟΔΟΣ

ΔΙΑ

ΜΟΝΑΧΟΥ ΒΕΝΕΔΙΚΤΙΝΟΥ.




ΕΝ ΡΩΜΗ,
1865.

Η ΑΓΙΑ
ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗ
ΕΝ ΦΛΩΡΕΝΤΙΑ
ΣΥΝΟΔΟΣ.


ΔΙΑ

ΜΟΝΑΧΟΥ ΒΕΝΕΔΙΚΤΙΝΟΥ.



ΕΝ ΡΩΜΗ.

1864.



ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Ὅτι τὸ ἀξίωμα πάσαις μὲν ταῖς ἱεραῖς συνόδοις οὐχ ἥκιστόν ἐστι, ταῖς δ' οἰκουμενικαῖς καὶ ἐξ ὅλης τῆς καθολικῆς ἐκκλησίας ἀθροισθείσαις τίμιον καὶ δεινὸν ἔτι γε μὴν καὶ ἀληθῶς θεῖον, διὰ τὴν ἐφεστῶσαν αὐταῖς καὶ παρεσομένην ἐσαεὶ τοῦ ἁγίου πνεύματος ὑφήγησιν, παντί που δῆλον. ἀλλ' οὐδὲ τόδε ἀμφίβολον, ὡς τὸ παραλλάττον τῶν ὑποθέσεων, καὶ τῆς χρηστότητος τὸ διάφορον διαφορὰν ἐν αὐταῖς οὐκ ἐλαχίστην καθίστησιν. ἴσμεν γὰρ ταῖς μὲν ἀρχαιοτάταις τῶν συνόδων μεμελημέναι πάσῃ σπουδῇ τοῖς θείοις προσώποις δογματισθῆναι τὸ ὁμοούσιον· ταῖς δ' ἐφεξῆς μεταγενομέναις πεπραγματεῦσθαι τό τε μοναδικὸν τοῦ προσώπου, καὶ τὸ διττὸν τῶν ἐν Χριστῷ φύσεων καὶ θελήσεων, καὶ τὰς ἐκκλησιαστικὰς δὲ παραδόσεις, καὶ τοῦ μὲν σχισματικοῦ ζιζανίου ἀποτομὴν, τῶν δὲ κανονικῶν παραγγελμάτων τὴν διάδοσιν· ὡς εἶναι τὰς μὲν προτέρας ὀλίγου δεῖν ὑπερβαλλούσας τῷ ὄγκῳ τῆς ὑποθέσεως, τὰς δὲ μετὰ ταῦτα μᾶλλον δοκεῖν ὑπερτερεῖν τῷ χρησίμῳ τῆς διασκέψεως. | φαίνεται δὲ μόνη τῶν οἰκουμενικῶν ἡ ἐν Φλωρεντίᾳ σύνοδος μία ἄμφω πεπλουτηκυῖα, τῷ τε ἀξιώματι

καὶ τῇ ὠφελείᾳ πάσαις σχεδὸν ἀντίῤῥοπος. αὕτη γὰρ δόγμα διευκρινήσασα τὸ ἀξιόλογον πάνυ τὸ περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, λαμπρῶς καὶ τοῦ υἱοῦ τὸ ὁμοούσιον ἀνεκήρυξεν. Εἰ μή πέρ γ' εἶχεν ὁ υἱὸς τὸ πνέειν παρὰ τοῦ φύσαντος, μὴν πῶς ἂν ὅλως ὑπῆρχεν συμφυὴς ἐκείνῳ καὶ ὁμοούσιος; ἀλλὰ καὶ τῆς ἀναιμάκτου θυσίας τὴν ὕλην διεσαφήνισεν, ἀντίστροφον ἀνατολῆς καὶ δύσεως, οὐκ ἀντιστρατευόμενον [illegible] τὰ ἔθνη· καὶ τῆς δ' ἀποστολικῆς καθέδρας τὸ παντεπίσκοπον, ὅπως τε αἱ μὲν ψυχαὶ ἁγνίζονται μετὰ θάνατον, αἱ δὲ δόξης μετειλήφασιν ἤδη ἀκηράτου αἱ τὸν θεὸν ἐποπτεύουσαι. Ταῦτα δὴ ἐκδοὺς τὰ σωτήρια δόγματα ὁ σεβάσμιος ἐν τῇ Φλωρεντίᾳ σύλλογος, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸ παλαιωθὲν ἐπ' ὀλέθρῳ τῶν ψυχῶν σχίσμα πάντη ὅσον ἐπ' αὐτῷ ἀνεῖλεν. εἰ μὲν γὰρ οἱ ἀνατολικοὶ τὰ ἐνθέσμως κυρωθέντα πάλαι ἐδέξαντο, οὐκ ἂν ὑπῆρχε νῦν ὁρᾶν τὰ πολλῶν ἄξια δακρύων, ὑφ' ὧν κατακλυζομένης ὅλης τῆς ἀνατολῆς δεινοπαθεῖ ἡ ἔνθα καθολικὴ ἐκκλησία· καὶ οὐ μόνον ἦν ἂν συμφωνία σύμπασιν περὶ ταῦτα τὰ πέντε κεφάλαια, ἀλλὰ καὶ ἄλλαι κενοδοξίαι καὶ αἱ ἐξ αὐτῶν ἐξεκόνησαν ἂν παραφυάδες, ἃς νῦν οὐκ εὐχερὲς ἀπαριθμεῖν· ἐν αἷς κεφαλαία δήπου πλάνη ἐκείνη· μὴ δεῖν τῶν οἰκουμενικῶν παραδέχεσθαι, πλὴν μόνας ἑπτὰ συνόδους. ὥστε μικρῷ πάνυ ἀριθμῷ τὸν ἀμύθητον τῆς καθολικῆς ἐκκλησίας πλοῦτον συνείργεσθαι.

Ἔστι δὲ καὶ ἄλλο λαμπρὸν τῆς συνόδου ταύτης προτέρημα· τῇ γὰρ τῶν τε δυτικῶν καὶ τῶν ἀνατολικῶν λογάδων συνδρομῇ ὡς εἰπεῖν μόνη αὕτη ἐπεραίνετο. συνεκάλει μὲν γὰρ αὐτὴν καὶ φιλοστόργως διήγειρεν ὁ ἀοίδιμος ἀρχιερεὺς Εὐγένιος, συγκαθεζόμενος καὶ προκαθεζόμενος αὐτῆς· τοῦτο χαρισάμενος τοῖς τότε, οὗ πάλαι ποτὲ οἱ ἀνατολικοὶ ἀρχιερεῖς ἐν ἐπιθυμίᾳ γενόμενοι, καὶ πολλὰ ἐκλιπαρήσαντες, οὐδαμῶς ἔτυχον, τοῦ σφίσιν αὐτοῖς σύνεδρον θεάσασθαι τὸν Ῥώμης ἀρχιερέα. παρῆν δ' ἐκεῖ καὶ συνήδρευεν ἀκροατὴς ἐπιμελέστατος ὁ βασιλεὺς Παλαιολόγος· καὶ ὁ Κωνσταντινουπόλεως πατριάρχης σὺν μητροπολίταις καὶ ἐκκρίτοις ἄρχουσι τῆς παλαιᾶς Ἑλλάδος εἰκόνιζε τὴν εὐπρέπειαν.

Ἀλλὰ καὶ τῶν οὕτω περιφανῶν ὑποθέσεων ἡ διάγνωσις οὐ τὸν αὐτὸν ταῖς ἄλλαις συνόδοις γέγονε τρόπον. Ἐκεῖ μὲν γὰρ ἡ τῶν θείων γραφῶν ἀνάγνωσις, καὶ ἡ σύμψηφος τῶν ἐπισκόπων

ὁμολογία ὑπηχοῦντος τοῦ ἁγίου πνεύματος ἐπεστήριξε τῆς πίστεως τὸ ἀκέραιον. ἐνταῦθα δὲ οὐ μόνη τῶν γραφῶν ἡ παράθεσις, ἀλλὰ μὴν καὶ συντονώτατοι τῶν ἀντεπιχειρούντων ἀγῶνες, οἷά τις λίθων σύγκρουσις, τὴν ἀλήθειαν ἐξῆγον. Δόγμα γὰρ ἐξακριβωθὲν ἔν τισι προλαβούσαις καὶ οἰκουμενικαῖς συνόδοις, ἐν αἷς καὶ πρεσβευταὶ Γραϊκῶν συμφωνοῦντες παρῆσαν, καὶ δι' αὐθεντίας ἀποστολικῆς ἤδη κυρωθὲν, ἡ ἐν τῇ Φλωρεντίᾳ σύνοδος αὖθις διεκωδώνισεν, ἵν' ἔχοιεν οἱ Γραϊκοὶ πληροφορίας ἅπαν εἶδος, καὶ καταφανὴς γένοιτο τῆς ἀληθείας ἡ δύναμις, μειονεκτούσης τῆς τεχνολογίας τῶν ἀντιλεγόντων, καὶ θριαμβεύοι τὸ δόγμα, τῶν Γραϊκῶν καθομολογούντων.

Ἐπειδὴ δ' οἱ γραφῇ παραδόντες τὰ πρακτικὰ τῶν καθόλου συνόδων, ἤτοι ῥωμαϊστὶ, ἢ ἑλληνιστὶ ταῦτα ἐκδόντες θατέρου μέρους ἦσαν ἑρμηνευταί· μόνη ἡ ἐν Φλωρεντίᾳ σύνοδος ἀμφοτερογλώσσους ἔσχεν ἑρμηνέας, οἳ τῶν διαλεγομένων τὰς ῥήσεις πιστῶς ἐκλαμβάνοντες ἀπεδίδουν τοῖς ἑτέροις τὰ τῶν ἑτέρων. ἐν ᾧ θαυμάσαι ἄν τις τῆς Θεοῦ προνοίας τὸ ἐπιτήδευμα· ἐκλιπόντων γὰρ τῶν Λατινικῶν ἀντιγράφων περίεστι τὰ ἑλληνικά· καὶ οὐκ ἔνι λέγειν ὅ τινες μέμφονται, ὅτι δὴ Λατῖνοι τὰ χωρία διέφθειραν, καὶ τὰς χρήσεις ἀπέκοψαν, ἀλλὰ διδοῖεν τοῖς Λατίνοις οἱ Γραϊκοὶ, ἅπερ τῶν Γραϊκῶν οἱ ὑπογραφεῖς ἐξειλήφεισαν. Μέγα δὲ καὶ τόδε ταύτης τῆς συνόδου ἀξίωμα· πολλάκις γὰρ σχισματικῆς νόσου θεραπευθείσης διὰ συνοδικῶν συνελεύσεων, οὐκ ἦν ὅμως τὸ νόσημα τὴν οἰκουμένην νεμόμενον, ἀλλ' εἴπερ, τὸ ἡμίτομον διεσπάραττεν τῆς ἐκκλησίας· τῇ δὲ ἱερᾷ ἐν Φλωρεντίᾳ συνόδῳ προύκειτο σχίσμα καταργῆσαι οἰκουμενικὸν, ὃ τὴν ἀνατολὴν τῆς δύσεως ἀποξενῶσαν, τὸ Χριστοῦ πολίτευμα σφοδρῶς ἐλυμήνατο· ὃ πολλοὶ πολλάκις ἀρχιερεῖς, καὶ ἀρχαιότεραι σύνοδοι, καὶ ἀλληλόπεμπτοι πρεσβεῖαι ἀνασπᾶν πειραθέντες οὐκ ἴσχυσαν, καίτοι δόξαντές ποτε ποιήσασθαι τοῦτο· ὃ καὶ μήπω ἀφαιρεθὲν εἴπερ ποτὲ ὅλως ἀφαιρεθήσεται, ταύτης τῆς συνόδου τῷ κράτει ἀφαιρεθῆναι χρεών.

Τηλικαύτην οὖν σύνοδον ἀξιώματι, κοινωφελείᾳ, καὶ κράτει προέχουσαν, ἅτε δὴ ἀέναον τῷ δηλητηρίῳ τοῦ σχίσματος φάρμακον ἀντίδοτον, μετὰ τῶν συνεκδιδομένων φιλοπονημάτων, πρὸς ἀνατροπὴν τῶν διασυρόντων αὐτὴν, χωρὶς ἔδοξεν ἐκδοῦναι τῷ κοινῷ τῶν

Ἑλλήνων, ἅπαντα οὐκ ὀλίγης ἐπιμελείας τυχόντα· ἐξ ὧν ἂν αἴσθοιτό τις καὶ ἐπιγνοίη τὰ μητρικὰ τῆς Ῥωμαίων ἐκκλησίας σπλάγχνα· καὶ μηδὲν αὐτὴν ἄλλο εἰσπράττειν, ἢ τὸ ἐπανήκειν πρὸς τὴν μητέρα, καὶ ἀνακτήσασθαι τὴν πατρῴαν ὀρθοδοξίαν, καὶ κατιδεῖν ὀψὲ γοῦν τῇ πείρᾳ διδαχθέντας· ὃ λέγεται ὑπὸ τοῦ μεγάλου Χρυσοστόμου ὅτι οὐδὲν οὕτω παροξύνει τὸν Θεὸν, ὡς τὸ ἐκκλησίαν διαιρεθῆναι.



ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΓΙΑΣ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΕΝ ΦΛΩΡΕΝΤΙᾼ

ΣΥΝΟΔΟΥ.



Ἀπωσάμενοί τὴν ἀγαθήν τινες συνείδησιν, φησὶν ὁ θεῖος ἀπόστολος, ἐναυάγησαν περὶ τὴν πίστιν. ἀπεώσαντο δὲ τὴν ἀγαθὴν συνείδησιν ὑπὸ τῆς ἄγαν φιλαρχίας, ἣν οὐχ ἧττον τῆς φιλαργυρίας κακῶν ἁπάντων ῥίζαν προσειπών τις οὐκ ἂν ἁμάρτοι. ταύτης γὰρ τὴν ψυχὴν ἐπινεμομένης καὶ ὁ τῆς ἀγάπης διαλύεται σύνδεσμος, καὶ ἡ τοῦ Θεοῦ εἰρήνη ἐν ταῖς καρδίαις οὐ μετ' εὐφροσύνης βραβεύει, ἀλλὰ μετὰ διχονοίας ἀπομαραίνεται. (εἶχέ ποτε βαθεῖα τὴν ἐκκλησίαν εἰρήνη, καὶ οὐ κατεφθέγγετο τῆς δύσεως ἡ ἀνατολὴ, ἀλλὰ τὴν αὐτὴν συμφώνως πίστιν ἠχοῦσαι, ἐναρμόνιον συνεκρότουν ὀρθοδοξίαν.) ἐξ οὗ δὲ Φώτιος τὴν ἀγαθὴν ἀπεώσατο συνείδησιν, δόλῳ καὶ πανουργίαις τοῦ θρόνου Κωνσταντινουπόλεως ἐξοστρακίσας τὸν ἱερὸν πατριάρχην Ἰγνάτιον, καὶ τῷ ὑφαρπαγέντι θρόνῳ ἐμπαροινήσας, κἀπὶ τούτῳ δικαίᾳ ψήφῳ καταγνωσθεὶς ὑπὸ τοῦ ἀοιδίμου πάπα Νικολάου, καὶ περὶ τὴν πίστιν ἐναυάγησεν, πάντα τάχει ζάλης μετὰ καὶ τρικυμίας ἐγένετο. θυμῷ γὰρ ὑπερζέσας ὁ γεννάδας, καὶ τῇ λύπῃ φλεγμήνας, οἷος ἐγένετο περὶ τὸν Ἰγνάτιον πατραλοίας, τοιοῦτος καὶ περὶ τὴν ῥωμαϊκὴν ἐκκλησίαν ἐπεγνώσθη μητραλοίας. καὶ σοφὸς ὢν τοῦ κακοποιῆσαι πρὸς ἄμυναν ἐξωπλίσθη, ὥσπερ οὐκ εἰς ἄλλους αὐτὸς ἐξυβρίσας, ἀλλ' ὑφ' ἑτέρων πεπονθὼς τὰ δεινότατα. Κατανοήσας γοῦν τὸ

ἱερὸν τῆς πίστεως σύμβολον ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ μετὰ τῆς ἀναγκαίας καὶ εὐλογωτάτης φερόμενον ἀναπτύξεως, ἔνθα καὶ ἐκ τοῦ υἱοῦ τὸ [illegible] ὁμολογεῖται [illegible], ἕρμαιον τοῦτο λαβών, τὸν ἄσπονδον κατὰ Λατίνων ἀνεκήρυξε πόλεμον, ἐπιστολὴν συγγράψας ἐγκύκλιον, καὶ ἄλλα [illegible] ἐν οἷς πρῶτον μὲν καταιτιᾶται, ὡς κιβδηλεύσαιεν οἱ Λατῖνοι τὸ σύμβολον, καὶ δόγμα ἔκφυλον εἰσαγάγοιεν περὶ τῆς ἐξ ἀμφοῖν ἐκπορεύσεως, καὶ τὰ σάββατα νηστεύοιεν, καὶ γαμεταῖς συνεῖναι τοῖς ἱερεῦσιν ἀπαγορεύοιεν, καὶ μύρῳ χρίειν τοὺς βαπτισθέντας ἀρχιερέων εἶναι διδάσκοιεν. πρὸς τούτοις τὴν ἀκρότητα τῆς ἀποστολικῆς κορυφαίας ἐκφαυλίσαι προθέμενος, ἵνα μηκέτι ἐπιστατοῦσαν ἔχοι τὴν σωφρονίζουσαν ῥάβδον, τὸν Πέτρου θρόνον διασύρειν, καὶ πολλαῖς ἐκπλύνειν λοιδορίαις οὐκ ἀπενάρκησε, πολλὰ συμπλασάμενος, πολλὰ δραματουργήσας, πολλὰ φρυαξάμενος. περὶ ὧν ὅ τε βίος Ἰγνατίου τοῦ μάκαρος, καὶ τὰ πρακτικὰ τῆς ὀγδόης συνόδου διδάσκει πληρέστατα. Ἀλλὰ τὰ πονηρὰ ταῦτα τοῦ μισοκάλου δαίμονος σπέρματα καταβαλὼν ὁ Φώτιος, καὶ πολλὰ μὲν τοὺς ἄλλους δράσας, πολλὰ δὲ καὶ αὐτὸς παθὼν οὐκ ἔσχεν ἔτι ζῶν συμφρονοῦντας εἰ μὴ τοὺς πονηροτάτους. κατὰ μικρὸν δὲ τῆς σπουδαρχίας ὑποδιδούσης καὶ τὰ Φωτίου συνεκροτεῖτο διδάγματα, καὶ πρῶτον ἀθωοῦται ὁ Φώτιος, καὶ τὰ κατ' αὐτοῦ γραφέντα, ἢ πραχθέντα ἀναθέματι καθυποβάλλεται. καὶ ὅπως ταῦτα δόξῃ καλῶς γινόμενα, ὑπὸ τῷ σεμνῷ τῆς εἰρήνης σχήματι τὰ δύο συνῆψαν ἀλλοτριώτατα φάσκοντες· Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Φωτίου καὶ Ἰγνατίου γραφέντα ἢ λαληθέντα, ἀνάθεμα. Καὶ ἐπεὶ ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, τὴν ὀγδόην ἀποκηρύξαντες σύνοδον ἐνστερνίζονται τὰς προηγησαμένας ἑπτὰ μόνας· ἵνα μὴ περαιτέρω προβαίνοντες λάθωσι καὶ τὴν ὀγδόην παραδεχόμενοι. ἐπιγινομένης δὲ μετὰ ταῦτα φορᾶς καὶ ἑτέρων ζητημάτων, ἐν οἷς οἱ Γραῖκοὶ διαφέρονται πρὸς Λατίνους· φιλεῖ γὰρ τὸ φιλόνεικον μὴ ἐντὸς ἱστάναι τῶν ὅρων, ἀλλὰ πολλαπλασιάζειν ἀεὶ τῆς διχονοίας τὰ παραβλαστήματα· ἐξαίρετον ἐνομίζετο τὸ περὶ τῆς προόδου τοῦ παναγίου πνεύματος· τοῦτο γὰρ ἀεὶ προυτείνετο κατὰ Λατίνων ὡς βαθύτερον καὶ βαρύτερον, ναὶ μὴν καὶ ἀρχαιότερον. πρῶτος γὰρ ὁ ἀνθρωπολάτρης Νεστόριος τὴν ὀλέθριον ταύτην θεολογίαν ἔπλα-

σιν, οὔτε υἱὸν εἶναι τὸ πνεῦμα λέγων, οὔτε δι' υἱοῦ τὴν ὕπαρξιν εἰληφός. ἐπειδὴ Χριστοὺς δύο θέμενος καὶ υἱοὺς δύο, ὥσπερ ἄτοπον αὐτῷ ἐδόκει τὸ ἐκ τοῦ υἱοῦ καὶ Χριστοῦ τοῦ ἐκ τῆς παρθένου προϊέναι τὸ πνεῦμα τὸ ἅγιον, οὕτω δὴ καὶ ἐκ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ πατρὸς ἄτοπον ἡγεῖτο προχεῖσθαι, εἴτουν ἐκπορεύεσθαι. μᾶλλον μὲν οὖν ὁμολογοῦντος τοῦ Χριστοῦ, ὅτι ἐκεῖνος, δηλονότι ὁ παράκλητος, ἐμὲ δοξάσει· ἐπεχείρει Νεστόριος, τὸν Χριστὸν παρὰ τοῦ πνεύματος λαμβάνειν, οὐ μὴν τὸ πνεῦμα παρὰ τοῦ Χριστοῦ. Κύριλλος δὲ ὁ ἀοίδιμος πρὸς τοῦτο ἔλεγε Νεστορίῳ περὶ τῆς ἀκοινωνησίας ἐπιστέλλων, καὶ ἐν οἷς τῶν ἀναθεματισμῶν ὑπεραπολογεῖται ἐν τοῖς πρακτικοῖς τῆς τρίτης συνόδου· ὅτι Χριστὸς ὑπὸ τοῦ πνεύματος δοξαζόμενος ἐχρῆτο τῷ ἁγίῳ πνεύματι πρὸς μεγαλουργίαν ὡς ἰδίᾳ δυνάμει· ὥσπερ ἂν εἴ τις λέγοι τῶν καθ' ἡμᾶς, ὅτι δοξάσει με ἡ ἰσχύς μου, ἤγουν ἡ ἐνοῦσά μοι ἐπιστήμη. Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια. καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ θεοῦ καὶ πατρός. Καὶ ἐν τῇ εἰς τὸ ἅγιον σύμβολον ἐξηγήσει· Καὶ προχεῖταί φησιν, ἤγουν ἐκπορεύεται. τοιαῦτα φάσκοντος τοῦ ἀοιδίμου Κυρίλλου, ἡ ἁγία τρίτη σύνοδος οὐκ ἀναγκαῖον ἡγήσατο ἀπαριθμεῖσθαι ἁπάσας Νεστορίου τὰς βλασφημίας. ἀλλὰ κατεψηφίσατο μὲν αὐτὴ τῶν μιαρῶν ἐκείνου δογμάτων περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ. τοῦτο γὰρ ἦν τὸ ζητούμενον καὶ ὁ σκοπὸς τῆς συνόδου, περὶ τῶν δύο Χριστῶν καὶ υἱῶν, οὓς ἔλεγε Νεστόριος, διασκέψασθαι· τὰς λοιπὰς δὲ τοῦ αἱρεσιάρχου δυσφημίας, καὶ σοφιστικὰς ἄρκυς κατέλιπε τῇ Κυρίλλου διδασκαλίᾳ· ἣν καὶ ἡ πέμπτη οἰκουμενικὴ σύνοδος ἐπεκύρωσεν, ἀναθέματι παραδοῦσα τὰ συγγραφέντα Θεοδωρίτῳ κατὰ τῶν ἀναθεματισμῶν Κυρίλλου. Φώτιος δὲ καὶ ἡ τούτου συμμορία τοῦθ' ἑτέρως ἐξειλήφασιν. οἴονται γὰρ τὴν Νεστορίου ματαιολογίαν περὶ τῆς ἐνανθρωπήσεως ὑπὸ τῆς ἁγίας συνόδου ὡς κακόδοξον ἀποβεβλῆσθαι, σιωπηθῆναι δὲ τὴν θεολογίαν ὡς ὑγιᾶ καὶ ὀρθόδοξον. τὰς γενναίας δὲ Κυρίλλου ἀντιῤῥήσεις, δι' ὧν ἡ Νεστορίου στρεβλότης καὶ περὶ τὴν θεολογίαν ἐλέγχεται, καὶ ἡ τῶν ἀνατολικῶν σὺν τῇ Θεοδωρίτου ἀντιλογίᾳ κατὰ κράτος ἀνατρέπεται, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ μεγαλοφώνως κηρύτ-

τεται· ἃς τε ἡ ἁγία σύνοδος ἀσμενίσασα κατεδέξατο· πειρῶνται μὲν ἐκφεύγειν, καὶ διαδιδράσκειν τὸν ἔλεγχον, περαίνουσι δὲ ὅμως οὐδὲν, ἀλλ' εἰς ἀτόπους ἐννοίας, καὶ εἰς ἀλλοκότους παραφέρονται ἑρμηνείας, καὶ μένει τῆς ἀληθείας ἡ δύναμις ἀκατάβλητος. τοιγαροῦν ὁ τὴν Νεστοριανὴν δυσσέβειαν πρῶτος ἀναμοχλεύσας μοναχός τις ἦν φασιν, Ἰωάννης Ἱεροσολυμίτης, ἐπὶ Καρόλου αὐτοκράτορος, ὃν βασιλικῇ ταινίᾳ Λέων ἔστεψεν ὁ τρίτος ἐν Ῥώμῃ, ἀρχιερεὺς ἁγιώτατος Ἀδριανοῦ διάδοχος ἐκείνου, ἐφ' οὗ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον συνεκροτήθη σύνοδος. οὗτος γοῦν ὁ Ἰωάννης τὴν προβλητικὴν δύναμιν ἀφαιρούμενος τὸν υἱὸν, ἤγειρε τοὺς δυτικοὺς πρὸς ζῆλον καὶ ἄμυναν. Καὶ συναχθείσης ἐν Ἀκουϊσγράνῳ, * πόλις δὲ αὕτη Γερμανίας ἀξιόλογος, ἐπισκόπων συνόδου τὸ περὶ τοῦ ἁγίου πνεύματος δόγμα τρανῶς σαφηνίζεται, καὶ τῷ συμβόλῳ προσγίνεται ἡ ἀνάπτυξις, ἵνα μὴ μόνον δυνάμει, ἀλλὰ καὶ αὐταῖς λέξεσιν παῤῥησιάζοιτο ἡ ἀλήθεια, τὸ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· μετὰ τὸν Ἰωάννην ὁ Φώτιος ἐξοπλίζεται βιαιότερον καὶ θερμότερον, καὶ πρωτοστάτης γίνεται τῆς δόξης, ἥτις ὡς γάγγραινα διαχεομένη σῆψιν καὶ φθόην ἐνεποίησε τοῖς ὑποδεξαμένοις τὸ δόγμα. ἀλλ' οὔπω ἀναφανδὸν ἐθριάμβευε τὸ σχίσμα. Κωνσταντίνου δὲ τοῦ μονομάχου αὐταρχοῦντος σύμψηφοι γενόμενοι ὅ τε Κωνσταντινουπόλεως Μιχαὴλ ὁ Κηρουλᾶς, καὶ Λέων ὁ ἀχριδῶν τούς τε Λατίνους ὡς τοῦ συμβόλου παραχαράκτας καὶ ἀζυμίτας ἀπεκήρυξαν, καὶ γυμνῇ τῇ κεφαλῇ τὴν κοινωνίαν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἀπετινάξαντο, καὶ ὁ ἐνδόμυχος ἐξεῤῥάγη πόλεμος, καὶ τῶν Φωτίου σπερμάτων ἐξέφυη δαψιλῶς τὰ γεώργια. Ταῦτα πρόῤῥιζον ἀνασπᾶν ἐμέλησε μὲν Λέοντι θ'. τῷ τηνικαῦτα ἱεραρχοῦντι, διά τε γραμμάτων καὶ πρέσβεων. ἐμέλησε δὲ καὶ Οὐρβανῷ τῷ δευτέρῳ συναθροίσαντι ἐν Βαρίῳ τῆς Ἀπουλίας ἄστει σύνοδον, ἐν ᾗ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος Γραϊκῶν τε καὶ Λατίνων διάλεξις γέγονεν· ἐκόσμει δὲ τὴν σύνοδον ἐκεῖνον ἀνὴρ τὰ θεῖα σοφὸς, καὶ ἁγιοπρεπεῖ βίῳ διαλάμπων Ἀνσέλμος Καντουαρίας ἀρχιεπίσκοπος· * ὃς καὶ πλείστην ἔθετο σπουδὴν πεῖσαι τοὺς Γραϊκοὺς, ἀλλ' ἦν ἄρα τὸ πάθος τῆς σπουδῆς ἐπικρατέστερον. Εἶτα τῆς Κωνσταντινουπόλεως ὑπὸ Λατίνων ἁλούσης, Βαλδουῖνος ὁ Φλανδρίας κόμης ἐγκρατὴς τῶν σκήπτρων


* Ἀκοϊσγρᾶνον, τότε μὲν τὰ τοῦ Καρόλου βασίλεια καὶ τῆς τε Φραγκίας καὶ τῆς Γερμανίας μητρόπολις, νῦν δὲ ὑπήκοος τοῦ τῆς Βορουσσίας βασιλέως.

* Ἀνσέλμος ὁ τότε φυγὰς, τῆς μητροπόλεως ἐκβληθεὶς ὑπὸ Οὐιλέλμου τοῦ τῆς Ἀγλίας βασιλέως.

γενόμενος πολλὴν τῆς ὑπεξουσίου μοῖραν πρὸς τὸ ὀρθόδοξον ἐφελκύσατο. ἀλλὰ τῶν Λατίνων ἐκπεσόντων τῆς ἀρχῆς πάλιν αὖθις οἱ Γραϊκοὶ τὰ Φωτίου ἐπρέσβευον· μετὰ ταῦτα λαχόντος τὴν ἀποστολικὴν ἀκρότητα Γρηγορίου τοῦ δεκάτου, καὶ τὸν δεύτερον ἐν Λουγδούνῳ συνάξαντος οἰκουμενικὸν σύλλογον, Μιχαὴλ αὐτοκράτωρ ὁ Παλαιολόγος, καὶ οἱ Γραϊκῶν ἀρχιερεῖς τῆς ὀρθοδόξου πίστεως τὴν ὁμολογίαν ἐξέπεμψαν οἰκείαις ὑπογραφαῖς κατησφαλισμένην, καὶ τὴν καθήκουσαν ὑποταγὴν τῷ πάπᾳ κατεπηγγείλαντο. ἀλλ' ἐπιπόλαιος ὑπάρξασα ἕνωσις οὐ πολὺ τὸ μέσον, καὶ ἐξίτηλος γέγονεν. ὅλως δὲ οὐκ εὐεξαρίθμητον ἂν εἴη τῷ βουλομένῳ ἀναλέξασθαι, ποσάκις κηδομένη τῶν Γραϊκῶν ἡ Ῥωμαίων ἐκκλησία τὸ ἀνακλητικὸν ἐσάλπισεν, τῆς διαζεύξεως ἀεὶ προχωρούσης ἐπὶ τὸ χεῖρον, καὶ τῆς ἀνατολικῆς βασιλείας τῶν ὅρων τῇ πλημμύρᾳ τῆς βαρβάρου δυναστείας ὑποχωρούντων. ὅθεν δὴ τῶν πραγμάτων διαρρεόντων, σπουδαιότερον ἤρξαντο ποθεῖν οἱ Γραϊκοὶ τὸ πρὶν αὐτοῖς ἀποσπουδαζόμενον. ὁμολογεῖ γοῦν Ἰωάννης αὐτοκράτωρ ὁ Παλαιολόγος ἐν τῇ συνελεύσει τῆς ἐν Φλωρεντίᾳ συνόδου, ὡς τὴν πραγματείαν τῆς μετὰ Λατίνων ἑνώσεως οὐ πρῶτος αὐτὸς ἐννοήσειεν, ἀλλὰ Μανουὴλ ὁ ἐκείνου πατὴρ ὁ βασιλεὺς, καὶ Εὐθύμιος ὁ πατριάρχης, μὴ μόνον ἐννοήσαντες τὸ ἔργον, ἀλλὰ καὶ ἐπιχειρήσαντες, καὶ ἐπιθυμήσαντες τελειῶσαι· πλὴν τοῦ καιροῦ τότε ἐμποδίσαντος ἔφθασέ, φησι, καὶ ἕως αὐτοῦ, οὐχ ὡς ἐπὶ τοῦ πατρὸς, ἀλλὰ βέλτιον, Εὐγενίου τοῦ πάπα πρέσβεις καὶ τριήρεις καὶ χρήματα πέμψαντος, καὶ προθυμότατα χειρισαμένου τὸ ἔργον. ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεὺς Ἰωάννης αἰτίας τῷ θείῳ τούτῳ ἔργῳ ἀρχὰς κατεβάλετο, παριδὼν μὲν τοὺς ἐν Βασιλείᾳ τῶν Γερμανῶν πόλει συλλεγέντας, καὶ πειρωμένους παντὶ σθένει τῇ προσθήκῃ τῶν Γραϊκῶν ἐπαυξῆσαι τὰ ἴδια· ἑλόμενος δὲ τὴν ὑγιᾶ μοῖραν, ἥτις ἐπρέσβευε τὸν ἀοίδιμον Ῥώμης ἀρχιερέα Εὐγένιον τὸν τέταρτον, ὃς ἦν ὀλίγῳ πρότερον κατηργηκὼς τὴν ἐν Βασιλείᾳ συνάθροισιν. Καὶ δὴ καθοδηγοῦντος τοῦ θεοῦ, σὺν Ἰωσὴφ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως, καὶ τοῖς λογάσι τῶν ἀρχιερέων, σὺν σταυροφόροις, ἄρχουσιν, καὶ ἡγουμένοις, καὶ κληρικοῖς κατέπλευσεν εἰς Φέῤῥαρίαν, πόλιν ἐν Ἰταλίᾳ περίφημον, προθυμούμενος ἐξεργάσασθαι τὸ μέγα καὶ περιβόητον ἐγχείρημα τῆς ἑνώσεως. ἔνθα λαμπρᾶς

ἀποδοχῆς ἀξιούμενοι παρὰ τοῦ πάπα οἱ ἀνατολικοὶ, τὰ ἐξαίρετα τῶν ἀμφισβητουμένων κεφάλαια διὰ προσδιαλέξεων κωδωνίζειν ἤρξαντο, παρόντων ἐκεῖ καὶ τῶν ἀναπληρούντων τοὺς τόπους τῶν τριῶν πατριαρχῶν τῆς ἀνατολικῆς ἐκκλησίας, ἔτει ἀπὸ τῆς θεογονίας ͵αυλζ. Τὰ μὲν οὖν τῶν ζητημάτων ἧττω τοῖς διαλεγομένοις παρέσχεν οὐ πάνυ πολλὰ πράγματα, τὸ δὲ περὶ τοῦ ἁγίου πνεύματος διαιρεθὲν εἰς δύο τὸν ἀγῶνα ὅλον τῆς ἁγίας συνόδου εἰς ἑαυτὸ καταναλώσεν· εἰ ἔξεστιν προσθεῖναι τῷ συμβόλῳ· καὶ εἰ τὸ προστεθὲν εὐσεβές ἐστι. Καὶ περὶ μὲν τὸ πρότερον ἐν Φεῤῥαρίᾳ σχεδὸν ἔτος ὅλον διατρίψαντες ἠγωνίσαντο, εἶτα λοιμοῦ ἐπισκήψαντος τῇ πόλει ἐκείνῃ, κοινῇ ψήφῳ ἡ σύνοδος μετετέθη εἰς Φλωρεντίαν· ἔνθα τὸ δεύτερον τῆς ὑποθέσεως ἐξητάσθη, σφοδραῖς ἑκατέρου μέρους ἀντιθέσεσιν ἀναφανείσης τῆς ἀληθείας, καὶ διδασκάλων ἀνατολικῶν μαρτυρίαις ἀνελομένης τὰ νικητήρια. πρὶν δὲ τὸν κολοφῶνα ἐπιτεθῆναι τῷ ἔργῳ, Ἰωσὴφ ὁ πατριάρχης καλὴν τῷ βίῳ κορωνίδα θέμενος, τὴν ὀρθόδοξον ὁμολογίαν, ἐτελεύτα. καὶ μετ' οὐ πολὺ συνθέμενοι ὅρον οἱ θεῖοι πατέρες πολλῇ πάνυ σπουδῇ καὶ ἐπιμελείᾳ ἐξηκριβωμένον ἀνέγνωσαν δημοσίᾳ μετὰ τὴν ἀναίμακτον θυσίαν λατινιστὶ καὶ ἑλληνιστὶ, περιέχοντα τῶν πέντε κεφαλαίων τὴν συνοδικὴν καὶ σεβασμιωτάτην ἀπόφασιν. Ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἀϊδίως ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ μοναδικῆς προβολῆς· καὶ ἡ ἐν τῷ συμβόλῳ ἀνάπτυξις θεμιτῶς γέγονε καὶ εὐλόγως· ὅτι καὶ ἐν ἀζύμῳ καὶ ἐν ἐνζύμῳ σιτίνῳ ἄρτῳ τὸ κυριακὸν ἱερουργεῖται σῶμα· ὅτι καθαρίζονται μετὰ θάνατον οἱ ἀληθῶς μετανοήσαντες, καὶ μὴ φθάσαντες ἀποτίσαι τὸν τῆς μετανοίας κανόνα· ὅτι τῶν ἁγίων αἱ ψυχαὶ εἰς οὐρανὸν προσλαμβάνονται, καὶ καθαρῶς τὸν θεὸν ἐποπτεύουσιν· ὅτι ὁ πάπας τοποτηρητής ἐστι τοῦ Χριστοῦ, καὶ διάδοχος τοῦ Πέτρου, καὶ τῆς ἐκκλησίας κεφαλή. μετὰ ταῦτα καὶ οἱ τῶν Ἀρμενίων ἀποκρισιάριοι τὴν Φλωρεντίαν κατέλαβον, οἷς καὶ τὴν ὀρθόδοξον ἐξαγγείλασι πίστιν Εὐγένιος παρέδωκεν διδασκαλίας γράμματα ἐν τῇ οἰκουμενικῇ συνόδῳ, τὴν ὀρθοδοξίαν συντόμως διασαφοῦντα. καὶ πέρας λαμβάνει τὰ τῆς ἁγίας συνόδου θεῷ φίλον, καὶ ἀνθρώποις αἰδέσιμον. Ἃ δὲ παρηκολούθησεν, τραγῳδίας ἂν εἴη μᾶλλον, ἢ ἱστορίας διήγημα. ἡ

γὰρ πλείστη τοῦ βασιλέως Ἰωάννου περὶ τὰ πολιτικὰ σπευδὴ, καὶ αἱ Μάρκου τῆς Ἐφεσίων μητροπολίτου συκοφαντίαι τὸ περιπόθητον τῆς τῶν Χριστιανῶν ἑνώσεως ἔργον κατέλλυσαν, πολλὰ καταβοῶντος καὶ συγγράψαντος ἐκείνου, καὶ προκαταλαβόντος τὰς τῶν Γραϊκῶν ἀκοάς· ὅπου γε οἱ λοιποὶ πάντες, ὅσοι ταῖς οἰκείαις ὑπογραφαῖς τῷ ὅρῳ συνήνεσαν, ὀρθόδοξοι μέχρι τελευταίας ἀναπνοῆς τὴν ἁγίαν ἠσπάσαντο σύνοδον. Γένοιτο, Χριστὲ βασιλεῦ, σοῦ γε χορηγοῦντος, ἀναπληρωθῆναι τὸ ὑστέρημα, καὶ ὀψὲ γοῦν γενέσθαι τοὺς Χριστιανοὺς ἑνὸς ποιμένος ἓν ποίμνιον.



ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΑΓΙΑΣ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΕΝ ΦΛΩΡΕΝΤΙΑ ΓΕΝΟΜΕΝΗΣ

ΣΥΝΟΔΟΥ.



ΤΑ ΠΡΟ ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ.

Περὶ τῆς εἰσελεύσεως τοῦ βασιλέως εἰς Βενετίαν.

Τὴν μὲν ἀπὸ Κωνσταντινουπόλεως εἰς Ἰταλίαν περίοδον, ὡς περιττὴν οὖσαν, γραφῇ παραδοῦναι διὰ τὸ μῆκος ταύτην ἐάσω, τὴν δὲ εἰσέλευσιν ἡμῶν εἰς Βενετίαν, ὡς λαμπρὰν καὶ αἰδέσιμον, ἔτι γε μὴν καὶ ἀξίαν, ταύτην διηγήσομαι.

Μηνὶ φεβρουαρίῳ, ἑβδόμῃ, ἀπήραμεν ἀπὸ τοῦ Παρέντζου πᾶσαι αἱ τριήρεις ὁμοῦ, ἡ δὲ βασιλικὴ τριήρης ταχυτέρα οὖσα, προέβη τῶν ἄλλων εἰς Βενετίαν, καὶ ἔσωσεν εἰς τὸν ἅγιον Νικόλαον δὲ Λίδο, τῇ ὀγδόῃ τοῦ μηνὸς περὶ ὥραν δευτέραν τῆς ἡμέρας, αἱ δὲ λοιπαὶ περὶ τὴν τετάρτην ὥραν· ἐξῆλθεν οὖν ἀπὸ Βενετίας ἀκατίων πλῆθος εἰς ὑπαντὴν τοῦ βασιλέως, καὶ τοσοῦτον ἦν, ὥστε σχεδὸν εἰπεῖν μὴ φαίνεσθαι τὴν θάλασσαν ὑπὸ τῆς συμπήξεως αὐτῶν. ἦλθε δὲ μήνυμα ἀπὸ τῆς αὐθεντίας, μὴ ἐξελθεῖν τὸν βασιλέα ἕως πρωΐ, ὅπως ἔλθῃ ὁ δοὺξ μετὰ πάσης τῆς αὐθεντίας, καὶ ποιήσῃ τὴν πρέπουσαν τιμὴν τῷ βασιλεῖ· καὶ ἐγένετο οὕτως. καὶ μετ' ὀλίγον ἦλθεν ὁ δοὺξ σὺν τοῖς ἄρχουσι, καὶ προσεκύνησε τὸν βασιλέα καθήμενον, ὁμοίως καὶ οἱ ἄρχοντες καὶ πάντες ἀσκεπεῖς. ἐκάθητο δὲ ἐκ δεξιῶν αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ, ὁ δεσπότης κύρις Δημήτριος, ὀλίγῳ κατώτερον τοῦ βασιλικοῦ θρόνου· τότε ἐκάθισε καὶ ὁ δοὺξ ἐξ ἀριστερῶν τοῦ βασιλέως, καὶ ἐλάλησαν ἀσπασίως λόγους τοῦ χαιρετισμοῦ, καὶ ἕτερά τινα μυστικῶς· εἶτα εἶπεν ὁ δοὺξ τῷ βασιλεῖ, ὅτι τῷ πρωΐ μέλλομεν ἐλθεῖν, τοῦ ποιῆσαι τὴν πρέπουσαν καὶ ὀφειλομένην τιμὴν τῇ

ἁγίᾳ σου βασιλείᾳ, καὶ ἀπαντῆσαί σοι μετὰ παῤῥησίας, καὶ οὕτως ἐλεύσῃ ἐντὸς Βενετίας· καὶ ἀπῆλθεν ὁ δοὺξ μετὰ τῶν ἀρχόντων αὐτοῦ.

Τῷ πρωῒ δὲ ἡμέρᾳ κυριακῇ, φεβρουαρίου ἐνάτῃ, ὥρᾳ πέμπτῃ τῆς ἡμέρας, ἦλθεν ὁ δοὺξ μετὰ τιμῆς μεγάλης μετὰ ἀρχόντων καὶ συμβούλων αὐτοῦ, καὶ ἑτέρων ἀρχόντων πλείστων, ἐντὸς τοῦ εὐτρεπισμένου πουτζυδώρου, ὃ ἦν ἐσκεπασμένον ἐρυθροῖς σκεπάσμασι, καὶ χρυσᾶ λεοντάρια ἐν τῇ πρύμνῃ εἶχε καὶ χρυσᾶ περιπλέγματα, καὶ ὅλον ζωγραφισμένον, ποικίλον καὶ ὡραιότατον. ἦλθον δὲ μετ' αὐτοῦ καὶ ἕτερα μεσοκάτεργα, ἃ ὀνομάζουσι γαλιώνια, ὡσεὶ δώδεκα, καὶ αὐτὰ εὐτρεπισμένα καὶ ζωγραφισμένα ἔσωθεν καὶ ἔξωθεν, κατὰ πάντα ὅμοια τῷ τοῦ δουκὸς, ἐν οἷς ἦσαν ἄρχοντες πλεῖστοι· καὶ κύκλωθεν κύκλῳ σημαίας εἶχον χρυσᾶς, καὶ σάλπιγγας ἀμετρήτους, καὶ πᾶν εἶδος ὀργάνων. εἶχον δὲ καὶ ἓν γαλιώνιον ἐξαίρετον καὶ πάνυ θαυμαστὸν, εἰς ὄνομα τάχα τῆς βασιλικῆς τριήρεως, ἐποίησαν δὲ αὐτὸ ὡραιότατον καὶ ποικίλον· κάτωθεν γὰρ οἱ ναῦται ἐκούπιζον, περικείμενοι στολὰς χρυσοπετάλους, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ἔχοντες τὸ σημεῖον τοῦ ἁγίου Μάρκου, καὶ ὄπισθεν τούτου τὸ βασιλικὸν σημεῖον. εἶτα οἱ τζαγράτορες ἐφόρουν ἄλλης θέας φορέματα καὶ σημαίας· καὶ γύρωθεν ὅλον τὸ μεσοκάτεργον ἐκεῖνο σημαίας βασιλικὰς εἶχε, καὶ ἐν τῇ πρύμνῃ χρυσᾶς σημαίας καὶ πλείστας, καὶ ἀνθρώπους τέσσαρας, ἐστολισμένους ἱμάτια χρυσοζωγράφιστα, καὶ ἔχοντας τρίχας λευκοχρύσους ἐπὶ τὰς κεφαλὰς αὐτῶν· μέσον δὲ τούτων τῶν τεσσάρων, ἀνήρ τις εὐειδὴς ποτὲ μὲν ἐκαθέζετο, ποτὲ δὲ ἵστατο, φορῶν ἱμάτια χρυσοῦφαντα καὶ λαμπρὰ, κρατῶν ἐν τῇ χειρὶ σκῆπτρον ὡς ναύαρχος· καὶ ἕτεροι ἄρχοντες ὡς ἐξ ἀλλοδαπῆς χώρας ὑπάρχοντες ἑωρῶντο, φοροῦντες ἄλλης ἰδέας φορέματα πάνυ ποικίλα, ὡς δῆθεν ὑπηρετοῦντες αὐτῷ μετ' εὐλαβείας. ἔμπροσθεν δὲ τῆς πρύμνης ἵστατο ὄρθιός τις ὡς στύλος ὑψηλός· ἄνωθεν δὲ τοῦ στύλου ἐκείνου, ὡς τράπεζα τετράγωνος ὀργυιᾶς μικροτέρα· ἐπάνω δὲ τῆς τραπέζης ἐκείνης ἀνήρ τις ἵστατο ὡπλισμένος ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἀστράπτων ὡς ἥλιος, κρατῶν ἐν τῇ χειρὶ αὐτοῦ ὅπλον φοβερόν. ἐν δεξιᾷ δὲ καὶ ἀριστερᾷ αὐτοῦ ἐκάθηντο δύο παῖδες ἀγγελικὰ φοροῦντες, καὶ πτερωτοὶ ἦσαν ὡς ἄγγελοι· καὶ οὗτοι οὐκ ἐν φαντασίᾳ, ἀλλ' ἀλη-

θεία ἄνθρωποι ἦσαν κινούμενοι. καὶ ἐν τῇ πρύμνῃ εἶχεν ὡς δύο λέοντας χρυσοῦς, καὶ μέσον αὐτῶν χρυσοῦν ἀετὸν δικέφαλον· καὶ ἄλλα πλεῖστα φαντάσματα εἶχεν, ἃ οὐ δύναταί τις γραφῇ παραδοῦναι. ἦν δὲ ἐγρήγορον πάνυ, καὶ ποτὲ μὲν ἔμπροσθεν τῆς βασιλικῆς τριήρεως, ποτὲ δὲ πλαγίως καὶ γύρωθεν ἐπορεύετο μετὰ ἀλαλαγμοῦ καὶ σαλπίγγων πολλῶν· ἕτερα δὲ πλοιάρια καὶ ὁλκάδες ἦλθον, ὧν οὐκ ἦν ἀριθμός· ὥσπερ γὰρ οὐ δύναταί τις ἀριθμῆσαι ἄστρα οὐρανοῦ ἢ φύλλα δένδρων ἢ ἄμμον θαλάσσης ἢ ψεκάδας ὑετοῦ, οὕτως οὐδὲ τὰ πλοιάρια ἐκεῖνα τότε· ἦν ἀριθμῆσαι.

Ἐλθὼν δὲ ὁ δοὺξ, ἵνα μὴ πολλὰ λέγω, ἐπλησίασε τῇ βασιλικῇ τριήρει μετὰ τῶν ἀρχόντων τῆς βουλῆς αὐτοῦ, καὶ ἀνῆλθε καὶ προσεκύνησε τὸν βασιλέα καθήμενον, ἔχοντα ἐκ δεξιῶν, ὡς προείρηται, τὸν ἀδελφὸν αὐτοῦ καθήμενον κατώτερον τοῦ βασιλικοῦ θρόνου· ἐκάθισε δὲ ὁ βασιλεὺς τὸν δοῦκα ἐξ ἀριστερῶν αὐτοῦ, παρομοίως τῷ σκάμνῳ τοῦ δεσπότου· καὶ κρατῶν αὐτὸν τῆς χειρὸς ὡμίλουν ἀσπασίως.

Μετὰ μικρὸν δὲ εἰσήρχοντο μετὰ παῤῥησίας μεγάλης, καὶ μετὰ σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ, εἰς τὴν λαμπρὰν καὶ θαυμαστὴν Βενετίαν· καὶ ὄντως θαυμαστὴ καὶ θαυμαστοτάτη, πλουσία, ποικιλοειδὴς καὶ χρυσοειδὴς, τετορνευμένη καὶ πεποικιλμένη καὶ μυρίων ἐπαίνων ἀξία τυγχάνει ἡ σοφωτάτη Βενετία. ἐὰν δὲ καὶ γῆν τῆς ἐπαγγελίας δευτέραν αὐτὴν ὀνομάσῃ τις, οὐκ ἂν ἁμάρτοι· περὶ αὐτῆς γὰρ οἶμαι καὶ ὁ προφήτης λέγει ἐν εἰκοστῷ τρίτῳ ψαλμῷ· Ὁ θεὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν *. τί γὰρ ἂν ζητήσῃ τις, καὶ οὐχ εὑρήσει ἐν αὐτῇ; διὰ τοῦτο πολλῶν καὶ μεγάλων ἐπαίνων καὶ τιμῶν ἀξία τυγχάνει. ἦν δὲ ὡσεὶ ὥρα πέμπτη τῆς ἡμέρας, ὅτε ἠρξάμεθα εἰσέρχεσθαι ἐντὸς Βενετίας, καὶ ἐπλεοπορoῦμεν ἕως δύσεως ἡλίου καὶ κατηντήσαμεν εἰς τοὺς οἴκους τοῦ μαρκεσίου τῆς Φεῤῥαρίας.

* Ψαλμ. 23, 2.

Ἡ δὲ πόλις πᾶσα ἐσείσθη, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν τοῦ βασιλέως, καὶ κρότος καὶ ἀλαλαγμὸς μέγας ἐγένετο· καὶ ἦν ἰδεῖν ἔκστασιν φοβερὰν τῇ ἡμέρᾳ ἐκείνῃ, τὸν πολυθαύμαστον ναὸν τοῦ ἁγίου Μάρκου, τὰ παλάτια τοῦ δουκὸς τὰ ἐξαίσια, καὶ τοὺς ἄλλους τῶν ἀρχόντων οἴκους παμμεγέθεις ὄντας, ἐρυθροὺς καὶ χρυσίῳ πολλῷ κεκοσμημένους, ὡραίους καὶ ὡραίων ὡραιοτέρους· οἱ μὴ ἰδόντες

ἴσως οὐ πιστεύσουσιν, ἡμεῖς δὲ οἱ ἰδόντες οὐ δυνάμεθα γραφῇ παραδοῦναι τὴν καλλονὴν αὐτῆς, τὴν θέσιν, τὴν τάξιν, τὴν σύνεσιν τῶν ἀνδρῶν ὁμοῦ τε καὶ γυναικῶν, τὸ παμπληθὲς τοῦ λαοῦ, ἱσταμένων πάντων καὶ βλεπόντων, καὶ χαιρόντων ὁμοῦ καὶ εὐφραινομένων ἐπὶ τῇ εἰσελεύσει τοῦ βασιλέως· ἐξέστη γὰρ ἡ ψυχὴ ἡμῶν βλεπόντων τὴν τοιαύτην παῤῥησίαν, ὥστε λέγειν ἡμᾶς ἐν ἐκστάσει· Οὐρανὸς σήμερον ἡ γῆ καὶ ἡ θάλασσα γέγονεν· ὥσπερ γὰρ τὰ ἐν τῷ οὐρανῷ κτίσματα καὶ ποιήματα τοῦ θεοῦ οὐ δύναταί τις καταλαβεῖν, ἀλλὰ μόνον ἐκπλήττεται, οὕτω καὶ τὰ τῆς ἡμέρας ἐκείνης ἐξεπληττόμεθα βλέποντες· ὅταν οὖν ἤλθομεν εἰς τὴν μεγάλην γέφυραν, ἣν καλοῦσι Ῥεάλτον, ἐσήκωσαν αὐτὴν ἄνω, καὶ ἐπέρασε κάτωθεν ἡ τριήρης· ἦν δὲ κἀκεῖσε πλῆθος λαοῦ πολύ, καὶ σημαῖαι χρυσοειδεῖς καὶ σάλπιγγες καὶ κρότοι καὶ ἀλαλαγμοί, καὶ ἁπλῶς εἰπεῖν, ἀτονεῖ μου ὁ νοῦς γράφειν καὶ λέγειν τὰ τῆς ἡμέρας ἐκείνης θεάματα καὶ τοὺς ἐπαίνους καὶ τὴν σχέσιν καὶ τὴν τιμὴν καὶ ἀποδοχήν, ἣν ἔδειξαν τότε τῷ βασιλεῖ. καὶ ἀπήλθομεν, ὡς προείπον, εἰς τοὺς οἴκους τοῦ μαρκεσίου τῆς Φεῤῥαρίας· ἐκεῖσε γοῦν ἔστησαν τὴν τριήρη· ἦν δὲ ὥρα δύσεως ἡλίου· καὶ ἀποχαιρετίσας ὁ δοὺξ καὶ οἱ ἄρχοντες αὐτοῦ ἀπῆλθον οἴκαδε, ἡμέρᾳ κυριακῇ, φεβρουαρίου ἐνάτῃ, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἑβδόμῳ.

Περίοδος ἀπὸ Βενετίας εἰς Φεῤῥαρίαν.

Τῇ δὲ εἰκοστῇ ὀγδόῃ φεβρουαρίου μηνός, ἐξήλθομεν ἀπὸ Βενετίας ὅ τε βασιλεύς, ὁ δεσπότης *, καὶ πᾶς ὁ κλῆρος καὶ ἡ συνοδία αὐτῶν, καὶ ἐπλέομεν τὴν εἰς Φεῤῥαρίαν ὁδόν· ὁ δὲ πατριάρχης ἀπέμεινεν ἐν Βενετίᾳ δι' ἔνδειαν τῶν πλοιαρίων. ἡμεῖς δὲ ἤλθομεν, ἵνα τὰ διὰ μέσου ὡς μὴ πάνυ ἀναγκαῖα ἐάσω, εἰς τὸ καστέλλι Φραγκολί, ἔνθα προσορμίζουσι πάντα τὰ πλοῖα τὰ ἐκ τῆς Βενετίας εἰς Φεῤῥαρίαν ἐρχόμενα. ἦλθον οὖν ἔφιπποι ἄρχοντες ὡσεὶ πεντήκοντα, καὶ προσεκύνησαν τὸν βασιλέα· καὶ ὁ λεγάτος ἦλθε μετ' αὐτῶν, ὃς ἦλθε καὶ πρότερον μετὰ τῆς τριήρεος τοῦ πάπα καὶ εἰς Κρήτην καὶ εἰς Κωνσταντινούπολιν· αὐτὸν γὰρ ἀπέστειλεν ὁ πάπας ἰδεῖν τὴν βουλὴν τοῦ βασιλέως. καὶ ὥρισεν ὁ βασιλεύς, ἵνα

* ὁ κύρ. Δημήτριος δηλονότι.

φέρωσι τῷ πρωῒ ἵππους ἑκατὸν πεντήκοντα, ὅπως πορευθῇ διὰ ξηρᾶς εἰς Φεῤῥαρίαν, ἔνθα ἦν ὁ πάπας. ἐμείναμεν οὖν ἐν ἐκείνῳ τῷ τόπῳ τῇ νυκτὶ ἐκείνῃ· τῷ πρωῒ δὲ ὥρισεν ὁ βασιλεὺς, ἵνα ἀπέλθωσι τὰ πλοῖα διὰ τοῦ ποταμοῦ εἰς Φεῤῥαρίαν, αὐτὸς δὲ πορευθῇ διὰ ξηρᾶς, ὡς εἴρηται. καὶ οὕτως ἐπορεύθησαν τὰ πλοῖα διὰ τοῦ ποταμοῦ, ὁ δὲ βασιλεὺς ἦλθε διὰ ξηρᾶς ὥρᾳ ἕκτῃ τῆς ἡμέρας, καὶ εἰσῆλθεν ἔφιππος εἰς τὴν Φεῤῥαρίαν μετὰ τιμῆς καὶ παῤῥησίας μεγάλης· ἦσαν γὰρ μετ' αὐτοῦ ἄρχοντες πολλοὶ, καὶ μητροπολῖται καὶ ἐπίσκοποι τοῦ πάπα, καὶ ὁ αὐθέντης τῆς χώρας ὁ μαρκέσιος· ἔτι δὲ καὶ ἱερεῖς τοῦ βασιλέως, καὶ ὁ πνευματικὸς αὐτοῦ ὁ μέγας πρωτοσύγκελλος κύρις Γρηγόριος, καὶ ἕτεροι ὡσεὶ διακόσιοι τῷ ἀριθμῷ, μετὰ σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ.

Ἡ δὲ πόλις πᾶσα τῆς Φεῤῥαρίας συνέδραμεν ἰδεῖν τὴν εἰσέλευσιν τοῦ ἁγίου ἡμῶν βασιλέως μετὰ αἰδοῦς καὶ τιμῆς καὶ εὐλαβείας. καὶ ὁ μὲν βασιλεὺς ἐκαθέζετο ἐφ' ἵππου ὡραιοτάτου μέλανος καὶ εὐτρεπισμένου μετὰ ἐρυθροῦ καὶ χρυσοϋφάντου χασδίου. ἄρχοντες δὲ καί τινες ἄλλοι συνυπήγοντο μετ' αὐτοῦ, μετὰ οὐρανίας λευκοειδοῦς σκεπάζοντες αὐτὸν, καὶ αὕτη ὑπομελανίζουσα ὡς ἰδέα οὐρανοῦ· καὶ ἕτερος ἵππος λευκὸς ὡραιότατος, εὐτρεπισμένος καὶ αὐτὸς ὁμοίως, καὶ χρυσοῦς ἀετοὺς ἔχων ἐπὶ τοῦ χασδίου καὶ ἕτερα πλέγματα χρυσᾶ, ἐπορεύετο ἔμπροσθεν τοῦ βασιλέως, μὴ ἔχων ἀναβάτην.

Ὁ δὲ πάπας ἦν καθήμενος ἐν τῷ παλατίῳ αὐτοῦ μετὰ παντὸς τοῦ κλήρου, καρδιναλίων δηλαδὴ μητροπολιτῶν ἐπισκόπων ἱερέων καὶ ἄλλου ἱερατικοῦ καταλόγου, καὶ ἀρχόντων καὶ αὐθεντῶν πολλῶν, ἐκδεχόμενος τὸν βασιλέα· καὶ ἐλθόντες οἱ ἔμπροσθεν καβαλλάριοι, τινὲς μὲν τῶν ἀρχόντων ἐπέζευσαν καὶ αὐτὸς ὁ δεσπότης *, καὶ εἰσῆλθον διὰ τῆς μεγάλης πύλης ἐντὸς τοῦ παλατίου οὗ ἦν ὁ πάπας· τὸν δὲ βασιλέα εἰσήγαγον ἔφιππον δι' ἑτέρας πύλης. γνοὺς δὲ ὁ πάπας, ὅτι ἐγγύς ἐστι τῆς πύλης ὁ βασιλεὺς, ἀνέστη καὶ περιεπάτει· διὸ εὗρεν αὐτὸν ὁ βασιλεὺς ὄρθιον· καὶ θέλοντα γονατίσαι οὐκ ἀφῆκεν αὐτὸν ὁ πάπας, ἀλλ' ἐδέξατο αὐτὸν εἰς τὸν κόλπον αὐτοῦ· καὶ δοὺς αὐτῷ τὴν χεῖρα, ἣν ἠσπάσατο ὁ βασιλεὺς, ἐκάθισεν αὐτὸν ἐξ ἀριστερῶν αὐτοῦ· οἱ δὲ καρδινάλεις παρὰ τοὺς πόδας αὐτῶν ἐποίησαν τὸν ἐν Χριστῷ ἀσπασμὸν, ὡς * εἶδον

* ὁ Δημήτριος δηλονότι.

* ἴσ. ἦσαν οὖν δύο.

αὐτοὶ ὅ τε πάπας καὶ ὁ βασιλεύς· καὶ ὁμιλήσαντες λόγους μυστικοὺς τῆς εἰρήνης, ἀνεχώρησαν ἀπ' ἀλλήλων. καὶ ὁ μὲν πάπας ἔμεινεν ἐν τῷ παλατίῳ αὐτοῦ, τὸν δὲ βασιλέα ἔφερον ἔφιππον οἱ αὐτοὶ καβαλλάριοι μετὰ σαλπίγγων εἰς ἕτερον παλάτιον εὐτρεπισμένον πάνυ καλῶς· κἀκεῖ ἀνεπαύσατο μετὰ τῶν ἀρχόντων αὐτοῦ καὶ τῶν ὑπηρετῶν κατὰ τάξιν βασιλικὴν, μηνὶ μαρτίῳ τετάρτῃ ἡμέρᾳ τρίτῃ.

Περὶ τῆς εἰσελεύσεως τοῦ πατριάρχου εἰς Φεῤῥαρίαν.

Πλησιάσαντος τοίνυν τοῦ πατριάρχου ἡμῶν εἰς τὸ καστέλλι Φραγκολὶ, ἔτι αὐτοῦ μακρὰν ἀπέχοντος, ἰδοὺ πρὸς ὑπαντὴν αὐτοῦ ἦλθε μία ναῦς κατάχρυσος, συρομένη ἐν ποταμῷ παρὰ τῆς σκάφης αὐτῆς καὶ ἐζήτει τὸν πατριάρχην εἰσελθεῖν εἰς αὐτήν· ἦν γὰρ διώροφος καὶ τριώροφος, ὡς ἡ παλαιὰ ἐκείνη τοῦ Νῶε κιβωτός· ἀλλ' ἐκείνη ἀσφάλτῳ ἦν περιησφαλισμένη τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν· αὕτη δὲ, ὅσον μὲν ἦν ἐν τῷ ὕδατι, πίσσῃ ὑπῆρχε κεχρισμένη, ὅσον δὲ τὸ φαινόμενον, ἐν χρώμασι διαφόροις ἦν κεκαλλωπισμένη· καὶ τὰ μὲν ἀνωτέρω τοῦ ποταμοῦ ζωγραφισμένα ὑπῆρχον, μικρὸν δὲ ἀνωτέρω παραθυρίδες τετορνευμέναι, ὡς ἄν τις εἰκάσαι μετὰ κιόνων λεπτῶν εἶναι αὐτὰς, καὶ μετὰ μαρμάρων κοκκίνων· καὶ ἄνωθεν τούτων πρόσκηψις ὡραιοτάτη· ὑπεράνω δὲ πάσης τῆς νηὸς κύκλωθεν πολεμικὰ, καὶ ἐν μέσῳ μαγειρεῖον διὰ τὸ ἄνωθεν τὸν καπνὸν εἶναι· καὶ σκάλα μία ἐν τῇ πρύμνῃ, καὶ μία ἐν τῇ πρώρᾳ, τοῦ ἀνέρχεσθαι καὶ κατέρχεσθαι τοὺς ὑπηρέτας αὐτῆς. ἔσωθεν δὲ παλάτιον ἄλλο, ὡς ἄν τις εἴποι ναὸν περικαλλῆ, καὶ κοιτῶνες διάφορο περικεκαλυμμένοι βήλοις χρυσοῖς· κύκλωθεν δὲ ἀναβάθραι καὶ προβαθμίδες καὶ καταπετάσματα, καὶ θρόνοι κατεστρωμένοι τάπησι μακροῖς· καὶ κύκλωθεν θεωρία λαμπροτάτη καὶ ἀξιέπαινος. κάτωθεν δὲ τοῦ παλατίου ὡς κατώγειον αὐτοῦ, ἐν ᾧ ἀποθῆκαι ὑπῆρχον πολλαὶ, αἱ μὲν οἴνου, αἱ δὲ ἰχθύων, αἱ δὲ τροφῶν ἄλλων· τί δὲ ἡ καλὴ θέσις τοῦ ὀρόφου αὐτοῦ, καὶ ἡ θαυμαστὴ ἀνάπαυσις τῶν οἰκούντων ἐν αὐτῷ; ἐκαλεῖτο δὲ Ὀρομπούρκιον *.

* ἐν ἄλλ'. Ὀρομπρούκιον.

Τοῦτο ἐλθὸν καὶ τὸν πατριάρχην ἡμῶν εὐφημήσαν, παρακληθεὶς ἐκεῖνος εἰσῆλθεν εἰς αὐτὸ μετὰ τῶν ἀρχιερέων καὶ τοῦ κλήρου

παντός. καὶ ἦν ἰδεῖν πλέοντας ἡμᾶς τὸν ποταμὸν ὡς ἐν παλατίῳ ἄλλῳ καὶ σεκρέτῳ, μηδ' ὅλως εἰκάζοντας εἶναι ἐν ὕδατι, ἀλλ' ἐν τῇ ξηρᾷ. πλεύσαντες οὖν διὰ τοῦ ποταμοῦ, ἤλθομεν καὶ ἡμεῖς εἰς Φεῤῥαρίαν προπέμψαντες ἀπὸ Βενετίας πρὸς τὸν πάπαν πρέσβεις, τὸν Ἡρακλείας κύριν Ἀντώνιον, καὶ τὸν Μονεμβασίας κύριν Δοσίθεον. εἰς τὸν λιμένα οὖν τῆς Φεῤῥαρίας καταντήσαντες ἐν ὥρᾳ τετάρτῃ τῆς ἡμέρας, τῇ ἑβδόμῃ τοῦ μαρτίου μηνὸς, ἐμηνύσαμεν τῷ μακαριωτάτῳ πάπᾳ, πῶς ἄρα γενήσεται ἡ τοῦ πατριάρχου συνέλευσις, καὶ πῶς δέξεται ὁ πάπας αὐτόν. τούτων οὖν ἐξεταζομένων, ἐμείναμεν ἐν τῷ χρυσῷ πλοίῳ ἐκείνῳ τὴν νύκτα ἐκείνην.

Τῷ πρωῒ δὲ ὥρᾳ πρώτῃ τῆς ἡμέρας, ἦλθεν καρδινάλεις τέσσαρες, καὶ ἐπίσκοποι ὡσεὶ εἴκοσι πέντε, καὶ ὁ μαρκέσιος τῆς χώρας ὁ αὐθέντης, καὶ σὺν αὐτῷ πλῆθος ἀρχόντων πολὺ, καὶ ἵπποι καὶ ἡμίονοι· οἷς ἐποχηθέντες εἰσήλθομεν εἰς τὴν Φεῤῥαρίαν· ἦν δὲ ὁ πατριάρχης ἔφιππος, καὶ ἤρχετο ἐν μέσῳ δύο καρδιναλίων μετὰ τιμῆς μεγάλης· καὶ πρὸς τὸ παλάτιον τοῦ πάπα εὐθὺς ἀνήλθομεν· καὶ τὸν πάπαν ὁ πατριάρχης ἠσπάσατο ἱστάμενον ἐν τῇ παρειᾷ· ἡμεῖς δὲ καθημένου τὴν δεξιὰν αὐτοῦ καὶ τὴν παρειὰν, σὺν τοῖς ἔξω κατακίλοις· οἱ δ' ἄλλοι μόνον τὴν χεῖρα, ἢ καὶ μόνῳ τῷ προσκυνήματι. τοῦ ἀσπασμοῦ τοιγαροῦν γενομένου, ἐκ τοῦ παλατίου ἐξελθόντες, καὶ τῶν ἵππων πάλιν ἐπιβάντες, τῷ πατριάρχῃ ἀπήλθομεν ὀψικεύοντες ἕως τοῦ ἡτοιμασμένου αὐτῷ οἴκου· ὃν ἐκεῖσε καταλιπόντες ἀπήλθομεν ἕκαστος, ὅπου ἂν ἡτοιμάσθη ἡμῖν. αὗταί εἰσιν αἱ τοῦ πάπα προπομπαὶ, καὶ τούτῳ τῷ τρόπῳ ἤλθομεν εἰς Φεῤῥαρίαν· τῇ δὲ κυριακῇ τῷ πρωῒ ὥρισεν ὁ πατριάρχης, καὶ ἐλειτούργησαν ὡσεὶ δεκαπέντε ἱερεῖς ἐν τῷ παλατίῳ αὐτοῦ· καὶ εἱστήκεισαν οἱ ἀρχιερεῖς κατὰ τάξιν, ὁμοίως καὶ οἱ σταυροφόροι καὶ οἱ ψάλται, καὶ ὁ αὐθέντης τῆς χώρας ὁ μαρκέσιος, καὶ οἱ ἄρχοντες αὐτοῦ καὶ πάντες μετ' εὐλαβείας· ἐν δὲ τῷ τέλει ἔλαβον πάντες ἀντίδωρον παρὰ τῶν χειρῶν τοῦ πατριάρχου.

Διαγενομένων τοίνυν ἡμερῶν τινων, ἐζήτει τὸν πάπαν ὁ βασιλεὺς, σύνοδον οἰκουμενικὴν γενέσθαι, οὐ μόνον τῶν ἐπισκόπων, ἀλλὰ καὶ τῶν ῥηγάδων καὶ τῶν δουκῶν καὶ ἁπλῶς πάσης Ἰταλίας, ἢ δι' ἑαυτῶν ἢ διὰ τοποτηρητῶν. ὁ δὲ ἀδυνάτως ἔχειν τοῦτο ἔλεγε, διὰ τὰς διχονοίας καὶ ἀλληλομαχίας· ὁ δὲ βασιλεὺς καὶ

ἔτι ὡς συμπεφωνημένον ἐζήτει ἀεί. οὐκ ἔχων οὖν ὁ πάπας τότε ἄλλως ποιῆσαι, ἐζήτησε διωρίαν μηνῶν τεσσάρων, ἕως οὗ συνάξῃ τὰ γένη αὐτοῦ, ὃ καὶ γέγονε· τῆς οὖν διωρίας δοθείσης, καὶ πανταχοῦ γράμματα καὶ πρέσβεις ἀποστείλαντος τοῦ πάπα, καὶ τοῦ καιροῦ τῆς διωρίας τρέχοντος, κἀκείνων μὴ ἐρχομένων, ἐβουλευσάμεθα μέθοδόν τινα εἰς τὸ προθύμους ποιῆσαι αὐτοὺς ἐλθεῖν· καὶ δὴ ἅπασιν ἀνεφάνη καλὸν, ἀνακηρυχθῆναι σύνοδον οἰκουμενικὴν ἐν τῇ Φερῥαρίᾳ, καὶ οὐκ ἀλλαχοῦ· ὅπως γνόντες οἱ πανταχοῦ ὅτι κατὰ πᾶσαν ἀνάγκην ἐν τῇ Φερῥαρίᾳ γίνεται ἡ σύνοδος, ἔλθωσιν ἀπαραιτήτως χωρὶς προφάσεως. ὁμογνωμονήσαντες οὖν ἀνεκηρύξαμεν τὴν σύνοδον, μηνὶ ἀπριλίῳ ἐνάτῃ, τῇ ἁγίᾳ καὶ μεγάλῃ τετάρτῃ τῆς τεσσαρακοστῆς, μετὰ συμφωνίας τοιαύτης· ὅτι ἐὰν πλημμελῇ ὁ καιρὸς, καὶ ἡ σύνοδος οὐ συνέρχεται, ἀλλὰ μᾶλλον μαίνεται καθ' ἡμῶν, καὶ μὴ ἐχόντων ἡμῶν ἄλλως πῶς ποιῆσαι, γνώμῃ κοινῇ ἵνα διαλεχθῶμεν περὶ τῶν δογμάτων· καὶ εἰ μὲν ἑνωθῶμεν, δόξα τῷ θεῷ· εἰ δ' οὔ, πάλιν δόξα τῷ θεῷ, ἵνα μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπελθεῖν κατὰ δύναμιν τοῦ δεκρέτου γενήσηται ἡμῖν.

Μέσον δὲ τούτων τῶν ἡμερῶν ζήτησις καὶ φιλονεικία ἐγένετο περὶ τῶν θρόνων τῆς τε δυτικῆς ἐκκλησίας καὶ τῆς ἀνατολικῆς· ἐζήτει γὰρ ὁ πάπας, ἐν ἑνὶ μέρει τῆς ἐκκλησίας ἵνα καθίσωσιν οἱ αὐτοῦ ἐκκλησιαστικοὶ πάντες, καὶ ἐν τῷ ἄλλῳ μέρει ὁ βασιλεὺς, ὁ πατριάρχης καὶ οἱ μετ' αὐτῶν πάντες, ἐν τῷ μέσῳ δὲ καὶ ἀπὸ κεφαλῆς ὁ πάπας. ὁ δὲ βασιλεὺς ἔλεγε πάλιν· Τοῦτο τοῦ βασιλέως ἐστὶ μᾶλλον ἢ τοῦ πάπα. καὶ πολὺς ἐγένετο περὶ τούτου λόγος, ἕως οὗ ἀνέγνωσαν τὰ πρακτικὰ τῶν συνόδων. Τέλος συνεφώνησαν οὕτως· ὅτι τὸ ἓν μέρος τοῦ ναοῦ εἰσιόντι ἀριστερὰ δοθῇ τῷ πάπᾳ καὶ τοῖς μετ' αὐτοῦ· τὸ δὲ ἄλλο μέρος, τὸ δεξιὸν δηλονότι, τῷ βασιλεῖ καὶ τοῖς μετ' αὐτοῦ. καὶ ἔστησαν τοὺς θρόνους οὕτω· τοῦ πάπα τὸν θρόνον ἐν τῷ δοθέντι μέρει αὐτῷ, ἐγγὺς τῆς ἁγίας τραπέζης ὡς ὀργυιὰς τέσσαρας· κατώτερον τοῦ θρόνου τοῦ πάπα ὡς ὀργυιὰν μίαν, τὸν θρόνον τοῦ βασιλέως τῆς Ἀλαμανίας· εἱστήκει δὲ κενὸς, μόνον εἰς τύπον· ἐγγὺς δὲ τούτου ἐκάθισαν οἱ καρδινάλεις, καὶ καθεξῆς μητροπολῖται καὶ ἐπίσκοποι τὸν ἀριθμὸν ὡσεὶ ἑκατὸν πεντήκοντα· οἱ ἱερεῖς δὲ καὶ διάκονοι καὶ ἕτεροι πρωτονοτάριοι ἄμετροι ἦσαν. ὁμοίως καὶ ἐν τῷ ἑτέρῳ

μέρει ἡτοίμασαν τοῦ βασιλέως τὸν θρόνον μετὰ ἐρυθροῦ καὶ χρυσοϋφάντου χασδίου, καὶ καθεξῆς τοῦ τε πατριάρχου καὶ τῶν τοποτηρητῶν καὶ πάσης τῆς ἀνατολικῆς ἐκκλησίας κατὰ τάξιν.

Τούτων οὕτω συμφωνηθέντων, καὶ ὁρκωμοτικοῦ διὰ πλείονα ἀσφάλειαν γενομένου, τῇ μεγάλῃ τετάρτῃ, καθὼς ἔφημεν, συνήχθημεν ἐν τῷ ναῷ τῆς ἐπισκοπῆς, τῷ ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. εἰσῆλθεν οὖν πρῶτος ὁ πάπας, καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ ἐν τῷ βορείῳ μέρει, καθὼς ἀνωτέρω δεδήλωται, κατὰ τὴν συμφωνίαν ἡμῶν· εἶτα ἐκάθισεν ὁ βασιλεὺς ἡμῶν ἐν τῷ νοτίῳ· ἐκάθισε δὲ καὶ ὁ δεσπότης ὁ τοῦ βασιλέως ἀδελφὸς κύρις Δημήτριος, ἐκ δεξιῶν μὲν τοῦ βασιλέως, κατώτερον δὲ ὡσεὶ σπιθαμὰς τέσσαρας· ἐκάθισε καὶ ὁ πατριάρχης ἐπὶ θρόνου καὶ αὐτὸς ὑψηλοῦ, εἶτα οἱ τοποτηρηταὶ τῶν πατριαρχῶν· ὑπῆρχον γὰρ τοῦ Ἀλεξανδρείας, ὁ Ἡρακλείας κύρις Ἀντώνιος, καὶ ὁ τιμιώτατος πνευματικὸς κύρις Γρηγόριος· τοῦ Ἀντιοχείας, ὁ Ἐφέσου κύρις Μάρκος, καὶ ὁ Ῥωσίας κύρις Ἰσίδωρος· τοῦ Ἱεροσολύμων, ὁ Μονεμβασίας κύρις Δοσίθεος, καὶ ὁ Σάρδεων, ἐκεῖνος κύρις Διονύσιος· εἶτα ἐκάθισεν ὁ χορὸς τῶν μητροπολιτῶν κατὰ τὴν τάξιν αὐτῶν, οἵτινες ἦσαν οὗτοι· ὁ Τραπεζοῦντος, κύρις Δωρόθεος, τὸν τόπον ἐπέχων τοῦ Καισαρείας· ὁ Κυζίκου, τὸν τόπον ἐπέχων τοῦ Ἀγκύρας, κύρις Μητροφάνης· ὁ Νικαίας, τὸν τόπον ἐπέχων τοῦ Σάρδεων, κύρις Βησσαρίων· ὁ Νικομηδείας Μακάριος· ὁ Λακεδαιμονίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Νικομηδείας, κύρις Μεθόδιος· ὁ Τορνόβου καὶ τὸν τόπον ἐπέχων τοῦ Νικομηδείας Ἰγνάτιος· ὁ Μιτυλήνης, καὶ τὸν τόπον ἐπέχων τοῦ Σίδης, κύρις Δωρόθεος· ὁ Ἀμασείας Ἰωάσαφ· ὁ Μουλδοβλαχίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Σεβαστείας Δαμιανός· ὁ Σταυρουπόλεως Ἡσαΐας· ὁ Ῥόδου Ναθαναήλ· ὁ Δίστρας Κάλλιστος· ὁ Γάνου Γεννάδιος· ὁ Δράμας Δοσίθεος· ὁ Μελενίκου Εὐστράτιος· ὁ Ἀγχιάλου Σωφρόνιος. ὑπῆρχον καὶ ἀπὸ τῆς Ἰβηρίας μητροπολίτης εἷς, καὶ ἐπίσκοπος εἷς. εἶτα ἐκάθισαν οἱ σταυροφόροι ἄρχοντες κύκλῳ τοῦ πατριάρχου· κάτωθεν δὲ οἱ ἡγούμενοι μετὰ τῶν ἁγιορειτῶν καὶ οἱ λοιποὶ κληρικοί, ἅπαντες κατὰ τὴν τάξιν αὐτῶν.

Προκαθημένου δὲ τοῦ μακαριωτάτου πάπα ἐν τῷ βορείῳ μέρει, καθὼς εἰρήκαμεν· κάτωθεν τούτου, τοῦ βασιλέως τῶν Ἀλαμανῶν

θρόνος ὑπῆρχεν, ὡς εἴρηται· μετὰ δὲ τοῦτον ἐκάθισαν οἱ καρδινάλεις· ὁ ἀνεψιὸς τοῦ πάπα ὁ καμεράριος κύρις Φραγκίσκος, καρδινάλις τοῦ ἁγίου Κλήμεντος· ὁ τοῦ ἁγίου Μάρκου, κύρις Ἀγγελῶτος· ὁ Σαβινένσις ἐπίσκοπος κύρις Ἰορδάνος, καρδινάλις Οὐρσῖνος· ὁ τοῦ ἁγίου Ἀγγέλου κύρις Ἰουλιανός· ὁ τοῦ ἁγίου Σταυροῦ κύρις Νικόλαος καρδινάλις Φιρμάνος· ὁ Πορτουένσις ἐπίσκοπος κύρις Βερράνδας, καρδινάλις Πλακεντίας· ὁ τοῦ ἁγίου Γεωργίου, κύρις Πρόσπερος καρδινάλις Κολούμνας· ὁ Ὀστιένσις ἐπίσκοπος κύρις Ἀντώνιος καρδινάλις Βονωνίας· ἐπίσκοποι δὲ καὶ ἀρχιεπίσκοποι ὡσεὶ διακόσιοι, ἀλλὰ καὶ ἡγούμενοι καὶ ἀρχιμανδρῖται καὶ ἕτεροι πολλοὶ ποιμένες ἐκκλησιαστικοί. ὁ δὲ ἡμέτερος πατριάρχης ἀσθενῶν ἦν, καὶ οὐκ ἦλθεν· ὁμοίως καὶ ὁ Σάρδεων· ἀλλ' ὁ πατριάρχης ἀπέστειλε προτροπὴν ἑαυτοῦ καὶ θέλημα, καὶ ἀνέγνωσαν αὐτό.

Μέσον δὲ τοῦ ναοῦ καὶ τῶν δύο μερῶν τοῦ κλήρου, ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ἔστησαν θρόνον ὡραιότατον, πάνυ κεκοσμημένον καὶ εὐτρεπισμένον μετὰ χρυσοῦ βλατίου· ἐπάνω δὲ ἐκάθισεν ὁ μέγας καὶ δίκαιος κριτὴς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἤγουν τὸ ἅγιον εὐαγγέλιον· ἐξ ἑκατέρων δὲ τῶν μερῶν αὐτοῦ ἔκειντο αἱ κάραι τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ λαμπάδες ἀνάπτουσαι ἔμπροσθεν αὐτῶν. καὶ ἦν ἰδεῖν φρικτὸν καὶ ξένον θέαμα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἡ ἐκκλησία ὡς οὐρανὸς ἐγένετο, ὥστε καὶ μνησθῆναι τοῦ λέγοντος· Οὐρανὸς πολύφωτος ἡ ἐκκλησία ἀνεδείχθη ἅπασα, φωταγωγοῦσα τοὺς πιστοὺς, ἐν ᾗ ἑστῶτες κραυγάζομεν· Τοῦτον τὸν οἶκον στερέωσον κύριε.

Τούτων οὖν γενομένων, καὶ πάντων ἐνδεδυμένων τὰς ἱερατικὰς στολὰς, οἵ τε τῆς ἀνατολῆς καὶ τῆς δύσεως ἀρχιερεῖς ἅπαντες ἐκάθισαν· σιωπῆς δὲ γενομένης, ἐξεφώνησεν ὁ μακαριώτατος πάπας· Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, καὶ ἤρξαντο πάντες δοξολογίας καὶ ὕμνου καὶ ἱκετηρίων ᾠδῶν· εἶτα ἐκάθισαν, καὶ ὥρισαν ἐπ' ἄμβωνος ἀναγνωσθῆναι τὴν τῆς συνόδου ἀνακήρυξιν· πρὸ ταύτης δὲ ὥρισεν ὁ βασιλεὺς μετὰ τοῦ πάπα, ἀναγνωσθῆναι ἐγγράφως τὴν προτροπὴν τοῦ πατριάρχου· καὶ οὕτως ἀνέστη ὁ ῥεφερενδάριος τοῦ πατριάρχου διάκονός τις, καὶ ἤρξατο λέγειν.

Ἡ προτροπὴ τοῦ πατριάρχου.

Ἐν ὀνόματι τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τὰ δύο μέρη τῶν Χριστιανῶν, τῶν τε Ἰταλῶν καὶ τῶν Γραικῶν σήμερον συνεφώνησαν ἀνακηρύξαι τὴν ἁγίαν καὶ ἱερὰν καὶ οἰκουμενικὴν σύνοδον· οἵτινες ἅγιοι πατέρες τῆς ἀνατολικῆς ἐκκλησίας ἀφ' ἑνὸς μέρους, ὅ τε γαληνότατος βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος, ὅ τε πατριάρχης κύρις Ἰωσὴφ καὶ οἱ ἀρχιερεῖς, οἵ τε σταυροφόροι καὶ ἄρχοντες τῆς ἐκκλησίας τῆς ἀνατολικῆς, ἱερεῖς καὶ διάκονοι καὶ πᾶς ὁ κλῆρος αὐτῆς· ὁμοίως ἀπ' ἄλλου μέρους τῶν Ἰταλῶν, πᾶσα ἡ δυτικὴ ἁγία ἐκκλησία τῆς Ῥώμης, ὅ τε μακαριώτατος πάπας, καὶ πᾶσα ἡ ἱερωσύνη αὐτοῦ ὁμολογοῦμεν καὶ στέργομεν, ταύτην τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον γενέσθαι ἐν τῇ πόλει ταύτῃ τῆς Φεῤῥαρίας, ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἐν μέσῳ τῆς αὐτῆς πόλεως· καὶ κηρύττομεν, καὶ δίδομεν διωρίαν ἀπὸ τοῦ νῦν φυλή, ἀπριλίου ἐνάτῃ, ἰνδικτιῶνος πρώτης, καὶ ἔμπροσθεν, μῆνας τέσσαρας *, εἰς ὅλους τοὺς τόπους καὶ εἰς ὅλα τὰ ῥηγάτα τῶν Χριστιανῶν, ὅπως ἔλθωσι πάντες, καὶ οἱ λοιποὶ τοῦ κονσιλίου τῆς Βασιλείας, καὶ οἱ τῆς Ῥώμης, καὶ πᾶς Χριστιανὸς, ὅστις βούλεται οὖν ἐλθεῖν *, ἐλθέτω ἕως τοῦ διωρισμένου καιροῦ· καὶ ὅστις καταφρονήσει, ἢ ἀθετήσει τὴν ἁγίαν ταύτην σύνοδον, καὶ οὐδὲ ἔλθῃ ἕως τοῦ διωρισμένου καιροῦ, ἵνα μένῃ ὑπὸ κανόνα ἀφορισμοῦ, ἐὰν μὴ στέρξῃ ὅσα ποιήσει ἡ σύνοδος αὕτη ἡ νομοθετημένη. καὶ εἰ ἔστιν ἄνθρωπος ὑψηλὸς ἢ σοφὸς ἢ τῆς ἐκκλησίας ὀφφικιάλιος, λέγομεν, ἵνα πέμψῃ τὴν ὁμολογίαν αὐτοῦ ἢ τοποτηρητὴν, εἰ οὐ δύναται ἐλθεῖν, καὶ ἵνα στερίξῃ καὶ ὁμολογήσῃ ὅσα ποιήσει ἡ ἁγία σύνοδος· εἰ δ' ἀθετήσει, ὡς εἴπομεν, ἵνα μένῃ ὑπὸ κανόνα ἀφορισμοῦ· ὁμοίως λέγομεν καὶ οἱ μεγάλοι αὐθέντες καὶ ῥηγάδες καὶ δουκάδες καὶ οἱ ἕτεροι αὐθέντες, ἵνα ἔλθωσι καὶ αὐτοὶ ἀπὸ ὁρισμοῦ τοῦ πάπα καὶ τοῦ βασιλέως καὶ τῆς συνόδου, ἢ ἵνα γράψωσι καὶ αὐτοὶ ὁμοίως τὰ αὐτά. εἰ δὲ πάλιν βουληθῶσιν οἱ αὐτοὶ ῥηγάδες καὶ αὐθέντες ἐν ἑτέρῳ τόπῳ γενέσθαι τὸ κάθισμα τῆς συνόδου, τότε ἵνα σκέψωνται πάλιν τὸ κρειττότερον, εἴ τι φανῇ τῇ συνόδῳ, ἕως τοῦ διωρισμένου καιροῦ.

* ἐν ἄλλοις· τρεῖς.

* ἐν ἄλλοις· ἐλθεῖν ἐκκλησιαστικός.

Τούτου ἀναγνωσθέντος, ὥρισαν ἵνα καὶ τὸ δεκρέτον τοῦ μακαριωτάτου πάπα ἀναγνωσθῇ ἐπ' ἄμβωνος. Καὶ δὴ ἐξελέξαντο οἱ Λατῖνοι ἀπὸ τοῦ μέρους αὐτῶν τὸν ἀρχιεπίσκοπον Γραδένσιν· ἐξελέξαντο δὲ καὶ οἱ ἡμέτεροι ἀπὸ τοῦ μέρους αὐτῶν τὸν Μιτυλήνης Δωρόθεον· τούτους ἐπ' ἄμβωνα προτρέψαντες ἀναβῆναι, ἐκέλευσαν ἀναγνῶναι ἑλληνικῶς τε καὶ ῥωμαϊκῶς τῆς οἰκουμενικῆς συνόδου τὴν ἀνακήρυξιν· καὶ ἀνέγνω ταύτην ῥωμαϊκῶς πρῶτον ὁ τοῦ μέρους τῶν Ἰταλῶν ἀρχιεπίσκοπος, εἶτα ὁ τοῦ μέρους ἡμῶν μητροπολίτης, ἔχουσαν οὕτως.

Τὸ δεκρέτον τοῦ πάπα.

Εὐγένιος ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ εἰς ἀΐδιον τοῦ πράγματος μνήμην. Μεγάλα τῷ παντοδυνάμῳ Θεῷ εὐχαριστῆσαι ἡμᾶς ὡς ἀληθῶς προσήκει, ὃς τῶν παλαιῶν αὐτοῦ οἰκτιρμῶν οὐκ ἀμνημονεύων, τὴν αὐτοῦ ἐκκλησίαν γονιμωτέραις ἀεὶ προκοπαῖς προβιβάζει. ταύτην γὰρ εἰ καὶ χειμάζεσθαι τῇ τῶν πειρασμῶν τε καὶ θλίψεων ζάλῃ καὶ τρικυμίᾳ ἔσθ' ὅτε ἀφίησιν, ἀλλ' οὔποτ' ἐᾷ καταβυθίζεσθαι· κορυφουμένων δὲ τῶν κυμάτων ἀβλαβῆ αὐτὴν διατηρεῖ, παρασκευάζει τε τῇ ἀφάτῳ αὐτοῦ φιλανθρωπίᾳ ἐκείνην ἐν ταῖς πολλαῖς καὶ ποικίλαις περιστάσεσιν ἀκμάζουσαν μᾶλλον διαπαντὸς καὶ ἰσχυροτέραν φανῆναι. ἰδοὺ γὰρ οἱ ἀνατολικοὶ δῆμοι καὶ δυτικοὶ διεσχισμένοι ἔκπαλαι ἀπ' ἀλλήλων, εἰς μίαν ἑνώσεως καὶ εἰρήνης χάριν συνδραμεῖν σπεύδουσιν· οἳ δὴ τῷ σφᾶς αὐτοὺς χρονίᾳ κεχωρίσθαι διχονοίᾳ, ἤσχαλλον ὡς εἰκός· μετὰ πολλοὺς δὲ αἰῶνας, αὐτοῦ δήπου χορηγοῦντος ἐξ οὗ πᾶσα δόσις ἀγαθὴ, ἐφέσει τῆς ἁγίας ἑνώσεως εἰς τουτονὶ συνῆλθον τὸν τόπον. τῆς ἡμετέρας τοίνυν ὑπηρεσίας, ἁπάσης τε τῆς ἐκκλησίας ἔργον ἐστί τε καὶ εἶναι νοοῦμεν, τὸ πάσῃ δυνάμει πειρᾶσθαι, ὅπως τὰ οὕτως εὐτυχῆ προοίμια σπουδῇ συνεχεῖ καὶ ἀδιαλείπτῳ τήν τε προχώρησιν καὶ τὴν ἔκβασιν εὐδαίμονα δέξηται, ὡς ἂν συνεργοὶ τῆς τοῦ Θεοῦ χάριτος εἶναί τε καὶ λογίζεσθαι * ἀξιωθῶμεν. Ὁ τοίνυν ποθεινότατος ἡμῶν υἱὸς Ἰωάννης ὁ Παλαιολόγος ὁ Ῥωμαίων βασιλεὺς, ἅμα τῷ θεοσεβεστάτῳ ἀδελφῷ Ἰωσὴφ τῷ Κωνσταντινουπόλεως πατριάρχῃ καὶ

* ἐν ἄλλοις· λέγεσθαι.

τοῖς τῶν λοιπῶν πατριαρχικῶν θρόνων τοποτηρηταῖς, μεγάλῃ τε ἀρχιεπισκόπων, ἐπισκόπων, ἐκκλησιαστικῶν ἀνδρῶν, καὶ ἀρχόντων εὐγενῶν συνοδίᾳ, τῇ ὀγδόῃ τοῦ φεβρουαρίου μηνὸς τοῦ ἄρτι παρεληλυθότος, εἰς τὰς Βενετίας ἤγουν εἰς τὸν ἔσχατον λιμένα ἔφθασαν *. ἐκεῖ δὲ, ὡς πολλάκις καὶ πρὸ τοῦ ἐτύγχανε πεποιηκὼς, ἀπὸ εὐλόγων αἰτιῶν εἰς τὴν Βασιλείαν διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου συγκρότησιν μὴ δύνασθαι ἀπάγειν ἀναφανδὸν ἐδήλωσε· καὶ τοῦτο τοῖς ἐν τῇ Βασιλείᾳ διὰ γραμμάτων ἐνέφηνε, παρακελευόμενος καὶ ἐκζητῶν ἅπαντας, ὅπως εἰς τὴν Φερραρίαν, τὴν πρὸς τὴν τοιᾶσδε συνόδου συγκρότησιν ἐκλεχθεῖσαν διὰ τὴν τελείωσιν τοῦ τοιούτου ἔργου οὕτως εὐσεβοῦς μεταναστῶσιν. Ἡμεῖς οὖν οἱ τὴν ἱερωτάτην ταύτην ἕνωσιν ἐν μέσῃ καρδίᾳ ἀεὶ φέροντες, ταύτην πλείστῃ ὅσῃ σπουδῇ συντελεῖσθαι ἐφιέμενοι τὸ δεκρέτον τῆς ἐν Βασιλείᾳ συνόδου μετ' αὐτῶν τῶν Γραικῶν συμφωνηθὲν, καὶ τὴν ἐκλογὴν τοῦ τόπου ὑπὲρ τῆς ἀθροίσεως τῆς οἰκουμενικῆς συνόδου, ἐν τῇ αὐτῇ παρὰ τῶν ἐν τῇ Βασιλείᾳ συνόδῳ γενομένην, καὶ δι' ἡμῶν ὕστερον ἐν τῇ Βονωνίᾳ, ἐγκειμένων καὶ αὐτῶν τοῦ τε βασιλέως καὶ τοῦ πατριάρχου πρέσβεων, βεβαιωθεῖσαν, τά τε ἄλλα ὅσα πρὸς τοῦτο τὸ τῆς ἁγίας ἑνώσεως ἔργον συντείνουσιν, ὡς ἐκ τῆς ἡμετέρας ὑπηρεσίας ὀφείλομεν προβιβάζειν, καὶ εἰς πέρας ἀγαγεῖν προθυμούμεθα. παντὶ γοῦν τρόπῳ καὶ τύπῳ, ὡς ἔνι μάλιστα, ἀποφαίνομεν καὶ δηλοποιοῦμεν, προστεθείσης τῆς συναινέσεως τῶν εἰρημένων, βασιλέως τε καὶ πατριάρχου τῶν ὧδε παρόντων, καὶ πάντων τῶν ἐν τῇ παρούσῃ συνεληλυθότων συνόδῳ, τὴν ἱερὰν οἰκουμενικὴν σύνοδον εἶναι ἐν ταύτῃ τῇ πόλει τῆς Φερραρίας, τῇ πᾶσιν ἐλευθέρᾳ καὶ ἀσφαλεῖ, τήν τε εἰρημένην σύνοδον οὕτως ὑπὸ πάντων χρῆναι νομίζεσθαί τε καὶ ὀνομάζεσθαι· ἔνθα δίχα τινὸς ἐριστικῆς φιλονεικίας καὶ θορυβώδους φιλαυτίας ἢ ἰσχυρογνωμοσύνης, μᾶλλον μὲν οὖν μετὰ πάσης ἀγάπης τὴν ἱερὰν ταύτην τῆς ἑνώσεως πραγματείαν μεταχειρίζεσθαι, ἣν θεοῦ ὁδηγοῦντος καὶ ἵλεω γινομένου εὐτυχῶς τελεῖσθαι ἐλπίζομεν, μετὰ τῶν λοιπῶν ἁγίων ἔργων, πρὸς ἃ ἡ σύνοδος αὕτη συγκεκρότηται. Ἐδόθη ἐν τῇ Φερραρίᾳ ἀπριλλίου ἐνάτῃ, ἔτει κυριακῷ χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ὀγδόῳ.

Ὅτε δὲ ἀνέγνωσαν ταῦτα καὶ ἑτέρας γραφὰς, ἔταξαν γενέσθαι τὴν σύνοδον ἐν Φερραρίᾳ. εἶτα ἀνέστη τις ἐκ τοῦ μέρους τῶν Ἰτα-

* ἀλλαχοῦ ὥρμησαν.

λῶν, καὶ ἠρώτησε τοὺς αὐτῶν καρδιναλίους, καὶ ἀρχιερεῖς, καὶ ἐπισκόπους, καὶ ἅπαντας τοῦ κλήρου, λέγων· Στέργετε ταῦτα, ἅπερ ἐγράφησαν καὶ ἀνεγνώσθησαν σήμερον ἔμπροσθεν ὑμῶν; οἱ δὲ ἀποκριθέντες εἶπον· Στέργομεν καὶ ὁμολογοῦμεν· τότε ἠρώτησαν καὶ οἱ Γραικοὶ τοὺς αὐτῶν ἀρχιερεῖς, ὁμοίως καὶ πάντας τὸ αὐτό· καὶ εἶπον αὐτοί· Στέργομεν καὶ ὁμολογοῦμεν, καὶ ἔγραψαν τὴν ὁμολογίαν τῶν δύο μερῶν, καὶ ἐκηρύχθη ἡ σύνοδος καὶ τὸ κάθισμα ἐν χώρᾳ τῆς Φερραρίας, καθὼς ἄνωθεν εἴρηται.

Τούτων οὖν εἰρημένων καὶ γενομένων, καὶ τῶν ἀρχιερέων μικρὸν καθισάντων, ἀναστάντες ἤρξαντο πάντες δοξολογεῖν καὶ ὕμνους ἀναφέρειν τῷ Θεῷ. γενομένης οὖν τῆς εὐχῆς καὶ τοῦ ὕμνου παυσαμένου, γέγονε τελεία ἀπόλυσις. Ἀλλὰ τίς διηγήσεται, ἢ τίς δύναται ἐξηγεῖσθαι κατὰ μέρος τὰ τότε πραχθέντα λεπτομερῶς, τὰς τάξεις τῶν πατριαρχῶν, τὰς ἰσοτιμίας τῶν βασιλέων, τοῦ βορείου μέρους τὸν καλλωπισμὸν, πῶς ἐκαθέζοντο οἱ ἱερεῖς καὶ ἀρχιερεῖς, φοροῦντες πᾶσαν ἀρχιερατικὴν στολήν· τοῦ νοτίου μέρους τὴν λαμπρότητα τῶν ἀνατολικῶν ἀρχιερέων, τὰς κατὰ τάξιν καθέδρας καὶ ἀναβάθρας καὶ ὑποπόδια, τὸ πλῆθος τῶν κληρικῶν, τὸν ἀριθμὸν τῶν νοταρίων, τῶν ἀρχόντων τὴν κατάστασιν, καὶ ἁπλῶς ὅλον τὸ συνέδριον τὸ πολυπληθές; ἀλλ' ὅμως ἐλύθη ἡ σύνοδος, καὶ ἀπῆλθεν ἕκαστος ὅπου ἐβούλετο.

Παρελθουσῶν τοίνυν τῶν ἡμερῶν τοῦ πάσχα, καὶ τοῦ καιροῦ πλημμελοῦντος, ἡ ἐκκλησία τῶν Λατίνων ἐζήτει ἀεὶ, μὴ ἐν κενοῖς παρέρχεσθαι τὸν καιρὸν, ἀλλὰ συνέρχεσθαι συχνῶς τοῦ ἐξετάζειν τὰ δόγματα. ἡμεῖς δὲ ἐλέγομεν, ἄδικον εἶναι διαλέγεσθαι, μὴ παρόντων τῶν ἀρχιερέων τῶν ἐν τῇ Βασιλείας συνόδῳ συνελθόντων. Πολλῆς οὖν διωρίας γενομένης, μόλις κατενεύσαμεν διὰ θεραπείαν τινὰ τῶν πραγμάτων, ἵνα ἐξετάζωνται θατέρων αἱ δόξαι περί τε τοῦ καθαρτηρίου πυρὸς καὶ περὶ ἄλλων ζητημάτων ἐκκλησιαστικῶν. καὶ δὴ ἐποιήσαμεν ἀμφότεροι ἐκλογήν· καὶ ἐξελέξαντο οἱ Λατῖνοι ἐκ τοῦ μέρους αὐτῶν καρδινάλεις δύο, μητροπολίτας δύο, ἐπισκόπους δύο, καὶ ἱερομονάχους δύο, ἀββάδας δύο, καὶ νοταρίους δύο, ὁμοῦ δώδεκα. ἐξελεξάμεθα καὶ ἡμεῖς ἐκ τῶν πρώτων ἀρχιερέων δύο, καὶ ἀπὸ τῶν μέσων δύο, καὶ ἐκ τῶν τελευταίων δύο, καὶ ἀπὸ τῶν ἡγουμένων δύο, καὶ σταυροφόρους δύο, καὶ νοταρίους δύο,

ὁμοῦ δώδεκα· καὶ ἀπεκατεστήσαμεν τούτους διαλέγεσθαι. καὶ ἀπερχόμενοι καθ' ἑβδομάδα δύο ἡμέρας, ἐν τῷ ναῷ τοῦ ἁγίου Φραγκίσκου διελέγοντο.

Ζήτημα περὶ τοῦ καθαρτηρίου πυρός.

Τῇ οὖν τετάρτῃ τοῦ ἰουνίου μηνὸς ἐκάθισε μερικῶς ἡ σύνοδος, καὶ ἐζήτησαν οἱ Λατῖνοι περὶ τοῦ καθαρτηρίου πυρὸς, λέγοντες· ὅτι ἔστι πῦρ καθαρτήριον, ἤγουν ἐν τῷ νῦν αἰῶνι καθαρίζονται τῶν ἁμαρτωλῶν αἱ ψυχαὶ διὰ τοῦ πυρὸς τῶν ἐχόντων ἁμαρτήματα συγγνωστὰ, συνεργούσης καὶ τῆς ἐκκλησίας διὰ δεήσεως τῶν ἱερέων. ἔτι δὲ καὶ διὰ τῶν λειτουργιῶν καὶ ἐλεημοσυνῶν λυτροῦνται τῶν κολάσεων· καὶ ὅτι αἱ ψυχαὶ τῶν ἁγίων καὶ δικαίων ἐν τῷ οὐρανῷ εἰσι, καὶ ἀμέσως τῇ τριάδι παρίστανται, καὶ ὅτι ἀπολαύουσι τῶν ἀγαθῶν· τῶν δὲ ἁμαρτωλῶν καὶ ἀμετανοήτων αἱ ψυχαὶ ἐν τῷ ᾅδῃ εἰσὶ καὶ κολάζονται, ὡς ἡ τοῦ Ἰούδα ψυχή· καὶ ὅτι τρεῖς εἰσιν οἱ τόποι καὶ αἱ διαφοραὶ, ἤγουν τῶν ἁγίων αἱ ψυχαὶ ἐν τῷ οὐρανῷ, τῶν δὲ ἁμαρτωλῶν καὶ ἀμετανοήτων ἐν τῷ ᾅδῃ, ὡς τοῦ Ἰούδα· ὁ μέσος δὲ τόπος, τῶν ἐχόντων συγγνωστὰ ἁμαρτήματα, τουτέστιν οἱ ἐξομολογησάμενοι τὰ ἁμαρτήματα αὐτῶν, καὶ κοινωνήσαντες τοῦ τιμίου σώματος ἐν ὥρᾳ θανάτου, πλὴν χρεωστοῦσι κανόνα. καὶ ταῦτα ἐξεζήτησαν ἐγγράφως οἱ Ἰταλοί· καὶ ὅτι ὁ ἀπόστολος λέγει· Ἑνὸς ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· καί· Οὗτος σωθήσεται, ὡς διὰ πυρός· * καὶ πολλὰς μαρτυρίας ἁγίων ἀνέγνωσαν. καὶ ὅτι τοῦτο τὸ πῦρ τὸ καθαρτήριον ἐν τῷ ἐνεστῶτι λαμβάνουσιν οἱ Ἰταλοὶ, καὶ ὅτι καθαρίζεται ἡ ψυχὴ διὰ τοῦ πυρός· καὶ ἀπολογηθέντων τῶν Γραικῶν εἶπεν ὁ Ἐφέσου·

Ὅσα εἴπατε, καὶ τὰς μαρτυρίας τῶν ἁγίων ἃς ἀνέγνωτε, στέργει αὐτὰς ἡ ἐκκλησία τῶν Γραικῶν, καὶ ἀναγινώσκει αὐτὰς, καὶ περὶ τούτου ὀλίγη ἐστὶν ἡ διαφορά. πλὴν ἐγγράφως ἀπολογησόμεθα· καὶ δότε ἡμῖν τὴν γραφὴν, ἔφη, ἵνα ἀπολογηθῶμεν ἐν ἑκάστῳ κεφαλαίῳ, καὶ πῶς νοεῖται παρὰ τῶν Γραικῶν, καὶ τίς ἐστιν ἡ διαφορά.

* Κορ. α' 3, 13. 15.

Καὶ ἀκούσαντες οἱ Ἰταλοὶ ἐχάρησαν, καὶ ἐδόξασαν τὸν Θεὸν, καὶ ἔλαβον τὴν γραφὴν, καὶ ἀνεχώρησαν ἀπ᾽ ἀλλήλων.

Τῇ οὖν τετάρτῃ καὶ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς, συνήχθησαν πάλιν ἐν τῷ εἰρημένῳ ναῷ καὶ κλείσαντες τὰς θύρας, ἵνα μὴ συγχέωνται ὑπὸ τοῦ λαοῦ, ἐκάθισαν. καὶ δὴ ἀπελογήθησαν ἐν ἐκείνοις τοῖς κεφαλαίοις οἱ Γραικοὶ, καὶ ἦν ὁ λαλῶν Βησσαρίων ὁ μητροπολίτης Νικαίας, ἐγγράφως λύων καὶ ἑρμηνεύων τὸ καθ᾽ ἓν κεφάλαιον, ὡς οἱ ἡμέτεροι ἐξηγηταὶ καὶ διδάσκαλοι τῶν Γραικῶν ἐξηγοῦνται· Ὅτι τὸ μὲν πῦρ ἐκεῖνο, ὅπερ λέγει ὁ ἀπόστολος, ξύλα, χόρτον, καλάμην, ἑνὸς ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει *, τὰς πράξεις λέγει, καὶ τὸν βίον ὃν ἐβίωσεν ἕκαστος ἐν τῷ κόσμῳ, εἴτε πονηρὰς, εἴτε ἀγαθάς· καὶ εἴ τινος τὸ ἔργον μένει ὃ ἐποικοδόμησε, μισθὸν λήψεται· καὶ εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται. ἤγουν, τὰ μὲν ἀγαθὰ ἔργα μένουσι, καὶ οὐ κατακαίονται, οὔτε ἀφανίζονται, τὰ δὲ πονηρὰ ἔργα κατακαύσονται, ἀντὶ τοῦ ἀφανισθήσονται· αὐτὸς δὲ σωθήσεται, ὡς διὰ πυρός· σωθήσεται δὲ διὰ πυρὸς, ἤγουν, οὐκ ἀφανισθήσεται, ἀλλὰ μενεῖ ἐν τῷ πυρὶ βασανιζόμενος αἰωνίως. καὶ ὅτι τὸ πῦρ ἐκεῖνο ὃ λέγει ὁ ἀπόστολος, διὰ τὸν μέλλοντα αἰῶνα λέγει, οὐχὶ δὲ διὰ τὸν ἐνεστῶτα, καθὼς ὁ εὐαγγελιστὴς λέγει· Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· * καὶ τό· Ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβεσθήσεται *, διὰ τὸν μέλλοντα αἰῶνα μόνον νοοῦσιν οἱ Γραικοί.

* Κορ. α΄ 3, 12. 13.

* Ματθ. 25, 46.

* Μάρκ. 9, 43.

Οἱ δὲ Ἰταλοὶ καὶ ἐν τῷ νῦν αἰῶνι πῦρ ὁμολογοῦσι, καὶ καθαρισμὸν διὰ πυρὸς, καὶ ἐν τῷ μέλλοντι πῦρ ὁμολογοῦσι καὶ οὐ καθαρτικὸν, ἀλλ᾽ αἰώνιον· καὶ ἐν τῷ νῦν καθαρισμὸν λαμβάνουσιν αἱ ψυχαὶ διὰ τοῦ πυρὸς, καὶ ἀπολύονται κατὰ τὸ ἁμάρτημα ἑκάστου· ὁ μὲν ἔχων πολλὰς ἁμαρτίας, πολὺν καιρὸν καθαρίζεται καὶ ἀπολύεται, ὁ δὲ ὀλίγας, γοργότερον καὶ ἀπολύεται, συνεργούσης καὶ τῆς ἐκκλησίας ὡς προείπομεν, καὶ ὅτι πάντες διὰ πυρὸς καθαρίζονται. λαμβάνουσιν οὖν οἱ Ἰταλοὶ τοῦτο τὸ πῦρ. καὶ ἐν τῷ νῦν μερικῶς, καὶ ἐν τῷ μέλλοντι αἰωνίως· καὶ τοῦτο τὸ νῦν καθαρτήριον ὀνομάζουσιν.

Οἱ δὲ Γραικοὶ ἐν τῷ μέλλοντι μόνον νοοῦσι τὸ πῦρ, καὶ κόλασιν μερικὴν τῶν ψυχῶν, καὶ ὅτι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν πο-

ρώσονται εἰς τόπον σκοτεινὸν, εἰς τόπον λύπης, καὶ λυποῦνται μερικῶς, καὶ κολάζονται ὑστερούμενοι τοῦ θείου φωτὸς, διὰ δὲ δεήσεων καὶ λειτουργιῶν παρὰ τῶν ἱερέων, καὶ δι' ἐλεημοσυνῶν ἀποκαθαίρονται, ἤγουν λυτροῦνται τοῦ τόπου ἐκείνου τοῦ σκοτεινοῦ, καὶ τῆς θλίψεως, καὶ ἀπολύονται· οὐ μὴν δὲ καθαίρονται διὰ πυρὸς, οὐδὲ ἐνέργειαν πυρὸς ὁμολογοῦσιν οἱ Γραικοὶ κατὰ τοὺς Ἰταλοὺς, ἀλλ' ἐνεργεῖ μόνον ἡ προσευχὴ ἡ δέησις καὶ ἡ ἐλεημοσύνη.

Ἔστι δὴ μεταξὺ τούτων ἡ διαφορὰ αὕτη (Οἱ μὲν Γραικοὶ κόλασιν, καὶ λύπην, καὶ τόπον κολάσεως λέγουσι, πλὴν οὐ διὰ πυρός. οἱ δὲ Ἰταλοὶ κόλασιν καὶ καθαρισμὸν διὰ πυρός. καὶ οἱ μὲν Γραικοὶ οὐ τελείως λέγουσιν ἀπέλαβον τὰς κολάσεις, οἵτινες κολάζονται σήμερον, ἀλλ' ἀναμένουσι καὶ τὰ σώματα, ὥσπερ καὶ τῶν ἁγίων αἱ ψυχαὶ ἀπέλαβον μὲν τὰ ἀγαθὰ, ἀλλ' οὐ τελείως· τότε δὲ τελείως ἀπολαύσουσιν αὐτῶν, ἐν τῇ ἀναστάσει μετὰ τῶν σωμάτων, κατὰ τὸν ἀπόστολον λέγοντα· Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν *, ἤγουν οὐκ ἐκομίσαντο διὰ τῶν σωμάτων· ὅταν δὲ ἑνωθῶσιν αἱ ψυχαὶ τοῖς σώμασιν ἐν τῇ ἀναστάσει, τότε τελείως ἀπολαύσουσιν· οἱ δ' Ἰταλοὶ, ὅτι αἱ μὲν ψυχαὶ τῶν κολαζομένων οὐ τελείως κολάζονται λειπομένων τῶν σωμάτων, τότε γὰρ μετὰ τῶν σωμάτων κολασθήσονται αἰωνίως· αἱ δὲ τῶν ἁγίων ψυχαὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, νῦν μὲν καθὸ ψυχαὶ, τότε δὲ ἐνδυσάμεναι τὰ σώματα ἑαυτῶν αἰωνίως εὐφρανθήσονται,) οὕτω ψάλλει καὶ ἡ ἐκκλησία τῶν Γραικῶν, καὶ τῶν Ἰταλῶν ὁμοίως τοῦτο δοξάζει καὶ ὁμολογεῖ μεγαλοφώνως. τινὲς δὲ τῶν Γραικῶν καὶ τοῦτο δοξάζουσιν, ὅτι οὐκ ἀπέλαβον αἱ ψυχαὶ τῶν ἁγίων τελείως, ἀλλ' ἐν ἰδίῳ τόπῳ εἰσὶ καὶ εὐφραίνονται, ἐνθυμούμενοι ὅτι μέλλουσιν ἀπολαβεῖν τὸν τέλειον στέφανον, καὶ τελείως ἀπολαύειν τῶν ἀγαθῶν, καὶ τῆς βασιλείας τοῦ θεοῦ.

* Ἑβρ. 11, 39.

Καὶ ἀκούσαντες οἱ Ἰταλοὶ ἐζήτησαν τὴν γραφὴν τῶν Γραικῶν τοῦ ἀπολογηθῆναι αὐτοῖς ἐγγράφως, καὶ ἐδόθη αὐτοῖς.

Καὶ τῇ πέμπτῃ καὶ εἰκοστῇ τοῦ αὐτοῦ μηνὸς, πάλιν ἐκάθισαν ἐν τῷ αὐτῷ τόπῳ, καὶ πάλιν τὰ αὐτὰ εἶπον, καὶ ἔθηκαν μικρὰν διωρίαν, ἵνα ἐγγράφως δείξωσιν οἱ Ἰταλοὶ, ὅτι κόλασις καὶ πῦρ καθαρτήριόν ἐστι, καὶ διὰ τοῦ πυρὸς καθαρίζονται, συνεργούσης

καὶ τῆς ἐκκλησίας διὰ δεήσεων καὶ λειτουργιῶν, καὶ ὅτι τὸ πῦρ καὶ ἐν τῷ νῦν αἰῶνι μερικῶς ἐστι, καὶ ἐν τῷ μέλλοντι αἰωνίως.

Καὶ τῇ εἰκοστῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς πάλιν ἐκάθισαν, καὶ ἀνέγνωσαν οἱ Ἰταλοὶ πολλὰς μαρτυρίας ἁγίων, καὶ παραδείγματα, καὶ ἀποδείξεις, καὶ τοῦ ἀποστόλου τὸ ῥητόν· Οὗτος δὲ σωθήσεται,
* Κορ. α΄. 3, 15. ὡς διὰ πυρός. * καὶ ὅτι τὸ Σωθήσεται ῥῆμα σωτηρία καὶ βοήθεια καὶ λύτρωσις τῶν κακῶν καὶ ἀναψυχὴ καὶ πάντα τὰ τοιαῦτα ἐπὶ καλοῦ νοεῖται καὶ λαμβάνεται· οὐχὶ δὲ ἐπὶ κακοῦ κατὰ τὸν προ-
* Ψαλμ. 11, 2. φήτην λέγοντα· Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος· * καί· Σῶσον
* Ψαλμ. 85, 2. τὸν δοῦλόν σου ὁ Θεός μου τὸν ἐλπίζοντα ἐπὶ σέ· * καί· Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ
* Ψαλμ. 79, 20. σωθησόμεθα· * καὶ ὁ Πέτρος καταποντιζόμενος ἐν τοῖς ὕδασι πρὸς
* Ματθ. 14, 30. τὸν Χριστὸν εἴρηκε· Κύριε σῶσόν με· * καὶ ἐκπλώσας ὁ Χριστὸς τὴν χεῖρα ἐπελάβετο, καὶ ἔσωσεν αὐτόν· καί· Σῶσον ἡμᾶς, ἀπολλύ-
* Ματθ. 8, 25. μεθα· * καί· Σῶσον ὁ Θεὸς τὸν λαόν σου· * ἰδοὺ τὸ ῥῆμα τοῦτο, τὸ
* Ψαλμ. 27, 9. Σῶσον ἐπὶ καλοῦ λέγεται, οὐχὶ δὲ ἐπὶ κακοῦ· καὶ ἕτερα πολλὰ περὶ τοῦ Σῶσον ἐγγράφως ἀπέδειξαν, καὶ πρὸς τοὺς Γραικοὺς εἶπον· Ὑμεῖς δὲ οἱ Γραικοὶ τὸ Σῶσον ἐπὶ κακοῦ λαμβάνετε, λέγοντες· Οὗτος δὲ ὡς διὰ πυρὸς σωθήσεται.

Καὶ εἶπον οἱ Γραικοί· Τοῦτο ἐγγράφως ἀποδώσομεν, καὶ ἕτερα πολλὰ εἶπον· καὶ ὅτι ὁ διάβολος, καὶ οἱ σὺν αὐτῷ ἐκπεσόντες ἐκ τῆς δόξης τοῦ Θεοῦ παρὰ μικρὸν ἔλαβον σάρκα, καὶ οἱ ὄντες ἄϋλοι μερικῶς ὑλικώθησαν· διὰ τοῦτο γὰρ καὶ πρὸς τὰ ὑλικὰ σώματα τρέχουσι, καὶ ἀναπαύονται ἐν τοῖς σώμασιν, ὡς τὸ λέγον· Εἰ ἐκβάλλεις ἡμᾶς κύριε, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην
* Ματθ. 8, 31. τῶν χοίρων *, καὶ ἐπέτρεψεν αὐτοῖς, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ.

Διὰ τοῦτο καὶ ἐν σώμασιν ἀνθρωπίνοις ὀρέγονται κατοικεῖν· ἀναπαύονται γὰρ ἐν αὐτοῖς. ἰδοὺ ὡς ἐκ μέρους σαρκικοί εἰσι, καὶ μέλλουσι κολάζεσθαι, καὶ τὴν ὕλην ἣν ἔλαβον, μέλλουσι κατακαίειν ἐν πυρὶ αἰωνίως· οἱ ἄγγελοι παντοίως εἰσὶν ἄϋλοι, ὡς ἄπταιστοι, καὶ οὐδεμία ὕλη ἐστὶν ἐν αὐτοῖς.

Καὶ εἶπον οἱ Γραικοὶ καὶ περὶ τούτου ἐγγράφως ἀπολογηθῆναι· καὶ οὐκ ἤθελον φανερῶσαι τὴν δόξαν αὐτῶν τελείως οἱ Γραικοί, ἀλλὰ μόνον ποιεῖσθαι τὰς ἐρωτοαποκρίσεις ἐκπλαγίως καὶ τὰ κα-

θίσματα, εἰς τὸ βαστάζεσθαι τὴν σύνοδον, ἕως ὅτου ἔλθωσιν οἱ πρέσβεις ἀπὸ τῶν ῥηγάδων.

Ἐν δὲ τῇ δεκάτῃ ἕκτῃ τοῦ ἰουλίου μηνὸς, ἡμέρᾳ τετάρτῃ, ὥρισεν ὁ βασιλεὺς καὶ ἀπῆλθον ἅπαντες οἱ ἀρχιερεῖς εἰς τοὺς οἴκους τοῦ πατριάρχου καὶ αὐτὸς ὁ βασιλεὺς ἔφιππος, καὶ ἐκάθισαν οἱ ἀρχιερεῖς ἐπὶ πέδου, καὶ ὁ βασιλεὺς ἐπὶ θρόνου, καὶ ὁ πατριάρχης κατὰ τὴν τάξιν αὐτοῦ, καὶ ὁμιλήσαντες συμβουλευτικῶς τὰς δόξας αὐτῶν ἐσπούδασαν γνῶναι, εἴπερ οἱ ἅγιοι ἀπέλαβον τὰ ἀγαθὰ τελείως, ἢ οὐκ ἀπέλαβον· καὶ ἀνέγνωσαν πολλὰς γραφὰς τῶν ἁγίων περὶ τούτου· καὶ ὥρισεν ὁ βασιλεὺς, ἵνα γράψῃ ὁ καθεῖς τὴν δόξαν αὐτοῦ· καὶ οἱ μὲν ἔλεγον, ὅτι οὐκ ἀπέλαβον, ὡς ὁ ἀπόστολος λέγει· Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν *. * Ἑβρ. 11, 39.

Ἕτεροι δὲ ἔλεγον, ὅτι τελείως αἱ ψυχαὶ τῶν ἁγίων ἀπέλαβον τὰ ἀγαθὰ, καὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, καὶ ἀμέσως τῇ τριάδι παρίστανται· ἄλλοι πάλιν ἔλεγον· Ἐν τόπῳ εἰσὶν ἀναπαύσεως, καὶ βλέπουσι μόνον καὶ εὐφραίνονται μικρόν. ἔλαβε δὲ ὁ βασιλεὺς ἐγγράφως ἑκάστου τὴν ὁμολογίαν καὶ τὴν δόξαν, καὶ πολλὰ ἐξετάσαντες ὡμίλουν τὰ αὐτὰ, ἀπὸ πρωῒ ἕως ἕκτης ὥρας τῆς ἡμέρας, καὶ πολλὴ ἐγίνετο περὶ τούτου φιλονεικία. τέλος δὲ πάντων ὥρισεν ὁ βασιλεὺς ἐλθεῖν τῇ ἐπαύριον, καὶ πάλιν περὶ τῶν αὐτῶν εἰπεῖν. καὶ δὴ συνήχθησαν πάλιν ἰουλίου δεκάτῃ ἑβδόμῃ, καὶ περὶ τῶν αὐτῶν πολλὰ ὡμίλησαν. Ἔστησαν οὖν τοῦτο, ὅτι ἀπέλαβον καὶ οὐκ ἀπέλαβον· ἀπέλαβον μὲν τελείως αἱ ψυχαὶ καθὸ ψυχαὶ, μέλλουσι δὲ ἀπολαβεῖν καὶ τελειότερον ἐν τῇ ἀναστάσει μετὰ τῶν σωμάτων τῶν ἰδίων, καὶ τότε λάμψουσιν ὡς ὁ ἥλιος, ἢ καὶ ὡς τὸ φῶς, ὅπερ ἔλαμψεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ ὄρει Θαβωρίῳ.

Τούτων οὖν οὕτω λεγομένων, ἡμεῖς ἐκδεχόμεθα τὰ γένη τῶν Λατίνων, καὶ τὴν ἀπὸ τοῦ πάπα διῃρημένην σύνοδον ἐν τῇ Βασιλείᾳ. τῆς διωρίας δὲ παρερχομένης, οὐδεὶς τῶν παρ' ἐκείνοις ἐρχόμενος ἐγνωρίζετο. Ἄλλη δὲ πληγὴ καὶ ἄλλο κακὸν ἡμῖν ἐπεπήδησεν· τί τὸ κακόν; λοιμὸς θανάτου ἐπέπεσε τὴν Φεῤῥαρίαν, καὶ βουβῶνες καὶ ἄωροι θάνατοι ἔθλιβον αὐτήν· ἡμεῖς δὲ τῷ φόβῳ

τοῦ θανάτου καὶ τῇ δειλίᾳ συνεχόμενοι, φρενῆται σχεδὸν γεγόναμεν, καὶ ἐλυπούμεθα σφόδρα διὰ τὴν ἀργίαν τοῦ καιροῦ, καὶ ἐκλυδωνιζόμεθα διὰ τὴν τοῦ θανάτου ἀπειλήν· καὶ τὸ δεινότερον, ὅτι νόσῳ τρυχωθεὶς, καὶ λάβρῳ πυρετῷ κατασχεθεὶς ὁ Σάρδεων ἐκεῖνος κύρις Διονύσιος, τοποτηρητὴς ὢν τοῦ Ἱεροσολύμων, ἀπέθανε, καὶ ἐτάφη παρ' ἡμῶν λαμπρῶς. τοῦτο εὐ μικρῶς ἡμᾶς ἐφέβησεν, ἀλλ' ὅμως θεοῦ εὐδοκίᾳ μόνος ἐκεῖνος ἀντὶ πάντων ἡμῶν * ἀπῆλθεν εἰς τὰς αἰωνίους μονὰς, ἡμεῖς δὲ τῷ φόβῳ συνεπαχθέντες ἐστενάζομεν.

* ἐν ἄλλῳ· ἡμῶν ἕως τοῦ νῦν.

Τούτων οὕτω γενομένων, ἡ διωρία τῶν τεσσάρων μηνῶν παρῆλθε, καὶ οὔτε οἱ ἐν τῇ Βασιλείᾳ ἦλθον, οὔτε ἄλλος τις τῶν Ἰταλῶν. μὴ ἐχόντων δὲ πῶς ἄλλως ποιῆσαι, ἠνάγκαζεν ἡμᾶς αὐτὸ τὸ πρᾶγμα ἐνεργεῖσθαι τὴν σύνοδον τοῦ διαλέγεσθαι καὶ χωρὶς τῆς παρουσίας τῶν συνοδικῶν. ἔλεγε γὰρ ὁ πάπας, ἔνθα εἰμὶ ἐγὼ μετὰ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου, ἐκεῖ ἐστιν ἡ σύνοδος ἅπασα τῶν Χριστιανῶν· καὶ μάλιστα ὅτι πάρεισιν οἱ πατριάρχαι πάντες, καὶ οἱ καρδινάλεις ἡμῶν. Ἡμεῖς δὲ τῶν πλειόνων τὴν ψῆφον καὶ γνώμην φοβούμενοι ἐδειλιῶμεν, μήπως αἱ πλείους * ψῆφοι κατισχύσωσι κατὰ τὸν νόμον τῶν ψήφων· ἀλλὰ καὶ τοῦτο ἐλύθη παρ' αὐτῶν. Καὶ οὕτω γνώμῃ κοινῇ ἠρξάμεθα διαλέγεσθαι, καὶ ἐξετάζειν περὶ τῶν δύο ὑποθέσεων, εἰ ἔξεστι προσθεῖναι τῷ συμβόλῳ, καὶ εἰ τὸ προστεθὲν εὐσεβές ἐστι.

* ἐν ἄλλῳ· πλείως.

Τῶν ἐν τῇ Φερραρίᾳ συνελθόντων πατέρων.

ΣΥΝΕΛΕΥΣΙΣ Α.

Μηνὶ ὀκτωβρίῳ, ὀγδόῃ, ἰνδικτιῶνος δευτέρας, ἤρξατο διαλέγεσθαι ἡ οἰκουμενικὴ σύνοδος, καὶ τετάρτῃ ἡμέρᾳ τῆς ἑβδομάδος ἐγένετο ἡ συνέλευσις οὐκ ἐν τῇ ἐπισκοπῇ, ἔνθα ἡ οἰκουμενικὴ σύνοδος ἀνεκηρύχθη, ἀλλ' ἐν τῷ παλατίῳ τοῦ πάπα, ἐν τῷ ναῷ τοῦ παλατίου, διὰ τὸ εἶναι αὐτὸν ἀσθενῆ· ποδαλγία γὰρ κατεῖχεν αὐτὸν, καὶ οὐκ ἠδύνατο τὰς συνελεύσεις ποιεῖν ἐν τῇ ἐπισκοπῇ, καίτοιγε τοῦ ναοῦ τῆς ἐπισκοπῆς εὐρυχώρου ὄντος, καὶ προκατεσκευασμένου πρὸς τὸ γίνεσθαι ἀεὶ ἐκεῖ τὰς συνελεύσεις· ἀλλ' οὐκ

εγένετο εκεῖσε καθὼς ἔφημεν, ἀλλ' ἐν τῷ ναῷ τοῦ παλατίου, τάξεως τῶν θρόνων τεθείσης, καὶ τοῦ βορείου μέρους τοῖς Λατίνοις δοθέντος, καθὼς προσετέτακτο *. * ἐν ἄλλῳ· προετέτακτο.

Προκαθίσαντος τοίνυν τοῦ πάπα, καὶ τοῦ θρόνου τοῦ βασιλέως τῶν Ἀλαμανῶν κενοῦ ὡς εἰρήκαμεν ὄντος, ὁ γὰρ βασιλεὺς οὐ παρῆν, ἐκάθισαν οἱ καρδινάλεις κάτωθεν πρὸς δυσμάς· καὶ μετ' αὐτοὺς οἱ ἀρχιεπίσκοποι καὶ ἐπίσκοποι καὶ οἱ ἡγούμενοι, ἅπαντες κατὰ τὴν τάξιν αὐτῶν· ἄνωθεν δὲ τοῦ πάπα πρὸς τὸ θυσιαστήριον, ἐκαθέζοντο οὐ μετὰ θρόνων καὶ σοπεδίων, ἀλλ' ἐν τῷ πατώματι νοτάριοί τε καὶ πριμικήριοι, καὶ τῶν ἀξιωματικῶν τινες. ἔμπροσθεν δὲ τοῦ πάπα, καὶ ἐν τοῖς ὑποποδίοις αὐτοῦ, καὶ ἔμπροσθεν τοῦ βασιλικοῦ θρόνου, ἐκαθέζοντο καβαλλάριοί τε καὶ μαρκέσιοι, κόντοι καὶ δουκάδες, καὶ οἱ τοποτηρηταὶ τῶν κουμμουνίων, τῆς ἀριστοκρατίας καὶ τῶν δημοκρατιῶν. οἱ δὲ τοῦ ἡμετέρου γένους οἱ Γραικοὶ, τὸ νότιον μέρος καθὼς ἀνωτέρω ἔφημεν, παρέλαβον. προκαθίσαντος τοῦ βασιλέως, ἐκάθισε καὶ ὁ πατριάρχης μετριώτερα * τοῦ πάπα, ὅτι κατ' ἀντικρὺ αὐτοῦ ἐκαθέζετο ὁ βασιλεὺς, καὶ ἦν ἄρα κατ' ἀνάγκην καθέζεσθαι τὸν πατριάρχην ὡσεὶ σπιθαμὰς τέσσαρας κάτωθεν· ἀλλ' ὁ θρόνος αὐτοῦ, εἰ καὶ οὐχ ὑπῆρχεν ὑψηλὸς ὥσπερ ἐκείνου, ἀλλ' ἐνδεδυμένος ἦν καὶ αὐτὸς κοκκίνῳ, καὶ μετὰ ὑποποδίου κοκκίνου, κατὰ πάντα ὅμοιος τῷ τοῦ πάπα. εἶτα ἐκάθισαν οἱ τοποτηρηταὶ τῶν πατριαρχῶν ἐπὶ τοὺς θρόνους αὐτῶν, καὶ μετ' αὐτοὺς οἱ μητροπολῖται κατὰ τὴν τάξιν αὐτῶν, εἶτα οἱ ἡγούμενοι. ἐν ἄλλῳ δὲ σκάμνῳ κατ' ἀντικρὺ τοῦ πατριάρχου ἐκάθισαν οἱ σταυροφόροι, καὶ μετ' αὐτῶν τῶν ἐκκρίτων τινές. ἄνωθεν δὲ τοῦ βασιλέως πρὸς τὸ σκευοφυλάκιον ἐκάθισεν ἐν σοπεδίῳ ὁ τοῦ βασιλέως ἀδελφὸς κύρις Δημήτριος, εἶτα οἱ ἄρχοντες οὐκ ἐν σοπεδίοις, ἀλλ' ἐν τῷ πατώματι· σὺν αὐτοῖς δὲ καὶ οἱ τοποτηρηταὶ τῶν αὐθεντῶν τῆς ἀνατολῆς.

* ἐν ἄλλῳ· εἴς τι μικρὸν μετρ.

Μέσον δὲ τοῦ ναοῦ πρὸς μὲν τὸ θυσιαστήριον, ἐκάθισαν οἱ διαλεγόμενοι τῶν Λατίνων, τὸν ἀριθμὸν ἕξ, βλέποντες πρὸς δυσμάς· ἀπὸ δὲ τοῦ δυτικοῦ μέρους ἐκάθισαν οἱ ἕτεροι ἓξ τῶν Γραικῶν, βλέποντες κατ' ἀνατολὰς πρὸς τοὺς διαλεγομένους. ἐπάνω δὲ τοῦ θυσιαστηρίου προὔκειτο τὸ ἅγιον εὐαγγέλιον ἀνεπτυγμένον, καὶ ἐξ ἑκατέρων τῶν μερῶν αὐτοῦ, αἱ στῆλαι τῶν ἁγίων ἀπο-

στόλων Πέτρου καὶ Παύλου, μετὰ λαμπάδων ἑκατέρωθεν τριῶν. ὑπῆρχον δὲ οἱ ἐκλεγέντες παρ' ἡμῶν, ὁ μητροπολίτης Ἐφέσου κύρις Μάρκος· ὁ Ῥωσίας κύρις Ἰσίδωρος· ὁ Νικαίας κύρις Βησσαρίων· ὁ μέγας σκευοφύλαξ ὁ Ξανθόπουλος ὁ λεγόμενος Σιδεροφάς· * ὁ μέγας Χαρτοφύλαξ κύρις Μιχαὴλ ὁ Βαλσαμὼν, καὶ ὁ κύρις Γεώργιος ὁ Γεμιστός. οἱ δὲ τῶν Λατίνων ὑπῆρχον, καρδινάλεις δύο· ὁ τοῦ ἁγίου ἀγγέλου Ἰουλιανὸς ὁ Καισαρῖνος, καὶ ὁ τοῦ ἁγίου Σταυροῦ Νικόλαος ὁ Ἀλβεργάτος, καρδινάλις Φιρμάνος· ἀρχιεπίσκοποι δύο, ὁ Ῥόδου Ἀνδρέας, καὶ ὁ Φορολιβιένσις * ἐπίσκοπος Ἰωάννης· καὶ δύο διδάσκαλοι τῆς θεολογίας, ἱερομόναχοι, ἄνδρες σοφοί. Τούτων ἀντικρὺ καθισάντων, ἐφιλοτιμήθη ἡμῖν ἡ ἔναρξις τῆς διαλέξεως.

* ἐν ἄλλῳ· Σιδεροφώς.

* ἐν ἄλλῳ· Φρουλιένσης.

Προτραπεὶς οὖν ὁ Νικαίας καὶ δημηγορήσας, ἐγκωμίοις ἐτίμησε τὴν σύνοδον, καὶ ἐμακάρισε τοὺς ἐξάρχους αὐτῆς ὅσον τὸ ἱκανόν· τῶν γὰρ ἐγκωμίων ὁ ὄγκος, καὶ ἡ τοῦ λόγου φορὰ, καὶ ἡ εὐπορία τοῦ ἐγκωμιαστοῦ ἐπλάτυνε τὸν λόγον ἐπὶ πολύ. [λαβὼν οὖν οὗτος τὸ ἐνδόσιμον παρὰ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου, ἀναστὰς καὶ βαλὼν μετάνοιαν ἤρξατο λέγειν οὕτως *.]

* ἐν ἄλλῳ· εἶχε δὲ ὁ λόγος οὕτως.

Ὁ ΝΙΚΑΙΑΣ ΒΗΣΣΑΡΙΩΝ. Τῶν μεγάλων πραγμάτων οὐ τὰ τέλη μόνον χωρήσαντα κατ' ἐλπίδας εὐφραίνοιεν ἂν τοὺς πονουμένους περὶ αὐτὰ, ἀλλ' οὐδὲν ἧττον καὶ αἱ ἀρχαὶ ἐπιστᾶσαι· τὴν γάρ τοι ἀρχὴν καὶ ἐπὶ πάντων μὲν ἴσως τῶν ἄλλων πολύ τι δύνασθαι ἀναγκαῖον, εἴπερ ἥμισυ τοῦ παντὸς ὑπὸ πάντων κοινῇ τῶν σοφῶν ὠνομάσθη· καὶ ῥᾷον ἀρξαμένους ἐφικέσθαι τοῦ τέλους, ἢ ταύτης τὸ σύνολον ἅψασθαι τῇ ῥαστώνῃ χαριζομένους· μάλιστα δ' ἐπὶ τοῦ παρόντος ἡμῖν ἔργου τοῦ θείου καὶ μέγα τι δύνασθαι ἐλπιστέον, καὶ χρηστὸν ὑποτείνουσαν τέλος αὐτὴν νομιστέον. τὸ μὲν τῇ θείᾳ πεποιθόσιν ἐπαγγελίᾳ διδούσῃ θαῤῥεῖν, ἐν μέσῳ ἡμῶν σχήσειν ἐσόμενον τὸν θεὸν, οὗ παρόντος οὐδὲν ὅλως ἀνέλπιστον, τὸ δὲ καὶ μέγα τεκμήριον τῶν ἐσομένων τὸ γενόμενον ποιουμένοις. τὸ γὰρ τοσοῦτον ἤδη χρόνον τὰ τῆς ἐκκλησίας μέλη ἀπ' ἀλλήλων διεῤῥωγότα μηδ' ἀνέχεσθαι συνελθεῖν, ἀλλὰ καὶ πρὸς μόνην ἴσως τὴν ἀκοὴν δυσχεραίνειν, καὶ μένειν τὸ οἰκεῖον ἀγαπῶντα κακόν· νῦν δὲ τοσαύτην ἀμφοῖν τοῖν μεροῖν προθυμίαν ἐγγενέσθαι, ὥστε πολλῶν ὄντων κωλυμάτων, πάνθ' ὅμως ἐν δευτέρῳ θεμένους μόνου γενέσθαι τοῦ συντείνοντος πρὸς τὴν ἕνωσιν, πῶς οὐκ ἄν τις ἐπιγρά-

ψειν τῇ θείᾳ δυνάμει, καὶ ἀκολούθως παντὸς ἀγαθοῦ θεῖον τεκμήριον; ἡμέρα τοίνυν εὐφροσύνης ἡ σήμερον, καὶ πάρεστι σκιρτᾷν ἀγαλλομένους τῷ πνεύματι· λαμπρὰ λαμπρῶν τῶν τελῶν τὰ προοίμια, μεγάλαι μεγάλων καρπῶν ἀπαρχαί· τὰ μηχανήματα τοῦ ἐχθροῦ, καὶ ὃν καθ' ἡμῶν συνέρραψε δόλον, ἐκπολεμοῦντα ἀλλήλοις τοὺς φίλους καὶ ἀδελφοὺς, μᾶλλον δὲ τὰ τῆς αὐτῆς κεφαλῆς μέλη καὶ μέρη, καὶ τοῦ αὐτοῦ ποιμένος τὸ ποίμνιον, ὑποῤῥεῖν ἄρχεται, καὶ διαῤῥεῖν τε καὶ λύεσθαι. καὶ δὴ πρὸς μὲν ἕνωσιν σπεύδει τὰ διεστῶτα, τὰ δὲ διεῤῥωγότα πρὸς σύνδεσμον, ὑπὸ τὴν αὐτὴν ἀμφότεροι γωνίαν συνέχεσθαι παντὸς μᾶλλον καὶ βουλόμενοι καὶ εὐχόμενοι. συνεληλύθασι γὰρ ἄμφω μετὰ τοῦ ἴσου σκοποῦ καὶ τῆς αὐτῆς προθυμίας, τῷ μὲν νικᾷν ἢ νικᾶσθαι ζητεῖν ἐκ παντὸς οὐδεμίαν ἀπονέμοντες χώραν· εἴη γὰρ ἂν οὐ μαθητῶν τοῦτο Χριστοῦ καὶ σωφρόνων ἀνδρῶν, ἀλλά τινων ἐριστικῶν, καὶ πάντα σφίσιν αὐτοῖς χαριζομένων καὶ ταῖς ἰδίαις ὀρέξεσι· τὴν δ' ἀλήθειαν ἀνευρεῖν * προθυμούμενοι μόνον, καὶ μετὰ μὲν ταύτης ἀγαπῶντες καὶ τὸ νικᾶσθαι, ταύτης δὲ ἄνευ καὶ τὸ νικᾷν ἀπωθούμενοι. ὥστε τὴν μὲν ἀλήθειαν ἀναγκαῖον ἤδη παῤῥησιασθῆναι, καὶ πάντων κρατήσασαν περιγενέσθαι μὲν τῶν ἄλλως ἐνοχλούντων αὐτῇ, ταῖς δ' ἁπάντων ἐνοικισθῆναι ψυχαῖς· τὸ δὲ ψεῦδος ἐλαθῆναί ποι μακρὰν, τὴν μετὰ τῶν τοῦ ψεύδους ἐκγόνων εἰληχὸς χώραν, κἀκείνων κρατῆσον οἳ περὶ πλείονος τὸν τοῦ ψεύδους πατέρα ποιοῦνται, ὑπ' ἐκείνῳ ἡγεμόνι τοῦ βίου πάντα ποιοῦντες καὶ λέγοντες. Τί τις ἂν εἴποι τοῦ παρόντος ἀντάξιον; τί τις ἂν ἕτερον τῶν φθασάντων εἰς ἴσον θεῖτο τοῖς ἐνεστῶσι; πάντα τὰ πρότερον ἀποκρύπτεται τοῖς παροῦσι, λείπεται πάντα κατόπιν, πάντα δεύτερα τῶν νυνὶ γινομένων, πάντες κροτήσωμεν, πάντες εὐφρανθῶμεν τῷ πνεύματι, πᾶσιν ὁ τοῦ σωτῆρος ὕμνος μελέτω, τὸ μὲν χάριτας ὁμολογοῦσιν αὐτῷ τῶν ἐς δεῦρο, τὸ δὲ καὶ τὸ τέλος εὐχομένοις ἰδεῖν τοῖς προοιμίοις συμβαῖνον, οὐ μὴν ἀλλὰ καὶ συνεισφερέτω ἡμῶν ἕκαστος πάντα τὰ κατὰ δύναμιν, καὶ ὅσα πρὸς τὸ τέλος ἐποίσουσι. καὶ τὴν ἐπὶ καλῷ καὶ συνοίσοντι ἱερὰν τῶν Χριστιανῶν ἕνωσιν. πάντων ἁπτέον, πᾶσιν ἐγχειριστέον μηδὲν ἐκλελοιπότας, μὴ σπουδῆς, μὴ προθυμίας, μὴ ἀγώνων, μὴ πόνων· μεμνημένους ὅτι οὐκ εὔχεσθαι μόνον δέον, ἀλλὰ καὶ αὐτοὺς ὑπηρετεῖν τῷ θεῷ· οὐδὲ πάντα ἐλπιστέον

* ἐν ἄλλῳ ἐρευνᾶν.

παρὰ τοῦ κρείττονος, μηδὲν αὐτοὺς πονουμένους. εἴη γὰρ ἂν τοῦτό γε ἐναντίον οἷς δεόμεθα, εἰ συλλήπτορα μὲν αὐτὸν σχήσειν εὐχοίμεθα, ἡμεῖς δὲ μηδὲν ἡμῶν αὐτῶν ἔργον παρασχοίμεθα ἄξιον λόγου, ᾧ καὶ συλλήψαιτο· οὕτω γὰρ ἂν αὐτόν τε μᾶλλον ἕξομεν ἡμῖν συλλαμβανόμενον, ῥᾷόν τε πρὸς τὸ τέλος καὶ εὐοδώτερον ἀφιξόμεθα.

Ὁ καὶ γένοιτο θεὲ σῶτερ ἐπιστάντας τῇ ἡμέρᾳ ἐκείνῃ κροτῆσαί σοι τὸ ἐπινίκιον καὶ χαρμόσυνον, ὑφ' ἑνὶ μὲν ὑπηχουμένους καὶ τῷ αὐτῷ πνεύματι, ταὐτὸ δὲ μέλος ἀποδιδόντας, καὶ τὴν αὐτὴν ἡρμοσμένους ἁρμονίαν, ὑπὸ σοὶ μιᾷ καὶ τῇ αὐτῇ κεφαλῇ καὶ ζῆν, καὶ κινεῖσθαι, καὶ πνεῖν, ταὐτὸ φρονοῦντας, ταὐτὸ φθεγγομένους, ἀλλήλοις ὄντας ταὐτό. Χριστὲ βασιλεῦ, ἵνα ἐφ' ἡμᾶς βασιλέα καὶ τὸν αὐτὸν σὲ καὶ θέλομεν καὶ εὐχόμεθα, οὗ τῷ τιμίῳ ἐξηγοράσθημεν αἵματι, ὃς λύτρον ἀνθ' ἡμῶν πεπραμένων ὑπὸ τὴν ἁμαρτίαν σαυτὸν ἔδωκας ὃς ἡμᾶς κατεχομένους ὑπὸ τοῦ τυράννου ἀφήρπασας. ἓν οὖν καὶ ἡμᾶς αὐτὸς ἄμφω σαυτῷ ποίμνιον ἔργασαι, μὴ ἀνέχου διῃρημένων τῶν σῶν, μηδὲ πρόει πολεμοῦντας ἀλλήλοις· μᾶλλον δὲ μὴ θατέρους μὲν πρόει, ἀντιποιοῦ δὲ θατέρων· ὑπὲρ ἑκατέρων προῆκας σαυτὸν, τὸ τίμιον αἷμά σου τὸ χυθὲν ἀμφοῖν ἐγεγόνει λουτήριον· κοινὴν οὖν ἡμῖν καὶ τὴν παρὰ σαυτοῦ ῥοπὴν τανῦν χάρισαι, κοινῶς ἀμφοτέροις προσθέμενος, καὶ πρὸς αὐτὸν ἑλκύσας ἡμᾶς ἀμφοτέρους, πρὸς ἓν μὲν καὶ τὸ αὐτὸ τέλος τάξας σαυτὸν, ἐν ἀναλογίᾳ δὲ ἀλλήλους ἡμᾶς καὶ σχέσει τῇ πρὸς ἀλλήλους, μὴ συγχωρήσας ἀπαρτεῖς ἀλλήλων εἶναι καὶ διεστῶτας, κἀντεῦθεν ἐξ ἀνάγκης καὶ τοῦ τέλους ἀποτυγχάνοντας πάντως γε τοὺς ἑτέρους.

Τὸ Πνεῦμα τὸ ἅγιον, ἡ τῶν χαρισμάτων πηγὴ πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα φόβου θεοῦ, ὑπὲρ οὗ καὶ μεθ' οὗ ὁ προκείμενος ταῖς ἐκκλησίαις ἀγὼν, ἀπελάσαις μὲν ἀφ' ἡμῶν πάντα λογισμὸν ὑπερήφανον, φόβον δὲ θεοῦ ταῖς ἡμετέραις ἁπάντων ἐνθείης ψυχαῖς, σύνεσίν τε καὶ σοφίαν ἡμῖν χαρισάμενον, καὶ μεθ' ἡμῶν ἅμα πάντων τὸν ὑπὲρ σαυτοῦ διενεγκόντων ἀγῶνα, ἀναφήναις τὴν ἀλήθειαν ἅπασιν, ἅτε μὴ τῆς ἀληθείας ὂν μόνον καὶ καλούμενον πνεῦμα, ἀλλὰ καὶ πᾶσαν ἡμῖν τὴν ἀλήθειαν ἀναγγέλλειν. ἔργον πεποιημένον, κατὰ τὴν τῆς ἀληθείας φωνὴν τὴν ἀληθῆ τε καὶ ἀπαράγραπτον.

Ὁ Θεὸς ἡ Τριὰς, ἡ πάντα μὲν παραγαγοῦσα λόγοις ἀῤῥήτοις, πάντα δὲ συνέχουσα, καὶ προνοουμένη, καὶ κυβερνῶσα, τὸν ἄνθρωπος ἔργον, μετὰ πάντα μὲν ἴσως τὰ ἄλλα, πρὸ πάντων δὲ ὅμως τῶν ὁρομένων ὑπάρξας, ἐξαίρετον καὶ τοῦτο σχὼν καὶ βασιλικὸν οἶμαι, ἐφ' ἑτοίμοις καὶ προκειμένοις τοῖς ἀγαθοῖς εἰσελθεῖν εἰς τὸν βίον. τούτου πολλάκις μὲν ἡ μᾶλλον ἀεὶ σωματικὰ δὴ ταῦτα καὶ συντείνοντα τῇ παρούσῃ ζωῇ προνοῇ, οὐχ ἧττον δὲ καὶ ὅσα εἰς τὴν ψυχῆς κατάστασιν ἀφορᾷ καὶ βελτίωσιν· ἧς ἴδιον ἀγαθὸν ἡ ἀλήθεια καὶ τὸ μὴ πλανᾶσθαι περὶ τὰ καίρια, ὡς τοῦτο ὂν, ὧν ἔχομέν τε καὶ ἕξομεν, τὸ ἄριστον καὶ θειότατον τοῦτο δὴ καὶ νῦν ἡμῖν πρυτανεύσαις, χορηγήσας συνεῖναί τε αὐτὴν, καὶ ἀναφανεῖσαν ἀσπάσασθαι. συγγνοὺς μὲν εἴ τι αὐτῆς ἁμαρτάνομεν οὐχ ἑκόντες, καὶ μάλιστα ἐν τοῖς περὶ σαυτοῦ λόγοις, ὃς οὐκ αὐτὸς μόνον ἀνεξιχνίαστός τε καὶ ἀνεξερεύνητος [ὑπάρχεις *], ἀλλὰ καὶ τῶν σῶν δημιουργημάτων τούτων τὰ πλείονα, καί τοι ἀμυδρὰ ὄντα τῆς σῆς θείας εἰκόνος ἀπηχήματα, καὶ οἷον σκιαί τε καὶ εἴδωλα· ἐπινεύσαις δὲ δεομένοις, καὶ τῆς εἰς σὲ φερούσης τὸν μόνον ἀληθινὸν Θεὸν ἡγούμενος ἑπομένοις· καὶ ὥσπερ αὐτὸς τρία ταῖς ὑποστάσεσιν ὢν εἴτε προσώποις, μίαν καὶ τὴν αὐτὴν σώζεις οὐσίαν καὶ φύσιν, οὐδὲν τῇ ταυτότητι ταύτῃ προσισταμένου τοῦ ἀριθμοῦ τῶν προσώπων, οὕτως ἡμᾶς, πολλοὺς μὲν ὄντας καὶ διαφόρων γενῶν, ἤδη δὲ τοῦ ἐχθροῦ ὑποσπείραντος, οἴμοι, καὶ δόξης καὶ πίστεως, ταύτην μὲν ἀνέλοις τὴν διαφορὰν, ἓν δὲ καὶ ταὐτὸν ἐσομένους ἀποδείξαις τῇ πίστει καὶ τῇ δόξῃ τῇ περὶ σοῦ οὐδενὸς πρὸς τὸ ἓν εἶναι καὶ ταὐτὰ φρονεῖν περὶ σοῦ προσισταμένου, οὐ τῆς τῶν γενῶν ἑτερότητος, οὐ τοῦ τῶν σωμάτων ἀριθμοῦ τε καὶ πλήθους ἀλλὰ ταῦτα μὲν ἡμῖν ηὔχθω.

* τὰ παρεντεθειμένα λείπει ἔν τισιν ἀντιγράφοις.

Ὑμεῖς δὲ τί φατε, οἱ τὴν ἱερὰν ταύτην σύνοδον συγκροτοῦντες; οἱ τοῦ πράγματος ἡγεμόνες. οἱ πολλὰ μὲν ἠγωνισμένοι, πολλὰ δὲ καὶ πολλάκις εὐξάμενοι ταύτην ἰδεῖν τὴν ἡμέραν ὡς ἤδη καὶ τῶν μελλόντων ἐσομένην προάγγελον; τὴν αὐτὴν καὶ ἀρχὴν τῶν πραγμάτων, καὶ τοῦ τέλους κήρυκα διαπρύσιον; τίς ἀξίως ὑμᾶς μακαρίσει; τίς δ' εὐφημήσει δεόντως, ἤδη τῶν πόνων ὑμῶν ὁρῶντας τοὺς καρποὺς ἀναθάλλοντας; Μακαριώτατε πάτερ, νῦν ὄντως ὑπάρχεις μακάριος, καὶ ἔτι μᾶλλον ἔσῃ, ἐπειδὰν Θεοῦ ἡγουμένου εἰς

τέλος καταντήσωμεν, οἷ ἂν ἐκεῖνος ἡμῖν ἡγήσαιτο. πολλά σοι παρὰ θεοῦ κείσεται ἆθλα τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν ἐνώσαντι. μέγα ἔσῃ πεποιηκὼς ἔργον, εἰ διαγένοιο μέχρι τέλους ἐγκαρτερῶν, καὶ πάντα μὲν ἐξαίρων ἐκ μέσου τὰ σκάνδαλα, εἰρήνην δὲ καὶ ὁμόνοιαν ἀντεισάγων· πολὺν ἔθου ζῆλον, πολλὴν μέριμναν, μεγάλην ἀγρυπνίαν τε καὶ φροντίδα, συναγαγεῖν μὲν τὰ τοῦ Χριστοῦ πάντοθεν τέκνα, συνδιασκεψαμένους δ' ἀλλήλοις ἀδελφικῶς τε καὶ πνευματικῶς συνελθεῖν εἰς ταὐτὸ περιγενομένης τῆς ἀληθείας. οὐδεὶς ἄλλως ἐρεῖ, πάντες ἴσασιν, ἐγώ σοι καὶ πάντες μάρτυρες τούτου. ἀλλὰ δεῖ καὶ πρὸς τὸ τέλος ἀποσκοποῦντα, πάντα πρὸς ἐκεῖνο καὶ τάξαι καὶ πρᾶξαι προμηθούμενον, ὅπως ἂν ἣν ἐν ἀρχαῖς εὐφροσύνην καρπούμεθα, καθ' ὁδὸν αὐξανομένη τε καὶ προβαίνουσα πολλαπλασιασθῇ που περὶ τὰ τέλη, καὶ εἰς τὸν ἔσχατον ἀφίκοιτο ὅρον. εἰ λαμπραὶ αἱ ἀρχαὶ, καὶ τοιαῦτά γε τα προοίμια, λόγισαι ποῖον ἔσται τὸ τέλος συμβαῖνον τοιαύταις ἀρχαῖς. πόσου δὲ τεύξεται μακαρισμοῦ καὶ ἐπαίνων, ὅσης εὐφημίας, ὅσων στεφάνων, ὃς καὶ τοσαύτας μὲν προκατεβάλετο φθάσας ἀφορμὰς τῶν πραγμάτων, τοσαῦτα δ' ἔτι καταβαλεῖται;

Ἔχεις ἐνταῦθα συλληψόμενόν τε καὶ ἑψόμενον, ἐφ' οἷς ἅπασι δέον, τὸν υἱόν τε καὶ βασιλέα τὸν εὐσεβέστατον καὶ γαληνότατον καὶ φιλόχριστον· ὃς πολλῶν ὄντων οἷς κεκόσμηκεν ἑαυτὸν ἀγαθοῖς, ἐξαίρετον ἔχει τὸν περὶ θεοῦ καὶ τοῦ καλοῦ ζῆλον καὶ τὸν ὑπὲρ τῆς εὐσεβείας ἀγῶνα· ὃς ἡλικιῶτιν ἔχων τὴν ἱερὰν ταύτην τῆς ἁγίας τῶν ἐκκλησιῶν ἑνώσεως ἔφεσιν, οὐ διελίμπανε σπουδῇ μὲν ἀνερευνῶν τοὺς καιροὺς, οἳ πρὸς τοῦτο συνοίσουσι, σοφίᾳ δὲ γνοὺς καὶ εὑρὼν καὶ φανέντα ἁρπάσας, καὶ ἐς τόδε δὴ τὸ ὁρώμενον προαγαγὼν τὰ τοῦ πράγματος· ὃς πρὸς ἓν τοῦτο τὸ ἀγαθὸν ἀποβλέπων, καὶ ταύτης ὅλος γεγονὼς τῆς ἐφέσεως, κατεφρόνησε μὲν κινδύνων, ὑπερεῖδε δὲ τρυφῆς καὶ ἀνέσεως, κατεφρόνησε δὲ τοσούτου πελάγους τε καὶ κυμάτων ἴσα κορυφουμένων καὶ ὄρεσι, προήκατο δέ γε ζωήν τε καὶ βίον καὶ αὐτὴν τὴν πατρίδα ὑπὲρ τοῦ γενέσθαι συνεργὸς τῷ θεῷ καὶ τῇ ἐκκλησίᾳ πρυτανεῦσαι εἰρήνην, ἧς οὐ τρόφιμος μόνον, ἀλλὰ καὶ πρόβολος εἶναι καὶ σπουδάζει καὶ ἐπηγγείλατο.

Οὐκ ἀπολειφθήσεται τῆς ἴσης σοι προθυμίας οὐδ' ὁ ἱερὸς καὶ σεβάσμιος πατριάρχης, ὁ γῆρας μὲν ὑποφαίνων βαθὺ, καὶ κεκμη-

κὼς ἤδη τῷ σώματι, ψυχὴν δὲ πλουτῶν νεάζουσαν τοῖς καλοῖς καὶ τῷ πνεύματι ζέουσαν, καὶ πολλὰ μὲν ἐφιεμένην, πολλὰ δ' εὐχομένην ἀξιωθῆναι ὑπουργῆσαι τῷδε τῷ ἔργῳ, καὶ διὰ τοῦτ' ἴσως χαίρουσαν τοῖς παροῦσι, καὶ ἐνασμενίζουσαν τῷ σώματι ἵνα τέλος ἐπενέγκοι τῷ θείῳ τούτῳ ἔργῳ χρηστὸν, ὡς ἄνευ γε τούτου καὶ πάνυ ἂν ἀχθεσθησομένην τῷ σκήνει ὡς ἤδη καμόντι. πάντες σοι συλλήψονται τοῦ σκοποῦ καὶ τοῦ παρόντος ἀγῶνος· οὐδεὶς ἄλλο τι μᾶλλον ἐπιθυμεῖ τοῦ ἐφετοῦ τούτου τέλους· πρὸς τοῦτο βλέπομεν πάντες· ἐκείνου πάντων τὰς ψυχὰς ἔρως ἀναφλέγει σφοδρός· διὰ τοῦτο μακρόθεν πάντες συνήλθομεν· διὰ τοῦτο ἐπ' ἀλλοδαπῆς διατρίβομεν, ἄνθρωποι οἱ μὲν ἐκ μέσης αὐτῆς τῆς Ἑλλάδος, οἱ δ' ἐκ βορειοτάτων τε καὶ ἀνατολικωτάτων τῆς οἰκουμένης πεπλευκότες εἰς Ἰταλίαν αὐτήν.

Μὴ δὴ τοσούτων σπουδῆς ὁ ἐχθρὸς περιγένοιτο, μὴ θεὲ σῶτερ, μὴ καταλύσειε τὴν τοσαύτην ἡμῶν τοσούτων γε ὄντων, οὕτω μεμεριμνημένην, οὕτω πολυετῆ, οὕτω πολλοῖς πόνοις καὶ πολλῇ σπουδῇ κατορθωθεῖσαν συνέλευσιν. οὐ πρὸς ἀνδρῶν τοῦτο * σοφῶν τε καὶ θείων, οὐδὲ τοὺς λόγους εὐθύνειν εἰδότων ἐν κρίσει. * ἄλλοις ὁ ἐχθρὸς ἐπεμβαινέτω, ἄλλοις ἐπιχαιρέτω νικῶν, ἡμῶν δὲ μὴ προσάψαιτο. τοῖς πνευματικοῖς ὅπλοις ἡμᾶς αὐτοὺς καθοπλίσωμεν ἀντιστησόμενοι τῷ πολεμίῳ, ἀναλαβώμεθα θώρακα δικαιοσύνης καὶ περικεφαλαίαν τοῦ πνεύματος, καὶ τοῦ θεοῦ ῥήματος ἡμῖν ἡγουμένου ἐπίωμεν κατὰ τῶν πολεμούντων, καταπαύσωμεν δὲ οἷ ἂν ἡμῖν αὐτὸ ὑφηγοῖτο, καθαιροῦντες πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς τοῦ θεοῦ δόξης *, πάντα λογισμὸν ὑπερήφανον καὶ κενόδοξον. ταπεινώσει δὲ καὶ φόβῳ θεοῦ χρώμενοι συνεργῷ πρὸς τοὺς ἄθλους, κἀκεῖνον πρὸ ὀφθαλμῶν θέμενοι, καὶ πρὸς ἐκεῖνον ἐπειγόμενοι φθάσαι· ἔστιν οὗ καὶ νικᾶσθαι καλῶς μᾶλλον ἐθέλοντες, ἢ νικᾶν ἐν πᾶσι κακῶς· ἅτε δὴ μὴ τοῦ περιγίνεσθαι μόνον, ὅταν μεθ' ἑαυτοῦ τ' ἀληθὲς ἔχῃ, τὸν ἀγαθοῦ σώζοντος λόγον, ἀλλ' οὐδὲν ἧττον καὶ τοῦ ἡττᾶσθαι καλῶς ταὐτὸ τοῦ καλοῦ σώζοντος μέτρον, καὶ ἐν ἴσῳ τοῦ κρατεῖν κρινομένου. καί τοι φαίη τις ἂν ἴσως· καὶ μεῖζον ἀγαθὸν εἶναι τοῦτο τοῦ προτέρου, ὥσπερ λυσιτελέστερον τῷ παντὶ, αὐτὸν ἀγαθόν τι παθεῖν, ἢ ἄλλον ποιῆσαι· καὶ μᾶλλον ἀκοῦσαι, ἢ φάναι ἑτέροις. καὶ πλάνης ἀπαλλαγῆναι, ἢ ἀπαλλάξαι.

* ἐν ἄλλῳ· τοῦτο παθεῖν.

* Ψαλμ. 111, 5.

* Κορ. β' 10, 5.

Κράτιστε βασιλεῦ, ἐπ' αὐτῆς τῆς ἀκμῆς ἥκει τὰ πράγματα, καὶ ὃν ἐκ μακροῦ χρόνου ἐπόθεις, ἐπέστη. λοιπὸν δὸς δόξαν τῷ Θεῷ, αἶνον ἀπόδος αὐτῷ· ἐκείνου τοῦτ' ἔργον, ἐκεῖνος γάρ σοι κατὰ νοῦν τοῦτ' ἐνέθηκε τὸν τοσοῦτον ἐνεὶς ἔρωτα· ἐκείνου καὶ συλλαβομένου ἐς τόδε ἀφίκετο. εἰ δὴ τὴν μὲν ἀξίαν αὐτῷ χάριν περὶ τῶν φθασάντων εἰσόμεθα, περὶ δὲ τῶν μελλόντων πάσῃ ψυχῇ δεησόμεθα, ἄξια δράσομεν καὶ ἡμῶν αὐτῶν καὶ τοῦ ἔργου τοῦ προκειμένου· καὶ μᾶλλον ἱλεωσόμεθα ἀξίους ἡμᾶς αὐτοὺς τῶν εὐγμένων δεικνῦντες, οἷς τε περὶ τὰ φθάσαντα οὐκ ἀγνωμονήσομεν, οἷς τε ἡμᾶς αὐτοὺς καὶ τοῦ ἔργου τὸ πᾶν εἰς αὐτὸν ἀναθήσομεν, πάσας ἡμῶν ἐπ' αὐτὸν ἐπιῤῥίπτοντες τὰς ἐλπίδας τε καὶ μερίμνας, ὡς αὐτοῦ ὄντος τοῦ ἡμᾶς διαθρέψοντος τροφὴν τὴν θείαν τε καὶ οὐράνιον, ἧς ἄνευ οὐ ζήσεται ἄνθρωπος. ὥσπερ δὲ διατετέλεκας μέχρι τοῦ νῦν, τὸ μέν τι εὐχόμενος τῷ Θεῷ καὶ τῆς αὐτοῦ συμμαχίας δεόμενος, τὸ δέ τι πράττων καὶ αὐτὸς τὰ εἰκότα, οὕτω καὶ τὸ ἀπὸ τοῦδε πολλῷ μᾶλλον, ὅσῳ φθάνομεν πρὸς τὸ τέλος, προθυμότερός τε σαυτοῦ φάνηθι, καὶ τὸ μέν τι ἐπικαλοῦ τὸν Θεὸν, τὸ δέ τι καὶ αὐτὸς πράττε, μὴ νύκτωρ μὴ μεθ' ἡμέραν παυόμενος, ἕως ἂν εἰς ἀγαθὸν καταντήσειας τέλος, καὶ τοῖς λογισμοῖς εὕροις ἀνάπαυσιν. τὰ βίᾳ ποι φερόμενα, καὶ ὅσα τὸ ἐνδόσιμον τῆς κινήσεως εἰλήχασιν ἔξωθεν σχολαιότερον φέρεται περὶ τὸ τέλος γενόμενα· ὅσα δὲ φύσει καὶ οἴκοθεν, ταῦτά γε θᾶττον κινεῖται πλησιάζοντα πρὸς τὸ τέλος. καὶ σὺ δὲ περὶ τἀγαθὰ, ὧν κεφάλαιον ἡ παροῦσα ὑπόθεσις, οἴκοθεν καὶ ὥσπερ φύσει κεκινημένος, μὴ τὸ πρότερον πάθῃς, ἀλλὰ θᾶττον τυχεῖν ἐφιέμενος τοῦ οἰκείου σοι τέλους· οἰκεῖον γὰρ τἀγαθῷ τὸ χρηστὸν ἐπὶ τοῖς ἀγαθοῖς τέλος σαυτόν τε καὶ ἡμᾶς πάντας ποίει προθυμοτέρους, παρακελευόμενός τε καὶ ἐπικελευόμενος ἅπασι· καὶ τὸν μακαριώτατον δὲ πατέρα, εἴ τι τῷ γήρᾳ κάμοι, ἐνδιδοὺς καὶ τῷ χρόνῳ καὶ τοῖς νοσήμασιν, ὑπομίμνησκε καὶ διανίστα τὸ μὲν λόγοις προτρεπτηρίοις, τὸ δ' ἔργοις αὐτοῖς σαυτὸν ἐνεργὸν παρεχόμενος· πάντως αἰδέσεται βασιλέα προτρέποντα, καὶ τῶν πραγμάτων ἐπιμελέστερον ἀνθαψάμενος σύν τε τῷ θειοτάτῳ ἡμῶν καὶ ἱερῷ πατριάρχῃ, τοῖς τ' αἰδεσιμωτάτοις τῆς ἁγίας Ῥωμαίων ἐκκλησίας λογάσι, καὶ πᾶσι τοῖς ἄλλοις, τέλος ἀγαθὸν ἐπιθήσουσιν ὑφ' ἡγεμόνι Θεῷ. ὁ γέ-

νοιτο πάντας ἰδόντας ἡμᾶς, καὶ τῆς τελειοτέρας ἀπολαύσαντας εὐφροσύνης, καὶ πνευματικῆς ἐμφορηθέντας χαρᾶς, καθαρώτερον ἐπί τε τὸν τοῦ μακαριωτάτου πατρὸς αἶνον, καὶ τὴν τῆς ἁγίας σου βασιλείας εὐφημίαν διαναστῆναι, ἀγαμένους τε καὶ κροτήσαντας τὰ εἰκότα καὶ τὸν ἁγιώτατον πατριάρχην, καὶ τὸν ἱερὸν τοῦτον καὶ ἅγιον σύλλογον ἅπαντα, μετὰ τὸν τῷ Θεῷ ὀφειλόμενον ὕμνον, κοινὸν καὶ ὑμῖν τὸν ἀπὸ τῶν λόγων πλέξαντας στέφανον.

Δοίητε δή μοι τοῦτον τελευταῖον ἀγῶνα, κοινὴν ὑμῖν εὐφημίαν κροτῆσαι· τιμήσαιτέ με τούτῳ τῷ πόνῳ· κάμοιμι τοῦτον τελευταῖον τὸν ἆθλον, ὑφ᾽ ἵνα καὶ τὸν αὐτὸν Θεὸν Λόγον ἐν πᾶσι τετελεκότας δεσπότην, ἑνὶ καὶ ταὐτῷ λόγῳ ὑμᾶς κοσμῆσαι κοινῇ, τὰ δυνατὰ τῶν ὀφειλομένων ὑμῖν ἀπονείμαντα ἐν Χριστῷ τῷ Θεῷ, ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας.

Τούτων οὕτω παρὰ τοῦ Νικαίας εἰρημένων, ἐβράδυνεν ὁ καιρὸς, καὶ ἡ ἡμέρα πρὸς ἑσπέραν ἔληξεν· ἑσπέρας δὲ γενομένης ἐλύθη ἡ σύνοδος, ταμιευσάντων * τῷ σαββάτῳ πάλιν αὐτήν.

* ἐν ἄλλῳ· ταμιεύσαντες.

Ὀκτωβρίου μηνὸς ἐνδεκάτῃ τῷ σαββάτῳ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Β.

Τοῦ σαββάτου τοίνυν ἐνστάντος *, καὶ τῆς τάξεως γενομένης, ὁ ἀπὸ τῶν ἐκλελεγμένων Λατίνων ὁ Ῥόδου Ἀνδρέας, κατὰ πάντα μιμηθεὶς τὸν Νικαίας, ἐγκωμίασε καὶ αὐτὸς τόν τε πάπαν καὶ τὸν βασιλέα, καὶ τὸν πατριάρχην, καὶ τὴν σύνοδον ἐμακάρισεν ὡς εἰκός· καὶ φιλοτιμηθεὶς ἐδημηγόρησεν οὕτως, ἕως οὗ ἑσπέρα ἐγένετο. καὶ οὕτως ἐλύθη ἡ σύνοδος, τῇ ἐπελευσομένῃ τρίτῃ διαλαλησάντων * πάλιν αὐτήν. Μέσον δὲ τῶν ἡμερῶν τούτων ζήτησις γέγονε, τίς ἄρα ἄρξεται τῆς διαλέξεως, καὶ τίς ὁ τρόπος τῆς προχωρήσεως καὶ πόθεν ἄρξεται ὁ διάλογος, καὶ ἡ κατὰ πεῦσιν καὶ ἀπόκρισιν γενήσεται, ἢ ἀποτάδην καὶ ὁλοκλήρως τῶν ἑκατέρων μερῶν· καὶ ἀνεφάνη καλὸν, λόγῳ διαλεκτικῷ γενέσθαι τὸν λόγον ἀμφοῖν. καὶ δὴ ἡμῖν ἐδόθη πάλιν ἡ ἔναρξις τῆς διαλέξεως καὶ ὁ λόγος.

* ἐν ἄλλῳ· ἐλθόντος.

* ἐν ἄλλῳ· διαλαλήσαντες.

Ὀκτωβρίου τετάρτῃ καὶ δεκάτῃ, ἡμέρᾳ τρίτῃ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Γ.

Τῇ οὖν ἄνωθεν εἰρημένῃ ἡμέρᾳ συνήλθομεν ἅπαντες * ἐν τῷ προῤῥηθέντι ναῷ καὶ εἰθισμένῳ· καθισάντων δὲ πάλιν πάντων κατὰ τὴν τάξιν, ὁ Ἐφέσου μητροπολίτης κύρις Μάρκος ἤρξατο τὸν διάλογον οὕτως *.

* ἅπαντες, λείπει ἐν ἄλλοις.

* ἐν ἄλλοις· διάλογον. σύνοδος γ΄, ἀρχὴ τῆς διαλέξεως, ὀκτωβρίου ἡμέρᾳ δ΄, ἰνδ. β΄, πρᾶξις α΄, ἐν Φεραρίᾳ.

Ὁ ἘΦΕΣΟΥ ΜΑΡΚΟΣ. Ἐπειδὴ συνήλθομεν τῇ χάριτι καὶ εὐδοκίᾳ τοῦ παντοδυνάμου Θεοῦ, τὴν αὐτὴν σπουδὴν καὶ προθυμίαν ἔχοντες εἰς τὸ θεῖον ἔργον τοῦτο τῆς εἰρήνης· καὶ ἑνώσεως τῶν ἐκκλησιῶν, ὀφείλει ἡ ἀγάπη αὕτη τηρεῖσθαι καὶ ἐν ταῖς διαλέξεσιν ἐξ ἀρχῆς μέχρι τέλους διὰ πασῶν τῶν ζητήσεων γνησίως καὶ καθαρῶς. καὶ ἐὰν συμβῇ προενεχθῆναι ῥῆμα σκληρότερον δοκοῦν ἢ τραχύτερον, τοῦτο μὲν λογιστέον τῇ διαφορᾷ τῶν λόγων καὶ τῶν δογμάτων, τηρητέον δὲ τὴν ἀγάπην ἐν τοῖς προσώποις ἀσάλευτον, ὥσπερ εἴρηται. γνωρίζομεν τοίνυν τῇ ὑμετέρᾳ αἰδεσιμότητι, ὅτι ποιησόμεθα τοὺς λόγους περὶ τῆς ἐν τῷ συμβόλῳ γενομένης προσθήκης, ὅτι μὴ δεόντως ἐγένετο, μηδὲ ἐξῆν ὅλως γενέσθαι· αὕτη γὰρ ἐγένετο καταρχὰς αἰτία τοῦ σχίσματος. εἰ μὲν οὖν δίδωσιν ὁ καιρὸς, διαλεξόμεθα νῦν περὶ ταύτης τῆς ὑποθέσεως· εἰ δὲ μὴ, πρὸς ἑτέραν συνέλευσιν τοὺς λόγους ἀναβαλοῦμεθα. τοῦτο δὲ νομίζομεν καὶ ἐν πάσαις ὀφείλειν ταῖς συνελεύσεσι γίνεσθαι, ἵνα προεγνωσμένον ὑπάρχῃ, περὶ οὗ μέλλομεν ἐν τῇ ἑξῆς συνελεύσει διαλεχθήσεσθαι.

Ὁ δὲ φρὰ Ἀνδρέας [ὁ Κολασσαεύς] ἐπαναλαβὼν τὰ εἰρημένα, καὶ κατὰ μέρος ἐκθέμενος εἶπεν ὅτι,

Ὁ ῬΟΔΟΥ ἈΝΔΡΕΑΣ. Καὶ ἡμεῖς τὴν αὐτὴν ἀγάπην ἀξιοῦμεν ὑμᾶς ἔχειν, καὶ τηρεῖν πρὸς ἡμᾶς ἐν τοῖς λόγοις αὐτοῖς, τὸν Χριστὸν προβαλλομένους· καὶ ἐάν τι ῥῆμα σκληρότερον γένηται, λογισθήτω τῇ ὕλῃ τῆς διαλέξεως, οὐ τοῖς διαλεγομένοις προσώποις.

Ἔτι ἀξιοῦμεν ὑμᾶς, ἐν ἑκάστῳ ζητήματι πρὸς τὰς ἡμετέρας ἐρωτήσεις, τὰς ἀποκρίσεις ποιεῖσθαι καθαρῶς καὶ τελείως, καὶ μὴ ὁμωνύμοις λέξεσι χρῆσθαι ἢ ἀσαφέσι· πρὸς ὃ δὲ ἐρωτᾶτε, τίνος

χάριν ἡ 'Ρωμαϊκὴ ἐκκλησία τὴν τοιαύτην προσθήκην ἐποίησε, καὶ τὴν αἰτίαν τοῦ σχίσματος ἔδωκε, βούλομαι νῦν ποιήσασθαι ἀπολογίαν παρ' ἐμαυτοῦ, καὶ μὴ κομίσητε ταύτην τελείαν· σκεψάμενος γὰρ μετὰ τῶν ἁγίων τούτων πατέρων, ἀκριβέστερον ἐν ἄλλοις ἀπολογήσομαι.

Ὁ ΈΦΗΣΟΥ. Ἡμεῖς οὔτε ἀπολογίας ἔτι δεόμεθα, οὐδὲ γὰρ εἴπομεν ἃ ἐβουλόμεθα πρὸς τὴν προκειμένην ὑπόθεσιν, οὔτε πολλῷ μᾶλλον τῆς σῆς, καὶ ἣν οἴκοθεν αὐτὸς [ποιήσῃ]. ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι. καὶ μετὰ τῶν λοιπῶν πατέρων σκεψάμενος, συνοδικῶς ἀπολογήσῃ, καθάπερ εἶπες.

Ὁ ῬΟΔΟΥ. Ἐγὼ εἶπον, ὅτι ἅπερ ἀπολογήσομαι νῦν, μὴ δέξησθε ὡς τελείαν ἀπολογίαν· ἀλλ' ἐπειδὴ τόν τε προκαθήμενον τοῦ θρόνου τούτου μακαριώτατον πατέρα, καὶ τοὺς παραγενομένους ἐνταῦθα, τόν τε γαληνότατον βασιλέα, καὶ τὸν ἁγιώτατον πατριάρχην, καὶ τοὺς λοιποὺς τούτους πατέρας, οἷς ἔχομεν χρὴ δεξιώσασθαι, καὶ μὴ νήστεις αὐτοὺς ἀπολῦσαι, νῦν ἐροῦμεν ὅσα δίδωσιν ὁ καιρὸς, μετὰ δὲ ταῦτα σκεψάμενοι πλατύτερον ἀπολογησόμεθα.

Ὁ ΈΦΕΣΟΥ. Ἐπειδὴ ἡμεῖς ἀπαιτοῦμεν τὸν τῆς προσθήκης λόγον, εἰ ὡς ἐν δικαστηρίῳ [δικαζόμενοι] πρὸς ἀλλήλους ἦμεν, εἴχομεν ἂν ἐναγόντων τόπον, διὰ τοῦτο ἐζητήσαμεν, ἐὰν ὁ καιρὸς συγχωρῇ, λαβεῖν ἄδειαν πρότερον εἰπεῖν τὰ ἐγκλήματα ἃ ἔχομεν, καὶ τότε τὰς ἀπολογίας δεξόμεθα.

Ὁ ῬΟΔΟΥ. Καὶ ὁ Λατῖνος αὖθις· Ἐπειδὴ ἱκανῶς ἀπελογησάμεθα πρὸς τοὺς πρώτους λόγους, εἰπὲ λοιπὸν ὅσα βούλει, καὶ ἡμεῖς ἐφ' ἑκάστοις ἀπολογησόμεθα.

Ὁ Ἐφέσου λαβὼν τὸ ἐνδόσιμον παρὰ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ἤρξατο οὕτως.

Ὁ ΈΦΕΣΟΥ. Ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐρχόμενος ἐπὶ τὸ ἴδιον πάθος, ἐν τῇ τελευταίᾳ προσφωνήσει πρὸς τοὺς αὐτοῦ μαθητὰς, ἣν καὶ διαθήκην ὀνομάζομεν προσηκόντως, εἴρηκε πρὸς αὐτούς· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· * τοῦτο μὲν οὖν τὸ ἀγαθὸν τῆς εἰρήνης, ὥσπερ τι λεγάτον καὶ κληρονομίαν αὐτοῖς ἐγκατέλιπε, καὶ ἔστι τοῦτο δῶρον αὐτοῦ καὶ ἴδιον αὐτοῦ· οὕτω καὶ γάρ φησιν· Εἰρήνην τὴν ἐμήν· ἀπήτησε δὲ * Ἰω. 14, 27.

ἀντ' αὐτοῦ παρ' αὐτῶν ἄλλο τι, ὅπερ ἐστὶ μᾶλλον καρπὸς τῆς αὐτῶν προαιρέσεως ἢ δῶρον αὐτοῦ, τὸ δέ ἐστιν ἡ ἀγάπη. οὐ γὰρ ἁπλῶς κατέλιπεν αὐτοῖς τὴν κληρονομίαν, ἀλλ' ἐπὶ αἱρέσει· ἦσαν γὰρ διαθῆκαί τινες καὶ κληρονομίαι κατὰ τοὺς παλαιοὺς νόμους, ἐπὶ αἱρέσει λεγόμεναι, τουτέστιν, ὅτι ἐὰν ὁ κληρονομῶν ἕληται τόνδε τὸν βίον ἢ τήνδε τὴν πρᾶξιν, ἵνα κληρονομῇ· εἰ δὲ μὴ, ἵνα ὑπάρχῃ ἀπόκληρος. τοιαύτην κληρονομίαν κατέλιπε τοῖς μαθηταῖς ὁ σωτὴρ [ἐν τῇ αὐτοῦ διαθήκῃ], μονονουχὶ πρὸς αὐτοὺς λέγων· Ἐὰν φυλάξητε τὴν πρὸς ἀλλήλους ἀγάπην, ἕξετε τὴν ἐμὴν εἰρήνην. ἀμελοῦντες δὲ τῆς ἀγάπης, καὶ ταύτην ζημιωθήσεσθε. διὰ τὰ δύο ταῦτα καλὰ, τοὺς πολλοὺς ἐκείνους καὶ καλοὺς ὁ κύριος πεποίηται λόγους, ποτὲ μὲν λέγων· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγα-
* Ἰω. 15, 17. πᾶτε ἀλλήλους· * ποτὲ δέ· Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰ-
* Ἰω. 16, 33. ρήνην ἔχητε *. Τούτων τὸ ἓν, ὡς ἔοικε, παριδοῦσα, [καὶ ἐν δευτέρῳ θεμένη] ἡ Ῥωμαϊκὴ ἐκκλησία, λέγω δὴ τὴν ἀγάπην, ἣν ὤφειλεν ἐπιδείκνυσθαι πρὸς τὴν ἀδελφὴν αὐτῆς τὴν τῆς ἀνατολῆς ἐκκλησίαν, ἐκύρωσε καὶ προήνεγκε δόγμα καθ' ἑαυτὴν, οὔτε παρὰ τῇ θείᾳ γραφῇ ῥητῶς κείμενον, οὔτε ταῖς οἰκουμενικαῖς ἐγνωσμένον συνόδοις, οὔτε παρὰ τοῖς ἐκκρίτοις τῶν πατέρων ἡμῶν δεδοκιμασμένον· ὃ καὶ γέγονεν αἴτιον τοῦ τὴν εἰρήνην λυθῆναι, καὶ ἐλθεῖν τὰ σκάνδαλα κατὰ τὸν κυριακὸν λόγον. Ἐπειδὴ τοίνυν διὰ τῆς ἐκφωνήσεως ταύτης ἡ ἀγάπη λυθεῖσα συνδιέλυσε τὴν εἰρήνην, καὶ ἀπὸ τούτου τὸ σχίσμα παρηκολούθησε, νῦν δὲ εὐδοκίᾳ τοῦ θεοῦ, βουληθεῖσα ἡ Ῥωμαϊκὴ ἐκκλησία τὴν εἰρήνην ἀνακαλέσασθαι, διὰ τῆς ἀγάπης ἤρξατο τοῦτο ποιεῖν, καὶ αὖθις ἡ ἡμετέρα ἐκκλησία μετὰ τῆς αὐτῆς ἀγάπης προσέδραμεν, ἐλπίς ἐστι μέχρι τέλους, τοῦ θεοῦ συνεργοῦντος, ἐπακολουθήσειν καὶ τὴν εἰρήνην καὶ τὰ σκάνδαλα ἐκ μέσου γενήσεσθαι, καὶ καθάπερ ἐπὶ τῶν νοσημάτων, λυθέντων τῶν αἰτίων ἐπενεχθήσεσθαι τὴν διόρθωσιν· οὕτως καὶ γὰρ κἀκεῖ τῆς ἰάσεως τρόπος ἄριστος. Ζητοῦμεν τοίνυν καὶ παρακαλοῦμεν εἰς ἐκεῖνον ἐπανελθεῖν τὸν καιρὸν, καθ' ὃν ἡνωμένοι ὄντες τὸ αὐτὸ πάντες ἐλέγομεν, καὶ οὐκ ἦν ἐν ἡμῖν σχίσμα, καὶ ὥσπερ ἀνεκαλεσάμεθα τὴν τότε παραλειφθεῖσαν ἀγάπην, οὕτω καὶ τῷ φρονήματι πρός τε ἡμᾶς αὐτοὺς ἑνωθῆναι, καὶ πρὸς τοὺς πατέρας ἡμῶν, τοὺς ἐν ταῖς οἰκουμενικαῖς συνόδοις ταῖς ἑπτὰ δια-

λάμψαντας. Καὶ πρῶτον μὲν ἀναγνωσθήτωσαν οἱ ὅροι τῶν ἁγίων ἐκείνων πατέρων, εἰ μὴ νῦν ὁ καιρὸς κωλύει, ἵνα δείξωμεν ἑαυτοὺς συμφωνοῦντας καὶ ἑπομένους ἐκείνοις, οὐ τῇ τάξει μόνον, ἀλλὰ καὶ τοῖς φρονήμασιν. οὕτω γὰρ ἔσται καὶ ἡ σύνοδος αὕτη ταῖς προηγησαμέναις ἐκείναις * ἀκόλουθος, τῇ τε πρώτῃ, καὶ δευτέρᾳ, καὶ ταῖς ἑξῆς. τοῦτο δὲ ἀναγκαῖον εἶναι νομίζομεν, οὐ διὰ τὰ προειρημένα μόνον, καὶ ἵνα προεγνωσμένον ὑπάρχῃ τῶν πατέρων τὸ φρόνημα, ἀλλ' ἵνα καὶ διὰ τῶν εὐχῶν ἐκείνων εἰς τὸ προκείμενον ἔργον εὐοδωθῶμεν, καὶ ὥσπερ ἐπὶ θεμελίῳ, τοῖς ἐκείνων λόγοις τοὺς ἡμετέρους ἐποικοδομήσωμεν.

* ἐκείναις, λείπει ἐν ἄλλῳ.

Ο ΡΟΔΟΥ. Πατέρες αἰδεσιμώτατοι, ἀρκούντως ἔγνωμεν ὅσα ἐρρήθησαν ὑμῖν. πέντε δέ τινα εἴπατε πρὸς ἡμᾶς. καὶ πρῶτον μὲν σοφώτατα διελέξω, πάτερ Ἐφέσου, περὶ τοῦ λόγου τοῦ δεσπότου Χριστοῦ, ὅτι ἀφῆκε τὴν εἰρήνην τοῖς αὐτοῦ μαθηταῖς, καὶ ὅτι ἀντὶ ταύτης εἰσφέρεται παρ' ἡμῶν ἡ ἀγάπη, καὶ διὰ ταύτης ἡ εἰρήνη συνέχεται. Δεύτερον, ὅτι, ἐπειδὴ ἡ Ῥωμαϊκὴ ἐκκλησία παρέβλεψε τὴν ἀγάπην, συνέβη τὸ προοίμιον τοῦτο λυθῆναι τῆς εἰρήνης, ὅπερ ἐλάβομεν παρὰ τοῦ Χριστοῦ. Τρίτον, ὅτι διὰ τὴν αἰτίαν ταύτην ἡ Ῥωμαϊκὴ ἐκκλησία ἀνακαλουμένη τὴν τότε παραλειφθεῖσαν ἀγάπην, ἐζήτησε μετὰ σπουδῆς, ἵνα ἔλθητε ἐνταῦθα, καὶ μετὰ τῆς αὐτῆς ἀγάπης ἴδωμεν καὶ ἐξετάσωμεν τὰς μεταξὺ ἡμῶν τε καὶ ὑμῶν διαφοράς. Τέταρτον, ὅτι ἀδύνατον ἐπανακαλέσασθαι τὴν εἰρήνην, ἐὰν μὴ λυθῇ τὸ τοῦ σχίσματος αἴτιον· ὥσπερ καὶ ἐπὶ τῶν νοσημάτων, οὐ δύναται ἡ ὑγεία ἀνακληθῆναι μὴ διαλυθείσης τῆς αἰτίας τοῦ νοσήματος. Πέμπτον, ὅτι ἐπειδὴ ὀφείλομεν τηρεῖν τὰ ἀξιώματα τῶν πατέρων, ἵνα ἡ σύνοδος αὕτη ταῖς προηγησαμέναις ἐκείναις ἀκόλουθος φανῇ, δέον ἐστὶ πρὸ παντὸς ἄλλου τοὺς ὅρους τῶν οἰκουμενικῶν συνόδων ἀναγνωσθῆναι, καὶ τότε μέλλετε εἰπεῖν τὰς δικαιολογίας, ἃς ἔχετε πρὸς τὴν παροῦσαν ὑπόθεσιν. Ἐπεὶ οὖν τὰ ζητήματα ταῦτα καὶ ἀναγκαῖα περὶ τὴν πίστιν εἰσὶ, καὶ πολλῶν δεόμενα λόγων, σκεψάμενοι μὲν εἰς τὴν ἐπιοῦσαν συνέλευσιν ἀπολογησόμεθα τελειότερον, καὶ νῦν δὲ λέγομεν ἀπὸ μέρους ὅσα δίδωσιν ὁ καιρός. Πρῶτον μὲν πρὸς τὸ πρῶτον, ὅτι ἡ ἀγάπη παρ' ἡμῖν ἐστι πεπηγυῖα καὶ ἀδιάλυτος, οὐκ ἀγνοεῖτε καὶ ὑμεῖς, ὡς νομίζομεν· αὕτη γὰρ ἀπὸ τοῦ Χριστοῦ λαβοῦσα τὰς ἀφορμὰς, ἐπειδὴ

αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς, ὃ καὶ θαυμάζομεν πῶς οὐδεμίαν ἐποιήσασθε περὶ τούτου μνήμην, ἄχρι τοῦ νῦν τηρεῖται ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ πρός τε αὐτὸν ἐκεῖνον τὸν χορηγὸν τῆς ἀγάπης, ὅς ἐστι καὶ τὸ κυριώτατον αὐτῆς ἀντικείμενον, καὶ παρ' ἡμῶν πρὸς ἀλλήλους. Πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐν ὅσῳ ἐτηρεῖτο ἡ ἀγάπη παρὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἔμενε καὶ ἡ εἰρήνη καὶ ἡ ἕνωσις· θαυμάζω πῶς ἐπελάθου, ὅτι ἡ Ῥωμαϊκὴ ἐκκλησία τοσαύτην ἀεὶ πρόνοιαν ἐποιήσατο καὶ ποιεῖται εἰς τὴν ἀνατολικὴν ἐκκλησίαν, ὅτι οὐδέποτε διανέστη κλύδων αἱρέσεως οἱασοῦν ἐν ἐκείνοις τοῖς μέρεσιν, ἔνθα μὴ βεβοήθηκεν ἅπασι τρόποις αὕτη ἡ ἐκκλησία καὶ δι' ἐπιστολῶν οἰκείων, καὶ διὰ τοποτηρητῶν, καὶ δι' ὅσων ἄλλων ἐγχωροῦν ἦν. μέμνησθε γὰρ ὅτι ἐν μὲν τῇ ἐν Νικαίᾳ συνόδῳ παρῆν ὁ Σίλβεστρος, καὶ ἐν ταῖς ἄλλαις συνόδοις παρῆσαν εἰ καὶ μὴ δι' ἑαυτῶν, ἀλλὰ διὰ τοποτηρητῶν. θαυμαστὸν δὲ οὐδὲν, εἰ συνέπραττον καὶ βασιλεῖς τοῖς κατὰ καιροὺς προεστῶσι τῆς Ῥωμαϊκῆς ἐκκλησίας. δῆλον δὲ καὶ τοῦτό ἐστι πᾶσιν, ὅτι ἀφ' οὗ διελύθη ὁ τῆς ἀγάπης δεσμὸς, οὐ διέλιπον οἱ ἄκροι ἀρχιερεῖς, πέμποντες ἀεὶ πρὸς τοὺς βασιλεῖς καὶ πρὸς τοὺς ἀνατολικοὺς πάντας, ἵνα ὑπακούσαντες πρὸς εἰρήνην ἔλθωσι. παρακαλῶ οὖν ἵνα ἀταράχως ἀκούσητε τῶν λεγομένων, εἰ καὶ σκληρὰ δόξειαν. Εἰ οὐκ ἐτηρήθη παρ' ἡμῶν ἡ εἰρήνη, πότε ἐζητήσατε ταύτην ὑμεῖς τὴν εἰρήνην; πότε τὴν ἀγάπην, ἣν προβάλλεσθε ὅτι διελύθη παρ' ἡμῶν; πότε ἐστείλατε περὶ τούτων πρέσβεις; Ἐπειδὴ δὲ λέγετε κατὰ τὸ παρὸν, ὅτι ἡ Ῥωμαϊκὴ ἐκκλησία ἀνεκαλέσατο τὴν εἰρήνην, τοῦτο ἀληθές ἐστι καὶ ὁμολογούμενον· καὶ μάρτυς ὁ μακαριώτατος πάπας, πολλὰς ἐξόδους εἰς τοῦτο καταβαλόμενος, καὶ πολλάκις διαπεμψάμενος. εἰ δὲ καὶ πρὸ τούτου ταύτην ὑμεῖς ἐζητεῖτε τὴν ἀγάπην, πάντως ἐμέλλετε ταύτην εὑρήσειν, ὥσπερ καὶ νῦν. μάρτυς ἐστὶ πρὸ τῶν παρόντων ὁ πάπας Γρηγόριος, ὃς ἀπέστειλε πρὸς τὸν βασιλέα κἀκεῖνος, καὶ τὸν πατριάρχην, καὶ τοὺς ἀνατολικοὺς ὑπὲρ τούτου, καὶ συνεκρότησεν ἐν Λουγδούνῳ σύνοδον, καὶ τὴν τότε γενομένην ἐπραγματεύσατο ἕνωσιν. ὥστε οὐδὲν ἐγκαλεῖν ἔχετε τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ περὶ τῆς ἀγάπης, ἥτις καὶ μένει ἐν αὐτῇ, καὶ μενεῖ, σωζομένης τῆς ὑμετέρας τιμῆς. Περὶ δὲ τῶν ὅρων λέγομεν, ὅτι ἀναγνωσθήσονται κελεύσει τοῦ μακαριωτάτου πατρὸς καὶ ἑλληνικῶς καὶ ῥωμαϊκῶς· πλὴν θαυμάζω, πῶς προ-

βάλεσθε τοὺς ὅρους· πρὸς γὰρ τὸ πρόβλημα ὃ ἐκινήσατε, οὐ δοκοῦσιν ἀναγκαῖα τὰ ἐκεῖ γεγραμμένα· ἐπεὶ πρὸ αὐτῶν ἐστι τὸ ἱερὸν εὐαγγέλιον, ᾧ καὶ μᾶλλον πιστεύειν ὀφείλομεν· ἐπεὶ δὲ εἴπατε ἀναγνωσθέντων τῶν ὅρων, ἐρεῖν ἐφεξῆς ἃ εἰπεῖν ἔχετε, προθύμως καὶ ἡμεῖς ἀκουσόμεθα, ἐλπίζοντες ὅτι καὶ ὑμεῖς μεθ᾽ ὑπομονῆς ἀκούσετε τῶν ἡμετέρων λόγων, ὥσπερ καὶ ἡμεῖς ὑμῶν.

Ὁ ἘΦΕΣΟΥ. Τὰ μὲν πρῶτα, ἅπερ ἀπελογήσατο ἡ σὴ αἰδεσιμότης, ὅτι πολλὴν ἐπεδείξατο πρόνοιαν ἡ Ῥωμαϊκὴ ἐκκλησία πρὸς τὴν ἀνατολικὴν ἐν τοῖς καιροῖς τῶν κινδύνων καὶ τῶν αἱρέσεων, ἀληθῆ τέ εἰσιν καὶ ὁμολογούμενα παρ᾽ ἡμῖν, ἀλλ᾽ οὐκ ἀναγκαῖα πρὸς τὸ λῦσαι τοὺς ἡμετέρους λόγους. δῆλον γὰρ, ὅτι ἡ ἀπό τινος χρόνου διαλυθεῖσα ἀγάπη, πρότερον ἦν καὶ ἤκμαζεν ἐν ταῖς ἐκκλησίαις. ἀλλὰ καὶ ὅτι μετὰ τὸ σχίσμα πολλάκις ἡ τῆς Ῥώμης ἐκκλησία διεπέμψατο πρὸς τὴν ἡμετέραν, καὶ προσεκαλέσατο ταύτην πρὸς ὑπακοὴν ἑαυτῆς καὶ εἰρήνην, καὶ τοῦτο δὲ εἰκὸς ἦν γενέσθαι, καὶ οὐδὲν θαυμαστόν. ἀλλὰ τῆς αἰτίας μενούσης τοῦ σχίσματος, ἥτις ἦν ἡ ἐν τῷ συμβόλῳ προσθήκη, ἡ καὶ τὴν ἀγάπην διαλύσασα, οὐδὲ τὴν εἰρήνην εἰκὸς ἦν ἐπακολουθῆσαι· καθάπερ ἐπὶ τῶν νοσημάτων ἐὰν μὴ τῶν νοσημάτων ἡ αἰτία διαγνωσθῇ, καὶ ἐξαιρεθῇ, οὐ δύναται ἡ ὑγεία ἐπακολουθῆσαι. οὔτε οὖν τὴν πρὸ τοῦ σχίσματος ἀγάπην ὑμᾶς προβάλλεσθαι χρὴ, οὔτε τὴν μετὰ τὸ σχίσμα, μενούσης τῆς αἰτίας τοῦ σχίσματος, ἣν ὑμεῖς δῆλον ὅτι παρέχεσθε. ἡμεῖς δὲ ζητοῦμεν, ὃ καὶ πρότερον εἴπομεν, ἐπανελθεῖν εἰς τὸν καιρὸν τῆς εἰρήνης ἐκεῖνον, καθ᾽ ὃν ἡνωμένοι πάντες ὑπήρχομεν· τοῦτο δὲ οὐκ ἄλλως ἔσται, ἢ περιαιρεθείσης τῆς αἰτίας τοῦ σχίσματος. Περὶ δὲ τῆς ἀναγνώσεως τῶν ὅρων λέγομεν, ἀναγκαιοτάτην αὐτὴν εἶναι, ἵνα φανῇ καὶ ἡ σύνοδος αὕτη σύμφωνος ταῖς παλαιαῖς ἐκείναις καὶ ἀκόλουθος οὐ κατὰ τὴν τάξιν μόνον, ἀλλὰ καὶ κατὰ τὸ φρόνημα. νομίζομεν γὰρ ὅτι οὐδὲν παρελείφθη τοῖς πατράσιν ἐκείνοις ἐν τῷ συμβόλῳ τῆς πίστεως, οὐδὲ ἐλλιπὲς οὐδὲν ἐτέθη, καὶ δεόμενον διορθώσεως ἢ προσθήκης ὅλως. καὶ τοῦτό ἐστι μάλιστα τὸ τοῦ σχίσματος αἴτιον, διαγορευόντων ἐκείνων, μὴ δεῖν ἕτερόν ποτε παραδέξασθαι σύμβολον, μηδὲ προσθήκην τινὰ ποιήσασθαι ἢ ἀφαίρεσιν, ὡς ἱκανῶς ἐκείνων περὶ πάντων εἰπόντων.

Ὁ ῬΟΔΟΥ. Εἰς τέσσαρα συγκεφαλαιοῦνται ἃ εἶπας. Τὸ μὲν πρῶτον, ὅτι εἰ καὶ ἀληθῆ ἦσαν τὰ παρ' ἐμοῦ εἰρημένα, ἀλλ' οὐκ ἀναγκαῖα καὶ πρὸς τὴν λύσιν τῶν σῶν λόγων ἁρμόζοντα. εἶπας γὰρ, ὅτι ἀληθῶς μὲν ἐποιήσαντο σπουδὴν πρὸς τὴν εἰρήνην καὶ τὴν ἀγάπην οἱ ἄκροι ἀρχιερεῖς, οὐ μὴν ἀφεῖλοντο τὸ τοῦ σχίσματος αἴτιον. Δεύτερον, ὅτι ἐξετασθείσης ἢ ἀφαιρεθείσης τῆς αἰτίας τοῦ σχίσματος, ἐπακολουθήσει πάντως καὶ ἡ εἰρήνη. Τρίτον, ἵνα ἀναγνωσθῶσιν οἱ ὅροι τῶν πατέρων, ὅπως ἀποφανῆτε ἀκολουθοῦντες ἐκείνοις. Καὶ τέταρτον, ὅτι οὐδὲν ἐλλιπὲς ἐκεῖνοι ἐποίησαν, οὐδὲ προσθήκης δεόμενον.

Ὁ ἘΦΕΣΟΥ. Οὐκ εἶπον, ὅτι τὸ σαφηνισθῆναι τὸ δόγμα ἑνώσει τὰς ἐκκλησίας, ἀλλὰ τὸ περιαιρεθῆναι τὴν προσθήκην, ἣν εἰ καὶ ἀληθής ἐστιν, οὐ δυνάμεθα παραδέξασθαι, διότι οὐκ ἔχομεν ἄδειαν παρὰ τῶν πατέρων ἢ προσθεῖναι τῷ συμβόλῳ τῆς πίστεως, ἢ ἀφαιρεῖν· καὶ περὶ τούτου τὸν ἅπαντα ποιησόμεθα λόγον.

Ὁ ῬΟΔΟΥ. Ἐπὶ τοῖς εἰρημένοις λέγω, ὅτι οἱ ἄκροι ἀρχιερεῖς, οἵτινες ἔπεμπον ζητοῦντες τὴν εἰρήνην καὶ τὴν ἕνωσιν, πάντως καὶ τὰς αἰτίας τῆς προσθήκης ἔλεγον, ἥτις αἰτία τοῦ σχίσματος γέγονεν, ὡς ὑμεῖς λέγετε. εἰ οὖν τὸ μέρος τῆς ἀνατολικῆς ἐκκλησίας, μάλιστα οἱ τέσσαρες πατριάρχαι, οὓς λέγετε δύναμιν ἴσην ἔχειν τοῖς ἄκροις ἀρχιερεῦσιν, ἐσπούδασαν ὅλως δεῖξαι, ἢ καὶ ἔδειξαν, τὴν δυτικὴν ἐκκλησίαν πλανωμένην περὶ τὸ δόγμα, καὶ τὴν προσθήκην ταύτην παραλόγως ποιήσασαν, οὐκ ἔμελλε πάντως γενέσθαι καὶ ἡ διόρθωσις; ἀλλ' οὐδέποτε τοῦτο δεῖξαι ἠδυνήθησαν. ἐγὼ τοῖς ὑμετέροις χρήσομαι λόγοις * πρὸς ἀπολογίαν. δυνατόν ἐστι λαθεῖν τοῦτο τοσούτους βασιλεῖς, τοσούτους πατριάρχας καὶ πατέρας, παντοδαπῇ σοφίᾳ κεκοσμημένους, ὅτι οὐ καλῶς ἡ προσθήκη γέγονεν; ἀλλ' οὐδέποτε τοῦτο δεῖξαι ἠδυνήθησαν, καὶ διὰ τοῦτο οὐδὲ ἀφαίρεσις γέγονε. καὶ ὑμεῖς οὖν περιττῶς ἐγκαλεῖτε τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ περὶ τούτου τοῦ μέρους. σὺ μὲν οὖν εἶπας, ὅτι ἀπὸ τῶν συνοδικῶν ὅρων κωλυόμεθα ποιῆσαι προσθήκην τινὰ, εἰ καὶ ἀληθής ἐστιν· ἡμεῖς δὲ μέλλομεν δεῖξαι διὰ πολλῶν, ὅτι ἀεὶ ἡ ὑστέρα σύνοδος τὴν αὐτὴν ταῖς προλαβούσαις δύναμιν ἔχει, πρὸς τὸ κανονίζειν ἅπαντα τὰ τῆς ἐκκλησίας. ὅμως ἐρωτῶ ὑμᾶς, εἰ καὶ ἀληθής ἐστιν ἡ προσθήκη, διατί μὴ ταύτην προσθήσετε; τί κωλύει προσθεῖναι τὸ ἀληθές;

* ἐν ἄλλῳ· λόγοις χρήσομαι.

Ὁ ἘΦΕΣΟΥ. Αὐτὸ τοῦτο τὸ μὴ ἐξεῖναι· ἐπειδὴ καὶ ἄλλα πολλὰ * καλὰ καὶ ἀληθῆ ὄντα προσθεῖναι τῷ συμβόλῳ τῆς πίστεως οὐκ ἔχομεν ἄδειαν. καὶ γὰρ οὐδ' οἱ πατέρες ἐκεῖνοι προσέθηκαν οὐδὲ τῶν ἀναγκαίων οὐδέν· ἀλλὰ διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον ἀρκείτω πρὸς τὸ παρὸν ὅσα εἴπομεν.

* πολλὰ, λείπει ἐν ἄλλῳ.

Ὁ ῬΟΔΟΥ. Διὰ τὴν τῶν πολλῶν ἀκοὴν χρησόμεθα λόγοις ὀλίγοις· ἡμεῖς ἀποδείξομεν ἐν καιρῷ τῷ προσήκοντι δύο τινά· πρῶτον, ὅτι οὔτε προσθήκη ἐστὶν, οὔτε προσετέθη· δεύτερον, ὅτι εἰ καὶ προσετέθη, ὡς ἀληθὲς καὶ ἀναγκαῖον προσετέθη.

Ὀκτωβρίου πέμπτῃ καὶ δεκάτῃ, ἡμέρᾳ τετάρτῃ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Δ.

Ὁ ῬΟΔΟΥ. Ληφθείσης πρότερον τῆς χάριτος παρὰ τοῦ μακαριωτάτου πατρὸς, καὶ δοθείσης ἀδείας παρὰ τοῦ γαληνοτάτου βασιλέως καὶ τοῦ ἁγιωτάτου πατριάρχου, ἀναληψόμεθα τὰ εἰρημένα κεφάλαια.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς ἐποιησάμεθα τὴν ἀρχὴν, καὶ θέλομεν εἰπεῖν ὅσα ἔχομεν.

Ὁ ῬΟΔΟΥ. Μετὰ ἀδείας τῶν αἰδεσιμωτάτων πατέρων ἀπολογήσομαι. θαυμάζω πῶς προτείνεις τοιούτους λόγους· τῇ χθὲς προεβάλου, τίνι τρόπῳ γέγονεν ἡ προσθήκη· μετὰ ταῦτα ἠρώτησας, ἐὰν φαίνηται ἵνα εἴπῃς ὅσα συντείνουσιν εἰς τὴν ὑπόθεσιν, ὃ καὶ ἐδώκαμεν.

Ὁ ἘΦΕΣΟΥ. Εἴπομεν, ἵνα ἀναγνωσθῶσιν οἱ ὅροι πρῶτον τῶν συνόδων, ὃ οὐδὲν ἐγένετο τὴν ἡμέραν ἐκείνην. λοιπὸν φαίνεται ἵνα γένηται νῦν, καὶ ἔστιν ἀναγκαῖον, ἐπειδὴ τότε οὐδὲν ἀνεγνώσθησαν.

Ὁ ῬΟΔΟΥ. Καλῶς ἴστε πατέρες, ὅτι ὑμεῖς προετείνατε καὶ εἴπατε ὅπερ ἠθέλετε. καὶ ἐζητήσατε καὶ ἀπολογίας ἐπὶ τούτοις· καὶ διότι ἡ ὥρα τότε οὐκ ἔδωκεν, ἀνεβαλόμεθα ἵνα νῦν ἀπολογησώμεθα. θαυμάζομεν οὖν, διατί νῦν τοιαῦτα λέγετε· οὐ γὰρ πρέπει νῦν ἀπὸ τούτων ἄρξασθαι ὧν λέγετε, καὶ ἀναγνῶναι τοὺς ὅρους.

Ὁ ΝΙΚΑΙΑΣ. Τὸ πρέπον ἢ μὴ πρέπον, ὅσον ἕνεκά γε τοῦ λέγειν, οὐκ ἀπὸ τοῦ ἀκούοντος, ἀλλ' ἀπὸ τοῦ λέγοντος κρίνεται.

ἐξεῖναι γὰρ ἀνάγκη τῷ λέγοντι, λέγειν ἃ βούλοιτο· ὁ δὲ ἀκούων αὐτοῦ, μετὰ ταῦτα ἢ ἀποδέξεται * ἢ ἐπιτιμήσει καὶ ἐλέγξει τοὺς λόγους οὐκ ὄντας ἀναγκαίους καὶ ἀληθεῖς. καὶ ἡμῖν δεῖ ἐξεῖναι ἀνάγκῃ λέγειν τὰ δοκοῦντα συνοίσειν πρὸς τὸ προκείμενον, μετέπειτα δὲ ὑμεῖς ἀκούσαντες ἐρεῖτε τὰ δέοντα. οὐκ οἶδα οὖν τίς ἐστιν ἡ αἰτία, δι' ἣν οὐκ ἀνέχεσθε ἀκούειν ἡμῶν, ἀλλὰ τοσούτους καὶ οὕτω μακροὺς κατετείνατε λόγους, καὶ λέγετε θαυμάζειν ἐφ' οἷς ἡμεῖς λέγομεν· καίτοι ἡμεῖς δοκοῦμεν τῇ χάριτι τοῦ Θεοῦ, οὐδεμίαν ὑμῖν αἰτίαν παρέχειν τοῦ θαυμάζειν τοιοῦτον θαῦμα, ὁποῖόν φατε· ὅθεν καὶ δοκοῦμεν μὴ θαυμάζειν ὑμᾶς τῇ ψυχῇ, εἰ καὶ τῷ στόματι τοῦτο λέγετε. ὥσπερ οὖν ἡμεῖς θαυμάζοντες τῇ ψυχῇ, τῇ γλώττῃ τοῦτο οὐ λέγομεν, οὕτως ἐκ τοῦ ἐναντίου πληροφορούμεθα περὶ ὑμῶν, ὅτι κἂν τῇ γλώττῃ λέγητε τοῦτο, τῇ γε ψυχῇ οὐ θαυμάζετε· οὐδὲ γὰρ παρέχομεν ὑμῖν οὐδεμίαν αἰτίαν τῇ τοῦ Θεοῦ χάριτι. περὶ δὲ τοῦ τρόπου τῶν λόγων ὧν * χρῆσθε, βούλομαι εἰπεῖν, ὅτι οὔ μοι δοκεῖ χρῆναι τοιαύταις χρήσασθαι μακρολογίαις ἐπὶ τῶν διαλέξεων· οὕτω γὰρ οὐδέποτ' ἂν εἴς τι συμπέρασμα καταντήσαιμεν, οὐδ' ἂν συμβαίημέν ποτε. δεῖ δὴ διαλεκτικῶς κατὰ πεῦσιν καὶ ἀπόκρισιν ἀλλήλοις ἀπαντῶντας, οὕτω συμπεραίνειν τὸν λόγον. ἔστιν οὖν ἀνάγκη, ἡμῶν προβαλλομένων τὸ πρόβλημα, ἵνα ἀκούσητε καὶ τὰς τούτου συστάσεις, καὶ οὕτως ἀπολογήσεσθε. * ἡμεῖς γὰρ ἀπολογίας οὐκ ἐζητήσαμεν ὡς ὑμεῖς λέγετε, πῶς γὰρ ἐμέλλομεν τοῦτο ποιεῖν πρὸ τοῦ τὰ ἴδια προκομίσαι *;

* ἐν ἄλλῳ ἀποδέξεται ἀναγνῶναι.

* ἐν ἄλλῳ ὦ.

* ἐν ἄλλῳ ἀπολογήσασθαι.

* προκομίσασθαι.

ΙΟΥΛ. ΚΑΡΔ. Ἐμοὶ ἀρέσκει ὅπερ εἶπεν ὁ αἰδεσιμώτατος Νικαίας, ἵνα διὰ βραχέων γίνωνται αἱ ἀποδείξεις· καὶ τοῦτο ἵνα γίνηται εἰς ἕκαστον πρόβλημα συγχωρῶ, ἵνα ὅταν προβάλληται ὁ λέγων, λέγῃ καὶ τὰς συστάσεις. ἀλλὰ δεῖ ἐν παντὶ ἵνα τηρῶνται αἱ συμφωνίαι, καὶ ἄνευ τούτων οὐδὲν δεῖ γίνεσθαι. εἶπε γὰρ ὁ αἰδεσιμώτατος Ἐφέσου, ὅτι ἡ ἐκκλησία τῆς Ῥωμῆς ἐγένετο αἰτία τοῦ σχίσματος· καὶ ὅτι ἵνα τυγχάνῃ γνώριμον τὸ πρόβλημα, περὶ οὗ μέλλομεν συντυγχάνειν. μετὰ ταῦτα εἶπεν, ὅτι ἐὰν φαίνηται, ἵνα ἀπολογήσηται τότε ὁ Κολασσαεὺς, ἤδη καλόν· εἰ δὲ μή γε, εἰς τὴν ἔπειτα συνέλευσιν ἀπολογήσηται ὁ Κολασσαεύς. διὰ τοῦτο ἀξιῶ, ἵνα συγχωρήσητε τῷ Κολασσαεῖ εἰπεῖν· καὶ μετὰ ταῦτα ἵνα ἀπολογήσησθε ἢ νῦν, ἢ ἐὰν θέλητε, εἰς ἄλλην συνέλευσιν ὅσα ἔχετε εἰπεῖν.

Ὁ ΝΙΚΑΙΑΣ. Ἔστι μὲν ἡ συμφωνία, δέξασθαι ἀπολογίας ὑμετέρας, οὐ μέντοι γε ὅ, τι φαίητε. δεῖ οὖν ἡμᾶς εἰπεῖν πρότερον τὰ ἡμέτερα, εἶθ' οὕτως ἀκοῦσαι τῶν ὑμετέρων ἀπολογιῶν· μετὰ γὰρ προσδιορισμοῦ ἀπητήσαμεν ἀφ' ὑμῶν τὰς ἀπολογίας, δηλαδὴ μετὰ τὸ ἡμᾶς τὰ ἡμέτερα προκομίσαι. διὰ γὰρ τὸ τότε στενὸν τῆς ὥρας ἠρώτησεν ὁ αἰδεσιμώτατος Ἐφέσου, εἰ ἄρα τότε δυνατὸν εἰπεῖν ἃ βούλοιτο, καὶ οὕτως ἀκοῦσαι τὰ παρ' ὑμῶν, εἰ δὲ τοῦτο οὐκ εἴη τότε ῥᾴδιον, ἵνα μετὰ ταῦτα ἐν ἄλλῃ συνελεύσει εἴπῃ μὲν πρῶτος ἐκεῖνος, δέξηται δὲ μετέπειτα παρ' ὑμῶν τὰς ἀπολογίας.

Ὁ ῬΟΔΟΥ. Αἰδεσιμώτατοι πατέρες, εἰς ἐκεῖνα ἃ προεβάλεσθε, οὐδὲν ἀπελογησάμην ἀρκούντως. νῦν οὖν παρακαλῶ, ἵνα εἴπω καὶ ἀπολογήσωμαι εἰς τὰ τρία.

Ὁ ῬΩΣΙΑΣ ἸΣΙΔΩΡ. Ἐγὼ χρήσομαι ῥήμασιν ὀλίγοις, διότι οἱ λόγοι οἱ ὀλίγοι παριστῶσι τὴν ἀλήθειαν καθαρώτερον. ὑμεῖς ἐδώκατε τῶν δύο τὸ ἕτερον, καὶ διὰ τοῦ θελήματος ὑμῶν ἐλάβομεν τὸ προτεῖνον καὶ προετείναμεν ὅτι οὐ δεῖ προστιθέναι. καὶ διὰ τοῦτο ἄφετε ἡμῖν ἵνα δείξωμεν τοῦτο, καὶ τότε ἀπολογήσασθε· ἐπεὶ ὅσα ἐν προοιμίοις εἴχετε εἰπεῖν, εἴπατε· λοιπὸν ἐστιν ἡμῶν εἰπεῖν πῶς οὐ δεῖ προστιθέναι.

Ὁ ῬΟΔΟΥ. Πρὸς τὰ τρία ἐγὼ ἀποκρινοῦμαι· εἰς μὲν τὸ πρῶτον τοῦ Ὅτι ἔχομεν μάρτυρα τὸν Ἀριστοτέλην· ὅτι δὲ ἐξεθήκατε καὶ τὴν αἰτίαν τοῦ Διότι, ἐγὼ ἀποδείξω. εἴπατε, ὅτι οὐ δεῖ προσθεῖναι· μετὰ ταῦτα εἴπατε, ὅτι ἡ προσθήκη ἐγένετο αἰτία τοῦ σχίσματος τῶν ἐκκλησιῶν. καὶ ὅτι εἴπατε, εἰ καὶ ἡ ἐκκλησία τῆς Ῥώμης ἐποίησε πολλὰς πρεσβείας, ἀλλ' οὖν οὐκ ἔστι δυνατὸν μὴ ἐκβληθείσης τῆς αἰτίας γενέσθαι ἕνωσιν. λέγω, ὅτι σωζομένης τῆς ὑμετέρας τιμῆς, οὐκ ἔστι τοῦτο κεκωλυμένον· καὶ τοῦτο δείξομεν διά τε τῆς παλαιᾶς καὶ νέας γραφῆς. ἡμεῖς γὰρ * λέγομεν, ὅτι οὐκ ἔστι προσθήκη, ἀλλ' ἀνάπτυξις καὶ σαφήνεια. καὶ εἰ ἔσχον πολλὰς ἀποδείξεις, ὅμως λέγω, ὅτι δείξω καὶ διὰ τῶν ὅρων καὶ δι' ἄλλων, ὅτι ἄδειά ἐστι προσθεῖναι καὶ ἀναπτύξαι.

* γάρ, λείπει ἐν ἄλλῳ.

Ὁ ΝΙΚΑΙΑΣ. Ἐπὶ παντὶ προβλήματι ἔξεστιν εἰπεῖν καὶ τὰς ἐνστάσεις. ἢ οὔ;

Ὁ ῬΟΔΟΥ. Ἔξεστιν.

Ὁ ΝΙΚΑΙΑΣ. Ἡμεῖς * οὐδεμιᾶς οὔπω αἰτίας ἡψάμεθα. εἴπατε

* ἡμεῖς οὖν.

οὖν ἡμῖν, ἔχομεν ἄδειαν εἰπεῖν καὶ τὰς ἀποδείξεις ἡμῶν, καὶ συστῆσαι τὸ ἡμέτερον πρόβλημα, ἢ βούλεσθε ἵνα ἐάσωμεν τὸ πρᾶγμα ἀναπολόγητον; καίτοι γε ἐνέδωκας ἵνα εἴπωμεν τὰς ἀποδείξεις ἡμῶν.

Ὁ ῬΟΔΟΥ. Λέγω ὅτι ὁ μακαριώτατος πατὴρ καὶ πάντες συνεχώρησαν, ἵνα εἴπητε, εἰ θέλετε· πλὴν ἵνα εἴπωμεν ἡμεῖς πρῶτον τὴν ἀπολογίαν ἡμῶν, καθὼς ἐζητήσατε.

Ὁ ΝΙΚΑΙΑΣ. Μὴ θῆτε θέσιν ὁμολογουμένην, ὅτι ἡμεῖς ἐζητήσαμεν ὑμετέρας ἀπολογίας ἁπλῶς· ἐζητήσαμεν γὰρ τοῦτο μετὰ προσδιορισμοῦ, δηλαδὴ μετὰ τὸ ἡμᾶς προκομίσαι τὰ δοκοῦντα συνοίσειν πρὸς τὸ προκείμενον. λέγομεν γὰρ, ὅτι οὐ δεῖ προσθεῖναι· καὶ διὰ τῶν ἁγίων δείξομεν τοῦτο, ὅτι οὐ μόνον νοημάτων κωλύουσι πρόσθεσιν οἱ πατέρες, ἀλλὰ καὶ λέξεων. καὶ ἄλλως οὐ δυνάμεθα δεῖξαι, εἰ μὴ διὰ τῶν ὅρων τῶν ἁγίων πατέρων, οὓς καὶ ἀναγνωσθῆναι πρότερον χρεία, εἶτα ἀπολογήσασθαι καὶ ὑμᾶς.

Ὁ ῬΟΔΟΥ. Ταῦτα εἴπατε καὶ τότε καὶ νῦν, καὶ πρὸς ταῦτα καὶ ἡμεῖς βουλόμεθα δοῦναι λόγον, καὶ δεῖξαι, ὅτι τοῦτο ὃ λέγετε, οὐκ ἔστιν ἀναγκαῖον· ἐπεὶ ἐντεῦθεν ἀκολουθοῦσι τρία ἄτοπα· πάντα ἄνθρωπον ὑπεύθυνον εἶναι καὶ εἰς ἀπώλειαν παντελῆ ἔσεσθαι· ἔτι τοὺς ἁγίους πατέρας ὑπὸ ἀνάθεμα εἶναι· καὶ ἔτι μεγάλην βλάβην ἀκολουθήσειν τοῖς πιστοῖς ἐκ τοῦ μὴ ἀναπτύσσειν ἐξεῖναι.

Ὁ ΜΑΙΣΤΩΡ ἸΩΑΝΝ. Αἰδεσιμώτατοι πατέρες, ἡμεῖς συνήλθομεν ἐνταῦθα μετὰ ἀγάπης ἐπὶ τῷ ἐκβαλεῖν τὴν διαφορὰν τὴν ἡμετέραν, ἐὰν δῷ ὁ θεός· δεῖ οὖν μετὰ εἰρήνης καὶ ἀγάπης χωρεῖν. ταύτην γὰρ καὶ πάντες οἱ ἅγιοι περὶ πολλοῦ ἄγουσι· καὶ ἐν τοῖς Ἄισμασι τῶν ᾀσμάτων λέγεται περὶ αὐτῆς, ὅτι ἡ ἀγάπη ἐστὶ νύμφη τοῦ ὄντως νυμφίου Χριστοῦ. δεῖ οὖν μετὰ ταύτης ἐπὶ τοὺς λόγους χωρεῖν, καὶ διὰ τοῦτο καὶ τὴν τάξιν τηρεῖν· ἔστι γὰρ ἡ τάξις ὁμοίων καὶ ἀνομοίων πραγμάτων διάθεσις, ἑκάστῳ ἴδιον τόπον παρέχουσα, κατὰ τὸν μέγαν διδάσκαλον Αὐγουστῖνον·* ἐπεὶ οὖν ὑμεῖς πρότερον εἴπατε, νῦν ἡμᾶς δεῖ εἰπεῖν· καὶ γὰρ ἀκριβῶς ἴστε, ὅτι ἐπὶ παντὸς ζητήματος δύο τρόποι εἰσὶν προχωρήσεως κατ' αὐτὸν τὸν Ἀριστοτέλην· ὁ μὲν ὅταν ὁ λόγος γίνηται δι' ἁπλῆς συζητήσεως, ὁ δὲ ὅταν καὶ τὸ Διατί προστιθῆται καὶ ἡ αἰτία. ὅταν μὲν οὖν κατὰ τὸν δεύτερον τρόπον ποιῆται τις τὰς ἐρωτήσεις, ἀνάγκη αὐτὸν προβάλ-

* Αὐγ. περὶ τῆς πόλ. τοῦ θεοῦ. 19, 13.

λεσθαι προτάσεις καὶ τὰς * αἰτίας, εἶτα τοῦ ἀπολογουμένου ἀκοῦσαι· ὅταν δὲ κατὰ τὸν προτάσεως τρόπον, εὐθὺς ἀνάγκη καὶ τὰς παρὰ * τοῦ προσδιαλεγομένου δέξασθαι ἀπολογίας, ὁποῖόν ἐστι καὶ τὸ νῦν προκείμενον· ἀφ' οὗ φαίνεται νῦν ἡμᾶς ἀναγκαῖον εἰπεῖν.

* τὰς, λείπει ἐν ἄλλῳ.

* παρὰ, λείπει ἐν ἄλλῳ.

Ὁ ΝΙΚΑΙΑΣ. Ἄριστα καὶ σοφώτατα πάτερ, εἶπας· περὶ μὲν οὖν τῆς ἀγάπης, ὅτι χρὴ τηρεῖν αὐτὴν ἐν πάσαις ταῖς διαλέξεσι, τοῦτο καὶ ἡμεῖς πολλάκις εἰρήκαμεν, καὶ οὐδὲν δεῖ προστιθέναι, ὡς σαφέστατον ὄν. ἀνάγκη δὲ καὶ τὴν τάξιν τηρεῖν, καθὼς ἔφης. περὶ δὲ τοῦ τελευταίου, δηλαδὴ τῶν ἐφ' ἑκάστῳ ζητήματι δύο τρόπων τῆς προχωρήσεως, λέγω ταῦτα. ὅτι εἰ μὲν ἁπλῶς ἐξετιθέμεθα τὸ ἡμέτερον πρόβλημα, ζητοῦντες, διατί προσεθήκατε, κατὰ τὸν τρόπον δηλαδὴ τῆς ζητήσεως εὐθὺς ἂν ὑμᾶς ἔδει δοῦναι τὸν λόγον· νῦν δὲ τῷ δευτέρῳ τρόπῳ χρησάμενοι ἐνεκαλέσαμεν ὑμῖν, λέγοντες, διατί ἐποιήσατε ὃ μὴ ἐξῆν· ὅτι δὲ οὐκ ἐξῆν οὔπω ἐδείξαμεν. δεῖ οὖν ἡμᾶς πρότερον ἀποδοῦναι τὰς αἰτίας τοῦ μὴ ἐξεῖναι, καὶ οὕτω τῶν ὑμετέρων ἀπολογιῶν ἀκοῦσαι· τοῦτο γὰρ ἀναγκαῖον καὶ ἀκόλουθον τῇ τάξει τοῦ πράγματος.

ἸΟΥΛ. ΚΑΡΔ. Γαληνότατε βασιλεῦ, ὁρίζει μὲν ὁ μακαριώτατος πατὴρ, ἵνα εἴπω λόγους τινὰς πρὸς σὲ καὶ τοὺς ἄλλους. διὰ τὰ προχθὲς ἐνόμισεν ὁ μακαριώτατος πατὴρ καὶ οἱ ἄλλοι, ὅτι ὁ Ῥόδου θέλει σήμερον ἀπολογήσασθαι· καὶ ἐὰν ἐλλίπῃ τοῦτο, ἠθέλομεν ἀφήσειν ὑμῖν εἰπεῖν * πλατύτερον· διὰ τοῦτο ὁ ἀρχιεπίσκοπος ὁ Ῥόδου ἐστὶν ἕτοιμος εἰπεῖν, διὰ τίνα αἰτίαν ἐγένετο ἡ προσθήκη. παρεκάλεσε δὲ πολλάκις καὶ ἐπειδὴ οὐδὲν ἀρέσκει, καλόν ἐστιν, ἵνα μέσον ᾖ εἰρήνη ἡμῶν· καὶ ὥσπερ μετὰ ἀγάπης εἰσήλθομεν, οὕτως ὀφείλομεν ἐξελθεῖν καὶ μετὰ ἀγάπης. διὰ τοῦτο φαίνεται τῷ ἄκρῳ ἀρχιερεῖ, σήμερον ἵνα μηδὲν γένηται, ἀλλ' ἰδίως ἵνα διαλέξωνται οἱ ἐκλελεγμένοι.

* εἰπεῖν, λείπει ἐν ἄλλῳ.

Ὁ ΒΑΣΙΛΕΥΣ. Ἀπολογούμεθα εἰς τοῦτο *, κατὰ τὸ παρὸν ἵνα ἀναστῶμεν, εἰ καὶ ὑμῖν ἀρέσκει. περὶ δὲ τοῦ ἄλλου οὐδὲν ἀπολογούμεθα, εἰ μὴ ἵνα σκεψώμεθα πρότερον, ὅπως γένηται καλὸν καὶ εἰρηνικόν· καὶ ἵνα ἐξετάσωμεν αὐτὸ καθὼς δεῖ· καὶ τίνα τρόπον λέγεις, ἵνα διαλέξωνται οἱ ἐκλελεγμένοι ἰδίως καὶ οὐ κοινῶς.

* πρὸς τοῦτο.

Λυθείσης οὖν τῆς συνόδου, τῇ αὐτῇ ἡμέρᾳ ἐγένετο συνάθροισις ἐν τῷ οἰκήματι τοῦ πατριάρχου, παραγινομένου ἐν αὐτῷ τοῦ βα-

σιλείας τοῦ ἁγίου, τῶν καρδιναλίων καὶ πάντων τῶν ἀρχιερέων, καὶ τῶν ἔξω κατακήλων, καὶ ἑτέρων τινῶν ἐκκλησιαστικῶν· ἐνισταμένων τῶν ἡμετέρων, ὡς κἂν εἴ τι καὶ γένηται, οὐ προβήσονται περαιτέρω, εἰ μὴ οἱ ὅροι ἀναγνωσθῶσι καὶ τὸ ἅγιον σύμβολον. καὶ καθὼς ἡμεῖς ἐλέγομεν, ἀνεγνώσθησαν τῇ ἐφεξῆς συνελεύσει παρὰ τοῦ θεοφιλεστάτου ῥεφερενδαρίου λαμπρᾷ τῇ φωνῇ ἐνώπιον πάντων καὶ διηρμηνεύοντο εἰς τὸ λατινικὸν παρὰ τοῦ ἡμετέρου ἑρμηνέως, κυροῦ Νικολάου Σικουνδινοῦ τοῦ Κρητὸς, ἀνδρὸς πάνυ ἀρίστου, καὶ ἀξιολογωτάτου *, καὶ ἄκρως μὲν ἐν τῇ τῶν Λατίνων γλώσσῃ ἐξησκημένου, καλῶς δὲ λίαν καὶ τὴν ἡμετέραν ἐπισταμένου. παρὰ δὲ τῶν γραμματικῶν τῶν τριῶν ἐκκλησιαστικῶν ταῦτα ἐγράφοντο.

* ἀξιολόγου, ἐν ἄλλῳ.

Ὀκτωβρίου ἕκτῃ καὶ δεκάτῃ, ἡμέρᾳ πέμπτῃ, ἐγένετο.

ΣΥΝΕΛΕΥΣΙΣ Ε.

Ἐπειδὴ ἐζητήθη μὲν παρ' ἡμῶν, ἐνεδόθη δὲ παρὰ τῆς ὑμετέρας αἰδεσιμότητος, μᾶλλον δὲ δι' ὑμῶν παρὰ τοῦ μακαριωτάτου πατρὸς, ἀναγνωσθῆναι τοὺς ὅρους τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, διά τε τὴν τάξιν αὐτὴν *, καὶ τὸ ἔθος τὸ ἐν ταῖς αὐταῖς συνόδοις ἐπικρατῆσαν· ἀεὶ γὰρ ἐν ἑκάστῃ τούτων ἀνεγινώσκετο τὰ τῶν πρὸ αὐτῆς, μάλιστα δὲ τὸ τῆς πρώτης καὶ δευτέρας σύμβολον, ὃ καὶ ὡς θεμέλιον ὑπετίθετο τῆς καθολικῆς ἐκκλησίας καὶ πίστεως· καὶ διὰ τὸ φανερὸν ἡμῖν γενέσθαι τὸ ἐκείνων φρόνημα καὶ τὴν συμφωνίαν καὶ τὴν εὐλάβειαν, ἣν εἶχον περὶ τὴν κοινὴν ὁμολογίαν καὶ πίστιν· καὶ διὰ τὸ συνάρασθαι ἡμῖν τὰς ἐκείνων εὐχὰς εἰς τὸ προκείμενον ἔργον· προεκομίσθησαν ἤδη παρ' ἡμῶν τὰ βιβλία, καὶ εἰ κελεύετε, ἀναγνωσθήσονται.

* αὐτῶν, ἐν ἄλλῳ.

ΙΟΥΛ. ΚΑΡΔ. Αἰδεσιμώτατοι πατέρες, ἐξ ὁρισμοῦ τοῦ μακαριωτάτου πατρὸς καὶ τῶν αἰδεσιμωτάτων πατέρων τούτων, λέγω, ὅτι δίκαιόν ἐστιν ἵνα φυλάξωμεν τὰς ἡμετέρας * συμφωνίας, ἃς συνεφωνήσαμεν κατὰ τὴν χθὲς ἡμέραν. ὅθεν εἰ καὶ ὁ καιρὸς ἐδίδου, τὸν τῆς Ῥόδου ἀρχιεπίσκοπον ἀπολογήσασθαι πρὸς τὰ ἐξ ἀρχῆς εἰρημένα παρὰ τοῦ μητροπολίτου Ἐφέσου, καθάπερ ἦν παρεσκευα-

* ἡμετέρας, λείπει ἐν ἄλλῳ.

σμίνος, ἀλλ' οὖν προχωρήσατε καθὼς βούλεσθε· καὶ εἰ θέλετε τοὺς ὅρους ἀναγνωσθῆναι, ἀναγνωσθήτωσαν ἐν ταῖς ὑμετέραις συστάσεσιν ὡς ὑμέτερον δίκαιον, οὐ μὴν ὡς ἀπὸ κοινῆς ἢ ἡμετέρας θελήσεως.

Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ καρδιναλίου Ἰουλιανοῦ, ὁ Ἐφέσου κατὰ συνάφειαν τῶν πρότερον εἰρημένων ἐπήγαγεν.

Ὁ ἘΦΕΣΟΥ. Ἀναγνωσθήσονται δὲ οὐχ ὅλοι οἱ ὅροι διὰ τὸ μῆκος, τουτέστιν οὐχ ὁλόκληροι, ἀλλὰ μέρη τούτων, ὅσα ἀνήκει καὶ συμβάλλεται πρὸς τὴν παροῦσαν ὑπόθεσιν. καὶ ἐπειδὴ τῆς πρώτης καὶ δευτέρας οὐκ εἰσὶν ἕτεροι ὅροι περὶ τῶν θείων δογμάτων, εἰ μὴ αὐταὶ αἱ ἐκθέσεις τῆς πίστεως ἤτοι τὰ σύμβολα, μᾶλλον δὲ τὸ σύμβολον· ὡς ἓν γὰρ ἐδέχθη καὶ ἐκυρώθη παρὰ τῶν ἐφεξῆς συνόδων· ἀρξώμεθα ἀπὸ τῶν πρακτικῶν τοῦ βιβλίου τῆς τρίτης συνόδου, ἐν ᾧ δὴ βιβλίῳ προλάμπει μὲν καὶ προτέτακται τὸ σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων, ἐπιφέρεται δὲ ὁ ὅρος αὐτῶν δὴ τῶν ἐν Ἐφέσῳ συνελθόντων πατέρων, διοριζομένων, ἀσάλευτον μένειν καὶ ἀμετάτρεπτον ἐκεῖνο τὸ σύμβολον. παρακαλοῦμεν δὲ τὴν ὑμετέραν ἀγάπην, μετὰ πάσης μακροθυμίας καὶ ὑπομονῆς ἀκοῦσαι τάς τε φωνὰς ἀναγινωσκομένας τῶν μακαρίων ἐκείνων πατέρων, τῶν τοσούτων ἐκείνων τὸ πλῆθος καὶ τηλικούτων τὴν ἀρετὴν, καὶ τὰς ἡμετέρας δικαιολογίας, ἃς ἔχομεν καὶ μεταξὺ τῆς ἀναγνώσεως καὶ περὶ τὸ τέλος αὐτῆς, πρὸς τὸ προτεθὲν ἡμῖν ἐξ ἀρχῆς, ὅτι μίαν εἶναι δεῖ παρὰ πᾶσι Χριστιανοῖς τὴν καθολικὴν πίστιν, καὶ ἐπ' αὐτῇ οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῆς οὐκ ἔστιν ἀφελεῖν.

Τούτων οὕτω ῥηθέντων ἀνεγνώσθη ὁ ὅρος.

Ἔκθεσις πίστεως τῶν ἐν Νικαίᾳ συνελθόντων τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων.

Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ * τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τῆς τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον

* γεννηθέντα ἐκ. λείπει ἐν ἄλλῳ.

τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενον, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον Πνεῦμα * τοὺς δὲ λέγοντας· Ἦν ποτὲ ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν. καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ * καὶ ἀποστολικὴ ἐκκλησία.

* τὸ πνεῦμα τὸ ἅγιον, ἐν ἄλλῳ.

* καθολικὴ, λείπει ἐν ἄλλῳ.

Καὶ μετὰ τοῦτο προσέθηκεν ὁ Ἐφέσου·

Τούτου ἀναγνωσθέντος ἐν τῇ οἰκουμενικῇ τρίτῃ συνόδῳ, μετὰ τοῦτο ἀνεγνώσθη τὸ παραπλασθὲν σύμβολον παρὰ τῶν τὰ Νεστορίου φρονούντων· καὶ αἱ ἐπ' αὐτῷ καταθέσεις, καὶ γνῶμαι τῶν πατέρων ἐρρήθησαν. ἔπειτα κεῖται ὅρος κοινῇ γνώμῃ πάντων, ἐν ᾧ διορίζονται μένειν ἀσάλευτον καὶ ἀμεταποίητον τὸ ἐν Νικαίᾳ σύμβολον, καὶ μηδενὶ ἐξεῖναι μήτε προστιθέναι, μήτε ἀφαιρεῖν, μήτε ὅλως ἑτέραν πίστιν προφέρειν. ἔχει δὲ οὕτως·

Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναχθέντων ἐν ἁγίῳ Πνεύματι. τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν ἢ προφέρειν τοῖς ἐθέλουσιν ἐπιστρέφειν πρὸς ἐπίγνωσιν τῆς ἀληθείας ἢ ἐξ ἑλληνισμοῦ ἢ ἐξ ἰουδαϊσμοῦ ἢ ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι.

Μετὰ δὲ τὴν τοῦ ὅρου τούτου ἀνάγνωσιν εἶπεν ὁ Ἐφέσου. Ἐνταῦθα γενομένους ἡμᾶς δύο ζητῆσαι ἄξιον. Πρῶτον μὲν, τίνος χάριν ἀσφαλίζεται ἡ σύνοδος αὕτη τοῦτο τὸ σύμβολον διὰ τῶν τοιούτων φωνῶν, καὶ διορίζεται μηδενὶ ἐξεῖναι μεταποιεῖν αὐτὸ, ὃ μηδαμῶς ἐκεῖναι αἱ προλαβοῦσαι σύνοδοι περὶ ἑαυτῶν διωρίσαντο. οὐδὲ γὰρ εὑρίσκεταί τι τοιοῦτον οὔτε ἡ ἁγία πρώτη σύνοδος περὶ τοῦ ἑαυτῆς συμβόλου διορισαμένη, οὔτε ἡ δευτέρα περὶ τοῦ τῆς πρώτης καὶ ἑαυτῆς. Δεύτερον ζητητέον, πῶς οἱ πατέρες οὗτοι τῆς

τρίτης συνόδου, τοῦ τῆς πρώτης μόνον συμβόλου μνησθέντες, καὶ περὶ ἐκείνου τὸν ὅρον ἐκθέμενοι, τὸ τῆς δευτέρας παρέλιπον. Καὶ πρὸς μὲν τὸ πρῶτον ἀπολογούμεθα κατὰ πρώτην προσβολὴν ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως, ὅτι οὕτως ἐγένετο, ὥσπερ ἔδει γενέσθαι. τὸ μὲν γὰρ αὐτὰς τὰς συνόδους τὰς ἐκθεμένας τὸ σύμβολον περὶ * ἑαυτῶν ἀποφήνασθαι, τὴν οἰκείαν ἔκθεσιν ἀμετάποίητον μένειν, καὶ μηδενὶ ἐξεῖναι ταύτῃ προσθεῖναι ἢ ἀφελεῖν, ἔδοξεν ἂν περιαυτολογία καὶ φορτικόν τι πρᾶγμα· τὸ δὲ τοὺς μετὰ ταῦτα πατέρας οὐδὲν ἢ μικρὸν ἀποδέοντας ἐκείνων τό τε πλῆθος καὶ τὴν ἀρετὴν, ἐπισφραγίσαι τε καὶ ἐπικυρῶσαι τὴν ἐκείνων ἔκθεσιν, καὶ διορίσασθαι μένειν ἀμεταποίητον, τοῦτο καὶ εὔλογον ἦν, καὶ προσῆκον, καὶ τοῖς ἀκούσασιν εὐπαράδεκτον, καὶ ἀναγκαῖον ἄλλως. τοῦτο καὶ ἐπὶ τῶν ἁγίων εὐαγγελίων ἐγένετο, καὶ τῶν ἀποστολικῶν ῥημάτων, καὶ πάσης τῆς νέας διαθήκης· ὅτι αὐτὰ μὲν περὶ ἑαυτῶν οὐ λέγουσι, μηδενὶ ἐξεῖναι μέχρι λέξεως ἢ συλλαβῆς προσθεῖναι ἢ ἀφελεῖν· οἱ δὲ τῶν ἀποστόλων διάδοχοι, καὶ οἱ μετὰ ταῦτα πατέρες ἔδωκαν αὐτοῖς τὴν τοιαύτην τιμήν· καὶ οὐδεὶς τολμήσας προσθεῖναι ἢ ἀφελεῖν κἂν τὸ τυχὸν, ἐν Χριστιανοῖς λογισθήσεται. τὴν αὐτὴν τιμὴν ἔδωκαν οἱ πατέρες οὗτοι διὰ τῶν εἰρημένων φωνῶν τῷ ἐκτεθέντι συμβόλῳ παρὰ τῶν τῆς πρώτης τε καὶ δευτέρας συνόδων πατέρων· ἀλλὰ δὴ καὶ οἱ μετὰ ταῦτα πατέρες ἐν ταῖς λοιπαῖς συνόδοις διὰ τῶν οἰκείων ὅρων, ὡς ἑξῆς δειχθήσεται.

* ὑπὲρ, ἐν ἄλλῳ.

Δευτέραν δὲ ἀπολογίαν ἀπὸ τῶν συμβεβηκότων ποιούμεθα, ὅτι μετὰ τὴν γενομένην τῆς πίστεως ἔκθεσιν τῆς πρώτης συνόδου, διελθόντων χρόνων οὐκ ὀλίγων ἄχρι καὶ τῆς δευτέρας, ἐγένοντο μεταξὺ κατὰ διαφόρους τόπους ὑπὸ μερικῶν συνόδων πλείους ἐκθέσεις ἢ τριάκοντα· αἵτινες ἐκθέσεις ἀφαιροῦσαι τὴν τοῦ Ὁμοουσίου λέξιν σκανδαλίζουσαν τοὺς πολλοὺς, ἐν τοῖς λοιποῖς πολλὴν εἶχον τὴν ὁμοιότητα πρὸς τὴν πρώτην ἐκείνην ἔκθεσιν. ὅθεν καὶ ἡ δευτέρα σύνοδος πολλῷ μᾶλλον ἐκείνων ἐξουσίαν ἔχουσα τοῦτο ποιεῖν, ἅτε καὶ οἰκουμενικῆς συνόδου ἀξίωμα κεκτημένη, ἀνέπτυξε τὸ τῆς πρώτης σύμβολον, διὰ τοὺς πνευματομάχους τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν ἐκθεμένη πλατύτερον· ὁμοίως ἀνέπτυξε καὶ τὸ περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ λόγου δόγμα, διὰ τὴν αἵρεσιν Ἀπολιναρίου προσθεῖσα τῷ Σαρκωθέντα, τό· Ἐκ Πνεύματος ἁγίου καὶ

Μαρίας τῆς παρθένου· τοῦτο γὰρ οὐ κεῖται ἐν τῷ τῆς πρώτης συμβόλῳ. ταῦτα μὲν οὖν ἐποίησεν αὐτὴ, καὶ κατὰ τὴν μέχρι τότε ἐπικρατήσασαν ἄδειαν, οὔπω γὰρ ἐκεκώλυτο, καὶ ὡς οἰκουμενικὴ σύνοδος. καὶ ποιησαμένη τὴν τοιαύτην ἀνάπτυξιν, καὶ περὶ τὰς λέξεις ἐναλλαγὴν, οὐδ' αὕτη τὸ μὴ ἐξεῖναι προσθεῖναι ἢ ἀφελεῖν διωρίσατο, διά τε τὰς εἰρημένας αἰτίας, καὶ ἵνα μὴ δόξῃ τοῖς ἄλλοις, ἐναντία ὧν ἐποίησεν αὐτὴ, διορίζεσθαι. ἀλλ' ἡ ἐξουσία τῆς μεταποιήσεως αὕτη προσβλαβὴς τῇ ἐκκλησίᾳ ἐγένετο. καὶ γὰρ λαβόμενοι τῆς ἀδείας ταύτης οἱ τὰ Νεστορίου φρονοῦντες, παρεποίησαν τὸ ἐν Νικαίᾳ σύμβολον, ἐνθέντες αὐτῷ δόγματα τῆς ἐκκλησίας ἀλλότρια, καὶ τοῖς βαπτιζομένοις ἐδίδουν ὡς μάθημα πίστεως. τοῦτο τὸ παραπλασθὲν σύμβολον ἀναγνωσθὲν ἐν ταύτῃ τῇ τρίτῃ συνόδῳ, αἴτιον ἐγένετο πρὸς τὸ λοιπὸν κωλυθῆναι ταύτην τὴν τῆς μεταποιήσεως ἄδειαν. διωρίσαντο γὰρ οἱ πατέρες, μηκέτι λοιπὸν ἐξεῖναι μηδενὶ μεταποιεῖν ὅλως τὸ ἐν Νικαίᾳ σύμβολον, ταὐτὸν δὲ εἰπεῖν τὸ ἐν Κωνσταντινουπόλει· δυνάμει γὰρ ἐν αὐτῷ περιέχεται, καὶ ὡς ἓν ἄμφω λελόγισται, καθὼς ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται. ταύτην δὲ τὴν ἄδειαν τὴν μέχρι τότε ἐπικρατήσασαν καὶ ἑαυτῶν ἀφαιροῦνται καὶ πάντων τῶν ἄλλων· καὶ δὴ καὶ τοῖς ἔργοις αὐτοῖς οἷσπερ εἶπον ἐπεμαρτύρησαν. τὴν γὰρ τῆς Θεοτόκου φωνὴν ἣν ἐκύρωσαν τότε τοῖς Νεστορίου λήρημασιν ἐναντίως, οὐκ ἐτόλμησαν τῷ συμβόλῳ προσθεῖναι, καὶ ταῦθ' οὕτως ἀναγκαιοτάτην οὖσαν ἐν τοῖς τῆς οἰκονομίας τοῦ σωτῆρος δόγμασι. Νῦν ἔρχομαι πρὸς τὸ δεύτερον ἀπολογησόμενος, διατί τῆς δευτέρας συνόδου οὐκ ἐμνημόνευσαν οἱ θεῖοι πατέρες οὗτοι· ἀλλὰ περὶ μόνου τοῦ τῆς πρώτης συμβόλου τὸν διορισμὸν ἐποιήσαντο. Ὅτι μὲν οὖν ὡς ἓν ἀμφότερα ταῦτα ἐδέξαντο δῆλόν ἐστι καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, καὶ ἐκ τῶν μετὰ ταῦτα γενομένων οἰκουμενικῶν συνόδων. δῆλον γάρ ἐστιν, ὅτι οὔτε ἠγνόησαν τὸ τῆς δευτέρας, οὔτε εἰδότες αὐτὸ κατεφρόνησαν· πῶς γὰρ τὸ μετὰ ταῦτα στερχθὲν οὕτω καὶ κυρωθὲν καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπικρατῆσαν; ἀλλὰ δέχονται μὲν ἄμφω ταῦτα ὡς ἓν καθάπερ καὶ αἱ λοιπαὶ, μέμνηνται δὲ τοῦ τῆς πρώτης μόνου, διά τε τὸ ἀξίωμα τῆς συνόδου ἐκείνης, ὅτι τε ἐκ πλειόνων πατέρων, καὶ ὅτι πρώτη, καὶ ὥσπερ θεμέλιος τῶν ἑξῆς ἁπασῶν. Καὶ δεύτερον, ὅτι τὸ ἐκείνης σύμβολον ἐπεκράτει παρὰ

τοῖς Χριστιανοῖς· ἔτι καὶ δι' ἐκείνου οἱ πλείονες ἐβαπτίζοντο· μεμνημένοι τοίνυν ὡς ἐπικρατοῦντος ἐκείνου, καὶ ὡς δυνάμει τὸ δεύτερον περιέχοντος τοῦτο παραλαμβάνουσι. Τρίτον, οἱ οἰκονομοῦντες τοὺς λόγους ἐν κρίσει, καθάπερ ἐκ τῶν γραφῶν τὰς συμβαλλομένας χρήσεις πρὸς τὴν προκειμένην ὑπόθεσιν ἐκλέγονται, οὕτω κἀνταῦθα τὴν μεταποίησιν ἄρτι πρῶτον κωλύοντες, τὸ πρῶτον ἐκεῖνο καὶ ἀμεταποίητον παραλαμβάνουσιν, ᾧ συνυπακούεται δηλαδὴ καὶ τὸ δεύτερον, ὡς ἀνάπτυξις ὂν ἐκείνου μᾶλλον ἢ μεταποίησις. Ἐν τούτῳ τῷ βιβλίῳ τῶν πρακτικῶν τῆς τρίτης συνόδου διάφοροι κεῖνται ἐπιστολαὶ τοῦ μακαρίου Κυρίλλου, τοῦ τότε ὄντος ἐξάρχου τῆς τοιαύτης συνόδου, καὶ τὸν τόπον καὶ τὴν γνώμην ἔχοντος τοῦ ἁγιωτάτου πάπα Καιλεστίνου, ἐξ ὧν ἀναγνωσθήσεται μέρος ἐπιστολῆς τῆς ἑνωτικῆς λεγομένης, πρὸς Ἰωάννην Ἀντιοχείας, τὰ αὐτὰ τῇ συνόδῳ περὶ τοῦ συμβόλου διοριζόμενον, μηδενὶ ἐξεῖναι μηδὲ μέχρι λέξεως ἢ συλλαβῆς μεταποιεῖν ὅλως τὸ εἰρημένον ἅγιον σύμβολον· * ἔχει δὲ οὕτως·

Κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον τὸ παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς· οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος· Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· * οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατά γε τὸν τῆς οὐσίας λόγον.

* ἀπὸ τῆς ἐπιστ. τοῦ ἁγ. Κυριλλ. τῆς πρὸς Ἰωάνν. Ἀντιοχείας.

* Παροιμ. 21, 28.

Ταύτης τῆς χρήσεως ἀναγνωσθείσης, εἶπεν ὁ Ἐφέσου·

Ἠκούσατε, πατέρες αἰδεσιμώτατοι, ὅτι οὐδὲ συλλαβὴν ἢ λέξιν ἀνέχεται ὁ ἅγιος οὗτος ἀμειφθῆναι ἢ προστεθῆναι· οὐδὲ ἑαυτοῖς φησιν ἢ ἑτέροις τὴν τοιαύτην ἄδειαν ἐπιτρέπομεν. αὕτη ἡ ἐπιστολὴ ἀνεγνώσθη μετὰ τῶν ἄλλων ἐν τῇ τετάρτῃ συνόδῳ, καὶ ἐστέρχθη καὶ ἐκυρώθη, ὥσπερ τις θεμέλιος τῆς πίστεως δεύτερος οὖσα μετὰ τὸ σύμβολον. Μετὰ ταῦτα μεταβησόμεθα πρὸς τὰ τῆς τετάρτης οἰκουμενικῆς συνόδου, καὶ ἀναγνωσθήσεται καὶ ὁ ταύτης ὅρος, ἐν ᾧ ἐκτίθενται μὲν ἀμφότερα τὰ τῆς πίστεως σύμβολα, στέργονται δὲ ὡς ἓν καὶ διορίζεται ἡ σύνοδος, μηδενὶ μηδόλως ἐξεῖναι προσθεῖναι *

* ἐν ἄλλῳ· προσθεῖναι τὸ τυχόν.

τῷ συμβόλῳ τούτῳ ἢ ἀφελεῖν ἀπ' αὐτοῦ, μηδ' ἐναλλάξαι ὅλως ἢ μεταποιῆσαι πρὸς ἕτερον σύμβολον.

Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ Ἐφέσου, ἀνεγνώσθη ὁ ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, ἐξ ἀρχῆς μέχρι τῆς ἐκθέσεως τῶν συμβόλων.

Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι τετάρτης συνόδου.

Ἡ ἁγία καὶ οἰκουμενικὴ μεγάλη σύνοδος, ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ Αὐγούστων συναχθεῖσα ἐν τῇ Χαλκηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας, ὥρισε τὰ ὑποτεταγμένα.

Ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς τῆς πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς βεβαιῶν ἔφη· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν,
* Ἰω. 14, 27. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· * ὥστε μηδένα πρὸς τὸν πλησίον διαφωνεῖν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας, ἀλλ' ἐπίσης ἅπασι τὸ τῆς ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα. ἐπειδὴ δὲ οὐ παύεται διὰ τῶν ἑαυτοῦ ζιζανίων ὁ πονηρὸς τοῖς τῆς ἀληθείας ἐπιφυόμενος σπέρμασι, καί τι καινὸν κατὰ τῆς ἀληθείας ἐφευρίσκων ἀεί, διὰ τοῦτο συνήθως ὁ δεσπότης Χριστὸς προνοούμενος τοῦ ἀνθρωπίνου γένους, τὸν εὐσεβῆ τοῦτον καὶ πιστότατον πρὸς ζῆλον ἀνέστησε βασιλέα· ὃς τοὺς ἁπανταχοῦ τῆς ἱερωσύνης ἀρχηγοὺς πρὸς ἑαυτὸν συνεκάλεσεν. ὥστε τῆς χάριτος τοῦ πάντων ἡμῶν δεσπότου Χριστοῦ συνεργούσης, πᾶσαν μὲν τοῦ ψεύδους τῶν τοῦ Χριστοῦ προβάτων ἀποσείσασθαι λύμην, τοῖς δὲ τῆς ἀληθείας αὐτὰ καταπιαίνειν βλαστήμασιν. ὃ δὴ καὶ πεποιήκαμεν κοινῇ ψήφῳ τὰ τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ τῶν πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τριακοσίων ὀκτωκαίδεκα σύμβολον τοῖς πᾶσι κηρύξαντες, καὶ ὡς οἰκείους τοὺς τοῦτο τῆς εὐσεβείας τὸ σύνθημα δεξαμένους πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ ταῦτα ἐν τῇ Κωνσταντινουπόλει συνελθόντες ἑκατὸν πεντήκοντα, καὶ αὐτοὶ τὴν αὐτὴν ἐπισφραγισάμενοι πίστιν. Ὁρίζομεν τοίνυν τὴν τάξιν, καὶ τοὺς περὶ τῆς πί-

στεως τῶν κανόνων ἅπαντας τύπους φυλάττοντες καὶ ἡμεῖς τῆς κατὰ Ἔφεσον ἁγίας συνόδου, ἧς ἡγεμόνες οἱ ἁγιώτατοι τὴν μνήμην Καιλεστῖνος ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων, καὶ Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐτύγχανον, προλάμπειν μὲν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τὴν ἔκθεσιν τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων καὶ μακαρίων πατέρων, τῶν ἐν Νικαίᾳ ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συναχθέντων· κρατεῖν δὲ καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων ἐν Κωνσταντινουπόλει συναθροισθέντων ὁρισθέντα, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέσεων, βεβαίωσιν δὲ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως,

Μετὰ τοῦτο προσέθηκεν ὁ Ἐφέσου· Αὕτη ἡ σύνοδος καὶ ἀμφοτέρας τὰς ἐκθέσεις τῆς πίστεως ἀναγνοῦσα, ὅμως ὡς ἓν τῆς πίστεως ἐξεδέξατο σύμβολον. Καὶ μετὰ τὴν ἀνάγνωσιν εἶπεν· Ἀρκεῖν εἰς ἐπίγνωσιν ἐντελῆ τῆς ἀληθείας τὸ σεπτὸν τοῦτο καὶ σεβάσμιον σύμβολον· καὶ ἐφεξῆς, ὅτι τὸ σύμβολον τοῦτο περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον· δῆλον δὲ ὅτι τῷ τελείῳ οὐδὲν ἐλλείπει.

Μετὰ ταῦτα δὲ ἀνεγνώσθη κατὰ κοινὴν συμφωνίαν τὸ τέλος τοῦ ὅρου, ᾧ διορίζονται τὸ εἰρημένον ἅγιον σύμβολον μένειν ἀμεταποίητον.

Ὁμοίως ἀνεγνώσθη ἀπὸ τῶν πρακτικῶν τῆς ἁγίας πέμπτης καὶ οἰκουμενικῆς συνόδου. Προσφώνησις Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως.

Διὸ καὶ τὸν θεμέλιον τῆς πίστεως, κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν, ἀῤῥαγῆ διαμένειν τῇ χάριτι τοῦ δεσπότου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἐσπουδάσαμεν, ἐλπίσαντες δι' αὐτῆς καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι, πανταχοῦ τὴν τάξιν τῶν θείων κανόνων ἐνθέσμως κρατοῦντες. οὐδὲ γὰρ ἐγχωρεῖ τι παρασαλεῦσαι, καὶ περὶ κενοφωνίας καὶ λεπτολογίας ἀπασχολεῖσθαι τοὺς πιστούς, ἀλλὰ προσέχειν τῷ ἁγίῳ συμβόλῳ, ἐν ᾧ πάντες ἐβαπτίσθημεν, ὅπερ ἐξεφώνησεν ἡ ἐν Νικαίᾳ σὺν ἁγίῳ Πνεύματι σύνοδος, καὶ ἐκύ-

ρωσιν ἡ ἐν Κωνσταντινουπόλει τῶν ἁγίων πατέρων συνέλευσις, καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσῳ ὁσία σύνοδος, καὶ ἐπεσφράγισεν ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος. ἣν πίστιν κατ' οὐδένα τρόπον ἢ λόγον σαλεῦσαί τις δυνήσεται, πᾶσαν αναιροῦσαν τοῖς κακοδόξοις πρόφασιν. ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον κρατοῦντες πρὸς ἀλλήλους μὴ ἀμφιβάλητε, ἀλλὰ πᾶσαν καινοτομίαν καὶ πᾶσαν λεπτολογίαν ἀπωθούμενοι, ἑνὶ στόματι τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα δοξάσωμεν.

Ἔκθεσις πίστεως τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα ἁγίων πατέρων.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας, καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν· ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἀμήν.

Ἐκ τῶν ὅρων τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου.

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησι· καὶ τὰ ἑξῆς, ἄχρι τοῦ τελευταίου διορισμοῦ, ὅστις καὶ ἔχει οὕτως· Τούτων τοίνυν μετὰ πάσης παρ' ἡμῶν ἀκριβείας καὶ ἐπιμελείας πανταχόθεν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν ἑτέρως ἢ διδάσκειν· τοὺς τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν, ἢ διδάσκειν ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν ἐξ ἑλληνισμοῦ ἢ ἐξ ἰουδαϊσμοῦ ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου. εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι.

Ἐκ τῶν ἐφεξῆς πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου.

Ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου Βιγιλίου πάπα Ῥώμης πρὸς Εὐτύχιον τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως.

Διὰ τοῦτο σπουδάζοντες τὴν ἕνωσιν φυλάξαι πρὸς τὴν ἀποστολικὴν καθέδραν τῆς ὑμετέρας μακαριότητος, φανερὸν ποιοῦμεν, ὅτι ἡμεῖς ἀεὶ ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν πίστιν τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ὑπὸ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις, καὶ παρ' ἐκείνων ἐν παντὶ τῷ κόσμῳ κηρυχθεῖσαν, καὶ ἀπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν, καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἄλλαις τέτρασι συνόδοις συνελθόντων· οἷς διὰ πάντων καὶ ἐν ἅπασιν ἀκολουθοῦμεν καὶ δεχόμεθα,

τουτέστι, τοὺς τριακοσίους ὀκτωκαίδεκα θεοφόρους πατέρας τοὺς ἐν Νικαίᾳ συνελθόντας, καὶ τὸ ἅγιον σύμβολον ἤτοι μάθημα τῆς πίστεως ἐκθεμένους, καὶ τὴν Ἀρείου μανίαν ἀναθεματίσαντας, καὶ τοὺς αὐτὴν φρονήσαντας ἢ φρονοῦντας. δεχόμεθα δὲ καὶ τοὺς ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα ἁγίους πατέρας, οἵτινες τὸ αὐτὸ ἅγιον μάθημα ἐσαφήνισαν, καὶ τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου Πνεύματος ἐτράνωσαν, καὶ τὴν αἵρεσιν Μακεδονίου τοῦ πνευματομάχου, καὶ τὸν ἀσεβῆ Ἀπολινάριον κατέκριναν, μετὰ τῶν τὰ αὐτὰ ἐκείνοις φρονούντων ἢ φρονησάντων ποτέ. δεχόμεθα δὲ καὶ τοὺς διακοσίους ἁγίους πατέρας τοὺς ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ ἀθροισθέντας, οἵτινες διὰ πάντων ἠκολούθησαν τῷ αὐτῷ ἁγίῳ συμβόλῳ ἤτοι μαθήματι, καὶ κατέκριναν Νεστόριον τὸν ἀσεβῆ, καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, καὶ τοὺς τὰ ὅμοια αὐτῷ ὅτε δήποτε φρονοῦντας ἢ φρονήσαντας. πρὸς δὲ τούτοις δεχόμεθα καὶ τοὺς ἑξακοσίους τριάκοντα ἁγίους πατέρας τοὺς ἐν Χαλκηδόνι συναθροισθέντας· οἵτινες καὶ αὐτοὶ διὰ πάντων συνῄνεσαν ταῖς προῤῥηθείσαις τρισὶν ἁγίαις συνόδοις, καὶ ἠκολούθησαν τῷ προειρημένῳ συμβόλῳ ἤτοι μαθήματι, τῷ παρὰ τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων ἐκτεθέντι, καὶ ἀπὸ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων σαφηνισθέντι, καὶ ἀνεθεμάτισαν τοὺς ἕτερον παρὰ τὸ εἰρημένον σύμβολον τολμῶντας διδάσκειν ἢ ἐκτίθεσθαι ἢ παραδιδόναι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.

Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

Ἡ ἁγία καὶ οἰκουμενικὴ μεγάλη σύνοδος, ἡ κατὰ θεοῦ χάριν καὶ πανευσεβὲς θέσπισμα τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου μεγάλου βασιλέως Κωνσταντίνου συναχθεῖσα ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι τῶν πόλεων Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ, ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ἐπιλεγομένῳ Τρούλλῳ, ὥρισε τὰ ὑποτεταγμένα.

Ὁ τοῦ θεοῦ καὶ Πατρὸς Υἱὸς μονογενὴς καὶ Λόγος, ὁ κατὰ πάντα ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας γενόμενος ἄνθρωπος, Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ἐν εὐαγγελικαῖς διαπρυσίως ἐκήρυξε φωναῖς.

Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. * καὶ πάλιν· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν *. Ταύτῃ τῇ θεολέκτῳ τῆς εἰρήνης φωνῇ καὶ διδασκαλίᾳ θεοσόφως ὁ πραότατος βασιλεὺς ὁδηγούμενος, ὁ τῆς μὲν ὀρθοδοξίας ὑπέρμαχος, τῆς δὲ ἀσεβείας ἀντίμαχος, τὴν καθ' ἡμᾶς ἁγίαν ταύτην καὶ οἰκουμενικὴν συναθροίσας σύνοδον, τὸ τῆς ἐκκλησίας ἥνωσε σύγκριμα. ὅθεν ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὴν ἀπό τινων καὶ ὧδε χρόνων τῆς δυσσεβείας πλάνην πόῤῥωθεν ἀπελάσασα, καὶ τῇ τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων ἀπλανῶς εὐθείᾳ τρίβῳ κατακολουθήσασα, ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις ἐν ἅπασιν εὐσεβῶς ὡμοφώνησε· φαμὲν, τῇ τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ τοῦ μανιώδους Ἀρείου· καὶ τῇ μετ' αὐτὴν ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα θεοφόρων ἀνδρῶν, κατὰ Μακεδονίου τοῦ πνευματομάχου, καὶ Ἀπολιναρίου τοῦ δυσσεβοῦς· ὁμοίως καὶ τῇ ἐν Ἐφέσῳ τὸ πρότερον κατὰ Νεστορίου τοῦ ἰουδαιόφρονος συναγηγερμένων ἀνδρῶν θεσπεσίων· καὶ τῇ ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα θεοπνεύστων πατέρων κατ' Εὐτυχοῦς καὶ Διοσκόρου τῶν θεοστυγῶν· πρὸς ταύταις καὶ τῇ τελευταίᾳ τούτων, τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ συνόδῳ τῇ ἐνταῦθα συναθροισθείσῃ κατὰ Θεοδώρου τοῦ Μοψουεστίας, Ὠριγένους, Διδύμου τε καὶ Εὐαγρίου, καὶ τῶν συγγραμμάτων Θεοδωρίτου τῶν κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου, καὶ τῆς λεγομένης Ἴβα ἐπιστολῆς πρὸς Μάριν γεγραμμένης τὸν Πέρσην· ἀκαινοτόμητα μὲν ἐν πᾶσι τὰ τῆς εὐσεβείας ἀνανεωσαμένη θεσπίσματα, τὰ βέβηλα δὲ τῆς δυσσεβείας ἐκδιώξασα δόγματα, καὶ τὸ παρὰ τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων ἐκτεθὲν, καὶ αὖθις παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων θεοφρόνως βεβαιωθὲν, ὅπερ καὶ αἱ λοιπαὶ ἅγιαι σύνοδοι ἐπ' ἀναιρέσει πάσης ψυχοφθόρου αἱρέσεως ἀσπασίως ἐδέξαντο καὶ ἐπεκύρωσαν σύμβολον, καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκουμενικὴ ἐπεσφράγισε σύνοδος.

* Ἰω. 8, 12.
* Ἰω. 14, 27.

Ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου Ἀγάθωνος πάπα Ῥώμης πρὸς τοὺς βασιλέας Ῥωμαίων.

Κανονικῶς ἀπὸ τῶν ἁγίων τῶν προηγησαμένων, καὶ τῶν ἁγίων πέντε συνόδων, ἅπερ ὡρισμένα εἰσὶν ἐν ἁπλότητι καρδίας καὶ ἀναμφιβόλως ἀπὸ τῆς παραδοθείσης παρὰ τῶν πατέρων πίστεως, ἀναμφιβόλως φυλάττομεν· ἓν καὶ ἐξαίρετον διαπαντὸς ἔχειν εὐχόμενοί τε καὶ σπεύδοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα μειωθῇ, μηδ' ἐναλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῇ.

Τοῦ αὐτοῦ ἁγιωτάτου Ἀγάθωνος πάπα Ῥώμης, ἐξ ἑτέρας συνοδικῆς ἐπιστολῆς πρὸς τοὺς αὐτοὺς βασιλέας.

Αὕτη ἐστὶν ἡ τελεία ἡμῶν εἴδησις, ἵνα τοὺς ὅρους τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως οὓς μέχρι τούτου ὁ ἀποστολικὸς θρόνος ἅμα ἡμῖν καὶ ἐκράτησε καὶ παραδίδωσιν, ὅλῃ τῇ τῆς διανοίας παραφυλακῇ φυλάξωμεν· πιστεύοντες εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν πρὸ πάντων τῶν αἰώνων ἐξ αὐτοῦ γεννηθέντα, ἀληθινὸν Θεὸν ἐκ Θεοῦ ἀληθινοῦ, φῶς ἐκ φωτὸς, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον.

Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, τῆς ἐν Νικαίᾳ συνελθούσης τὸ δεύτερον.

Ἡ ἁγία καὶ οἰκουμενικὴ καὶ μεγάλη σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα εὐσεβὲς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων

ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς συναχθεῖσα τὸ δεύτερον ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ τῇ ἐπονομαζομένῃ Σοφίᾳ, ἀκολουθήσασα τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὥρισε τὰ ὑποτεταγμένα. Ὁ τὸ φῶς τῆς αὐτοῦ ἐπιγνώσεως ἡμῖν χαρισάμενος, καὶ τοῦ σκότους τῆς εἰδωλικῆς μανίας ῥυσάμενος ἡμᾶς Χριστὸς ὁ Θεὸς ἡμῶν, νυμφευσάμενος τὴν ἁγίαν αὐτοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ταύτην ἐπηγγείλατο διαφυλάττεσθαι. καὶ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς διαβεβαιοῦτο λέγων· Μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. * ταύτην δὲ τὴν ἐπαγγελίαν οὐ μόνον αὐτοῖς ἐχαρίσατο, ἀλλὰ καὶ ἡμῖν τοῖς δι' αὐτῶν πιστεύσασιν εἰς τὸ ὄνομα αὐτοῦ. Τῆς οὖν δωρεᾶς ταύτης ἀλογήσαντές τινες, ὡς ὑπὸ τοῦ ἀπατεῶνος ἐχθροῦ ἀναπτερούμενοι, ἐξέστησαν τοῦ ὀρθοῦ λόγου, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας ἀντιταξάμενοι πρὸς τὴν σύνεσιν τῆς ἀληθείας διήμαρτον, καὶ ὥς φησιν ὁ παροιμιακὸς λόγος, τοὺς ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηνται, καὶ συνῆξαν χερσὶν ἀκαρπίαν. ὅτι τῶν ἱερῶν ἀναθημάτων τὴν θεοπρεπῆ εὐκοσμίαν διαβάλλειν τετολμήκασιν, ἱερεῖς μὲν λεγόμενοι, μὴ ὄντες δέ. περὶ ὧν ὁ Θεὸς διὰ τοῦ προφήτου βοᾷ· Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου. * ἀνιέροις γὰρ ἐπακολουθήσαντες ἀνδράσι ταῖς ἰδίαις φρεσὶ πειθομένοις, κατηγόρησαν τῆς ἁρμοσθείσης Χριστῷ τῷ Θεῷ ἡμῶν ἁγίας αὐτοῦ ἐκκλησίας· καὶ ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστειλαν, τὴν εἰκόνα τοῦ Κυρίου καὶ τῶν ἁγίων αὐτοῦ ὁμοίως τοῖς εἰδώλοις τῶν σατανικῶν ξοάνων ὀνομάσαντες. διὸ μὴ φέρων ὁρᾷν ὑπὸ τῆς τοιαύτης λύμης διαφθειρόμενον τὸ ὑπήκοον ὁ δεσπότης Χριστὸς ὁ Θεὸς ἡμῶν, τοὺς ἁπανταχοῦ τῆς ἱερωσύνης ἀρχηγοὺς τῇ αὐτοῦ συνεκάλεσεν εὐδοκίᾳ, θείῳ ζήλῳ καὶ ἐπινεύσει τῶν πιστοτάτων ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης, ὅπως ἡ ἔνθεος παράδοσις τῆς καθολικῆς ἐκκλησίας κοινῇ ψήφῳ ἀπολάβῃ τὸ κῦρος. Μετὰ πάσης τοίνυν ἀκριβείας διερευνήσαντές τε καὶ διασκεψάμενοι, καὶ τῷ σκοπῷ τῆς ἀληθείας ἀκολουθήσαντες, οὐδὲν ἀφαιροῦμεν, οὐδὲν προστιθέαμεν, ἀλλὰ πάντα τὰ τῆς καθολικῆς ἐκκλησίας ἀμείωτα διαφυλάττομεν. καὶ ἑπόμενοι ταῖς ἁγίαις οἰκουμενικαῖς ἓξ συνόδοις πρῶτα μὲν τῇ ἐν Νικαίων συναθροισθείσῃ

* Ματθ. 28, 20.

* Ἱερεμ. 12, 10.

λαμπρᾷ μητροπόλει, ἔτι γε μὴν καὶ τῇ μετ' αὐτὴν ἐν τῇ Θεοφυλάκτῳ βασιλίδι πόλει· Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα.

Καὶ μετά τινα ἄλλα, καὶ μετὰ τὰς ὑπογραφὰς ἡ ἁγία σύνοδος ἐξεβόησε· Πάντες οὕτω πιστεύομεν. πάντες τὸ αὐτὸ φρονοῦμεν, πάντες συναινέσαντες ὑπεγράψαμεν· αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξε. πιστεύοντες εἰς ἕνα Θεὸν ἐν Τριάδι ὑμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα· οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν· οἱ μὴ οὕτω φρονοῦντες πόῤῥω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν· ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν· ἡμεῖς τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς ἐκκλησίας, ἀναθεματίζομεν· ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα· ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν.

Καὶ ἐν τοῖς ἀναθεματισμοῖς.

Εἴ τις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν ἔγγραφόν τε καὶ ἄγραφον ἀθετεῖ, ἀνάθεμα.

Μετὰ ταῦτα ἀνεγνώσθη κατὰ τὸν αὐτὸν τρόπον ὁ ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, τῆς ἐν Νικαίᾳ συναθροισθείσης τὸ δεύτερον, τουτέστιν ἐξ ἀρχῆς μέχρι καὶ τῆς ἐκθέσεως τῶν συμβόλων· καὶ περὶ τὸ τέλος, ὁ διορισμὸς μετὰ τῶν αὐτῶν ἀρῶν καὶ ἐπιτιμίων, τοῦ μηδενὶ ἐξεῖναι προσθεῖναι ἢ ἀφελεῖν ἢ ὅλως μεταποιῆσαι.

Τούτου τοῦ ὅρου τῆς ἑβδόμης συνόδου παρ' ἡμῶν ἀναγινωσκομένου, προεκομίσθη παρὰ τῶν Λατίνων βιβλίον ἕτερον, παλαιὸν, γεγραμμένον, τὸν αὐτὸν ὅρον τῆς συνόδου ταύτης περιέχον· ἐν ᾧ εὑρέθη προσκείμενον ἐν τῇ θεολογίᾳ τοῦ ἁγίου Πνεύματος, εἰς τό· Ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τό· Καὶ ἐκ τοῦ Υἱοῦ, ὡς αὐτοὶ λέγουσι. καὶ περὶ τούτου πολὺν ἐποιήσαντο λόγον, ἐπιδεικνῦντες ἡμῖν τὸ βιβλίον, ὡς παλαιὸν δῆθεν, καὶ ἐπὶ τούτῳ μεγαλαυχοῦντες καὶ ἀντιβάλλοντες αὐτὸ πρὸς τὸ παρ' ἡμῖν βιβλίον, καὶ δοκιμάζοντες τὴν συμφωνίαν ἐκ τῶν ὑπογραφῶν καὶ τῶν ἄλλων· ἣν καὶ ἐν πᾶσιν εὑρίσκοντες πλὴν τῆς προσθήκης ταύτης ἐδόκουν θαυμάζειν. Ἡμεῖς μὲν οὖν πρὸς τοῦτο οὐδεμίαν ἀπολογίαν ἐποιησάμεθα, μὴ συγχωροῦντος ἡμῖν τοῦ καιροῦ· πλὴν ὅσον αἰτησαμένους αὐτοὺς προετρέ-

ψαμεν ἀναγνῶναι τὴν τοιαύτην ἔκθεσιν μετὰ τῆς προσθήκης, ὡς ἐν τῷ βιβλίῳ ἐφέρετο.

Μετὰ ταῦτα ἐπήγαγεν ὁ Ἐφέσου κατὰ τὴν ἀκολουθίαν τῶν πρότερον εἰρημένων τε καὶ ἀναγνωσθέντων.

Ὁ ἘΦΕΣ. Ἠκούσατε, πατέρες αἰδεσιμώτατοι, τὰς ἀποφάσεις, ἃς οἱ θεῖοι πατέρες καὶ κοινῇ συνερχόμενοι, καὶ ἰδίᾳ καθ' ἑαυτοὺς οἱ τῶν συνόδων ἔξαρχοι περὶ τῆς πίστεως ἰδίᾳ ἀπεφήναντο· καὶ ἃ δὲ ἰδίως ἔγραψαν, ἢ πρὸς ἀλλήλους ἐπιστέλλοντες, ἢ καθ' ἑαυτοὺς δογματίζοντες, κἀκεῖνα παρ' αὐταῖς ταῖς συνόδοις ἀναγνωσθέντα, ὡς κοιναὶ δόξαι προσεδέχθησάν τε καὶ ἐκυρώθησαν. Ἡμεῖς μὲν οὖν αἰδούμενοι τοὺς πατέρας ἡμῶν, καὶ τοὺς ὅρους αὐτῶν φυλάττοντες καὶ τας ἀρὰς εὐλαβούμενοι, οὐ δυνάμεθα παραδέξασθαι, τὴν ἐν τῷ συμβόλῳ γενομένην προσθήκην· καιρὸς δὲ λοιπὸν ἀκοῦσαι τῶν ὑμετέρων ἀπολογιῶν, εἰ μὴ ὁ καιρὸς κωλύει, τῆς προσθήκης ταύτης ἕνεκα· πλὴν ταῦτα εἴπομεν κατὰ τὸ παρὸν, ἀπὸ τῶν αὐτῶν καὶ ὁμοίων ἀφορμῶν ἐπιχειροῦντες τοὺς ὅρους τῶν οἰκουμενικῶν συνόδων, οὓς καὶ ἀναγκαῖον ἦν ἐφεξῆς καὶ ἀκολούθως ἀναγνωσθῆναι, καθάπερ καὶ ἀνεγνώσθησαν· μετὰ δὲ τὰς ὑμετέρας ἀπολογίας, παράξομεν εἰς μαρτυρίαν τῶν εἰρημένων, καὶ ἑτέρων ἁγίων πατέρων χρήσεις ἐκτὸς τῶν συνόδων τούτων, ἃς ἐξέθεντο γράφοντες πρὸς ἀλλήλους, ἢ δημοσίᾳ διδάσκοντες, ἢ καθ' ἑαυτοὺς δογματίζοντες· παρακαλοῦμεν δὲ ὑμᾶς, κεφαλαιωδῶς καὶ ἀνὰ μέρος ποιεῖσθαι τὰς ὑμετέρας ἀπολογίας καὶ ἀντιθέσεις, ὡς ἐν διαλέξεως εἴδει· ἵνα καὶ αἱ πρὸς αὐτὰς ἡμέτεραι λύσεις, εὐσύνοπτοι καὶ εὔποροι καὶ σαφεῖς γίνωνται. γινώσκετε γὰρ, ὅτι ἡμεῖς οὔτε μνημονικοί ἐσμεν, οὔτε ἄλλως διαιρετικοὶ καὶ ἀριθμητικοὶ, οὔτε φιλοτιμούμεθα πρὸς πᾶν τὸ ἀντιλεγόμενον ἔχειν δοκεῖν ὅ, τι εἴποιμεν· ἀλλὰ τοῦτο ἁπλοῦν καὶ γενναῖον ἔχομεν, ὡς ἔφη τις ἤδη τῶν παλαιῶν, ὅτι ὃ ἂν μετὰ τῆς ἀληθείας λέγηται, δεχόμεθά τε ἀσμένως καὶ περιπτυσσόμεθα· ὃ δ' ἂν μὴ οὕτως ἔχον δοκῇ, κατὰ πόδας καὶ προφανῶς ἐλέγχομεν.

Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ Ἐφέσου, ὁ καρδινάλιος Ἰουλιανὸς εἴρηκε ταῦτα πρὸς βασιλέα.

ἸΟΥΛ. ΚΑΡΔ. Γαληνότατε βασιλεῦ, τὸ προκομισθὲν παρ' ἡμῶν σύμβολον ἐν τῇ ἑβδόμῃ συνόδῳ, ἐστὶν ἐν βιβλίῳ παλαιοτάτῳ, καὶ

ἀδύνατον ὑπονοῆσαι γενέσθαι τινὰ ἐναλλαγὴν ἐν αὐτῷ. ἔχομεν δὲ καὶ ἱστορικὸν ἄνδρα παλαιὸν καὶ σοφὸν γεγραφότα περὶ πολλῶν ἄλλων, καὶ δὴ καὶ περὶ τούτου διειληφότα, ὅτι τὸ σύμβολον οὕτως ἐξετέθη καὶ ἀνεγνώσθη παρὰ τῆς ἑβδόμης συνόδου· καὶ συνιστῶμεν τοῦτο, καὶ ἀπὸ τῶν ἐκείνου φωνῶν. ὑμεῖς δὲ πατέρες αἰδεσιμώτατοι, ἐπειδὴ ἐζητήσατε τὴν ἀπολογίαν ἡμῶν γενέσθαι κεφαλαιώδη καὶ σύντομον, καὶ κεμματικὴν, ἀποδεχόμεθα καὶ ἡμεῖς τοῦτο. πλὴν ἵνα καὶ ὑμεῖς καθαρῶς πρὸς ἕκαστα τῶν εἰρημένων ἀποκρίνησθε, ἀνάγκη ἐστὶν ἀναγνωσθῆναι τὰ σήμερον εἰρημένα τε καὶ γεγραμμένα παρὰ τῶν νοταρίων ὑμῶν, καὶ ἀντιβληθῆναι τοῖς ἡμετέροις· εἶθ᾽ οὕτω τῆς ἀναμνήσεως οὕτω γενομένης, καὶ τῆς συμφωνίας ἀναφανείσης, ἐν τῇ ἑξῆς συνελεύσει περὶ πάντων τῶν εἰρημένων ἀπολογησόμεθα.

Ὀκτωβρίου μηνὸς εἰκοστῇ ἡμέρᾳ δευτέρᾳ ἐγένετο

ΣΥΝΕΔΕΥΣΙΣ ϛ.

ἸΟΥΛ. ΚΑΡΔ. Αἰδεσιμώτατοι πατέρες, προχθὲς ἐποιησάμεθα τοὺς τοιούτους λόγους, ὅτε συνήλθομεν ἐν τῷ ναῷ τοῦ ἁγίου Φραγκίσκου, ὅτι ἡμεῖς ἐπὶ τούτῳ τῷ σκοπῷ συνήχθημεν, ἐπὶ τῷ ἐξετάσαι καὶ εὑρεῖν τὴν εἰρήνην μετὰ τῆς εἰρήνης. καὶ διὰ τοῦτο χρεία, ἵνα χαρίζηται τὸ ἓν μέρος τῷ ἑτέρῳ ἐν οἷς ἐστι δέον. καὶ ὑπεσχέθημεν, ἐὰν ᾖ χρεία βιβλίων, ὅσα εἰσὶν εἰς τὴν ὑποταγὴν τοῦ μακαριωτάτου Πάπα, ἵνα δώσωμεν μετὰ χαρᾶς. ὡσαύτως ὑπεσχέθητε καὶ ὑμεῖς, ἐὰν ἔχητε βιβλίον, ἵνα δώσητε αὐτὸ, καὶ ἴδωμεν μίαν ὥραν. καὶ ἠξίωσα τὸν αἰδεσιμώτατον Ἐφέσου καὶ τὸν Νικαίας διὰ βιβλίον, ἵνα δανείσωσιν ἡμῖν αὐτὸ, ὁποῖον ἔχει τὰ πρακτικὰ τῆς ὀγδόης συνόδου, ἵνα ἔχωμεν αὐτὸ μίαν ὥραν, καὶ οὐδὲν ἔδωκαν αὐτό. καὶ εἰ μὲν ἐφέρετε τὸ βιβλίον, ἰδοὺ καλόν· εἰ δὲ μὴ, πέμψατε ἵνα φέρωσιν αὐτό.

Ὁ ἘΦΕΣΟΥ. Ὁ ἀπεκρινάμην τότε, τοῦτο καὶ νῦν λέγω· ὅτι οὐ μέλλει ἐμποδισθῆναι, ἵνα δείξωμεν βιβλίον, ὅταν ᾖ χρεία. τὸ δὲ δοῦναι αὐτὸ οὕτως, ὥστε λείπειν ἀφ᾽ ἡμῶν, ἐστὶ δύσκολον, περὶ δὲ τοῦ βιβλίου τούτου, οὐκ ἔστιν εὔκολον δοῦναι ἡμᾶς αὐτό. εἰ

δὲ καὶ εἴχομεν αὐτὸ, οὐκ ἔχομεν ἀνάγκην ἵνα συναριθμήσωμεν ταῖς οἰκουμενικαῖς συνόδοις ἄλλην σύνοδον, ἥτις οὐδὲ ἐστέρχθη ὅλως, ἀλλὰ μᾶλλον ἠκυρώθη. καὶ αὕτη ἡ σύνοδος ἣν λέγει ἡ ἁγιωσύνη σου, ἔχει πράξεις κατὰ τοῦ Φωτίου, ἐν τῷ καιρῷ τοῦ πάπα Ἰωάννου καὶ τοῦ Ἀδριανοῦ. μετὰ ταῦτα ἐγένετο ἄλλη σύνοδος, καὶ ἀνώρθωσε τὸν Φώτιον, καὶ ἠκύρωσε τὴν πρώτην σύνοδον. αὕτη ἡ σύνοδος, ἥτις ὠνομάσθη καὶ ὀγδόη σύνοδος, ἐγένετο ἐπὶ τοῦ πάπα Ἰωάννου, οὗ τινος πάπα Ἰωάννου αἱ ἐπιστολαὶ εὑρίσκονται ὑπὲρ τοῦ Φωτίου. ἐζήτησε δὲ ἡ σύνοδος αὕτη καὶ περὶ τῆς προσθήκης τοῦ συμβόλου, καὶ ἔκρινεν ἄξιον ἵνα ἐξαιρεθῇ παντελῶς. καὶ νομίζομεν, ὅτι οὐδὲ ὑμεῖς ἀγνοεῖτε οὔτε τὴν σύνοδον οὔτε τὰς ἐπιστολὰς τοῦ πάπα Ἰωάννου. καὶ ἐπειδὴ ἠκυρώθησαν τὰ τῆς συνόδου ἐκείνης, οὐκ ἔστι δίκαιον ἵνα ζητῶμεν αὐτὴν, ἀλλὰ τὴν μετ᾽ αὐτὴν μάλιστα. ἀπὸ τότε γοῦν μέχρι τοῦ νῦν ἀναγινώσκεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως οὕτως· Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Φωτίου καὶ Ἰγνατίου γραφέντα ἢ λαληθέντα, ἀνάθεμα. διὰ τοῦτο ἅπερ ἀντρέπησαν, οὐδὲ πρέπει ἵνα ἔλθωσιν εἰς τὸ μέσον.

ΙΟΥΛ. ΚΑΡΔ. Θέλω ἀπολῦσαι ὑμᾶς ἐκ τοῦ φόβου τούτου· ἵνα μὴ ἔχητε φόβον, ἵνα μηδὲν ἀναγνωσθῇ ἀπὸ τῆς ὀγδόης συνόδου, ἀξιοῦμεν δὲ, ἵνα ἔλθῃ τὸ βιβλίον ἐκεῖνο ὃ ἐζητήσαμεν. θέλομεν γὰρ ἵνα ἴδωμεν ἀπὸ τῆς ἕκτης καὶ ἑβδόμης συνόδου, καὶ περὶ τῆς ὀγδόης οὐδὲν λέγομεν.

Ὁ ἘΦΕΣΟΥ. Ἐπειδὴ εἴπατε, ὅτι χρήζετε ἵνα ἴδητε περὶ τῆς ἕκτης καὶ ἑβδόμης συνόδου, δίδομεν τὸ βιβλίον· περὶ δὲ τῆς ὀγδόης οὐδὲν λέγομεν αὐτὴν, ἐπειδὴ καὶ ἡ αἰδεσιμότης ὑμῶν λέγει τοῦτο. καὶ ἄλλως οὐ δίκαιόν ἐστιν, ἵνα ἐάσωμεν τὰς οἰκουμενικὰς, καὶ ζητῶμεν τὴν μερικήν. ὅμως τὸ βιβλίον αὐτὸ οἴδατε, ὅτι ἔδωκα ἐγὼ ἀπὸ τῆς Κωνσταντινουπόλεως τῷ κύρῳ Νικολάῳ, καὶ φαίνεταί μοι ὅτι μετεγράψατε αὐτό· καὶ ἐκεῖνος πολλὰ εἶδεν αὐτὸ, καὶ νομίζω ὅτι μετέγραψεν αὐτό.

Ὁ ῬΟΔΟΥ. Ἀπὸ τοῦ ῥήματος τούτου θέλω ἰθύνειν τὸν λόγον μου πρὸς τοὺς αἰδεσιμωτάτους πατέρας. ἀπὸ τῆς τελευταίας ὁμιλίας ὑμῶν ἣν ἐξέθεσθε, τέσσαρα κεφάλαια συνήξαμεν. πρῶτον ὑμεῖς ἀνέγνωτε τὰ σύμβολα, ἢ ἵνα ὀρθότερον εἴπω, τὸ σύμβολον

δεύτερον ἀνέγνωτε τοὺς ὅρους. τρίτον τινὰς ἐπιστολὰς, ἤτοι Βιγιλίου, Ἀγάθωνος πάπα καὶ Καιλεστίνου καὶ Κυρίλλου, ἀφ' ὧν συνήξατε καὶ ἐποιήσατε κεφάλαια τέσσαρα. τέταρτον εἰπόντες ὅτι εὐλαβούμενοι τοσούτους πατέρας τῷ πλήθει καὶ τῷ ἀξιώματι, καὶ τὰς ἀρὰς ἐκείνων ἀκούοντες, πόσῳ ἀναθέματι ἐνέβαλον, ἵνα μηδὲν προσθῇ τις ἐν οἷς ἐκεῖνοι ἐξέθηκαν, φοβεῖσθε ὑμεῖς προσθεῖναι ἢ δέξασθαι τὴν προσθήκην λέγετε, ἡμεῖς δὲ ἀνάπτυξιν, ἣν ἡ Ῥωμαϊκὴ ἐκκλησία ἐν τῷ συμβόλῳ ψάλλει. Πρῶτον μὲν οὖν ἐν τῷ πρώτῳ, ἤτοι ἐκ τῆς ἀναγνώσεως τῶν συμβόλων ἠναγκάσθητε δεῖξαι τὸ λεγόμενον παρ ἡμῖν τοῖς Λατίνοις, ὅτι ἐστὶ προσθήκη. ἀπὸ δὲ τοῦ δευτέρου, ἐν οἷς ἀνέγνωτε τοὺς ὅρους, ἐδείξατε, ὅτι οὐ δεῖ προσθεῖναι. ἀπὸ δὲ τοῦ τρίτου ἐσπουδάσατε ἵνα ἀποδείξητε, ὅτι οὔτε ὀρθόν ἐστιν, οὔτε ἀναγκαῖον. ἀπὸ δὲ τούτων τῶν τριῶν συνάξαντες ἐποιήσατε τὸ τετάρτον, ὅτι δηλαδὴ τὰς ἀρὰς φοβούμενοι οὐ προσθήσετε. λείπεται τοιγαροῦν, ἵνα ἀρξώμεθα ἀπὸ τοῦ πρώτου, ὅτι ὃ λέγομεν οὐκ ἔστι προσθήκη, ἀλλ' ἔστιν ἀνάπτυξις καὶ σαφήνεια. δεύτερον ὅτι οὐ κωλύεται ἡ ἀνάπτυξις. πρὸς δὲ τὸ τρίτον πειρασόμεθα ἀποδεῖξαι τῇ τοῦ θεοῦ χάριτι, ὅτι ἐστὶ χρήσιμον καὶ ἀναγκαῖον καὶ ἀληθές. τέταρτον ἀποδείξομεν ἐκ πολλῶν καὶ ἀναγκαίων λόγων, ὅτι δεῖ πάντα Χριστανὸν πείθεσθαι τῇ ἀληθείᾳ ἐξ ἅπαντος τρόπου. καὶ εἰς μὲν τὸ πρῶτον, ἐπειδὴ ἐζητήθη παρὰ τῆς αἰδεσιμότητος ὑμῶν, ἵνα λέγηται ἕκαστον κεφάλαιον εὐσυνόπτως καὶ καλῶς, λέγω οὕτως· Οὐδεμία ἔκθεσις, ἀνάπτυξις ἢ σαφήνειά τινος ἐπιστήμης ἢ μαθήματος ῥηθεὶη ἂν προσθήκη· ἀλλὰ τό· Ἐκ τοῦ Υἱοῦ, λεγόμενον ἐν τῷ συμβόλῳ, ἐμπεριέχεται τῇ· Ἐκ τοῦ Πατρὸς, φωνῇ, ἐξήγησις ὂν αὐτοῦ καὶ ἀνάπτυξις· οὐκ ἄρα ἐστὶ προσθήκη. ἡ τοιαύτη ἀκολουθία καὶ ὁ τοιοῦτος συλλογισμὸς ἄριστός ἐστι, καὶ οὐ δύναται ἀρνηθῆναι. λείπεται δεῖξαι τὴν μείζονα τούτου τοῦ συλλογισμοῦ καὶ τὴν ἐλάττονα. ἡ μείζων ἀποδείκνυται τοῦτον τὸν τρόπον. τὸ προστιθέμενόν τινι προστίθεται ἔξωθεν. τοῦτον τὸν τρόπον νοοῦσι καὶ οἱ φιλόσοφοι, καὶ μάλιστα ὁ Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς, ὅπου ἐκεῖνος λέγει περὶ θρέψεως· λέγει γάρ· Ἀνάγκη τὸ τρεφόμενον τρέφεσθαι προστιθεμένου τινὸς ἔξωθεν. εἰ δὴ πᾶσα πρόσθεσις ἔξωθεν, ἡ δ' ἀνάπτυξις καὶ σαφήνεια οὐκ ἔξωθεν, ἀλλ' ἀπὸ τῶν ἐγκειμένων, ἕπεται, ὁσάκις

γίνεται ἔκθεσις ἢ ἀνάπτυξις ἐπιστήμης τινὸς ἐμπεριεχομένης τῷ προϋποκειμένῳ, μὴ εἶναι προσθήκην. ἐπεὶ καὶ ἄλλως ἀκολουθεῖ πολλὰ ἄτοπα, ἐὰν δῶμεν τοῦτο, ὅτι πᾶσα ἀνάπτυξις ἢ σαφήνειά ἐστι προσθήκη. δώσομεν οὕτω τὴν ἱερὰν γραφὴν δέξασθαι προσθήκας πολλάς. τῶν γὰρ κατὰ Νίκαιαν συνελθόντων πατέρων ἐκθέντων τὸ ἑαυτῶν σύμβολον ὡς ἐξέθεντο, οἱ πατέρες οἱ συνελθόντες ἐν τῇ δευτέρᾳ οἰκουμενικῇ συνόδῳ, ἐποίησαν προσθήκην δοκοῦσαν. ὅμως εἶπον, ὅτι ἐστὶν αὐτὰ ἅπερ εἶπον οἱ πρῶτοι πατέρες. καὶ τούτων μάρτυς ὁ καὶ παρὼν ἐν ταύτῃ θεολόγος Γρηγόριος γράφων πρὸς Κληδόνιον οὕτως· Ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν ἁγίων πατέρων τῶν ἐκεῖ συνελθόντων ἐπὶ καθαιρέσει τῆς ἀρειανικῆς αἱρέσεως. οὐδὲν οὔτε προετιμήσαμεν πώποτε, οὔτε προτιμᾶν δυνάμεθα· ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον περὶ τοῦ ἁγίου Πνεύματος. διὰ τὸ μὴ κεκινῆσθαι τηνικαῦτα τοῦτο τὸ ζήτημα, ὅτι μιᾶς θεότητος εἰδέναι χρὴ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα. θεὸν καὶ τὸ Πνεῦμα γινώσκοντας.

Ἀπὸ τούτων ἡμεῖς λέγομεν, ὅτι εἰ καὶ πολλὰ ἐξετέθησαν ἐν τῇ δευτέρᾳ συνόδῳ, ἀλλ' οὖν οὐκ ἦσαν προσθήκη, ἀλλ' ἀνάπτυξις καὶ σαφήνεια. καίτοι γε ἐν τῷ τῆς πρώτης συμβολῷ, οὐκ ἐλέγετο· Ὁρατῶν τε πάντων καὶ ἀοράτων. ἀλλ' οὐδὲ ἐλέγετο, τὸν Υἱὸν γεννηθῆναι πρὸ πάντων τῶν αἰώνων. ἀλλ' οὐδέ· Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. ἀλλ' οὐδέ· Τὸ Πνεῦμα ἅγιον, κύριον καὶ ζωοποιόν. ὅμως οἱ ἐν τῇ δευτέρᾳ θέντες τὰ τοιαῦτα οὐκ ἐλογίσαντο προσθεῖναι οὐδὲν, καὶ ὡς οὐδεμιᾶς γενομένης προσθήκης ὁ μακάριος Γρηγόριος λέγει, μηδὲν ἄλλο πιστεύειν, ἢ ὅπερ εἶπον οἱ πατέρες οἱ κατὰ Νίκαιαν. μᾶλλον μὲν οὖν εἰ βούλεσθε ἀκριβῶς κατανοῆσαι οὐδεμία ἐγένετο ἑπομένως σύνοδος, ἥτις οὔτε ἀφεῖλεν, οὔτε προσέθηκε. καὶ γὰρ ἐν μὲν τῇ δευτέρᾳ ἀφῃρέθη τό· Ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἀπὸ τῆς πρώτης. καὶ αὖθις ἡ τετάρτη ἀντὶ τούτου ὅπερ ἐλέγετο ἐν τῷ πρώτῳ συμβόλῳ· Γεννηθέντα ἐκ τοῦ Πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, εἶπον ἐκεῖνοι. Ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. ἐναντιούμενοι τῇ δόξῃ τοῦ Εὐτυχοῦς. φαίνεται ἄρα τὸ ποιῆσαί τινος πράγματος ἔκθεσιν ἢ ἀνάπτυξιν, οὐκ ἔστι προ-

σθήκη, ἀλλὰ σαφήνεια τοῦτο βουλόμεθα δεῖξαι διὰ μαρτυρίας καὶ ῥητοῦ τῆς ὑμῶν αἰδεσιμότητος. ὁ κύριος γὰρ ὁ Ἐφέσου ὡς ἐξ ἀνθυποφορᾶς τὸν λόγον ποιούμενος, ἐζήτησεν ἕτερον ἐπενδυόμενος πρόσωπον, τίνος χάριν οἱ ἐν τῇ τρίτῃ οὐκ ἐποιήσαντο μνείαν τοῦ τῆς δευτέρας συμβόλου, ἀλλὰ τοῦ τῆς πρώτης μόνου. καὶ λύσας ἄριστα καὶ σοφώτατα τὴν ἀπορίαν εἶπε διὰ τὸ εἶναι ἄμφω ταῦτα ὡς ἓν, καὶ μηδὲν διαφέρειν, καίτοι γε προσετέθησαν πολλὰ, ὡς φαίνεται, καὶ ἐν συλλαβαῖς καὶ ἐν λέξεσιν, ἃ οὐκ ἦσαν ὡς ἔοικε προσθῆκαι, διὰ τὸ εἰς τὸν αὐτὸν νοῦν φέρειν. Ἐκ τούτων οὖν ἁπάντων ἀναφαίνεται εἶναι φανερὰν τὴν μείζονα, δηλαδὴ μὴ εἶναι μηδὲ λέγεσθαι προσθήκην μηδεμίαν σαφήνειαν ἢ ἀνάπτυξιν. λείπεται ἤδη ἀποδεῖξαι τὴν ἐλάττονα, ἐν ᾗ καὶ πλείων κόπος, ἤτοι τό· Ἐκ τοῦ Υἱοῦ, ἐξήγησίς ἐστι καὶ σαφήνεια· ὥστε δηλονότι, ἐν οἷς λέγεται ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἅμα νοεῖσθαι καὶ ἐκ τοῦ Υἱοῦ· καὶ πρὸς τοῦτο οὐ προσοίσω ἄλλας ἀποδείξεις, ἢ τῶν ὑμετέρων ἁγίων· καὶ ἀποδείξω ἐν τῇ μείζονι, ὅτι ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ καθὼς καὶ ἐκ τοῦ Πατρὸς, καὶ δείξω ἐκ τῶν ὑμετέρων ἁγίων· Ὁ γὰρ μακάριος Κύριλλος ἐν τῇ κατὰ Ἰωάννην ὁμιλίᾳ, ὅπου λέγεται· Ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον πέμψαι ὑμῖν, λέγει· Τῶν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς οὐσιωδῶν ἀγαθῶν ὑπάρχων ὁ Υἱὸς κοινωνὸς, ἔχει καὶ τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὅπερ ἂν νοοῖτο καὶ ὁ Πατὴρ, οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν· εὔηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν· ἀλλ' ὥσπερ καὶ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὰ ἔξω προχέει· διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς αὐτὸ ἐνεφύσησεν ὁ Σωτὴρ, δεικνὺς ὅτι καθάπερ ἐκ τοῦ στόματος τοῦ ἀνθρωπίνου πρόεισι τὸ πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτῆς. Ἀπὸ τούτων συμπεραίνει, ὅτι ἐπειδὴ ὁ Υἱὸς ἔχει πάντα τὰ τοῦ Πατρὸς ἀγαθὰ κατὰ φύσιν καὶ οὐσιωδῆ, ἔξει καὶ τὸ ἐκπορεύειν τὸ πνεῦμα καθὼς καὶ ὁ Πατὴρ, μενόντων τῶν προσωπικῶν ἰδιωμάτων. ἐξ ὧν ἕπεται ἔχειν τὸν Υἱὸν πρὸς τὸ Πνεῦμα, ὥσπερ καὶ τὸν Πατέρα. καὶ ἵνα μήτις νομίσῃ περὶ πνευματικοῦ τινος χαρίσματος, ἀλλ' οὐχὶ περὶ αὐτοῦ τοῦ Πνεύματος λέγειν, τοῦτο ὁ Σωτὴρ ἡμῶν σαφηνίζει ἐν ἐκείνῳ τῷ ῥητῷ τῷ. Λάβετε Πνεῦμα ἅγιον.

ἀλλ' ἐκ τῆς τρίτης ὑποθέσεως ὑπέκειτο, ὅτι τὸ Πνεῦμα μετὰ τῆς προσθήκης τὸ ἓν τῶν θείων προσώπων δηλοῖ, ἕπεται ἄρα τὸν Υἱὸν ἐκπορεύειν τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ὁ Πατήρ. καὶ ἴσως εἴποι τις, ὅτι τὸ ἰδίωμά ἐστιν ἀπολελυμένον καὶ καθ' ἑαυτὸ, καὶ οὐ νοεῖται ἐκεῖνο περὶ τῆς τοῦ Πνεύματος ὑποστάσεως. ἀλλ' ἡμεῖς πρὸς τὸ δεῖξαι τὸ ἐναντίον τούτου, καὶ ὅτι περὶ τῆς τοῦ Πνεύματος ὑποστάσεώς ἐστιν ὁ λόγος, προσάξομεν ἄλλον μάρτυρα τὸν μέγαν Βασίλειον· ὅστις ἀποδείξει ὑμῖν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὕτως ἔχειν, ὥστε μηδενὶ τρόπῳ τὸν Πατέρα νοεῖσθαι μὴ συννοουμένου τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· μηδὲ τὸν Υἱὸν μὴ συννοουμένου τοῦ Πνεύματος· Ὁ τὸ Πνεῦμα νοήσας φησὶν, αὐτό τε ἐφ' ἑαυτοῦ ἐνόησε καὶ τὸν οὗ ἐστι Πνεῦμα, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο, ὁ δὲ τοῦτο λαβὼν, τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἀπεμέρισεν· ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν κατὰ ταὐτὸ συγκεκραμένων, ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο. καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν, συμπεριέλαβε τῇ ὁμολογίᾳ καὶ τὸν, οὗ ἐστι Πνεῦμα. καὶ ἐπειδὴ τοῦ Χριστοῦ ἐστι τὸ Πνεῦμα, καὶ ἐκ τοῦ Θεοῦ, καθώς φησιν ὁ ἀπόστολος*, ὥσπερ ἐξ ἁλύσεως ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, δι' αὐτοῦ καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν συνεφειλκύσατο. καὶ τὸν Υἱὸν εἴ τις λάβῃ, ἕξει αὐτοῦ ἑκατέρωθεν τῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, τῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. οὐ γάρ ἐστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν ἢ Υἱὸν χωρὶς Πατρὸς νοηθῆναι ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ διαζευχθῆναι.

* Ῥωμ. 8, 9.

Αἰδεσιμώτατοι πατέρες, οὕτως ἔχουσι τὰ θεῖα πρόσωπα πρὸς ἄλληλα, ὥστε νοεῖσθαι καὶ τὰ ἄλλα πρόσωπα νοουμένου τούτων ἑνός. ὥστε συμβαίνει, ὅστις νοεῖ τὸν Πατέρα ὅτι προβάλλει τὸ Πνεῦμα, ἀνάγκη νοεῖν προβάλλειν αὐτὸ καὶ τὸν Υἱόν. καὶ ἵνα μὴ δόξῃ δυσχερὴς καὶ ἄπιστος ὁ ἡμέτερος λόγος, θέλω προσάξαι τὸν αὐτὸν Βασίλειον μάρτυρα λέγοντα ἐν τῷ περὶ πίστεως λόγῳ· ὅτι ὅσα ἔχει ὁ Πατὴρ ἔχει καὶ ὁ Υἱὸς, σωζομένου ὅτι ὁ Υἱὸς οὐκ ἔστι Πατὴρ, πάντά ἐστιν ὁ Υἱὸς ὅσα καὶ ὁ Πατὴρ, δίχα τοῦ εἶναι μονὸν Πατήρ. Πατέρα εἶπον καὶ Υἱόν· φύλασσέ μοι ταύτας τὰς ἰδιότητας. μένων οὖν ὁ Υἱὸς ἐν τῷ εἶναι Υἱὸς, πάντα ἐστὶν ὅσα καὶ ὁ

Πατὴρ κατὰ τὴν αὐτοῦ φωνὴν τοῦ Κυρίου εἰπόντος· Ὅσα ἔχει ὁ
* Ἰω. 16, 15. Πατὴρ ἐμά ἐστι. * τῷ ὄντι γὰρ τῆς εἰκόνος ἐστὶ πάντα ὅσα πρόσεστι τῷ πρωτοτύπῳ. Οἱ αἰδεσιμώτατοι πατέρες σὺν ἐμοὶ λέγουσιν ὅσα ἐγὼ, καὶ συμφωνοῦσιν ἐμοί. φαίνεται οὖν πανταχόθεν, ὅτι τὸ προβάλλειν ἐστὶ κοινὸν Πατρὶ καὶ Υἱῷ. ἡμεῖς πολλὰ καὶ σαφῆ καὶ δῆλα περὶ τῆς αὐτῆς ὕλης εἴχομεν καὶ ἄλλα εἰπεῖν, καὶ δεῖξαι ὅτι ἐν τῷ λέγεσθαι, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς, νοεῖται ἐκπορεύεσθαί καὶ ἐκ τοῦ Υἱοῦ· ἀλλ' ἀρκεῖ ταῦτα. ἡ ὥρα βραχεῖά ἐστι, ταμιευσόμεθα ἐν ἑτέρᾳ συνελεύσει. θελήσαι ὁ θεὸς ἀφελεῖν τὴν αἰτίαν τοῦ μὴ ἔχειν ἡμᾶς λέγειν ταῦτα, ἢ περὶ τῶν τοιούτων συζητεῖν. Ἀλλ' ἐπάνειμι ὅθεν ἐξέβην· ἔλεγον μὴ εἶναι προσθήκην, ἐπειδὴ πᾶσα ἀνάπτυξις ἢ σαφήνεια οὐκ ἔστι προσθήκη. ἐν αὐτῇ τῇ ἐλάττονι ἡμεῖς ἀποδείξομεν, ἐν τῷ λέγειν τὸν Πατέρα ἐκπορεύειν τὸ Πνεῦμα, νοεῖσθαι τοῦτο ἐκπορεύειν καὶ τὸν Υἱόν. ὅθεν ἕπεται, τὸ τεθὲν ἐν τῷ συμβόλῳ μὴ εἶναι προσθήκην, ἀλλ' ἀνάπτυξιν. Ἐπὶ τὸ δεύτερον ἔλθωμεν, ὅπερ ἦν ὃ καλεῖτε προσθήκην, ἡμεῖς δὲ οὐ, ἀλλὰ σαφήνειαν, μὴ εἶναι κεκωλυμένον. εἰ γὰρ ἦν προσθήκη, ὅπερ οὐ λέγομεν, οὐκ ἂν ἦν, εἰ μὴ ἔξωθεν τοιαύτη δὲ προσθήκη γράμματος ἢ λέξεως, οὔτε ἐν τῇ ἱερᾷ γραφῇ τῇ παλαιᾷ ἢ τῇ νέᾳ, οὔτε ἐν τοῖς ὅροις τῶν πατέρων, ἢ τοῖς ῥητοῖς τῶν συνόδων, καθὼς ἀποδείξομεν τῇ χάριτι τοῦ θεοῦ, φαίνεται εἶναι κεκωλυμένη, ἄρα οὐ κεκώλυται. εἰ δέ τις εἴποι, καὶ γράμμα καὶ λέξιν κεκώλυται προσθεῖναι ἐν τῇ γραφῇ πολλὰ ἄτοπα ἕψονται. πρῶτον μὲν πάντας τοὺς πατέρας, ὅσοι προσέθηκαν ἐν τῇ ὑποθέσει τῆς πίστεως, ὑπὸ ἀνάθεμα εἶναι, προστιθέντας τοῖς πρὸ αὐτῶν, ἔπειτα δὲ καὶ ὁ ἅγιος Παῦλος λέγει πρὸς Γαλάτας· Εἴ τις εὐαγγελίζεται ὑμῖν, παρ' ὃ παρελάβετε,
* Γαλ. 1, 9. ἀνάθεμα ἔστω. * ἀλλὰ μὴν καὶ τῷ Παύλῳ, καὶ τοῖς αὐτοῦ ῥήμασι, καὶ ἄλλῃ γραφῇ πολλὰ προσετέθη· καὶ οἱ ἅγιοι πατέρες οἱ ἐν Νικαίᾳ πολλὰ εἶπον, ἅτινα οὐ κεῖνται ἐν τῷ συμβόλῳ τῶν ἁγίων ἀποστόλων, ὥσπερ οἱ ἐν τῇ δευτέρᾳ τοῖς ἐν τῇ πρώτῃ, καὶ οἱ ἐν Ἐφέσῳ τοῖς ἐν τῇ δευτέρᾳ. ὥστε προσθήκη κωλύεται ἐν αὐτοῖς, ἡ δ' ἀνάπτυξις οὔ. εἰ γὰρ ὅλως ἀκολουθεῖ ἀνάγκη τῷ γράμματι, ἔτι μᾶλλον μεῖζον ἀτόπημα παρηκολούθησεν ἄν, ἡμᾶς δηλονότι εἶναι ἐν ἁμαρτήματι θανασίμῳ. λέγει γὰρ ὁ αὐτὸς Παῦλος ἐν τῇ

δευτέρᾳ πρὸς Κορινθίους*, ὅτι τὸ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ· οἵτινες παρὰ τοῦ Παύλου κατα τοῦτο ἐλέγχονται, ὡς τῶν Ἰουδαίων ὄν· οὐ χρὴ λοιπὸν ἀποβλέπειν πρὸς ἃ ἀποκτείνουσιν. ὅτι καὶ τοῦτό ἐστιν ἐναντίον τῶν ὑμετέρων διδασκάλων· ὁ μακάριος γὰρ Γρηγόριος ὁ Θεολόγος λέγει· Περὶ τῶν ὀνομάτων εὖ ζυγομαχήσομεν, ἕως ἂν αἱ συλλαβαὶ πρὸς τὸν αὐτὸν νοῦν φέρωσι. καὶ ὁ ὑμέτερος διδάσκαλος Γρηγόριος ὁ Παλαμᾶς, ὃν ὑμεῖς περὶ πλείονος ποιεῖσθε, τὸ αὐτὸ λέγει, λέγων· Λέξεων ἐμοὶ λόγος ὀλίγος· οὐ γὰρ ἐν ῥήμασι μόνον, ἀλλ' ἐν πράγμασιν ἡ εὐσέβεια κατὰ τὸν Θεολόγον Γρηγόριον· περὶ δογμάτων δὲ καὶ πραγμάτων ποιοῦμαι λόγον, κἂν τις ἐπὶ τῶν πραγμάτων συμφωνῇ, πρὸς τὰς λέξεις οὐ διαφέρομαι. Ἐπειδὴ πατέρες αἰδεσιμώτατοι, ὁ διδάσκαλος ἐκεῖνος οὐ ποιεῖται φροντίδα λέξεων, οὐδ' ὑμεῖς ὀφείλετε περὶ λέξεων ποιεῖσθαι λόγον. εἰ δὲ λέγεται, ὅτι οἱ πατέρες ἐποίησαν τοῦτο οἱ ἐν ταῖς συνόδοις τοῦτο κωλύσαντες, ἐν ἰδίῳ καιρῷ ἀπολογήσομαι. ἀλλὰ κατὰ τὸ παρὸν λέξομεν τοῦτον τὸν τρόπον· Ὡς οὐ χρὴ ἐγκαλεῖσθαι λέξεσι καὶ συλλαβαῖς, παραδείγματι μικρῷ χρήσομαι· οἷον τὸ σύμβολον τοῦτο ἡμεῖς μὲν ῥωμαϊστὶ λέγομεν, ὑμεῖς δὲ ἑλληνιστὶ, καὶ ἄλλοι ἄλλως. καὶ ἐν ταῖς λέξεσι πολὺ διαφέρομεν· ἀλλ' ὅμως διότι τοῖς νοήμασι συνερχόμεθα, οὐδεμία κώλυσίς ἐστιν. εἴπωμεν καὶ ἕτερον λόγον ἁπτόμενον καὶ φιλοσόφου λόγου· ὁρῶμεν ἐν ἑκάστῃ ἐπιστήμῃ καὶ τέχνῃ, ὅτι χρὴ διδόναι καὶ ἀρχὰς καὶ ἀξιώματα, ἅτινα συνέχουσι δυνάμει τὰ πάντα καὶ περιέχουσι δυνάμει πάντα τὰ μετ' αὐτὰ καὶ τὰ συμπεράσματα. καὶ οἱ διδάσκαλοι ὅμως οὐκ ἀρκούμενοι ἐξηγοῦνται διὰ συλλογισμῶν, δι' ἐπιχειρημάτων, δι' ἐπαγωγῆς καὶ ἑτέρων παραδειγμάτων, καὶ οὐδεὶς λέγει εἶναι ἑτέραν ἐπιστήμην· καὶ μάρτυς ὁ Ἀριστοτέλης ἐν δευτέρῳ τῶν δευτέρων Ἀναλυτικῶν· Τὰ μετὰ τὰς ἀρχὰς, ἕως ἂν εἰς τὴν αὐτὴν ἀρχὴν φέρωσι, δυνάμει ἐν αὐταῖς ἐμπεριέχονται. ἔχομεν οὖν καὶ ἡμεῖς κοινὰς ἀρχὰς καὶ ἀξιώματα θεολογικὰ, ἅτινά εἰσιν κοινὰ ἀμφοτέροις, καὶ παρ' ἀμφοτέρων πιστεύονται. ἐκ τούτων οὖν ἔσται δεῖξαι, καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. ὅθεν ἐκ τούτων ἀναφαίνεται πάντων, μὴ εἶναι προσθήκην τοῦτο ὃ λέγει ἡ Ῥωμαϊκὴ ἐκκλησία. ὅτι καὶ ἄλλως δείξομεν, ὅτι οὐδενὶ τρόπῳ κεκώλυται προσθεῖναι λέξεις ἢ συλλαβὰς, οὔσης

* Κορ β' 3, 6.

ἀνάγκης. καὶ γὰρ ὡς λέγει Παῦλος· Εἷς κύριος, μία πίστις, ἓν
* Ἐφεσ. 4, 5. βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ πάντων, * μία ἐκκλησία· ἄρα καὶ τὸ αὐτὸ ἀξίωμα. εἰ γοῦν ταύτῃ τῇ ἐκκλησίᾳ κατὰ καιροὺς διαφόρους, οὔσης ἀνάγκης ἐξῆν προσθεῖναι, αὕτη ἡ ἐξουσία οὐ κωλυθήσεται παρὰ τῶν μετὰ ταῦτα. αὐτὸς γὰρ ὁ σωτὴρ λέγει· Ἐγὼ ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας μέχρι τῆς συντελείας τοῦ
* Ματθ. 28, 20. αἰῶνος. * τοῦτο δὲ οὐ δεῖ νοεῖσθαι περὶ τοῦ ἁπλῶς ἡμῖν συνεῖναι καὶ κυβερνᾶν, ὅτι τῷ τρόπῳ τούτῳ σύνεστι καὶ τοῖς λίθοις καὶ τοῖς φυτοῖς καὶ πᾶσι τοῖς ἐμψύχοις· ἀλλὰ τῷ ἑνοῦν πάντας ἡμᾶς χάριτι καὶ μιᾷ πίστει, ὅπερ οὐκ ἔστιν εὑρεῖν ἐν τοῖς ἑτέρᾳ πίστει διαιρουμένοις μέλεσι. φαίνεται οὖν μὴ εἶναι κεκωλυμένον προσθεῖναι λέξεις ἢ συλλαβὰς οὔσης ἀνάγκης, παρὰ γὰρ ταῦτα ἐπηκολούθησεν ἂν μεγίστη ζημία τοῖς Χριστιανοῖς. ἀναφυομένων ἑκάστοτε πολλῶν καὶ διαφόρων αἱρέσεων, ἀνάγκη ἐστὶ τὴν ἐκκλησίαν προΐστασθαι τοῖς τοιούτοις διὰ διδαχῆς, δι' ἐπιχειρημάτων. τοῦτο δοκιμάζουσι καὶ οἱ ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ ἐν Κωνσταντινουπόλει· ἐκεῖνοι γὰρ πρῶτοι προσέθηκαν πρῶτον, καὶ παραιτοῦνται λέγοντες· Εἰ ἦν δυνατὸν εἶναι τὴν ἐκκλησίαν σταθηρὰν καὶ ἀζήμιον, οὐκ ἂν ἐδέησε προσθήκης· ἀλλ' ἐπειδὴ θεωροῦνται κίνδυνοι ἐν τῇ ἐκκλησίᾳ, ἐγένετο χρεία διασαφηνίσαι ἐν τῷ συμβόλῳ ἐκείνῳ. διὰ τοῦτο καὶ ἡ ἐκκλησία τῆς Ῥώμης ἐποίησε τοῦτο ἐν καιρῷ ἀνάγκης. εἰ δὲ τοῦτο κεκώλυται, δείξατε ἐν ποίῳ. ἐν τοῖς ὅροις τῶν πατέρων οὐ κεκώλυται, ἀλλὰ μόνον λέγεται, ἑτέραν πίστιν μὴ ἐξεῖναι προφέρειν ἢ συγγράφειν ἢ συντιθέναι. ἰδοὺ ἠκούσατε τὸ ῥηθὲν παρὰ τῶν πατέρων τῶν ἐν τῇ Ἐφέσῳ, μὴ ἐξεῖναι ἑτέραν πίστιν συντιθέναι. ὅθεν ἕπεται, ὅτι καὶ ὅσαι ἄλλαι σύνοδοι ἠκολούθησαν καὶ ἐποίησαν κώλυμα, ἢ ἅγιός τις εἶπε περὶ συλλαβῆς ἢ λέξεως, τοῦτο ὀφείλει ἀναφέρεσθαι πρὸς τούτους τοὺς ἐν τῇ τρίτῃ συνόδῳ, καὶ ἐντεῦθεν ἐξηγεῖσθαι καὶ τὰ τῶν ἄλλων. καθ' ὃν τρόπον καὶ οἱ μετὰ ταῦτα γεγονότες διεμαρτύραντο, οὐδενὶ τρόπῳ ποιεῖν ἄλλως, ἢ ὃ προεῖπον οἱ πατέρες. ἀλλ' οἱ πρῶτον κωλύοντες ποιοῦνται μνείαν κωλύματος προσθήκης ἑτέρας πίστεως, ὥστε καὶ τὰ ἄλλα ἀνάγκη φέρεσθαι πρὸς τούτους. εἰ γὰρ καί τινες λέγουσι περὶ λέξεων καὶ συλλαβῶν, ὀφείλει ἀναφέρεσθαι πρὸς τὴν διάνοιαν τῶν πρώτων πατέρων, ὥσπερ εἴπομεν. ἐκείνας γὰρ τὰς λέξεις

δεῖ παραιτεῖσθαι, αἵτινες εἰς ἄλλην ἔννοιαν φέρουσιν. ὥσπερ γὰρ ἀποπεμπτέαι αἱ ἄλλαι ἔννοιαι, οὕτω καὶ αἱ ἄλλαι λέξεις ἄλλην ἔχουσαι ἔννοιαν ἀποπεμπτέαι εἰσίν. ὅθεν ἕπεται, ὅτι ἐκεῖνα τα κωλύματα οὐχ ἅπτονται ἡμῶν. καὶ ὃ λέγετε προσθήκην, λέγομεν ἀνάπτυξιν· καὶ τὴν αὐτὴν ἔννοιαν ἔχον οὐκ ἔστιν ἑτέρα πίστις. ἕπεται ἄρα, ὅτι οὐχ ὑποκείμεθα τῷ ἀναθέματι. εἴχομεν καὶ πλείονα ἄλλα εἰπεῖν περὶ τούτου ἐν τῇ τετάρτῃ συνόδῳ, ἀλλὰ καιρός ἐστιν ἀναστῆναι. Τούτων οὕτως εἰρημένων παρὰ τοῦ 'Ρόδου, ἐλύθη ἡ σύνοδος. Τῇ ἑξῆς δὲ συνελεύσει συνῆψεν ὁ 'Ρόδου τὴν ἀπολογίαν ἥντινα τῇ παρούσῃ τελειῶσαι οὐκ ἠδυνήθη.

'Οκτωβρίου πέμπτῃ καὶ εἰκοστῇ, τῷ σαββάτῳ ἐγένετο.

ΣΥΝΕΛΕΥΣΙΣ ζ.

'Ο 'ΡΟΔΟΥ. Μετὰ τῆς χάριτος καὶ εὐλογίας τῆς ἁγιωσύνης σου, Πάτερ μακαριώτατε, καὶ μετὰ ἀρεσκείας τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως καὶ τοῦ αἰδεσιμωτάτου πατρὸς κυρίου τοῦ πατριάρχου, προχωρήσομεν ἐπὶ τὴν ἡμετέραν ἀπολογίαν. Ἐν τῇ τελευταίᾳ ἡμῶν ὁμιλίᾳ, ὡς οἴδατε πατέρες ἄριστοι, δύο τινὰ ἐλύθησαν παρ' ἡμῶν· πρῶτον, ὅτι ὅπερ πιστεύει ἡ ἁγία τοῦ θεοῦ 'Ρωμαϊκὴ ἐκκλησία, οὐκ ἔστι προσθήκη. δεύτερον, ὅτι οὐ κεκώλυται ἡ προσθήκη. λείπονται δύο τὰ ἐπακολουθοῦντα, ὅτι τί ἐστιν ἀληθὲς καὶ ἀναγκαῖον, καὶ ὅτι ἐστὶ πρέπον δέχεσθαι καὶ δοκιμάζειν τοῦτο πάντα Χριστιανόν. ἀλλὰ πρὸ τοῦ ἐλθεῖν ἡμᾶς εἰς τὴν πραγματείαν τούτων τῶν δύο μερῶν, πρότερον ἐρῶ τινα. πρῶτόν ἐστιν, ὅτι τὸ τρίτον μέρος, ὅτι δηλαδὴ ἀληθές ἐστι καὶ ἀναγκαῖον, ἐφαίνετο ἡμῖν, τῷ ἁγιωτάτῳ δηλονότι πατρὶ καὶ πᾶσι τοῖς ἄλλοις, εἶναι ἁρμοδιέστατον. ἐν πάσῃ γὰρ διαγνώσει ἀναγκαῖόν ἐστι ζητεῖσθαι τὸ ἀληθές. τοῦ γὰρ ἀληθοῦς ἀναφανέντος, ῥᾳδίως πάντα διαλυθήσονται τὰ δοκοῦντα ἐναντιοῦσθαι. μάρτυς ἐστὶ τούτου ὁ ὑμέτερος 'Αριστοτέλης· φησὶ γὰρ τῷ ἀληθεῖ πάντα συμφωνοῦσι, τῷ δὲ ψεύδει τάχιστα διαφωνεῖ ἡ ἀλήθεια. ἡγησάμεθα τοιγαροῦν, ὅτι ἀποδειχθέντος τοῦ ἀληθοῦς, ῥᾳδίως ἀποδείξομεν, ὅτι ἐξῆν τῇ 'Ρωμαϊκῇ ἐκκλησίᾳ ἐκεῖνο ποιῆσαι, ὅπερ ὑμεῖς καλεῖτε προσθήκην.

συνωθούμεθα δὲ μάλιστα τοῦτο ποιῆσαι, τοῖς ὑμετέροις λόγοις καὶ συχναῖς παρακλήσεσι. καὶ γὰρ καὶ ἐν ταῖς κοινῇ καὶ ἰδίᾳ ὁμιλίαις παρεκαλεῖτε ἡμᾶς ἀεὶ πρὸς τὴν τῆς ἀληθείας συζήτησιν. τοῦτο δὲ φαίνεται δι' ὧν ἡμῖν δεδώκατε γραφῶν· μάλιστα δὲ ἐπειδὴ ὁ αἰδέσιμος κύριος ὁ Ἐφέσου ἐν τῇ πρώτῃ αὐτοῦ προτάσει ἐζήτησεν, ἵνα ἀποδῶμεν λόγον, τίνι λόγῳ ἡ Ῥωμαϊκὴ ἐκκλησία τὴν προσθήκην ἐν τῷ συμβόλῳ πεποίηκεν. ἐδέησεν οὖν ἡμᾶς χαρίσασθαι τοῖς πατράσι τούτοις καὶ ζητῆσαι τὴν τοῦ πράγματος ἀλήθειαν. ὅτι μὲν οὖν ἡ σαφήνεια ἐκείνη τέθειται ἐν τῷ συμβόλῳ, πᾶσίν ἐστιν δῆλον. ὅτι δὲ χρεία ἦν διασαφηνισθῆναι τὸ τοιοῦτον, ἴσως ἂν ἀμφιβάλειέ τις. ἀλλ' ὅτι ἀναγκαῖόν ἐστι καὶ ἀληθὲς καὶ ἀποδειχθέντος τοῦ ἀληθοῦς, εἵπετο ἀναγκαίως καὶ τοῦτο τεθῆναι, ἀνάγκης μάλιστα προϋποκειμένης καὶ συνωθούσης, ἀπὸ τούτου δείξοντες ἐρχόμεθα. οὔτε μὴν αἱ ἀντιθέσεις αἱ ἡμῖν ἐπιφερόμεναι χώραν ἔχουσι δοκεῖν. ἐῤῥήθη γὰρ, ὡς ἡμῖν ἀνηνέχθη, ὡς οὔτε τὰ δέοντα ἐτηρήσαμεν, καὶ ὅτι κατεστρέψαμεν τὰ εἰκότα, καὶ ὅτι οὐκ ἀπελογούμεθα πρὸς τὰ προτεινόμενα. ἡμεῖς δὲ χάριτι θεοῦ οὐδὲν ἐποιήσαμεν τούτων. πρὸς μὲν οὖν τὸ πρῶτον, ὑμεῖς προτείνατε ὅσον ἤρεσεν· ἔξεστιν οὖν καὶ ἡμῖν εἰπεῖν ὅσα ἂν βουληθῶμεν, καὶ ἀποκριθῆναι ὑπὲρ τοῦ ἡμετέρου δικαίου· οὔτε πιστεύω, ὡς τοῦτο τῷ λόγῳ ἀπῳδὸν δόξειε. πρὸς ὃ δὲ λέγεται, ὅτι κατεστρέψαμεν τὰ εἰκότα, μετὰ τιμῆς τοῦτο οὐ συνίσταται. ὁ δὲ λόγος· ἔξεστι τῷ τε ἐναγομένῳ ἐν δικαστηρίῳ καὶ τῷ ἀπολογουμένῳ ἐν τῇ τῶν φιλοσόφων παλαίστρᾳ, ἀναμιγνύειν ἐνίοτε τὰ καθήκοντα μεταξὺ τοῦ συλλόγου. καὶ ὁ ἀπολογούμενος ἀνάγκην ἔχει ἀποδεῖξαί τι, καὶ προληφθείσης τινὸς ἀληθείας πρὸς τὰ λοιπὰ χωρῆσαι. οὐ μὴν διὰ τοῦτο τὸ τοῦ προτείνοντος νοσφίζεται δίκαιον. πρὸς δὲ τὸ τρίτον, ὅτι οὐδὲν ὅλως πρὸς τὸ προκείμενον φαίνεται ἀντικείμενον· καὶ διὰ τοῦτο μάλιστα, ἐπειδὴ οὔπω μετεχειρισάμεθα τὸ τρίτον μέρος. ἐρωτώντων γὰρ ὑμῶν, πότερον ἐξῆν προσθεῖναι ἢ ὁπωσοῦν σαφηνίσαι, οὕτως ἀπεκρινάμεθα. οὐ γὰρ ἂν δυναίμεθα ἀρνηθῆναι μὴ τοῦτο πεποιηκότες, οὔτε μὴν ὑποτιθέναι ἄγνοιάν τινα ἢ προσποίησιν. ἀναγκαῖον ἄρα ἐστὶν ἐλθόντας πρός τι μέρος, ἀποδεῖξαι ὡς εἴη τε ἀληθὲς καὶ ἀναγκαῖον. ἄριστα τοιγαροῦν ἡ μερὶς ἐτέθη. ἀλλὰ μὴν ἐπειδὴ ὑμεῖς, ὦ πατέρες αἰδεσιμώτατοι,

βαρέως τοῦτο ὡς φαίνεται ἠνέγκατε, ἐπαγγελλόμενοι μὴ βούλεσθαι ἀποκριθῆναι πρὸς τὰ τοιαῦτα· θέλοντες ἡμεῖς ὑμῖν κἂν τούτῳ τῷ μέρει χαρίσασθαι, παραλείψομεν μὲν τὸ τρίτον μέρος ἐκεῖνο, ἀντ' ἐκείνου δὲ ἐροῦμέν τινα, δι' ὧν βεβαιωθήσονται τὰ προηγησάμενα ἡμέτερα δίκαια, καὶ ἅτινα συνοίσουσι πρὸς τὰ μετέπειτα ῥηθησόμενα. ἅμα δὲ φανήσεται πᾶσιν; ὡς ἡμεῖς πρὸς τὸ προκείμενον ἀπολογούμεθα. ἀφ' ὧν ὑμεῖς αὐτοὶ καὶ προηνέγκατε καὶ ἀνεγνώκατε. ἐξ ὧν φανήσεται, ἄν τε ἡμεῖς αἰτίαν ἔχωμεν ἐν οἷς ἡμῖν ἐγκαλεῖτε, ἄν τε καὶ μή. καὶ πρῶτον μὲν προέθεσθε τὸ ἐν Νικαίᾳ σύμβολον· οὐκ οἴδαμεν δὲ, τίνι τρόπῳ τοῦτο προέθεσθε. κατ' οὐδὲν γὰρ ἡμῖν ἐκεῖνο προσίσταται, οὐδ' ἐναντίον ἐστίν. ἡμεῖς διελέχθημεν περὶ τοῦ ἁγίου Πνεύματος, εἴπερ ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ, καθάπερ ἐκ τοῦ Πατρός· καὶ εἰ ἐξῆν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ σαφηνίσαι τοῦτο. ἀλλὰ μὴν ἐν τῷ εἰρημένῳ συμβόλῳ οὐδὲν ἐναντίον τούτων λέγεται, οὔτε μήν τις ἀρνεῖται· ὥστε οὐ φαίνεται τὸ τοιοῦτον ποιεῖν πρὸς τὸ προκείμενον. λέγουσι γὰρ ἐν ἐκείνῳ τῷ συμβόλῳ οἱ πατέρες, ὃ καὶ ἡμεῖς πιστεύομεν καὶ δεχόμεθα καὶ ὁμολογοῦμεν, τοῦτο ἡμῖν καὶ ὑμῖν ἐξ ἴσου κοινόν. ἀλλ' ἐπειδήπερ ὁ αἰδέσιμος πατὴρ ὁ Ἐφέσου τὰ ἑαυτοῦ ἐκτιθέμενος ἐν τῇ προλαβούσῃ, τινὰς ἐκίνησεν ἀπορίας, ὅτι οἱ πατέρες οἱ γεγονότες ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συνόδῳ ἠθέλησαν ἀπαράτρεπτον καὶ ἀμετακίνητον μένειν ἐκεῖνο τὸ σύμβολον τῆς πρώτης συνόδου, τοῦτο ἀληθές ἐστιν ὅσον πρὸς τὴν τῆς πίστεως τῶν Χριστιανῶν ἀλήθειαν· ὅσον δὲ πρὸς ἀνάπτυξιν, ἔξεστι προσθεῖναι. καὶ καθ' ὃν τρόπον ἐν ἑκάστῃ ἐπιστήμῃ ἐν ταῖς ἀρχαῖς τῆς αὐτῆς ἐπιστήμης πάντα περιέχονται δυνάμει, ἃ τῆς αὐτῆς ἐπιστήμης ἐστὶ καὶ τέχνης, οὕτω καὶ τὸ σύμβολον ἐκεῖνο συνεπτυγμένως περιέχει πᾶσαν τὴν διδασκαλίαν καὶ τὴν πίστιν τῶν Χριστιανῶν, οὐκ ἀνεπτυγμένως, ἀλλὰ συνεπτυγμένως. ἡνίκα γὰρ λέγεται· Καὶ εἰς τὸν Υἱὸν καὶ τὰ λοιπὰ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα, τοῦτο κατὰ τοῦ Ἀρείου λέγεται· ἡνίκα δέ· Εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς εἴη θεὸς, κατὰ Μακεδονίου καὶ Εὐνομίου. πάλιν ἡνίκα λέγεται, τὸν Υἱὸν σαρκωθῆναι καὶ γεννηθῆναι, κατὰ τοῦ Νεστορίου. καὶ εἴτις δεξιῶν ζητοίη, οὐδεμίαν εὑρήσει αἵρεσιν, γενομένην ἢ ἐσομένην, ἥτις οὐκ ἀνατρέπῃ δυνάμει διὰ τοῦ συμβόλου ἐκείνου. ἐπειδὴ τοίνυν ἡ πρώτη

ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὸ θεῖον τοῦτο προήνεγκε σύμβολον, οἱονεὶ θεμέλιον τῆς πίστεως, ἔδει ἀναγκαίως τοῦτο μένειν ἀμεταποίητον· καθ' ὃν τρόπον καὶ ἐν ταῖς ἐπιστήμαις εἴπομεν, εἰ καὶ τὰ συμπεράσματα μεταβάλλονται, αἱ ἀρχαὶ οὐ μεταβάλλονται. ἀφ' οὗ ἕπεται ὅσον ἀπὸ τοῦ συμβόλου ἐκείνου, μηδὲν τὴν ὑμετέραν αἰδεσιμότητα ἔχειν κατὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐγκαλεῖν. ἀναγνωσθήτω δὴ τῆς ἐν Νικαίᾳ συνόδου τὸ σύμβολον.

Ἀνεγνώσθη τὸ σύμβολον τῆς ἐν Νικαίᾳ καὶ ὁ ὅρος τῆς τρίτης συνόδου.

Ἰδοὺ πατέρες αἰδεσιμώτατοι, ἀνεγνώσθη καὶ τῆς τρίτης συνόδου ἡ κώλυσις φωνῇ ὑμετέρᾳ καὶ ἡμετέρᾳ. πάντες ὁμοῦ Λατῖνοι καὶ Γραικοὶ συνῆκαν τοὺς πατέρας ἐκείνους, καὶ δύνανται διηνεκεῖς εἶναι μάρτυρες καὶ κριταί. ἐκεῖσε κεκώλυται, ἑτέραν πίστιν μὴ συντιθέναι ἢ συγγράφειν ἢ προκομίζειν. μετὰ ταῦτα δὲ ὅστις δὲ ἑτέραν πίστιν διδάσκῃ, καὶ τὰ λοιπά. τί τούτων ἡμῶν ἅπτεται; οὐδὲν οὐδαμῶς. ἐδείξαμεν φανερῶς, τὴν αὐτὴν εἶναι πίστιν, πιστεύειν ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ, καθάπερ καὶ ἐκ τοῦ Πατρός. καὶ γὰρ ἐλέγομεν ἐν τῇ προτεραίᾳ ἡμῶν ἐκθέσει, ὅτι ἀνάπτυξις, ἔκθεσις, σαφήνεια προϋπαρχούσης τινὸς ἀληθείας, οὐδενὶ τρόπῳ λέγεται προσθήκη, οὔτε μὴν ἑτέρα πίστις. ἄρα τοίνυν ἐξ ἅπαντος φαίνεται, τὸν ὅρον τοῦτον ἢ τὸ θέσπισμα τῶν πατέρων ἐν οὐδενὶ καθ' ἡμῶν στρατεύεσθαι. ἀναγνωσθήτω ἡ τοῦ Κυρίλλου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἐπιστολῆς πρὸς Ἰωάννην Ἀντιοχείας.

Κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, τὸ παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς. οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβὴν μεμνημένοι τοῦ λέγοντος· Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· * οὐ γὰρ

* Παροιμ. 22, 28.

ἦσαν αὐτοὶ οἱ λαλοῦντες ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς,* ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατά γε τὸν τῆς οὐσίας λόγον. * Ματθ. 10,20.

Πρὸς τοῦτο τῆς τοιαύτης ἐπιστολῆς τὸ μόριον σαφέστατα καὶ φανερώτατα ἀποκριθησόμεθα τῇ χάριτι τοῦ Θεοῦ. Πρῶτον μὲν οὖν λέγομεν οὕτως, ὅτι οἱ πατέρες οὗτοι, ἢ αὐτὸς ὁ μακάριος Κύριλλος, ἀεὶ ἀνάγουσιν ἑαυτοὺς πρὸς ἐκεῖνο τὸ ῥηθὲν ἐν τῇ τρίτῃ συνόδῳ, μάλιστα δὲ ἐπειδὴ ὁ αὐτὸς ἦν ἐκεῖσε παρὼν, καὶ αὕτη ἡ ἐπιστολὴ ἀνεγνώσθη ἐκεῖσε, καὶ ἡ ἁγία ἐκείνη σύνοδος ταύτην προσήκατο. ἐπεὶ δὲ οἱ πατέρες ἐκεῖνοι λέγουσιν, ἑτέραν πίστιν, ὡς εἴρηται, ἄρα καὶ αὕτη ἡ ἐπιστολὴ ἀναφέρεται τούτῳ τῷ τρόπῳ πρὸς ἑτέραν πίστιν. τούτῳ δὲ καὶ τἄλλα θεωροῦνται καὶ φαίνονται τρανῶς καὶ σαφῶς, ἡνίκα λέγει, ὡς οὔτε μὴν ἡμῖν αὐτοῖς ἐπιτρέπομεν τὴν ἐν Νικαίᾳ σαλεύειν πίστιν, πρὸς τούτοις μηδὲ λέξιν μετακινεῖν, μηδὲ συλλαβὴν παραβαίνειν· ἀλλὰ μὴν ἐν τῷ ἡμετέρῳ συμβόλῳ, τῇ χάριτι τοῦ Θεοῦ, οὔτε τι μετακινεῖται, οὔτε μεταποιεῖται· ἀφ' οὗ δὴ ἕπεται, μηδὲν καθ' ἡμῶν τὴν ἐπιστολὴν ἐκείνην στρατεύεσθαι. Ἔτι ἰστέον καὶ τοῦτο, ὅτι αἱ εἰρημέναι κωλύσεις, καὶ πάντων μάλιστα αὕτη, μετὰ τοὺς ὅρους ἐτέθησαν καὶ καθὼς ἐξεγένετο τῇ ἐκκλησίᾳ τιθέναι ὅρους τινὰς καὶ θεσπίσματα ὑπ' ἀνάγκης διαπαντὸς καὶ διασαφήσεις, καὶ τοῦτο οὐκ ἔστιν ἐναντίον τοῖς κωλύμασιν, οὕτω κἂν τῷ συμβόλῳ ἀναπτύξαι τι, οὐκ ἔστιν ἐναντίον τοῖς ὅροις οὔτε μὴν τοῖς κωλύμασιν. ἐπειδὴ δὲ ὁ κύριος ὁ Ἐφέσου εἶπεν ἀνθυποφορικῶς ἀποκρινόμενος, διατί ἡ τρίτη σύνοδος μνείαν ποιοῦσα περὶ τῆς πρώτης συνόδου, περὶ τῆς ἐν Κωνσταντινουπόλει γενομένης οὐκ ἐμνημόνευσεν· ἀπεκρίθη ὁ αὐτὸς ὀρθῶς καὶ καλῶς· διὰ ταῦτα τοῦτο γεγονέναι, ὅτι τὸ αὐτὸ ἦν σύμβολον, εἰ καὶ διαφέρει τοῖς ῥήμασι καί τισι λέξεσιν, οὐ μέντοι γε τῇ ἐννοίᾳ. ἣν δὴ ἀπολογίαν αὐτοῦ ἡμεῖς ὑπὲρ ἡμῶν δεχόμεθα, καὶ εἰς ἡμέτερον τρέπομεν δίκαιον, τὸ αὐτὸ καὶ ἡμεῖς περὶ ἡμετέρου συμβόλου λέγοντες· ὅτι εἰ καὶ ἔχει ἑτέραν λέξιν τινὰ, οὐ μὴν ἕτερον νοῦν ἢ ἑτέραν πίστιν ἢ ἑτέραν διάνοιαν. οὐκ ἄρα ἡμῶν ἅπτεται ἡ κώλυσις αὕτη. ἀναγνωσθήτω ἡ ἐν Χαλκηδόνι σύνοδος.

Ἀνεγνώσθη ὁ ὅρος τῆς συνόδου ἐκείνης.

ΙΟΥΛ. ΚΑΡΔ. Πατέρες αἰδεσιμώτατοι, ἐν τῇ ἐν Χαλκηδόνι συνόδῳ πρῶτον ἀνεγνώσθη τὸ ἐν Νικαίᾳ, ἔπειτα τὸ ἐν Κωνσταντινουπόλει σύμβολον, καὶ τοῦτο οὐ δεῖ ἀναγνῶναι. ἔπειτα λέγει, ὅτι τοῦτο ἀρκεῖ πρὸς τελείαν τῆς πίστεως ἐπίγνωσιν. εἶτα κωλύει ἑτέραν πίστιν προφέρειν, καθὼς καὶ ἡ ἐν Ἐφέσῳ σύνοδος.

Ὁ ῬΟΔΟΥ. Εἰ καὶ τὰ μάλιστα τὸ μέρος τοῦτο οὐ φαίνεταί τι καθ' ἡμῶν ἐπιφέρειν, ὅμως ἐροῦμέν τινα εἰς μείζονα διασάφησιν. φασὶν οἱ πατέρες οὗτοι, ἱκανὸν εἶναι τὸ ἐν Κωνσταντινουπόλει σύμβολον πρὸς διάγνωσιν τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. καὶ τοῦτο ποιεῖ ὑπὲρ ἡμῶν, ὅτι εἰ καὶ τὸ σύμβολον τοῦτο ἀρκεῖ ὅσον πρὸς πίστιν, οὐ μὴν ὅσον πρὸς διασάφησιν. φαίνεται τοῦτο τρανῶς, ὅτι οἱ πατέρες οἱ ἐν Χαλκηδόνι προσέθεσάν τι καὶ ἀφεῖλον, οὐ μὴν διὰ ταῦτα παρήλλαξαν ἢ ἐποίησαν ἑτέραν πίστιν. ἀφ' οὗ ἕπεται, ὅτι ἡνίκα συμπερανθῇ τὸ σύμβολον, καὶ κωλύεται τὸ προσθεῖναι, νοεῖται ὅσον πρὸς τὸν νοῦν καὶ πρὸς ἑτέραν διάνοιαν. ὅσον δὲ πρὸς διασάφησιν οὐδέποτε ἡ ἐκκλησία τοῦτο κεκώλυκε. καὶ βουλοίμην ἂν παρ' ὑμῶν ἐν τούτῳ τῷ μέρει πληροφορηθῆναι, καὶ δὴ ἐρωτῶ· ἆρά γε πατέρες ἄριστοι, περιέχει τελείαν διδασκαλίαν τῆς ἡμῶν πίστεως τὸ ἱερὸν εὐαγγέλιον; πάντως ὑπὲρ τῆς ὑμετέρας εὐλαβείας οὐδὲν ἄλλο ἐρεῖτε, ὅτι μὴ τὴν τελείαν πίστιν ἐκεῖσε περιέχεσθαι. ἀλλὰ μὴν οἱ διδάσκαλοι τῶν τε Γραϊκῶν καὶ Λατίνων πολλὰ ἐξηγήθησάν τε καὶ ἐξεζήτησαν, πολλὰ εἶπον ἐν τῷ εὐαγγελίῳ, πολλὰ ἀνέπτυξαν. οὕτω καὶ περὶ τοῦ συμβόλου τῶν ἀποστόλων τὸ αὐτὸ λέγομεν. καὶ διὰ τοῦτο πατέρες αἰδεσιμώτατοι, ἡνίκα ὁ κύριος ὁ Ἐφέσου ἔλεγεν, ὅτι οἱ πατέρες συνέκλεισαν τὸ εὐαγγέλιον καὶ τὴν θείαν γραφὴν, ὥστε μηδενὶ τρόπῳ ἐξεῖναι προσθεῖναι, καὶ διὰ τοῦτο ὀφείλειν τὸ αὐτὸ καὶ ἐν τῷ συμβόλῳ γενέσθαι, ἡμεῖς τοῦτο οὐκ ἠρνησάμεθα· ἀληθές ἐστιν ὅπερ αὐτὸς λέγει· ἔφη γὰρ ὅτι οἱ εὐαγγελισταὶ οὐ κεκωλύκασι περὶ τῶν ἑαυτῶν συγγραμμάτων, ἀλλὰ κατέλιπον ἄλλοις τοῦτο ποιῆσαι. δέδωκε δὲ καὶ παράδειγμα περὶ τῆς ἐν Κωνσταντινουπόλει συνόδου. τοῦτο, μετὰ τιμῆς, οὐ φαίνεται ἐν τῇ ἱερᾷ γραφῇ χώραν ἔχον. καὶ γὰρ ὁ ἀπόστολος Παῦλος κεκώλυκε πρὸς Γαλάτας γράφων· εἴ τις ὑμῖν εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνά-
* Γαλ. 1, 8. θεμα ἔστω. * καὶ ὁ ἅγιος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει ἐν τῷ τέλει

φησίν· Ἐάν τις ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ· καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου τῆς προφητείας ταύτης, ἀφαιρήσει ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς.* ὥστε φαίνεται, ὅτι ἐξῆν τοῖς διδασκάλοις κωλῦσαι καὶ συγκλεῖσαι, ἵνα μήτι προστεθῇ ἐν τοῖς ἐκείνων συγγράμμασιν· ὅμως ἀνάγκης οὔσης ἀνεπτύχθη ἡ ἱερὰ γραφή. ἐπειδὴ γὰρ ὁ Ἄρειος ἔλεγε τὸν Υἱὸν κτίσμα εἶναι καὶ ἑτέρας οὐσίας, λαμβάνων χρῆσιν τῆς ἱερᾶς γραφῆς ἀπὸ τῆς φωνῆς τοῦ σωτῆρος, ὅπου λέγει ὁ αὐτὸς, ὅτι ὁ Πατήρ μου μείζων μού ἐστιν.* ὅθεν ἐκεῖνος εἰσῆγε τὸν Υἱὸν ἑτέρας ὑπάρχειν οὐσίας· ἔδει διὰ τοῦτο τοὺς διδασκάλους ἐξηγηθῆναι τὸ μέρος ἐκεῖνο, καὶ ἀναπτύξαι, τίνι ἂν τρόπῳ ὁ Υἱὸς ἐλάττων λέγοιτ' ἂν τοῦ Πατρός. τοῦτο ἑκάστοτε δεῖ γίνεσθαι· καὶ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται μὲν Θεὸς καὶ κύριος καὶ ζωοποιὸν, συνδοξαζόμενον καὶ συμπροσκυνούμενον Πατρὶ καὶ Υἱῷ, οὐ λέγεται δὲ εἶναι ποιητὴς οὐρανοῦ καὶ γῆς. δυνηθείη ἂν τοιγαροῦν ἀνακύψαι νέα αἵρεσις ἀντιλέγουσα, ἐπειδήπερ οὐ κεῖται ἐν τῷ συμβόλῳ, ὡς εἴη τὸ Πνεῦμα τὸ ἅγιον ποιητὴς οὐρανοῦ καὶ γῆς. ἆρά γε οὐκ ἂν ἐδέησε τὴν ἐκκλησίαν συναγαγεῖν τοὺς πατέρας, καὶ διδάξαι τοὺς Χριστιανοὺς, καὶ κηρύξαι τι καὶ διασαφῆσαι, ὡς εἴη τὸ Πνεῦμα τὸ ἅγιον ποιητὴς οὐρανοῦ καὶ γῆς, καθάπερ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός; οὐδαμῶς τοιγαροῦν οὔτε παρὰ τῆς τετάρτης συνόδου, οὔτε δι' ἄλλης ἑπομένης κεκώλυται, μὴ δύνασθαι ἀναπτύσσειν τὴν ἐκκλησίαν ἀνάγκης κατεπειγούσης.

* Ἀποκ. 22, 18.

* Ἰω. 14, 28.

Ὥρισεν, ἵνα ἀναγνωσθῇ ὁ ὅρος τῆς τετάρτης συνόδου, καὶ ἀνεγνώσθη· Ἤρκει μὲν οὖν, καὶ τὰ ἑξῆς.

Ἀπὸ τούτων τῶν εἰρημένων, πατέρες αἰδεσιμώτατοι, ἤδη φαίνεται, τί ἂν εἴη ῥητέον ἐν τούτῳ τῷ μέρει. ἀριδηλότατα γὰρ οἱ πατέρες οὗτοι λέγουσι, μηδενὶ ἐξεῖναι συγγράφειν ἢ προκομίζειν ἑτέραν πίστιν ἢ ἕτερον σύμβολον. τοῦτο δὲ οὐδεὶς ἡμῶν πεποίηκε χάριτι τοῦ Θεοῦ. καὶ βλέπετε πατέρες, ὅτι λέγει· Ἤρκει μὲν, οὐ λέγει ὅτι ἀρκεῖ. ὁ δὲ λόγος, ὅτι εἰ οὐκ ἀνέκυπτον αἱ αἱρέσεις, ἤρκει ἂν ἀναμφιβόλως τὸ ἐν Νικαίᾳ σύμβολον· ἐπεὶ δὲ ἀνεφύησαν αἱρέσεις διάφοροι, μενούσης τῆς αὐτῆς πίστεως καὶ τοῦ αὐτοῦ συμβόλου, ἦν ἀναγκαῖον ἑτέρας καὶ ἑτέρας ἀναπτύξεις γενέσθαι κατὰ καιρούς. ὅθεν δὴ πρὸς ἐκεῖνο, ὅπερ ἔλεγεν ὁ κύριος ὁ Ἐφέσου, ὡς

εἴη τὸ σύμβολον τέλειον, καὶ τῷ τελείῳ οὐδὲν προστίθεσθαι δύναται, λέγομεν· ὅτι τὸ τέλειον διχῶς ἐκλαμβάνεται, ἢ ὡς πρὸς πίστιν, ἢ ὡς πρὸς διασάφησιν. πρὸς μὲν οὖν τὴν πίστιν ἐστὶ τελειότατον καὶ οὐδεμιᾶς δεῖται προσθήκης, πρὸς δὲ ἀνάπτυξιν οὐκ ἤρκει διὰ τὰς ἐπιφυησομένας αἱρέσεις. καὶ διὰ τοῦτο θεάσασθε τὴν τῶν πραγμάτων ἀνάγκην. ἐπειδὴ οἱ ἄνθρωποι οὐκ εἰσὶ θεοὶ, ὡς ἂν εἰδεῖεν τὰ μέλλοντα, ἀνάγκη τὴν αὐτὴν ἐκκλησίαν ἐν τῷ αὐτῷ ἀξιώματι μένειν, καὶ μέχρι τῆς συντελείας τοῦ αἰῶνος τῶν ἀντιλεγόντων κατεξανίστασθαι, καὶ αὐτοὺς τοὺς ἀντιλέγοντας ἀποβάλλεσθαι, οὐ μόνον τοὺς γεγονότας, ἀλλ' ἤδη καὶ τοὺς ἐσομένους. ἐκ τούτων φαίνεται, ὅτι ὅσον πρὸς ἀνάπτυξιν οὐδεὶς δίδοται ὅρος, ὥστε μὴ δύνασθαι τὰς ἀναπτύξεις διὰ τῆς ἐκκλησίας γίνεσθαι. παρὰ ταῦτα αἱ κωλύσεις δίδονται μετὰ τὸ σύμβολον, μετὰ τὴν πίστιν, μετὰ τοὺς ὅρους, ὡς ἀδήλου ὄντος τοῦ ἐσομένου καὶ ἀνακύψαι δυνησομένου, τοῦ τε ἀνήκοντος πρὸς τὴν πίστιν καὶ πρὸς χρηστὰ ἤθη. διὰ τοῦτο καθ' ἡμέραν προστίθενται ἕτεραι ἀναπτύξεις καὶ ὅροι. οἱ ὅροι τοιγαροῦν τῶν ἁγίων πατέρων καὶ οἱ κανόνες τοῖς αὐτοῖς ὑπόκεινται κωλύμασι· καὶ καθὼς ἑκάστοτε προστίθεται ἕτερος καὶ ἕτερος ὅρος, οὕτω δύναται ἑκάστοτε ἑτέραν καὶ ἑτέραν ἀνάπτυξιν ἐν τῷ συμβόλῳ γίνεσθαι. ὅπου δὲ εἴρητο, ἕτερον μὴ ἐξεῖναι παραδοῦναι σύμβολον, ἀποκρινόμεθα ὡς ἀνωτέρω δι' αὐτῆς ὑμῶν τῆς ἀπολογίας. ὁ γὰρ αἰδέσιμος κύριος ὁ Ἐφέσου ἔφη τῇ προλαβούσῃ, μὴ εἶναι τὸ ἐν Κωνσταντινουπόλει σύμβολον ἕτερον τοῦ ἐν Νικαίᾳ, καίπερ ἔχον τινὰς συλλαβὰς καὶ λέξεις καὶ πολλῶν ἀφαιρεθέντων τε καὶ προστεθέντων, ἅπερ εἶχέ τε καὶ οὐκ εἶχε τὸ ἐν Νικαίᾳ σύμβολον.

ΙΟΥΛ. ΚΑΡΔ. Ἐγὼ βούλομαί τινα εἰπεῖν· ἐν τῇ προλαβούσῃ ὑμεῖς, ὦ πατέρες, τοῦτο οὐκ ἐξέθεσθε ἀκεραίως, ὅπου ἐλέγετο· Ἤρκει μὲν οὖν καὶ τὰ λοιπά· ἀλλὰ παρελίπετε ἕν τι τὸ ταύτην λῦον τὴν ἀπορίαν. λέγει γὰρ ἡ ἐν Χαλκηδόνι σύνοδος· Οὐδὲν προστιθέντες ἢ ἀφαιροῦντες, ἀλλὰ διασαφοῦντες τὸ Πνεῦμα τὸ ἅγιον εἶναι κύριον καὶ τὰ λοιπά. ὅθεν ἀπὸ τούτου τοῦ ῥητοῦ ὃ παρελείψατε, φαίνεται, ὅτι ἐν τῷ ἀναπτύσσειν οὐ λέγεται ποιεῖσθαι προσθήκην, ὅπερ ἐν τῷ νόμῳ κεκώλυται. καὶ τοῦτο τὸ ῥῆμα ἤρκεσεν ἂν πρὸς σαφήνειαν τοῦ παρόντος ζητήματος. ἵνα δὲ μὴ δόξῃ,

ὅτι ἐγὼ ἀπ' ἐμαυτοῦ τοῦτο νῦν εὗρον, οὕτω λύει τὸ παρὸν ζήτημα καὶ ὁ μακάριος Θωμᾶς, ἐν ᾗ κατὰ τῶν Ἑλλήνων ἐξέθετο πραγματείᾳ.

Ἀνεγνώσθη ἀπὸ τῶν πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου, Ἰωάννου Κωνσταντινουπόλεως προσφώνησις.

Ὁ ῬΟΔΟΥ. Κατὰ συνέχειαν, διὰ τούτων τῶν ῥημάτων τὸ ἡμέτερον βεβαιοῦται δίκαιον, κἀκεῖνα δοκιμάζουσι τὰ ἡμῖν εἰρημένα. ἰδοὺ γὰρ οἱ πατέρες οὗτοι ἐν τῇ πέμπτῃ συνόδῳ κωλύουσιν ἐκ παντὸς μηδὲν καινοτομεῖν, μηδὲν λεπτολογεῖν, ἵν' οὕτως εἴπω, ἀλλὰ δέχεσθαι τὸ ἐν Νικαίᾳ ἅγιον σύμβολον, ἐν ᾧ ἐβαπτίσθημεν, ὅπερ ἐκύρωσεν ἡ ἐν Κωνσταντινουπόλει, ὅπερ διεσάφησεν ἡ ἐν Ἐφέσῳ· ἀλλὰ μὴν ἐν ἐκείνῳ τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ, ὅσον πρὸς ἀνάπτυξιν καὶ συλλαβὰς, μεγίστη γέγονε μεταβολὴ ἐν ταῖς ἑπομέναις συνόδοις, ἀλλ' ὅμως οὐδεμία γέγονε μεταβολὴ πίστεως, ὃ δὴ τῇ τοῦ θεοῦ χάριτι ἡ Ῥωμαϊκὴ ἐκκλησία οὐ πεποίηκεν, οὔτ' ἔσται ποιήσουσα.

Ἀνάγνωθι τὴν ἐπιστολὴν Βιγιλίου τοῦ πάπα.

Ἰδοὺ οὗτος ὁ ἄκρος ἀρχιερεὺς τὴν ἑαυτοῦ ἀναπτύσσων διάνοιαν, βεβαιοῖ τὸ ἡμέτερον δίκαιον καὶ τὴν πίστιν. κωλύει γὰρ μηδεμίαν διδασκαλίαν ἢ πίστιν ἢ σύμβολον κατέχειν τολμᾶν, εἴτ' οὖν παραδοῦναι, ἀλλ' ἐκεῖνο μόνον, ὅπερ οἱ ἅγιοι πατέρες οἱ ἐν Νικαίᾳ ἐξέθεντο. καὶ οἱ ἐν Κωνσταντινουπόλει ηὔξησαν, καὶ οἱ ἐν Ἐφέσῳ ἀνέπτυξαν. ὃ δὴ καὶ ἡμεῖς κατέχομεν καὶ πιστεύομεν καὶ κυροῦμεν. ἐσμὲν τοίνυν μετὰ τούτου τοῦ πατρὸς Βιγιλίου, καὶ οὐχ ἅπτεται ἡμῶν, οὐδὲ λέγει τι τῆς ἀληθείας ἁπτόμενον, ἣν ἡμεῖς ἐπακολουθοῦντες πιστεύομεν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐν ταύτῃ τῇ ἐπιστολῇ ἐστιν ἓν ῥῆμα, ὦ πατέρες, τὸ μάλιστα ποιοῦν πρὸς λύσιν τοῦδε τοῦ πράγματος καὶ ζητήματος. λέγει γάρ· Δεχόμεθα τοὺς ἁγίους πατέρας τοὺς ἐν Ἐφέσῳ, οἵτινες τὸν Νεστόριον κατεδίκασαν, καὶ ὁντιναοῦν ἐν οἱῳδήποτε καιρῷ τὰ τοιαῦτα φρονοῦντα δόγματα. ὅθεν ὁ ἐκείνων σκοπός ἐστι κρῖναι καὶ καταδικάσαι τὸν Νεστόριον, καὶ τοὺς ἐν οἱῳ-

δήποτε καιρῷ τὰ ἐκείνου φρονοῦντας· ὅθεν οἱ ποιοῦντες ὅμοια τῷ συμβόλῳ οὐκ ἀνεθεματίσθησαν, οὐδὲ κατεκρίθησαν, ἀλλ' οἱ τὰ ἀνόμοια· κωλύει γὰρ μόνον τὴν τῶν δογμάτων ἀνομοιότητα.

Ἀναγνωσθήτω ἡ ἕκτη σύνοδος· ἐν ταύτῃ γὰρ τῇ ἕκτῃ συνόδῳ πρῶτον ἐπαναλαμβάνουσι τὸ ἐν Νικαίᾳ σύμβολον, εἶτα τὸ ἐν Ἐφέσῳ, εἶτα τίθενται ὅροι πολλοὶ, καὶ μετὰ τοὺς ὅρους κεῖται ἡ κώλυσις. ὅθεν ἕπεται, ὥστε μὴ μόνον τοὺς προστιθέντας ἐν τῷ συμβόλῳ, ἀλλὰ καὶ τοὺς ἐν τοῖς ὅροις, ἀναθεματίζεσθαι.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς οὐκ ἀνέγνωμεν ἐκείνους τοὺς ὅρους διὰ τὸ σύντομον.

ἸΟΥΛ. ΚΑΡΔ. Ἀλλὰ πολὺ ποιοῦσιν ὑπὲρ ἡμῶν. οὐδεὶς γὰρ ἂν εἴποι ὑπὸ ἀναθέματι εἶναι τοὺς ἐκείνους πεποιηκότας τοὺς ὅρους τοὺς πρότερον οὐκ ὄντας ἐν τῷ συμβόλῳ· Ἀνεγνώσθη μέρος τῆς ἕκτης συνόδου. Ἓν θέλω εἰπεῖν· ἡμεῖς ἔχομεν διαφοράν τινα μεταξὺ τῶν βιβλίων τῶν ἡμετέρων καὶ ὑμετέρων. ἔχομεν γὰρ ἐν τῷ ἐν Κωνσταντινουπόλει συμβόλῳ, τὸ ἐπαναληφθὲν ἐν Ἐφέσῳ καὶ ἐν Χαλκηδόνι· ἐκεῖσε οὐ λέγει· Ἐκ τῶν οὐρανῶν, ἔτι οὐ λέγει· Θεὸν ἐκ Θεοῦ. ἔτι εἰσί τινα ἐν τῷ ἐν Κωνσταντινουπόλει, ἅτινα προσετέθησαν ἐν τῷ συμβόλῳ ἐκείνῳ, ὃ καὶ ὑμεῖς ψάλλετε. ὅθεν ἐστὶ χρεία τοῦτο ἰδεῖν ἐν τοῖς ἀρχετύποις βιβλίοις. Ἔστιν ἀληθὲς τοῦτο ὅπερ λέγω ἐγώ; ἐρωτῶ.

Ὁ ἘΦΕΣΟΥ. Καθ' ὃν τρόπον ψάλλομεν τὸ σύμβολον ἐν ταῖς ἡμετέραις ἐκκλησίαις, οὕτως εὑρίσκομεν καὶ ἐν τοῖς ἡμετέροις βιβλίοις. εἰ δέ ἐστιν ἡ τοιαύτη διαφορὰ παρ' ὑμῖν, τοῦτο οὐκ οἴδαμεν. ὑμεῖς οἴδατε πόθεν ἐστίν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐν τούτῳ τῷ βιβλίῳ οὐ λέγει· Ἐκ τῶν οὐρανῶν. ἡ δὲ κειμένη ἐπάνω ἐξήγησις λέγει· Ὅρα τοὺς Γραϊκοὺς πῶς λέγουσιν· Ἐκ τῶν οὐρανῶν·

Ὁ ῬΩΣΙΑΣ. Μὴ οὐ λέγετε καὶ ἡμεῖς· Ἐκ τῶν οὐρανῶν;

ἸΟΥΛ. ΚΑΡΔ. Ναί.

Ὁ ῬΩΣΙΑΣ. Λοιπὸν ἐν τούτῳ συμφωνοῦμεν, καὶ οὕτως ἔχομεν ἐν τοῖς ἡμετέροις βιβλίοις. πόθεν δὲ ἡ τοιαύτη ἀνεφύη διαφορὰ οὐκ οἴδαμεν. ἐν τούτοις μὲν τοῖς τρισὶ συμφωνοῦμεν, δηλονότι ἐν τοῖς ἡμετέροις βιβλίοις, καὶ ἐν τῇ ἡμετέρᾳ ψαλμῳδίᾳ, καὶ ἐν ᾧ ὑμεῖς ψάλλετε. τὰ τρία πάντως ἰσχυρότερά εἰσι τοῦ ἑνός. οὕτω

κεῖται καὶ ἐν τοῖς ἀρχετύποις βιβλίοις. ἡμεῖς τούτων οὐκ ἔχομεν ἀποδοῦναι λόγον.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐγὼ ἔλεγον τοῦτο πρὸς ἐκεῖνο τὸ τέλος, ἐπειδὴ προσετέθη δίκαιον ὂν καὶ εὔλογον, καὶ μετὰ τὴν κώλυσιν τῆς ἐν Ἐφέσῳ συνόδου· ἄρα λοιπὸν οὐ κεκώλυται προσθεῖναι τὸ δίκαιον ὂν καὶ εὔλογον.

Ὁ ῬΟΔΟΥ. Καὶ ἀπὸ τούτου τοῦ κωλύματος, πατέρες αἰδεσιμώτατοι, οὐδὲν ἔχει ἡ ὑμετέρα αἰδεσιμότης ἡμῖν ἐγκαλεῖν. καὶ γὰρ ἐν ἀρχῇ οἱ πατέρες οὗτοι τῆς ἕκτης συνόδου ποιοῦνται μνείαν περὶ ἑτέρας πίστεως καὶ ἑτέρου συμβόλου. καὶ ὡς ἀνωτέρω πολλαχῶς ἐδείξαμεν, ἡμεῖς οὔτε ἑτέραν πίστιν λέγομεν, οὔτε ἕτερον συντιθέαμεν σύμβολον. οὐκ ἔχετε λοιπὸν, ὦ πατέρες, ἡμῖν ἐγκαλεῖν. Ἀνάγνωθι τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος.

Ἀνεγνώσθη καὶ ἡ τοῦ Ἀγάθωνος πᾶσα ἐπιστολή.

Ἀπὸ ταύτης τῆς ἐπιστολῆς καὶ ἔτι ἔχομεν τὴν βεβαίωσιν τῶν ἡμῖν μέχρι τοῦδε ῥηθέντων. οὗτος γὰρ ὁ ἄκρος ἀρχιερεύς φησιν, ὅτι ἀπὸ τῆς παραδοθείσης πίστεως μηδενὶ ἐξέστω μετακινεῖν, μειοῦν ἢ προστιθέναι, ἀλλὰ μένειν ἐν ἐκείνῃ τῇ πίστει τῶν πατέρων· ὃ δὴ ἡμεῖς μεγαλοπρεπέστατα ποιοῦμεν. ἐν ᾧ δὲ λέγει, μὴ δεῖν προσθεῖναι μήτε ἐν συλλαβαῖς, μήτε ἐν λέξεσι, τοῦτο οὐ στρατεύεται καθ' ἡμῶν· καὶ γὰρ αἱ λέξεις ἐκεῖναι ὀφείλουσιν ἀνάγεσθαι πρὸς τὸν νοῦν. οὕτω ταῦτα λέγει ὁ ἄκρος οὗτος ἀρχιερεὺς, λέγων ὁμοῦ, οὐ μόνον συλλαβαῖς ἀλλὰ καὶ νοήμασι· καὶ γὰρ κατὰ τὸν Παῦλον, τῇ καρδίᾳ πιστεύεται πρὸς δικαιοσύνην·* ἡ γὰρ πίστις οὐ μόνον ἐν νοήμασιν, ἀλλὰ καὶ ἐν ὁμολογίᾳ· αὕτη ἡ ὁμολογία οὐ δύναται γίνεσθαι εἰ μὴ διὰ λέξεων. καὶ ἐπειδὴ αἱ φωναὶ εἴδωλά εἰσι χαρακτηρίζοντα τὰ ἐν τῇ ψυχῇ πάθη, οὐδενὶ τρόπῳ δύναται νοηθῆναι, εἰ μὴ διὰ λέξεων ἀναφερομένων πρὸς τὸν νοῦν. καὶ καθ' ὃν τρόπον ἡ εἰκὼν πρὸς τὸ πρωτότυπον ἀναφέρεται, οὕτω καὶ αἱ λέξεις πρὸς τὸν νοῦν ἀνάγεσθαι ὀφείλουσιν. ὅθεν λέγομεν, ὅτι οὐκ ἔξεστι τιθέναι λέξεις ἐναντίας ἐννοίας, ἢ ἑτέραν πίστιν σημαινούσας. εἴπομεν γὰρ ἀνωτέρω, μὴ κωλύεσθαι τὴν ἀνάπτυξιν τὴν συντηροῦσαν τὸ ἀκέραιον τῆς ἐννοίας. κωλύει τοίνυν οὗτος ὁ ἀρχιερεὺς τὰς λέξεις τὰς ποιούσας ἐναντίαν πίστιν.

* Ῥωμ. 10, 10.

ἸΟΥΛ. ΚΑΡΔ. Τοῦτο παραδηλοῦται τρανῶς ἐν τῷ συμβόλῳ τοῦ

Ἀγάθωνος, ὅπερ αὐτὸς ὑποτίθησι. καὶ γὰρ ὁ αὐτὸς προστίθησι τῷ ἐν Νικαίᾳ συμβόλῳ, καί τινα ἀφαιρεῖ· λέγει γὰρ περὶ τοῦ Υἱοῦ· Τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ· οὐ λέγει· Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ. εἶτα λέγει· Πρὸ πάντων τῶν αἰώνων ἐξ αὐτοῦ γεννηθέντα. αἴρει τό· Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, φῶς ἐκ φωτὸς, γεννηθέντα οὐ ποιηθέντα· μεταξὺ προστίθησι· Τά τε ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. τοῦτο οὐκ ἔστιν οὔτε ἐν τῷ ἡμετέρῳ συμβόλῳ, οὔτε ἐν τῷ ὑμετέρῳ. αὕτη δὲ ἡ προσθήκη τῶν συλλαβῶν οὖσα ἀνάπτυξις, οὐκ ἔστι προσθήκη, οὐδὲ ταῖς κωλύσεσιν ἐναντία. ὥστε ἐπειδὴ ὁ Ἀγάθων οὐκ ἐγκαλεῖται παρὰ τῶν Γραικῶν, τινὰ προστιθεὶς, ἐν τῷ ἐν Κωνσταντινουπόλει συμβόλῳ, καί τινα ἀφελὼν διατί ἐγκαλούμεθα παρ' ὑμῶν περὶ τῆς προσθήκης ἐκείνης· Καὶ ἐκ τοῦ Υἱοῦ, οὔσης τῆς ἀληθείας αὐτῆς εἰ καὶ τὸ μικρὸν τοῦτο προστίθεται;

Ὁ ῬΟΔΟΥ. Ἀπὸ τούτων, ὡς φαίνεται, πατέρες αἰδεσιμώτατοι, καὶ ἀφ' ὧν προσέθηκεν ὁ αἰδεσιμώτατός μου κύριος καὶ πατὴρ νῦν ἐν τούτῳ τῷ τόπῳ, δεικνύομεν τὴν ἡμετέραν ἀκακίαν καὶ ἀθωότητα, καὶ οὐκ ἔχει ἡ αἰδεσιμότης ὑμῶν ἡμῖν ἐγκαλεῖν. ἔλθωμεν ἐπὶ τὴν ἑβδόμην σύνοδον.

Ἀνεγνώσθη τὸ σύμβολον καὶ ὁ ὅρος τῆς ἑβδόμης συνόδου.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐν τῷ συμβόλῳ τούτῳ ἐστὶ διαφορὰ μεταξὺ ἡμῶν καὶ ὑμῶν· ἐπειδὴ ἐν τῷ ἡμετέρῳ βιβλίῳ ἀρχαιοτάτῳ ἔχομεν· Καὶ ἐκ τοῦ Υἱοῦ, ὑμεῖς δὲ οὐκ ἔχετε. ἀλλὰ περὶ τούτου ἐν ἄλλοις ἐροῦμεν.

Ὁ ῬΟΔΟΥ. Ὅτι μὲν οὖν τὸ μόριον ἐκεῖνο κεῖται ἐν τῇ ἑβδόμῃ συνόδῳ, ἀπεδείξαμεν ἀρκούντως, καὶ οὕτως ὠφληκέναι γενέσθαι προσθήκην ἐκείνην, εἴπερ προσθήκη δύναται λέγεσθαι, καὶ προστεθεῖσθαι ἐν τῇ ἑβδόμῃ συνόδῳ. ἀλλ' ἐν τῷ ἰδίῳ τόπῳ τοῦτο προσοίσομεν. νῦν δὲ λείπεται ἓν μόνον ἀναπτύξαι· ἔλεγε γὰρ ἀνωτέρω ἡ αἰδεσιμότης ὑμῶν, οὕτως εἶναι ὡρισμένον τὸ σύμβολον καὶ ἐσφραγισμένον, ἵν' οὕτως εἴπω, ὥστε μηδενὶ τρόπῳ ἐξεῖναι προσθεῖναι ἢ ἀφελεῖν. δεδώκατε καὶ παράδειγμα τὸ τῆς Θεοτόκος φωνῆς. ἐπειδὴ γὰρ ἀνέκυψε ζήτημα τῷ καιρῷ τοῦ Νεστορίου, ὅτι οὐκ ἐγένετο μήτηρ Θεοῦ, ἐγένετο περὶ τούτου διάσκεψις καὶ ὅρος ἐν τῇ ἱερᾷ συνόδῳ, ὡς εἴη Θεοτόκος· οὐ μὴν ὡς εἰρήκατε, ἐτέθη ἐν τῷ συμβόλῳ, ἀλλ' ἐν τοῖς ὅροις τῆς συνόδου. καὶ φαμὲν ὅτι οὐκ ἦν ἀναγκαῖον

τοῦτο τεθῆναι ἐν τῷ συμβόλῳ· καὶ γὰρ ἐκ τῶν ἀνωτέρω κειμένων ἐν τῷ συμβόλῳ περὶ τοῦ Υἱοῦ· Τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς, καὶ ὅτι ἐστὶν ὁμοούσιος τῷ Πατρί· ἄρα ὁ Υἱός ἐστι Θεὸς, ὡς καὶ ὁ Πατήρ. καὶ αὖθις· Σαρκωθέντα τε καὶ ἐνανθρωπήσαντα· ἄρα θεὸν ἐγέννησε καὶ ἄνθρωπον. πρὸς τούτοις εἰ καὶ ἔν τισι διαφέρει λέγειν ὅρους καὶ σύμβολον, ἐν πολλοῖς μέντοι τὰ τοιαῦτα συμβαίνουσιν. ὁ δὲ λόγος ἐστὶν, ὅτι ἐν τοῖς ὅροις πολλά εἰσι καὶ περιέχονται, ἅτινα ἀφορῶσι πρὸς τὴν πίστιν· καὶ οὐ χρεία ἐστὶ τὰ τοιαῦτα ἀπαριθμεῖν, ἀλλὰ τῷ βουλομένῳ ἰδεῖν πάρεισι πολλαὶ βίβλοι, ἐν αἷς πολλοὶ τῶν πατέρων ὅροι περιέχονται πρὸς τὴν πίστιν ἀφορῶντες. ὅθεν ὅσον ἐν τούτῳ οἱ ὅροι καὶ τὰ σύμβολα ἰσοδυναμοῦσι. καὶ τοῦτο φαίνεται φανερῶς ἀπὸ πείρας, ὅτι οἱ πατέρες τιθέμενοι τοὺς ὅρους, ἔθεντο καὶ ὅρους ὑπὸ τῷ συμβόλῳ, καὶ ὑπέβαλον κώλυμα ἑκατέρῳ κοινῇ, ἵνα ἀποφανῇ τὴν αὐτὴν εἶναι δύναμιν ἔν τε πολλοῖς τῶν ὅρων καὶ τῶν συμβόλων. ὅθεν ἕπεται, ὅτι ἐν πολλαῖς συνελεύσεσιν ὑπὸ τῷ αὐτῷ ἀναθέματι ὑπέβαλον τὸν παραβαίνοντα ἑκάτερα, καὶ ἤρκει. οὔτε μὴν ἀπὸ τούτου ἐν τῇ πίστει ἔλαττόν τι ἐθεωρεῖτο ἂν τῶν Χριστιανῶν. τὸ τοίνυν τιθέναι τὴν φωνὴν αὐτὴν τὴν Θεοτόκος ἐν τοῖς ὅροις, τὴν αὐτὴν ἔχει δύναμιν τῷ συμβόλῳ. εἰ δὲ καὶ ἠθέλησαν τιθέναι ἐκείνην ἐν τῷ συμβόλῳ, οὐδαμῶς ἦν ἐκείνοις κεκωλυμένον διὰ τὰς προειρημένας αἰτίας. μάλιστα δὲ φαίνεται ἀπὸ παραδείγματος· αἱ γὰρ ἑπόμεναι τῶν συνόδων πολλὰς λέξεις ἐν τῷ συμβόλῳ προσέθεντο, αἳ οὐκ ἦσαν τυχὸν κατὰ τοσοῦτον ἀναγκαῖαι, ὅσον ἐστὶ τοῦτο. ἀλλ' ὅτι ἑώρων ἐξαρκεῖν ἐκεῖνο, ὅπερ ἦν ἐν τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ περὶ τοῦ σωτῆρος ἡμῶν.

ΙΟΥΛ. ΚΑΡΔ. Οὔτε μὴν πιστεύομεν, ὑμᾶς μὴ συμβαίνειν ἐν τούτῳ ἡμῖν. ὅτι οἱ πατέρες ἐκεῖνοι τῆς δευτέρας καὶ τῆς τρίτης συνόδου, τετάρτης, πέμπτης, ἕκτης καὶ ἑβδόμης εἴπερ ἠθέλησαν τὴν Θεοτόκος φωνὴν ἐν τῷ συμβόλῳ προσθεῖναι, οὐκ ἂν ἠδυνήθησαν. εἰ δὲ ἡ σύνοδος ἡ ἐν Χαλκηδόνι τέθεικε τὴν Θεοτόκος φωνὴν ἐν τῷ συμβόλῳ, ὑπέπεσεν ἂν κἀκείνη τῷ ἀναθέματι; εἰπάτω ὁ κύριος ὁ Ἐφέσου, λεγέτω ἓν ῥῆμα, ἢ ναὶ ἢ οὔ.

Ὁ ΒΑΣΙΛ. Οὐ φαίνεται ἀναγκαῖον ἀπόκρισιν ποιήσασθαι πρὸς τοῦτο. πάντων γὰρ ἀκουσθέντων ὁμοῦ, ὁμοῦ καὶ τὰς ἀπολογίας ποιήσονται.

ΙΟΥΛ. ΚΑΡΔ. Ὁμολογουμένως ἐν τῇ διανοίᾳ τούτων εἰμί. οἶδα γὰρ, ὅτι πιστεύουσι μὲν ὑποπεσεῖν τοὺς ἁγίους ἐκείνους τῷ ἀναθέματι, ὕπερ τὴν Θεοτόκος φωνὴν ἐν τῷ συμβόλῳ ἐνέθηκαν. ἐὰν γὰρ ἀπίδωμεν πρὸς τὸ ἀξίωμα, τὸ αὐτὸ ἀξίωμά ἐστιν ἁπασῶν τῶν συνόδων· εἰ δὲ πρὸς τὸν ἀριθμὸν, ἐν μὲν τῇ ἐν Ἐφέσῳ συνόδῳ διακόσιοι ὑπῆρχον πατέρες ἐν δὲ τῇ ἐν Χαλκηδόνι ἑξακόσιοι τριάκοντα.

Ὁ ῬΟΔΟΥ. Ἀπὸ τῶν εἰρημένων, πατέρες ἄριστοι, ἡγούμεθα πεπληροφορῆσθαι κατὰ πάντα τὰς ὑμετέρας αἰτήσεις. καὶ γὰρ ἡ αἰδεσιμότης ὑμῶν τὰ σύμβολα τῶν πατέρων προήνεγκε, τοὺς ὅρους, τὰ θεσπίσματα, τὰς ἐπιστολὰς, ἃ δὴ πάντα συμφωνοῦσιν ἀλλήλοις, μηδενὶ ἐξεῖναι ἀνθρώπῳ χριστιανῷ ἑτέραν πίστιν προτιθέναι, συγγράφειν, παραδιδόναι ἢ προκομίζειν, καὶ τὰ λοιπά· ὃ δὴ οὐ περὶ λέξεων φαίνεται. ἡμεῖς δὲ ἀπεδείξαμεν τὴν Ῥωμαϊκὴν ἐκκλησίαν ἑτέραν πίστιν μὴ γεγραφέναι, μήτε ἐν ὀνόμασι, μήτε ἐν ῥήμασιν, εἴτε ἐν λέξεσιν. ἔτι παρίσταται φανερῶς, μηδαμῶς εἶναι κεκωλυμένον, ὅπερ ἡ Ῥωμαϊκὴ ἐκκλησία αὕτη ψάλλει ἐν τῷ συμβόλῳ καὶ κηρύττει. Ἔλθωμεν ἐπὶ τὸ τελευταῖον, ἐν ᾧ ἀποδείξομεν πολλοῖς λόγοις, τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ἐξὸν γεγονέναι ἀναπτύξαι καὶ ανακηρύξαι τὸ μέρος ἐκεῖνο. πρὸς μὲν οὖν τὸ πρῶτον λέγομεν, ὅτι ἡ Ῥωμαϊκὴ ἐκκλησία φωναῖς τῶν ἁγίων πατέρων ἐκινήθη· ἔτι μεγίστης συνωθούσης ἀνάγκης· ἔτι μεγίστου εὐλόγου ἀξιώματος καὶ αὐθεντίας συμβαινόντων. τοῦτο καὶ οἱ πατέρες ὑμῶν προσήκαντο. ὅθεν ἔσεται ἵνα ὑμεῖς, ἅτε δὴ παῖδες ἀγαθοὶ ἀγαθῶν πατέρων, συνέλθητε μεθ' ἡμῶν καὶ ὁμονοήσητε. πρὸς ἐκεῖνο δὲ, ὡς ἔγκειται ταῖς φωναῖς τῶν ἁγίων, ἀποδείξων ἔρχομαι. Ὁ μακάριος Αὐγουστῖνος ὁ περιφανέστατος διδάσκαλος τῶν Λατίνων, ὃν ἡ ἁγία πέμπτη σύνοδος προσεδέξατο, ὃς δὴ καὶ ἐξοχώτατος λέγεται, ἐν πολλοῖς ἐκείνου βιβλίοις ἀριδήλως φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. φαίνεται τοῦτο ἐν τῇ πονηθείσῃ αὐτῷ βίβλῳ περὶ τῆς ἁγίας Τριάδος· ἔν τε τῇ βίβλῳ, ἣν περὶ πίστεως πρὸς Πέτρον ἐξέθετο. ἔτι λαμπρότατος διδάσκαλος τοῦτο λέγει Ἀμβρόσιος· Γρηγόριος ὁ διάλογος σαφέστατα τοῦτό φησιν. Ἱλάριος τὸ αὐτὸ ἐν τῷ περὶ Τριάδος φησὶν, ὃν καὶ ὑμεῖς μέγαν καλεῖτε. οὓς εἰ βουλοίμεθα ἐν τῷ μέσῳ προφέρειν, ὄψεσθε τὴν Ῥωμαϊκὴν ἐκκλησίαν μηδὲν λέγειν ἐκείνοις ἀπᾷδον οὔτε ἀσύμφωνον,

μηδὲ τοῖς δόγμασι τῶν πατέρων μαχομένην. ἀλλ᾽ ἵνα καθαρώτερον τὸ ἀληθὲς ἐπιλάμψῃ, ὑπάρχουσι πολλοὶ τῶν ὑμετέρων διδασκάλων. Καὶ γὰρ Βασίλειος ἐν ταῖς κανονικαῖς ἐπιστολαῖς τίθησι τὴν φυσικὴν τάξιν ἔν τε Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. ὁμοίως Γρηγόριος ὁ αὐτάδελφος τούτου, οὐχ ἧττον τῷ ἀξιώματι ἢ τῇ σοφίᾳ, λέγει τὸν Υἱὸν ἀμέσως ἐκ τοῦ Πατρὸς, καὶ τοῦτ᾽ εἶναι τοῦ Υἱοῦ ἴδιον. Ἔτι Ἀθανάσιός φησι· Καθ᾽ ὃν τρόπον ἔχει ὁ Υἱὸς πρὸς τὸν πατέρα τῇ φύσει καὶ τῇ τάξει, οὕτως ἔχει τὸ Πνεῦμα πρὸς τὸν Υἱόν. Βασίλειος ὁ μέγιστος ὁ ὑμέτερος, ἐξηγούμενος τὴν λυχνίαν ἐκείνην τὴν κατὰ Ζαχαρίαν,* φησίν· Ὃν τρόπον ὁ Πατὴρ φυσικῶς καὶ οὐσιωδῶς ἔχει τὸ Πνεῦμα τὸ ἅγιον, οὕτω καὶ ὁ Υἱὸς ἔχει αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος εἰς τὸ κατὰ Ἰωάννην φησὶν, πάντα εἶναι τὸν Υἱὸν ὅσα καὶ ὁ Πατὴρ, πλὴν τούτου, ὅτι ἐκεῖνος μὲν ἐστι γεννήτωρ, οὗτος δὲ γεννητός. Πολλοί εἰσιν ἀνατολικοὶ πατέρες, οὓς προκομίζειν δυνάμενοι ἀναβαλλόμεθα ἐν ἰδίοις καιροῖς. νῦν δὲ ἐπειδὴ πᾶσα ἡ ὑμετέρα δυσχέρειά ἐστιν εὑρεῖν τοῦτο, τὸ ἐκπορεύεσθαι, τὴν φωνὴν αὐτὴν ἢ τὸ ῥῆμα, ἵν᾽ οὕτως εἴπω, προσοίσομέν τινας ὑμετέρους διδασκάλους, καίτοι πολλοὺς εἰς τὸ μετὰ ταῦτα ταμιευσόμεθα· οἳ δὴ τρανῶς φασι, τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. καὶ πρῶτον ἀναγνωσθήτω ἐκεῖνος, ὃν ὑμεῖς ἑκάστοτε ἐν ταῖς ἐκκλησίαις ἀναγινώσκετε, τὸν Συμεὼν λέγω τὸν Μεταφραστήν. ἔχετε τὸν βίον τοῦ μακαρίου Διονυσίου· ὅθεν αὐτὸς τί λέγει, ἀκούσατε, καὶ μετὰ ταῦτα κρινεῖτε. Πέρας τὰ τῆς σωματικῆς ἐνδημίας δέχεται, τὰ δὲ τοῦ Πνεύματος ἄρχεται, καὶ εἰς οὐρανοὺς ὁ ἐμὸς Χριστὸς ἀναφέρεται, καὶ πρὸς τὸν πατρικὸν ἐπάνεισι θρόνον, καὶ τὸ ἐκπορευόμενον αὐτοῦ Πνεῦμα ἐπὶ τῇ τῶν ἀπίστων ἐθνῶν καταπέμπει τοῖς μαθηταῖς αὐτοῦ ὁδηγίᾳ. Ἀπὸ τούτου, πατέρες, ἕπεται, ὅτι τὸ ἐκπορευόμενον αὐτοῦ Πνεῦμα, ταὐτόν ἐστιν, ὅπερ ἡ Ῥωμαϊκὴ ἐκκλησία ψάλλει. παρ᾽ Ἕλλησι γὰρ τὴν αὐτὴν δύναμιν ἔχει ἡ γενικὴ τῇ παρὰ Λατίνοις ἀφαιρεματικῇ. Ἔτι Ἀναστάσιος ὁ τοῦ ἁγίου ὄρους Σινᾶ ἐν τῷ λόγῳ ὃς ἐπιγραφὴν ἔχει· Περὶ τῶν καθ᾽ ἡμᾶς ὀρθῶν δογμάτων φησί· Τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ Πνεῦμα στόματος αὐτοῦ, δηλονότι τοῦ

* Ζαχ. 4, 2.

Θεοῦ, τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ μονογενοῦς. καὶ πάλιν· Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον οὐ μόνον παρὰ τοῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ Υἱοῦ. Παρήγαγε δὲ καὶ τὸ ῥητὸν Θεοδωρήτου, καὶ τὴν πρὸς αὐτὸ ἀπολογίαν Κυρίλλου. Εἴπωμεν καὶ ἕτερον ὑμῶν διδάσκαλον τὸν Ἐπιφάνιον, ἀκούσατε ἄλλο τοῦ αὐτοῦ Ἐπιφανίου, εἰς τό· Ἐκεῖνός ἐμε
* Ἰω. 16, 14. δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν·* Εἰ τοίνυν παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ ἐξ ἐμοῦ λήψεται, φησὶν ὁ κύ-
* Ματθ. 11, 27. ριος. ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς*, οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει. Αὗται μὲν οὖν αἱ φωναὶ τῶν ἁγίων εἰσίν· εἰσὶ δὲ καὶ ἄλλαι μαρτυρίαι, ἃς κατὰ τὸ παρὸν παραλείπομεν. Τούτοις ἡ Ῥωμαϊκὴ ἐκκλησία δεδιδαγμένη, οὐκ ἐπίστευσεν ἄλλο λέγειν, ἀλλ' ἢ ὅσα οἱ πατέρες ἐκεῖνοι ἐν ταῖς συνόδοις, καὶ ὅσα οἱ μετὰ ταῦτα ἐκείνην ἐδίδαξαν· ὧν οἱ πλείους ἐν ἐκείναις παρεγένοντο ταῖς συνόδοις, καθὼς περὶ Ἀναστασίου καὶ Μαξίμου καὶ ἄλλων δέδεικται. Ταύτης οὖν ἱσταμένης τῆς ἀληθείας, καὶ ἀνάγκη προσετέθη· καθ' ὃν τρόπον οἱ πατέρες ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ ὠθούμενοι ταῖς τῶν αἱρετικῶν ἐπιθέσεσιν, ὑπ' ἀνάγκης ἐν τῷ συμβόλῳ πολλὰ ἀνέπτυξαν· διά τινας Νεστοριανοὺς ἐν τῇ δυτικῇ ἐκκλησίᾳ γενομένους, καὶ ἐπισπείροντας, τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἶναι ἐξ αὐτοῦ τοῦ Υἱοῦ, μηδὲ λαμβάνειν ἐξ ἐκείνου τὸ εἶναι. ὅτι δὲ τοιαύτη ἦν ἡ δόξα τοῦ Νεστορίου, καὶ Θεοδωρήτου τοῦ ὁμόφρονος ἐκείνῳ, φαίνεται ἐν τῷ συμβόλῳ αὐτοῦ· λέγει γὰρ ἐν αὐτῷ τῷ συμβόλῳ αὐτοῦ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔστιν ἐκ τοῦ Υἱοῦ. οὐδὲ παρ' αὐτοῦ λαμβάνει τὸ εἶναι. καὶ ὁ αὐτὸς Θεοδώρητος λέγει, τὸ Πνεῦμα τὸ ἅγιον μὴ λαμβάνειν τὸ εἶναι ἐκ τοῦ Υἱοῦ, ἐξηγούμενος ἐκεῖνο
* Ῥωμ. 8, 9. τοῦ Παύλου· Τὸ Πνεῦμα τοῦ Υἱοῦ,* τουτέστιν ὁμοούσιον τῷ Υἱῷ. διὰ τοῦτο ὁ Κύριλλός φησι, τὸ Πνεῦμα τὸ ἅγιον εἶναι διὰ τοῦ Υἱοῦ, καὶ εἶναι τοῦ Υἱοῦ, καὶ προχεῖσθαι παρ' αὐτοῦ· ὃ δὴ οὐκ ἂν εἶπεν, εἰ μὴ ταύτῃ τῇ δόξῃ τοῦ Νεστορίου καὶ Θεοδωρήτου ἀναγκασθεὶς, πρὸς ἀνασκευὴν τῆς κακοδοξίας ἐκείνων. τούτῳ τῷ λόγῳ ἡ Ῥωμαϊκὴ ἐκκλησία ἠναγκάσθη, βλέπουσα τὸν ἐπικείμενον μέγαν κίνδυνον· ἐψάλλετο γὰρ ἤδη ἐν ταῖς Γαλλίαις καὶ Ἱσπα-

νίαις· ὥστε ἤρεσεν ἐκείνῳ τῷ ἄκρῳ ἀρχιερεῖ, μετὰ συνεδρίου πολλῶν πατέρων δυτικῶν τῶν γεγονότων οὐ μικροῦ ἀξιώματος ἢ ὀλίγου ἀριθμοῦ, ἀναπτύξαι ἐκεῖνο ὃ λέγομεν καὶ ὡς ἐν τῷ συμβόλῳ ψάλλομεν. οὐκ ᾤετο δὲ ἡ Ῥωμαϊκὴ ἐκκλησία προσῆκόν τι μὴ ποιεῖν. καὶ γὰρ πρὸ τῆς πρώτης συνόδου, ἐν Ἀντιοχείᾳ κατὰ Παύλου τοῦ Σαμοσατέως, ἐν Ἀγκύρᾳ κατὰ τῶν μὴ προσδεχομένων τοὺς προσερχομένους ἐν τῇ πίστει, καὶ πρότερον ἀρνηθέντας διὰ τὰς βασάνους, καὶ τρίτη ἐν τῇ Νεοκαισαρείᾳ· ἃς δὴ πάσας συνόδους ἡ ἐν Νικαίᾳ προσήκατο σύνοδος. εἰ καί τινα τῶν ἐν Νεοκαισαρείᾳ οὐ προσδεκτέα ἔδοξαν, τὰ περὶ τῶν ἑπτὰ διακόνων. ἔτι γε οἱ πατέρες οἱ ἐν τῇ δευτέρᾳ συνόδῳ προσεδέξαντο τὴν ὑπὸ Κωνσταντίνου γενομένην σύνοδον ἐν Σαρδικῇ, τὴν καὶ δυτικὴν καλουμένην, εἰς ἣν παρεγένοντό τινες πατέρες ἀνατολικοί, τὸν ἀριθμὸν ἑβδομήκοντα. οὗτοι οὐκ ἤθελον εἰς τὴν σύνοδον εἰσελθεῖν, εἰ μὴ πρότερον ἐκβληθείη ὁ Παῦλος ἐκεῖνος καὶ ὁ Ἀθανάσιος. τοῦτο δὲ ὡς οὐκ ἤρεσε τοῖς δυτικοῖς ἐκείνοις πατράσιν, ἀνεχώρησαν μὲν οἱ ἀνατολικοί, οἱ δὲ δυτικοὶ προσέμειναν καὶ προήνεγκαν διασαφοῦντες, ἐκεῖνα τὰ γεγονότα ἐν τῇ ἐν Νικαίᾳ συνόδῳ προσδέχεσθαι δεῖν παρὰ τῶν Χριστιανῶν· ὅπερ ἡ δευτέρα σύνοδος ἐπεκύρωσε δίχα τινὸς δυσχερείας ἢ συζητήσεως. ἐπειδὴ γὰρ ὁ Κωνστάντιος, ὁ τοῦ Κωνσταντίνου τοῦ βασιλέως ἀδελφὸς καὶ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου ἐφρόνει τὰ Ἀρείου, καὶ ἤθελεν ἀνατρέψαι τὴν διδασκαλίαν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων, καὶ τοῦτο διὰ τοῦ ἄκρου ἀρχιερέως Κωνσταντίνῳ τῷ αὐτοῦ ἀδελφῷ ἐμηνύθη, ὃς καὶ πόλεμον ἐποίσειν κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἠπείλει, εἰ μὴ ἀρνηθείη ἣν κατεῖχεν ὁμολογίαν· διὰ ταῦτα συνεκροτήθη ἡ σύνοδος ἡ ἐν Σαρδικῇ, ἥτις ἐν τῷ τρίτῳ κανόνι τῆς δευτέρας οἰκουμενικῆς ἐν Κωνσταντινουπόλει συνόδου δυτικὴ ὀνομάζεται· ἥτις καὶ ὑπηγόρευσε τὴν ἐκδοθεῖσαν πίστιν τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ὀρθὴν καὶ ὑγιᾶ, καὶ παρὰ παντὸς Χριστιανοῦ δεῖν προσδέχεσθαι, ἣν δηλαδὴ ἀπόφασιν μετὰ ταῦτα οἱ τῆς δευτέρας συνόδου πατέρες χωρίς τινος ἀμφιβολίας προσήκαντο, καὶ ἴδε βιβλίον ὑμέτερον ἑλληνικὸν τοῦ Ἑρμείου περὶ ἐκκλησιαστικῆς ἱστορίας.

Ὁ ΒΑΣΙΛ. Τίνος τῶν διδασκάλων ἐστὶ τὸ βιβλίον τοῦτο;

Ὁ ῬΟΔΟΥ. Ἑρμείου· λέγει γὰρ ὁ αὐτός, τούτους πεποιηκέναι

ὅρον, ὅνπερ χωρὶς δυσχερείας οἱ ἐν τῇ δευτέρᾳ συνόδῳ πατέρες ἐδέξαντο.

Ὁ ΒΑΣΙΛ. Καὶ προσῆκόν ἐστιν, ἐν πράγμασι συνοδικοῖς ἱστορικοὺς ἄνδρας ἀναγινώσκεσθαι;

Ὁ ῬΟΔΟΥ. Γαληνότατε βασιλεῦ, διὰ τῶν ἱστοριῶν ὁδηγούμεθα πρὸς τὴν ἀλήθειαν τῶν ἤδη πραχθέντων πραγμάτων. τί γὰρ ἂν ἐγνώκειμεν περί τε τοῦ εὐαγγελίου καὶ τῆς ἱερᾶς γραφῆς, εἰ μὴ τὰ πάντα ὡς εἰς τρόπον ἱστορίας ἀνήχθησαν; χωρὶς τούτου πάντως οὐκ ἂν ᾔδειμεν τί πιστεύομεν.

Ὁ ΒΑΣΙΛ. Ἐκείνας δεῖ προσδέχεσθαι τῶν ἱστοριῶν περὶ τὴν πίστιν, ὅσας οἱ πατέρες ἐδοκίμασαν, ἄλλας δ' οὐχί.

Ὁ ῬΟΔΟΥ. Εἰ ἦν ἱστορία αὕτη περὶ πράγματος κοσμικοῦ, ἢ πολέμων ῥωμαϊκῶν τε καὶ ἑλληνικῶν, καλῶς ἂν εἶπεν ἡ σὴ γαληνότης, κύριε βασιλεῦ· ἀλλ' αὕτη οὐκ ἔστι διήγησις κοσμικὴ, ἀλλ' ἐκκλησιαστικὴ, καὶ περιέχει τὰ τῶν συνόδων ἁπασῶν, καὶ τῶν ἐξενεχθέντων ὅρων τε καὶ κανόνων, παρὰ τῶν ἁγίων πατέρων. διατί τοίνυν ὁ ἀνὴρ οὗτος οὐκ ἂν εἴη προσδεκτέος; πρὸς τούτοις τοῦτο οὐ μόνον ἐν τῇ ὑμετέρᾳ βίβλῳ εὑρίσκεται, ἀλλὰ καὶ ἐν ἡμετέροις βιβλίοις ἐμπεριέχεται. ἀλλ' ὡς κελεύει ἡ σὴ γαληνότης, ἐάσωμεν τοῦτο νῦν καὶ μεταβῶμεν εἰς ἄλλα. εἰρήκαμεν τοιγαροῦν, ὦ πατέρες αἰδεσιμώτατοι, ὅτι διὰ τὴν τῆς σαφεστάτης πίστεως ἀλήθειαν, καὶ μεγίστης κατεπειγούσης ἀνάγκης, ἡ Ῥωμαϊκὴ ἐκκλησία τοῦτο πεποίηκεν. εἰ δέ τις αὐτὴν ἐγκαλοίη μὴ προσκαλεσαμένην καὶ ἄλλους, ἡμεῖς γενναίως ἀπολογησόμεθα· πρῶτον εὖ συνίσταται ὡς οὐκ ἐκλήθησαν. δεύτερον οὐκ ἠνείχετο ἡ Ῥωμαϊκὴ ἐκκλησία καλέσαι· ὁρῶμεν γὰρ ἐν διαφόροις ἀρχαίαις συνόδοις, ὅτι κατὰ τὸν ἀριθμὸν διέφερον πρὸς ἀλλήλας αἱ σύνοδοι. καὶ γὰρ ἐν τῇ πρώτῃ τριακόσιοι ἦσαν καὶ δεκαοκτὼ, ἐν τῇ δευτέρᾳ ἑκατὸν καὶ πεντήκοντα, διακόσιοι ἐν τῇ τρίτῃ, ἑξακόσιοι καὶ τριάκοντα ἐν τῇ τετάρτῃ. ἀλλ' οὐδὲν ἧττον τὰ δόξαντα τοῖς ἐλάττοσιν οἱ πλείους προσήκαντο. τοῦτο καὶ ἐν τῇ ἑβδόμῃ συνόδῳ τῇ ἐν Νικαίᾳ γενομένῃ τὸ δεύτερον φαίνεται. καὶ γὰρ Κωνσταντῖνος ὁ Αὔγουστος ἐξαιτιᾶται ἑαυτὸν, ὅτι ὀλίγοι τῶν πατέρων συνῆλθον ἐν τῇ συνόδῳ ἐκείνῃ, καὶ ὅτι διὰ πολλὰ τὰ γεγονότα ἐμποδὼν οὐχ οἷόντε ἐγένετο τοῖς πατράσι παραγενέσθαι· ὅμως ὅσα ἐν ἐκείνῃ τῇ συνόδῳ ἐγένοντο, μετὰ

πολλῆς εὐλαβείας ἐλήφθησαν καὶ ἐδοκιμάσθησαν. ἐπειδὴ τοίνυν ἐν ἀριθμῷ τοσούτων δυτικῶν πατέρων, παρόντος τοῦ Πάπα, οὗτινος ἐξουσία τὸ συγκροτεῖν συνόδους, ὃ καὶ δι' ὑμετέρων μαρτύρων δείκνυται, ἐκείνη ἡ τοῦ συμβόλου ἀνάπτυξις ἐγένετο, ἐν ταύτῃ τοὺς ἄλλους παραγίνεσθαι οὐκ ἐφαίνετο ἀναγκαῖον. καὶ γὰρ ὁ διδάσκαλος ὑμῶν Στέφανος, ὃν καὶ νέον καλεῖτε μάρτυρα, ἐπέπληξε τοὺς πατέρας τοὺς ἐν Κωνσταντινουπόλει συναθροισθέντας· καὶ ὡς ἐβούλοντο οἱ αἱρετικοὶ συγκροτῆσαι σύνοδον, ἀπήντησεν ἐκεῖνος εἰς τὸ μέσον, λέγων· Πῶς ὑμεῖς τολμᾶτε συγκαλέσασθαι σύνοδον, καὶ τὴν ὑμετέραν συστῆσαι παρασυναγωγήν, μὴ παρόντος τοῦ τῶν Ῥωμαίων ἄκρου ἀρχιερέως, οὔτ' ἄλλου τινὸς τὸν ἐκείνου τόπον ἐπέχοντος καὶ ἀποπληροῦντος; ὡς μὲν οὖν ὀφείλουσι καὶ ἄλλοι παρεῖναι ἢ ἀπεῖναι, οὐ φαίνεται ἀναγκαῖον. καὶ γὰρ ἐν αὐτῇ τῇ ἐν Ἐφέσῳ συνόδῳ προπαραλαβόντος τοῦ Κυρίλλου εἰς τὴν σύνοδον ἐξουσίᾳ Καιλεστίνου τοῦ πάπα, μετὰ ταῦτα παραγενόμενος Ἰωάννης Ἀντιοχείας ἤλεγξε τὸν Κύριλλον, ὅτι μὴ παρόντος ἐκείνου καὶ τῶν ἄλλων οὓς ἤγαγε μεθ' ἑαυτοῦ, σύνοδον συνέστησε· καὶ ἤθελεν ἀνατρέψαι τὰ γεγονότα. ἐν οἷς ἀπεκρίθησαν αὐτῷ, ἱκανὸν εἶναι ἐκείνῳ, εἰ ὅλως προσδέχοιτο ἐκεῖνον ἡ σύνοδος, καὶ μὴ ἐθέλειν ἀνατρέψαι τὰ πρότερον συνοδικῶς γεγονότα. καὶ τοῦτον τὸν τρόπον ἔμεινε πάντα τὰ γεγονότα κεκυρωμένα καὶ βέβαια. ὅθεν οὐδὲ ὑμεῖς, ὦ πατέρες, ὀφείλετε τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ἐγκαλεῖν, ἂν μὴ παραγεγόνατε ἐν ἐκείνῃ τῇ τοῦ συμβόλου ἀναπτύξει. παρὰ ταῦτα τίς ἦν χρεία ὑμᾶς συγκαλέσαι, εἰδότας ἀκριβῶς τὸ παρὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ψαλλόμενόν τε καὶ κηρυττόμενον, μὴ ἀντιλέγοντας δ' ὅμως, ἀλλ' ἐν καὶ τὸ αὐτὸ μετ' αὐτῆς τυγχάνοντας; ὅθεν οὐ διὰ τὴν ἀνάπτυξιν ταύτην ἐσαλεύθητε, οὔτε ἀπ' αὐτῆς διεζεύχθητε· μᾶλλον μὲν οὖν ὁ ἅγιος Μάξιμος ἐξαιτιᾶται τὴν Ῥωμαϊκὴν ἐκκλησίαν, ὡς ἀδίκως ἐγκαλουμένην παρὰ τῶν ἀνατολικῶν, ἀνάγνωθι τὴν τούτου ἐπιστολὴν πρὸς Μαρῖνον.

Ἧς ἀναγνωσθείσης ἑλληνιστὶ, ὁ Ῥόδου λατινικῶς πρὸς τὸν Πάπαν ἡρμήνευσεν. ἐφ' οἷς Νικόλαος ὁ τῶν Γραικῶν ἑρμηνεὺς ἀνέστη βουλήσει τῶν μητροπολιτῶν, ὡς ἔλεγε, καὶ εἶπε πρὸς τὸν Ῥόδου.

ΝΙΚΟΛ. Οὐ καλῶς ἡρμήνευσας, πάτερ, τὸ ῥητὸν, ἐν οἷς λέγεις τὸν ἅγιον λέγοντα, μίαν εἰδέναι τοὺς Ῥωμαίους ἀρχὴν τοῦ Πνεύ-

ματος· οὐχ οὕτω γάρ φησιν ὁ ἅγιος Μάξιμος, ἀλλ' ὅτι τὸν Υἱὸν οὐ ποιοῦσιν αἰτίαν τοῦ ἁγίου Πνεύματος· εἶτα ἐπάγει· Μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν.

Ὁ ῬΟΔΟΥ. Ἀρκεῖ τὰ περὶ τούτου, ἐν ἄλλοις σκεψόμεθα, καὶ ἀποδείξομεν εἰς τὴν αὐτὴν ἔννοιαν τὸν ἅγιον φέροντα. ἀρκεῖ γὰρ ἡμῖν κατὰ τὸ παρὸν, τὸν μακάριον Μάξιμον λέγειν, ἀδίκως τοὺς δυτικοὺς ἐγκαλεῖσθαι. Μετὰ ταῦτα ἀνεγνώσθη καὶ ἄλλο τι ῥητὸν, ὡς ὁ Ῥόδου ἠθέλησε. πάλιν ἀνέστη ὁ Νικόλαος, καὶ φησί.

ΝΙΚΟΛ. Γινώσκετε, πατέρες αἰδεσιμώτατοι, ὅτι τὸ μετὰ τὴν ἐπιστολὴν ἐφεξῆς ἀναγνωσθὲν οὐκ ἔστι τοῦ Μαξίμου, εἰ καὶ τοῦ πεποιηκότος τὸ ὄνομα σεσιώπηται, ἀλλ' ἔστιν ἑτέρου τινὸς μετὰ τὸ σχίσμα τοιαῦτα συγγράψαντος.

Ὁ ῬΟΔΟΥ. Περὶ τῶν τοιούτων τρανέτερον ἐν ἄλλοις σκεψόμεθα· νῦν δὲ πρὸς τὸν ἄκρον ἀρχιερέα τὸν λόγον ἰθύνω. εἰ τοίνυν ἐν τῷ καιρῷ τοῦ Μαξίμου παρὰ τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ τὸ τοιοῦτον ἐψάλλετο, ὃ γέγονεν ἐν τοῖς χρόνοις τῆς ἕκτης συνόδου, καὶ τοῦτο αὐτὸ ὁ Μάξιμος ἀποδείκνυσι· καὶ ὑμεῖς λοιπὸν τοῦτο οὐκ ἀγνοεῖτε, οὐδὲ δύνασθε λέγειν, ὡς τοῦτο γέγονεν ἀγνοούντων ὑμῶν. Ἔτι ἐστὶν ἕτερος λόγος πειθῶν πρὸς τοῦτο· ἔχομεν ἑβδόμην σύνοδον, ἥπερ πλείοσι λόγοις ἡμῖν ἀποδείκνυσιν, ὅπερ ἡ Ῥωμαϊκὴ ἐκκλησία ψάλλει. καὶ πρῶτον αὕτη ἡ ἑβδόμη σύνοδος φαίνεται πεποιηκυῖα, ὅπερ αἱ ἄλλαι οὐ πεποιήκεισαν. αἱ μὲν γὰρ ἄλλαι τὸ ἐν Νικαίᾳ σύμβολον ἀνεγίνωσκον καὶ τὸ ἐν Κωνσταντινουπόλει, αὕτη δὲ οὐδαμῶς φαίνεται τοῦτο τετηρηκυῖα, προϋποτιθεμένη ἐκεῖνα τὰ σύμβολα ἐν εἶναι καὶ φανερὰ καὶ προσδεκτέα τοῖς πᾶσι. τοῦτο δὲ καὶ ἑτέρῳ ἀποδέδεικται λόγῳ· καὶ γὰρ ὁ Ταράσιος ὁ Κωνσταντινουπόλεως πατριάρχης ἐν τῇ πρὸς τὴν σύνοδον ἐπιστολῇ, ἐν τῇ τρίτῃ πράξει λέγει, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ· ὅπερ ὁμολογηθὲν ῥᾳδίως ἀποδείκνυσι τὸ Πνεῦμα τὸ ἅγιον κἀκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. τοῦτο ἐν ἰδίῳ ἀποδείξομεν τόπῳ. εἰ γοῦν τῷ Ταρασίῳ τὸ τοιοῦτον ποιῆσαι ἐξῆν, διατί τῷ Ῥωμαίων ἀρχιερεῖ μετὰ τοσούτου πλήθους πατέρων τοῦτο αὐτὸ ποιῆσαι οὐκ ἐξεγένετο; Πρὸς τούτοις ἔχομεν βίβλον ἀρχαιοτάτην, ἐν ᾗ ἡ ἑβδόμη σύνοδος ὁμολογεῖ καὶ λέγει, τὸ Πνεῦμα τὸ ἅγιον κἀκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· καὶ τοῦτο ἀποδείξομεν καὶ ἐν ἄλλοις βιβλίοις τῶν χρονογράφων, καὶ δυνησόμεθα

πλείοσι λόγοις πρεσαποδεῖξαι. Ἔτι ἐπειδὴ ἐν τῇ προλαβούσῃ μνείαν ἐποιήσατε τῆς ὀγδόης συνόδου, ἐροῦμέν τινα πρὸς ἃ ἡμῖν ἀντεπηγάγετε. πρὸς μὲν οὖν τὸ πρῶτον λέγομεν, ὅτι τοῦ Φωτίου γινομένου ἐχθροῦ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, καὶ πολλὰ συγγραψαμένου καὶ ἐξαπεχθέντος σφοδρῶς κατά τε Νικολάου καὶ Ἀδριανοῦ, οὐ μέντοι γε τούτοις ἐγκαλεῖ περὶ τῆς ἐν τῷ συμβόλῳ προσθήκης, ὃ καὶ μάλιστα ἐκεῖνον ποιῆσαι ἐχρῆν. βουλόμενος γὰρ κατὰ τῶν ἄκρων ἀρχιερέων τῆς Ῥώμης συμπλακῆναι, οὐδὲν μεῖζον ἔχειν ἂν ἠδυνήθη ἐπιχείρημα, ἢ ἐξελέγχειν αὐτὸν τὸν ἄκρον ἀρχιερέα ὑποκείμενον εἶναι τῷ ἀναθέματι, καὶ παραβάτην εἶναι τοῦ νόμου. ὅτι δὲ οὐ τοῦτο πεποίηκε, δῆλον ὡς ἀδίκως ἐγκαλουμένη ἐστὶ παρὰ τῶν Γραικῶν ἡ Ῥωμαϊκὴ ἐκκλησία. Ἔτι ἐν τῷ τέλει τῆς συνόδου ἐκείνης ἐπαινοῦσι τὴν Ῥωμαϊκὴν ἐκκλησίαν, καὶ τὸν ἄκρον ἀρχιερέα, καὶ πάντα ὅσα κατέχει καὶ κηρύττει. ἐξήνεγκαν καὶ ἀπόφασιν ὑπὲρ τοῦ Ἰγνατίου κατὰ τοῦ Φωτίου· καὶ ἐγίνωσκον ὅτι ἐψάλλετο ἐκεῖνο ἐν τῷ συμβόλῳ, ἀλλ' οὐκ ἠθέλησαν. Ἔτι Ὁρμίσδας γέγονε πάπας πρὸ τῆς πέμπτης συνόδου, ἐν τοῖς χρόνοις Ἰουστίνου τοῦ βασιλέως· οὗτος ἔγραψεν ἐπιστολὴν, ἣν προσεδέξατο Ἰωάννης ὁ Κωνσταντινουπόλεως, καὶ πάντες οἱ τοῦ καιροῦ ἐκείνου ἀνατολικοὶ πατέρες· καὶ τοῦτο τρανῶς περιέχει ἐκείνη ἡ ἐπιστολὴ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ. διατί τοίνυν ὑμεῖς, ὦ πατέρες, λέγετε τοῦτο γεγενῆσθαι αἰτίαν τῆς διαιρέσεως, καὶ μὴ θέλειν ἱσταμένης ἐκείνης, ἣν ὑμεῖς προσθήκην καλεῖτε, μεθ' ἡμῶν ἑνωθῆναι; πρὸς ἐκεῖνο δὲ ὃ τελευταῖον εἰρήκατε, ὅτι συναχθεῖσα ἡ τελευταία σύνοδος κατεδίκασε τὴν ὀγδόην σύνοδον, λέγω ὅτι τοῦτο παντάπασι φαίνεται οὐκ εὔλογον. ἀλλ' οὔτε συνίσταται λόγοις πιθανοῖς τοὐναντίον περὶ τῆς συνόδου ἐκείνης, ὡς κατεδικάσειν· οὐδὲ γὰρ ἐξῆρχε Ῥωμαῖος ἀρχιερεὺς ἢ ἄλλος τὸν ἐκείνου τόπον ἀποπληρῶν. εἰ δ' ἦν τοῦτο, ὁμολογουμένως ἂν ἦν καὶ παρὰ τοῖς Λατίνοις μνήμη τις περὶ τῆς συνόδου ἐκείνης. θαυμαστὸν γὰρ ἂν ἦν, τὴν Ῥωμαϊκὴν ἐκκλησίαν ἐν πλείοσι πράγμασι διατριβομένην οὖσαν καὶ ἐπιμελεστάτην εἰς τὸ συντιθέναι τε καὶ συγγράφειν πάντα τὰ προγεγονότα, τὸ μέρος τοῦτο οὕτως ὂν ἀναγκαῖον καὶ οὕτω καίριον ἠμεληκέναι. πρὸς τούτοις εἴπερ ἐν τῇ συνόδῳ ἐκείνῃ αὐθεντίᾳ τοῦ πάπα Ἰωάννου ἀφῃρέθη, ὡς λέγετε, καὶ τὸ μέρος

ἐκεῖνα κεκώλυται ψάλλεσθαι, διατί ἐν αὐτῇ τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ὁ αὐτὸς ἀρχιερεὺς τότε ταὐτὸν οὐχ ὡρίσατο; διατί ὑμεῖς τοῖς ὑποκειμένοις τῷ ἀναθέματι συνεζευγμένοι ὑπήρχετε; διατί οὐκ ἀντείπατε τοσούτων προηγησαμένων ἄκρων ἀρχιερέων, καθ' ὃν τρόπον ἐν ἄλλοις ἐπεχειρήσατε πράγμασιν; ἀφ' οὗ φαίνεται, ὅτι ἡ σύνοδος ἐκείνη, ὡς λέγετε, οὐ συνήθροισται· ἢ εἴπερ γέγονε καὶ συνηθροίσθη, οὐδεμία περὶ ἐκείνου μνήμη ἐγένετο. ἀφ' οὗ, πατέρες ἄριστοι, ἕπεται ὅτι ὃ λέγει ἡ Ῥωμαϊκὴ ἐκκλησία ἐν τῷ συμβόλῳ, οὔτε προσθήκη ἐστὶν, οὔτε μὴν κεκώλυται· καὶ εὔλογος τῆς ἀναπτύξεως ἐκείνης αἰτία ἦν, ἡ τῆς πίστεως ἀλήθεια, ἡ τοῦ πράγματος ἀνάγκη, ἡ αὐθεντία τοῦ Ῥωμαίων ἀρχιερέως, ἡ συνάθροισις τῶν τοσούτων πατέρων. περὶ πράγματος οὕτω φανερωτάτου, περὶ οὗ διηνέχθητε, μᾶλλον σιγῶντες ἐπεκυρώσατε, τοσούτων παρεῤῥυηκότων ἐνιαυτῶν διατί νῦν ἀντιλέγετε; εἰ ἕτερά εἰσι τὰ τυγχάνοντα ἐμποδὼν, εἴπατε· οὐδὲ γὰρ ταῦτα καθεστήκασιν ἐμποδὼν ὑμᾶς σὺν ἡμῖν ἑνωθῆναι. μᾶλλον μὲν οὖν ἐάν τις λέγῃ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ μόνου τοῦ Πατρὸς, φαίνεται ἐναντίος τῇ ἀληθεῖ πίστει καὶ μαχόμενος τῷ ἀξιώματι τῶν ἁγίων πατέρων. μᾶλλον ἓν ἐκ τῶν δύο ἀναγκαίως ἔσται· ἕπεται γὰρ ἢ μὴ εἶναι τάξιν φυσικὴν ἐν τοῖς θείοις προσώποις, ἢ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι κτίσματα τοῦ Πατρός· καὶ οὕτως ἐμπεσεῖν τῇ πλάνῃ τοῦ Ἀρείου καὶ τοῦ Εὐτυχοῦς καὶ τοῦ Μακεδονίου τοῖς ἀναθέμασιν· ὅπερ ὁρῶντες οἱ τῶν Λατίνων πατέρες προσήκαντο τὸ παρὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἀναπτυχθὲν μετὰ πολλῆς εὐλαβείας. ὅτι δὲ ἡ Ῥωμαϊκὴ ἐκκλησία κέκτηται ἐξουσίαν τοῦ οὕτωσὶ ἀναπτύσσειν, προσοίσομεν μίαν μόνην χρῆσιν ἑλληνικὴν κατὰ τὸ παρὸν, ἐν ᾗ ὑποδειχθήσεται, τὸν θρόνον τοῦτον τοῦ Πέτρου μόνον εἶναι τὸν ἔχοντα τὴν ἐξουσίαν ἀναπτύσσειν τὴν πίστιν· καὶ σὺν τούτῳ οὐδαμῶς ποτε τὰς πύλας τοῦ ᾅδου, τουτέστι τὰς αἱρέσεις κατισχῦσαι κατ' αὐτῆς, ἀλλ' οὐδὲ ἥψαντο. ἔστι δὲ ἡ ἐπιστολὴ ἐν τῷ λόγῳ τῷ περὶ πίστεως. Ἔχομεν, πατέρες ἄριστοι, καὶ πλείονα ἄλλα ῥητὰ περὶ ταύτην τὴν ὕλην, μάλιστα δὲ πάντων τοῦ ἁγίου Κυρίλλου ἐν τοῖς θησαυροῖς· λάμπει γὰρ τὰ μάλιστα ἡ αὐθεντία τοῦ Ῥωμαίων ἀρχιερέως ἐν τοῖς τοῦ Κυρίλλου συγγράμμασιν· ἀλλὰ κατὰ τὸ παρὸν ἀρκείτωσαν ταῦτα, τούτου μόνου ῥηθέντος· ὅτι αὕτη ἡ

ἐκκλησία, ἧς ἐστι τὸ ἅπασας ἀναπτύσσειν τὰς τῆς πίστεως ἀληθείας, τὴν ἀλήθειαν ταύτην ἀναγκαίαν οὖσαν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐδέξατο. χωρὶς γὰρ αὐτῆς πιστευομένης συνεπτυγμένως ἢ ἀνεπτυγμένως; οὐκ ἔστι δυνατὸν τὴν σωτηρίαν τῶν ἀνθρώπων συνεστάναι.. διὰ τοῦτο ἡ Ῥωμαϊκὴ ἐκκλησία ἠδύνατο καὶ ὤφειλε ποιῆσαι, ὃ καὶ πεποίηκεν· εἰ μὲν οὖν ὑμεῖς, ὦ πατέρες, βούλεσθε συνομολογήσειν, ὃ σήμερον ἡμεῖς ἐξηνέγκαμεν, οὐκ ἂν εἴη ἑτέρων χρεία πραγμάτων, ἀλλὰ τῶν βιβλίων κλεισθέντων, ταύτην περιπτυξώμεθα τὴν ἀλήθειαν, καὶ ὦμεν ἡνωμένοι ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ.

ΙΟΥΛ. ΚΑΡΔ. Ἐπειδὴ ὑμεῖς, ὦ κύριοι, ἀνέγνωτε ἐν τῇ προλαβούσῃ τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος πάπα, οἴεσθε δὲ ἐκείνην λίαν αὐθεντικὴν, θέλω εἰπεῖν δύο ῥήματα πρὸς ὃ εἶπεν ὁ κύριος ὁ Ῥόδου. πρῶτον εἶπεν, ὅτι ὁσάκις ἀναφυῇ πλάνη τις, τῷ πάπᾳ ἐπίκειται ἀνάγκη τοῦ διδάσκειν τοὺς λαοὺς τὴν καθολικὴν ἀλήθειαν. μετὰ ταῦτα λέγει, ὅτι τὴν αὐθεντίαν τῆς Ῥωμαϊκῆς ἐκκλησίας, πᾶσα ἡ τοῦ Χριστοῦ καθολικὴ ἐκκλησία, καὶ πάντες οἱ πατέρες ἐδέξαντο, καὶ κατὰ πάντα ἠκολούθησαν τῇ αὐτοῦ διδαχῇ. ἀναγνώσομαι τὴν ἐπιστολήν.

Ἐπιστολὴ Ἀγάθωνος πάπα.

Ἐὰν σιωπῇ συγκαλύψω τὴν ἀλήθειαν, ἣν ἐκελεύσθην ἐκδιδόναι τοῖς χρῄζουσι διὰ τῶν ῥημάτων ἐκείνων· Ποίμαινε τὰ πρόβατά μου,* καί· Σὺ ἐπιστραφείς ποτε στήριξον τοὺς ἀδελφούς σου,* ἐπεὶ ἡμῖν ἀνάγκη ἐπίκειται, τοὺς Χριστιανοὺς διδάσκειν τὰ πρὸς τὴν ἀληθῆ ἀνήκοντα πίστιν. καὶ μετ' ὀλίγον· Πᾶσα ἀεὶ τῶν Χριστιανῶν καθολικὴ ἐκκλησία, καὶ πᾶσαι αἱ οἰκουμενικαὶ σύνοδοι πιστῶς περιπτυσσόμεναι τὴν αὐτοῦ διδαχὴν, καὶ πάντες οἱ ἅγιοι διδάσκαλοι καὶ φωσφόροι τῆς ἐκκλησίας, ἐν πᾶσι τῇ αὐτοῦ διδαχῇ ἐπακολουθήσαντες, καὶ τὰ λοιπά.

* Ἰω. 21, 17.
* Λουκ. 22, 32.

Ἀπὸ τούτου φαίνεται, ὅτι ὁσάκις ἂν ἀνακύψῃ ἀμφινοιά τις πίστεως, ὁ Ῥωμαίων ἀρχιερεὺς ὀφείλει καὶ ἐνέχεται ἐκείνην διασαφῆσαι· κἀκείνου διδάσκοντος, πᾶσαι αἱ σύνοδοι καὶ πᾶσα ἡ ἐκ-

κλησία ὀφείλει ταύτῃ τῇ ἀληθείᾳ ἐπακολουθεῖν καὶ τοῦτό φησιν ἡ ἐπιστολὴ ἡ προσφωνηθεῖσα καὶ κυρωθεῖσα ἐν τῇ ἕκτῃ συνόδῳ. ἀλλὰ τούτων μὲν ἅλις. ὅταν δὲ ὑμῖν ἀρέσῃ, ὦ πατέρες, αὖθις συνελευσόμεθα.

Μηνὶ νοεμβρίου πρώτῃ τῷ σαββάτῳ ἐγένετο·

ΣΥΝΕΛΕΥΣΙΣ ι'.

Ὁ ΝΙΚΑΙΑΣ. Τῶν ὑμετέρων λόγων ἀκροασάμενοι, πατέρες αἰδεσιμώτατοι, μετὰ πάσης ἀγάπης καὶ πολλῆς ἀνοχῆς, ὡς ἔπρεπεν ἀδελφοῖς, νῦν ἥκομεν καὶ αὐτοὶ ἀποδώσοντες λόγον τὸν πρὸς ἐκείνους μετὰ τῆς αὐτῆς ἀγάπης πάντως τε καὶ εὐνοίας ἀκουσομένοις ἡμῶν. τοῦτο γὰρ ἀνάγκη παρ' ἀμφοτέρων φυλάττεσθαι ἀμφοτέροις, καὶ μετὰ ἀγάπης ἀλλήλων ἀκούειν, ἴσως δὲ οὐκ ἀκούειν μόνον, ἀλλὰ καὶ τοὺς παρ' ἑαυτῶν λόγους μετὰ τῆς αὐτῆς εὐνοίας ἐκφέρειν· πρὸς ἓν ἄμφω τέλος ὁρῶντας, τὴν εἰρήνην καὶ τὴν ἁγίαν τῶν ἐκκλησιῶν ἕνωσιν, καὶ πρὸς ἐκεῖνο πάντα καὶ ποιοῦντας καὶ λέγοντας· ὅσα μὲν εἰς ἐκείνην ἐπάγοντα, ταῦτα καὶ αὐτοὺς ἀσπαζομένους· ὅσα δὲ ἐκείνης ἀπάγοντα, ταῦτα καὶ αὐτοὺς ἀποπεμπομένους· οὐ μᾶλλον ἑαυτοῖς χαριζομένους ἢ τῷ κοινῷ καὶ τῇ προκειμένῃ τῶν Χριστιανῶν ἁγίᾳ ἑνώσει. τοῦτο καὶ ἡμεῖς φυλάξομεν πρὸς τὴν ὑμετέραν αἰδεσιμότητα καὶ λέγοντες καὶ ἀκούοντες, καὶ οὔποτε προαχθησόμεθα φλαῦρον εἰπεῖν οὐδὲν, οὐδ' ὃ φέρει σκάνδαλον, οὔκουν γε ἑκόντες· τοῦτο καὶ παρ' ὑμῶν ἐλπίζομεν ἕξειν.

Τοὺς πρότερον παρ' ἡμῶν εἰρημένους λόγους μερίσαντες εἰς κεφάλαια τέσσαρα, ἀπενείματε τούτων ἑκάστῳ αἰτίας τινὰς, δι' ἃς ἡμᾶς ᾠήθητε ταῦτα εἰπεῖν. ὅθεν ἀκολούθως ἐνιστάμενοι πρὸς ἐκεῖνα, ἐκ τοῦ ἐναντίου ἐπεχειρήσατε δεῖξαι ἃ ὑμῖν ἐδόκει. ἐν μὲν τῇ προτέρᾳ ὑμῶν ὁμιλίᾳ ἐπαγγειλάμενοι ταῦτα τὰ τέσσαρα, πρῶτον τὸ, ἐκ τοῦ Υἱοῦ λέγεσθαι τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἶναι προσθήκην, ἀλλ' ἀνάπτυξιν καὶ σαφήνειαν· δεύτερον, ὅτι τὰς τοιαύτας ἀναπτύξεις ἔξεστι ποιεῖσθαι, κἂν τῷ συμβόλῳ προσθεῖναι· τρίτον, ὅτι τὸ, ἐκ τοῦ Υἱοῦ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, ὑγιές τέ ἐστι καὶ ἀληθὲς, καὶ δόξα τῶν διδασκάλων τῆς ἐκκλησίας· τέταρτον, ὅτι τῆς ἀληθείας ἀναφανείσης, πάντα δεῖ Χριστιανὸν ἕπεσθαι καὶ μὴ ἄλλως

ποιεῖν. ὧν περὶ τῶν δύο διαλαβόντες ἐν τῇ προτέρᾳ συνελεύσει, ἐν τῇ ὑστέρᾳ τὰ μὲν δύο λοιπὰ ἐδόξατε καταλιπεῖν· αὖθις δὲ ἀναλαβόντες, περὶ τοῦ δευτέρου πάντα λόγον ἐποιήσασθε, λέγω δὴ, τοῦ ἐξεῖναι τὰς ἀναπτύξεις τῷ θείῳ συμβόλῳ προστιθέναι. τοῦτο δὲ ἐνὸν φιλικῶς τε δρᾶσαι καὶ δικαίως, οὐδεὶς γὰρ ἂν ἐκώλυσεν ὑμᾶς εἰπεῖν ὃ ἐβούλεσθε, ὅμως ἠθελήσατε μετά τινος δικαιολογίας ἐπὶ τοῦτο χωρῆσαι, δείξαντες μὲν ἀναγκαῖα εἶναι καὶ τὰ λοιπὰ κεφάλαια, ὅμως δὲ χαριζομένους ἡμῖν καταλιπεῖν τὸν περὶ ἐκείνων λόγον. ἡμεῖς δὲ ὑπὲρ μὲν ὧν ἡμῖν χαρίζεσθε, χάριν ὑμῖν οἴδαμεν· οὐδὲν γὰρ ἧττον καὶ ὑμῖν αὐτοῖς ἐχαρίσασθε, εἰπόντες πλατύτερόν τε καὶ πιθανώτερον ὡς ἐνῆν περὶ τοῦ προκειμένου ζητήματος· ὅτι δὲ ἴσως, οὐ πάνυ ἦσαν ἀναγκαῖα πρὸς τὸ προκείμενον, δείξομεν μετὰ ἀγάπης ἐν ὀλίγοις ῥήμασι κατὰ βραχύ. τούτων οὕτως ὑφ' ὑμῶν εἰρημένων καὶ πεπραγμένων, ἡμεῖς ἀρξάμενοι ἀπὸ τοῦ τελευταίου κεφαλαίου, περὶ οὗ καίτοι δόξαντες αὐτὸ καταλιπεῖν, οὐδὲν ἧττον ὅμως διελάβετε, λέγομεν οὕτω. Τὸ μὲν τὴν ἀλήθειαν ἅπασι κοινὸν ἀγαθὸν εἶναι, καὶ ἀκολούθως καὶ ἀσπαστὸν, ὡς μηδὲ δεῖν ἄλλο τι ταύτης προτιμᾶν τοὺς ἐχέφρονας, ἀλλὰ παντὶ τρόπῳ ἀναζητοῦντας εὑρεῖν, καὶ εὑρόντας ἀσπάσασθαι καὶ προσθέσθαι, πᾶς ἂν ὁστισοῦν εἴποι τῶν νοῦν ἐχόντων, πρὸς ἀντικείμενον φερόμενος τὴν ἀλήθειαν. ὥστε οὐδ' ἡμᾶς δεῖ πονεῖν, τὰ πᾶσι δῆλα συνιστάντας τε καὶ κατασκευάζοντας. ἐπεὶ γοῦν οὐδὲ πολλοὺς ἐπιδέχεται τἀληθὲς λόγους, ἁπλοῦς γὰρ ὁ μῦθος τῆς ἀληθείας, ἀρκεῖ ταῦτα περὶ τούτου. περὶ δὲ τοῦ τρίτου τε καὶ πρώτου, ὧν ἐν μὲν τῷ πρώτῳ ἀνάπτυξιν εἶναι τοῦτο δὴ τὸ προκείμενον ἐπειράθητε δεῖξαι, ἐν δὲ τῷ δευτέρῳ, ὃ καὶ δόξαντες παραλιπεῖν, ἐν τῇ ὑστεραίᾳ οὐδὲν ἧττον ἥψασθε καὶ αὐτοῦ ὑμῖν μὲν εἴρηται, ὅσα καὶ εἴρηται· ἡμῖν δὲ καιρὸν οὐχ ὁρῶ εἰπεῖν πρὸς ταῦτα οὐδὲν ἔν γε δὴ τῷ παρόντι. τοῦτο γὰρ ἐν τοῖς ἑξῆς ταμιευσόμεθα θεοῦ διδόντος, ὅταν καθ' αὐτὴν τὴν δόξαν αὐτὴν ἐξετάσωμεν, ἔχοντες μὲν πολλὰ καὶ ἄλλα περὶ τούτου εἰπεῖν, ἐν δὲ τῷ οἰκείῳ καιρῷ ταῦτα ταμιευόμενοι· νῦν δὲ τὸν λόγον περὶ τοῦ προκειμένου ποιησόμεθα μόνου. ὁ δὲ λόγος, περὶ πάντων μὲν ἅμα τῶν κεφαλαίων εἰπεῖν, καὶ ἐν πᾶσιν ἅμα ὁμονοῆσαι ἀδύνατον· δεῖ δὲ ἀφ' ἑνὸς εἰς ἕτερον μεταβαίνοντας οὕτω καὶ περὶ τῶν ἄλλων τὰ

εἰκότα διαλαβεῖν. ἄρξασθαι δὲ ἀναγκαῖον ἀπὸ τοῦ τῇ φύσει πρώτου· τοιοῦτον δέ ἐστι δήπου ὃ καὶ ἡμεῖς προυβαλόμεθα. εἰ γὰρ ἐξ ὑποθέσεως τοῦτο ἀληθὲς εἴη, ὥστε μὴ δύνασθαι ὑμᾶς κατασκευάσαι τὰ ἐναντία, μηδὲ δεῖξαι τὸ ἐξεῖναι προσθεῖναι, τί πλέον ὑμῖν ἔσται δεδειχόσι τό· Ἐκ τοῦ Υἱοῦ, εἶναι ἀνάπτυξιν, ἢ ὑγιὲς εἶναι καὶ ἀληθές; πάντως οὐδὲν καὶ ὑμεῖς ἐρεῖτε τὰ δίκαια λέγοντες. ἐροῦμεν γὰρ ἡμεῖς, ὡς ἀληθὲς ὂν οὐ δεῖ προστεθῆναι, ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν ἀληθῶν οὐ προσετίθησαν διὰ τὸ μὴ ἐξεῖναι. περὶ τούτου καὶ δὴ τὸν πάντα ποιησόμεθα λόγον· καὶ πρῶτον μὲν ἐπιδραμούμεθα τὰ παρὰ τῆς ὑμετέρας αἰδεσιμότητος εἰρημένα· εἴ τι μὲν ὑφ' ὑμῶν πρὸς τὸ προκειμένον εἴρηται, ταῦτα ἐξετάζοντες· εἴ τι δὲ ἔξω τοῦ προκειμένου, ἐν ἄλλῳ ταμιευόμενοι χρόνῳ. ποιησόμεθα δὲ τὸν πρὸς ταῦτα λόγον ὡς ἔνεστι σύντομον· ἴσως γὰρ οὐδὲ δεῖ ἐπὶ πλέον μηκύνειν τοὺς λόγους, καὶ εἰς μακρὸν αὐτοὺς ἀποτείνειν, εἰ μὴ νῦν καὶ ἐν ταῖς ἀρχαῖς ἔπειτα προϊόντας ἀνάγκη κατὰ πεῦσιν καὶ ἀπόκρισιν ἀλλήλοις διαλεχθῆναι, ἔστ' ἂν εἴς τι συμπέρασμα καταντήσωμεν· ἡμεῖς μὲν οὖν φροντίσομεν τῆς συντομίας ὡς ἔνεστιν· εἰ δὲ ἀναγκασθείημεν καὶ μακροτέρων πρὸς μακροτέρους δεήσεσθαι λόγων, οὐδὲν θαυμαστόν· ἐξ ἀνάγκης γὰρ γίνεται· ἡμῖν μὲν ἤρκει περὶ τοῦ δευτέρου κεφαλαίου μόνον εἰπεῖν, ὃ καὶ μάλιστα πρόκειται, ὅμως δὲ ἐκ περιουσίας καὶ περὶ τοῦ πρώτου πρότερον. ὀλίγα τινὰ ἐροῦμεν, λέγω δὲ οὐ περὶ παντὸς τοῦ πρώτου κεφαλαίου, ἀλλ' ὅσον δοκεῖ συντείνειν πρὸς τὸ προκείμενον ζήτημα. τὸ πρῶτον μὲν γὰρ ὑμῶν κεφάλαιον κατασκευάζοντες, τὸ ἀνάπτυξιν εἶναι τὸ προκείμενον δόγμα, ἐχρήσασθε συλλογισμῷ. οὗ τῆς μὲν ἐλάττονος καὶ τῶν ἐκείνης κατασκευῶν, οὐκ εἶναι καιρὸν ἔν γε τῷ παρόντι καὶ πρότερον εἴπομεν· περὶ δὲ τῶν τῆς μείζονος κατασκευῶν, ὡς καὶ αὐτῶν συντελούντων πρὸς τὸ προκείμενον, ὀλίγα ἐροῦμεν. ταύτην γὰρ πρῶτον μὲν συλλογισμῷ τινι συνεστήσατε, ἔπειτα ἐπαγωγῇ τῇ ἀπὸ τῶν ἑξῆς συνόδων, καὶ ὧν ἐκεῖναι ἔπραξαν, πᾶσαι δηλαδὴ ἐξηγησάμεναί τε καὶ σαφηνίσασαι· τρίτον ἀπὸ τῆς φωνῆς τοῦ αἰδεσιμωτάτου Ἐφέσου. πρὸς οὖν τὸν συλλογισμὸν ὅς φησι, πᾶσαν προσθήκην ἔξωθεν εἶναι, τὴν δ' ἀνάπτυξιν οὐκ ἔξωθεν, ὡς συνάγεσθαι τὴν ἀνάπτυξιν μὴ εἶναι προσθήκην· πρὸς οὖν τοῦτο λέγομεν, ὅτι τοῦ συλλογισμοῦ τούτου τῇ μείζονι ἴσως

συγχωρήσομεν, καίτοι γε πρὸς τὴν προκειμένην ὕλην καὶ ταύτην ἔχομεν ἀπαρνήσασθαι· τῇ δευτέρᾳ μέντοι γε τῇ λεγούσῃ, τὴν ἀνάπτυξιν οὐκ ἔξωθεν εἶναι, ταύτῃ οὐ συγχωρήσομεν. τῶν ἐγκειμένων γὰρ εἶναι τὴν ἀνάπτυξιν ἴσως φαίημεν ἂν καὶ ἐκ τῶν ἐγκειμένων· καὶ πᾶσα μὲν γὰρ ἀνάπτυξις, μάλιστα δὲ ἡ νῦν ἡμῖν προκειμένη, καὶ περὶ ἧς τὸν λόγον ποιούμεθα, τουτέστιν ἡ θεολογικὴ, πρός τινα λόγον ἀναφέρεται ἔξωθεν εἰλημμένον, πρὸς ὃν ὡς πρὸς μείζονα πρότασιν αὕτη λόγον ἐλάττονος προτάσεως ἔχει, καὶ περιέχεται μᾶλλον ἢ περιέχει. οἷον ἐπὶ παραδείγματος, λέγομεν κοινῶς, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς, ἰδοὺ τὸ ἐγκείμενον· ὑμεῖς θέλοντες δεῖξαι, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ, λαμβάνετε ἔξωθεν λόγον τινὰ καθόλου, ὅτι πάντα τὰ τοῦ Πατρός ἐστι καὶ τοῦ Υἱοῦ. ἰδοὺ τὸ ἔξωθεν εἰλημμένον καὶ οὕτω συνάγετε, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον· αὕτη ἡ ἀνάπτυξις· τὴν δὲ αἰτίαν καὶ τὸ κῦρος ἡ ἐλάττων οὐ δύναται ἔχειν, εἰ μὴ ἀπὸ τῆς ἔξωθεν εἰλημμένης, ἥτις καὶ μείζων ἐστίν. ἔστιν οὖν ὁ λόγος οὗτος ἔξωθεν εἰλημμένος. οὐκ ἄρα δοκεῖ ἱκανοποιῆσαι ἡμῖν ὁ λόγος ὁ λέγων, ὅτι ἡ ἀνάπτυξις οὐκ ἔξωθεν, ἀλλ' ἐκ τῶν ἐγκειμένων· φαίνεται γὰρ, ὅτι οὐ πᾶν τὸ τῆς ἀναπτύξεως ἔσωθεν· μάλιστα μὲν οὖν τὸ πλεῖστον αὐτῆς ἔξωθεν, ἔχει γὰρ καὶ τὸ μεῖζον ἀξίωμα ἔξωθεν, καὶ τὰς λέξεις ἔξωθεν τὸ ἐλάχιστον, ὥστε τοὐναντίον συμβαίνειν, τὴν ἀνάπτυξιν ἔξωθεν εἶναι. φαίνεται ἄρα ἀπὸ τούτου, ὡς τὸ ἐκ τοῦ Υἱοῦ λέγεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ ἀνάπτυξις ἦν καθ' ὑμᾶς, ὅμως οὐκ ἐκφεύγει τὸ εἶναι προσθήκη. καὶ γὰρ δὴ καὶ καθ' ἕτερον λόγον ἔχει τινὰ πρὸς τὰ προστιθέμενα ὁμοιότητα τὸ προκείμενον ζήτημα, ἔξωθέν τε ἂν, καὶ ὅμοιον καθ' ὑμᾶς ᾧ προστίθεται. ἡ προσθήκη γὰρ γίνεται μὲν ἔξωθεν κατὰ τὸν Ἀριστοτέλην, οὐ μέντοι γε ἧττον ὀφείλει εἶναι καὶ ἐκ τῶν ὁμοίων· καὶ οὐκ ἂν ἄλλως προστεθείη, εἰ μὴ γένηται ὁμοία. τοῦτο δὲ δῆλον καὶ ἀφ' ἧς ὑμεῖς ἐχρήσασθε κατασκευῆς, λέγω δὴ τῆς τροφῆς. ἡ γὰρ τροφὴ ἔξωθεν οὖσα, οὐδὲν ἐστιν ἧττον καὶ ἐκ τῶν ὁμοίων. γενομένη γὰρ ὁμοία προστίθεται, καὶ οὐκ ἂν ἄλλως προστεθείη, εἰ μὴ γένηται ὁμοία. ὥστε δύο ταῦτα ἐχούσης τῆς προσθήκης, τό τε ἐκ τῶν ἔξωθεν, καὶ ἐκ τῶν ὁμοίων εἶναι, φαίνεται κατ' ἀμφότερα κοινωνοῦν τοῖς προστιθεμένοις τὸ ζήτημα

τοῦτο, τὸ καὶ ἐκ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα τὸ ἅγιον. ἔχει γάρ τι καὶ ὅμοιον καθ' ὑμᾶς καὶ ἀνόμοιον· ὅμοιον μὲν καθ' ὑμᾶς, καθόσον εἰς τὴν αὐτὴν ἔννοιαν φέρει· ἀνόμοιον δὲ, καθόσον αἱ λέξεις τοὐλάχιστον φέρουσί τι ἔξωθεν, πρὸς ἔτι τούτοις δὲ καὶ τὸ μεῖζον ἀξίωμα. ὥστε οὐδαμῶς ἐκφεύγει τὸ εἶναι προσθήκη, εἰ καὶ ἀνάπτυξις. εἰ δ' ἔστι μὲν προσθήκη, ἡ δὲ προσθήκη κεκώλυται, καὶ τοῦτο ἄρα κεκώλυται. ταῦτα μὲν πρὸς τὸν συλλογισμόν. εἴπομεν δ' ἂν καὶ πρὸς τὰς ἄλλας συστάσεις τῆς μείζονος νυνὶ τὰ εἰκότα, ἀλλ' ἐπεὶ ταῖς αὐταῖς ταύταις καὶ ἐν ταῖς τοῦ δευτέρου κεφαλαίου κατασκευαῖς ἐχρήσασθε, ἐκεῖ καὶ ἡμεῖς περὶ τούτων ἐροῦμεν. ἵνα οὖν μὴ ἀναγκαζώμεθα πολυλογεῖν πολλάκις τὰ αὐτὰ λέγοντες, ἐπὶ τὸ προκείμενον μεταβῶμεν· τοῦτο γὰρ τὸ δεύτερον κεφάλαιον, τὸ ἐξεῖναι, δηλαδὴ τὰς ἀναπτύξεις προσθεῖναι, κατεσκευάσατε τετραχῶς. πρῶτον μὲν ἐπεχειρήσατε ἀπὸ τῆς ἐπαγωγῆς, ὧν ἔπραξαν αἱ σύνοδοι πᾶσαι ἐξηγησάμεναί τε καὶ ἀναπτύξασαι τὴν πίστιν· δεύτερον ἀπὸ τῆς κατὰ τὰς διαφόρους φωνὰς ἐκφωνήσεως τοῦ συμβόλου· τρίτον ἀπὸ τοῦ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα ἐν ἑκάστῃ ἐπιστήμῃ δυνάμει περιέχειν τὰ μετ' αὐτά. τέταρτον ἀπὸ τοῦ τὴν ἐκκλησίαν μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ ἀξιώματι μίαν καὶ τὴν αὐτὴν ἐξουσίαν δεῖν ἔχειν. Πρῶτον οὖν λέγομεν πρὸς τὸ πρῶτον τὸ μὲν ἑτέραν τε καὶ ἐναντίαν δόξαν ἐκθεῖναι τῶν ἐγκειμένων τε καὶ ἀληθῶν, οὔτ' ἐξῆν, οὔτ' ἐξέσται οὐδέποτε· τοῦτο γὰρ ἀπ' ἀρχῆς κεκώλυται τοῦ κηρύγματος· ἐξῆν δὲ ἀναπτύσσειν καὶ σαφηνίζειν τὰ συνεπτυγμένως ἐν ταῖς τῆς πίστεως ἀρχαῖς περιεχόμενα, καὶ τοῦτο μόνον ἐξῆν, τοῖς μὲν οὖν παλαιοῖς οὐκ ἀναπτύσσειν μόνον ἐξῆν, ἀλλὰ καὶ χρῆσθαι ταῖς ἀναπτύξεσιν ὡς ἐβούλοντο, εἴτουν τάττειν αὐτὰς ὅποι αὐτοῖς ἐδόκει, πλὴν εἰ μὴ ἐν τῇ θείᾳ γραφῇ, καὶ ἢ αὐτῷ τῷ ἀναπτυσσομένῳ ἱερῷ συμβόλῳ ταύτας συνάπτειν, ἢ ἀλλαχοῦ, ἔνθα ἂν ἦν αὐτοῖς βουλομένοις. μετὰ δὴ ταῦτα τὸ μέν τι τούτου κεκώλυται, τὸ δ' οὔ. τὸ μὲν γὰρ ἀναπτύσσειν καὶ σαφηνίζειν οὐδέποτε κεκώλυται, οὔτ' αὖ κωλυθήσεται· τὸ δὲ τὰς ἀναπτύξεις προστιθέναι τῷ θείῳ συμβόλῳ κεκώλυται· καὶ τοῦτο γέγονεν ἀναγκαίως. μέχρι μὲν γὰρ τῆς δευτέρας οἰκουμενικῆς συνόδου ἦν ἄδεια τοῖς πατράσιν, ὡς ἔφαμεν, χρῆσθαι ταῖς ἀναπτύξεσιν ὡς ἐβούλοντο· μετὰ δὲ ταύτην ἐπειδή τινες ἐχρήσαντο τῇ ἐξουσίᾳ ταύτῃ

καὶ κακῷ τῷ προτέρῳ, καὶ τὰ σύμβολα παραπλάσσοντες, ὥσπερ ἕτερον πονηρά τε καὶ διεστραμμένα δόγματα, καὶ βλάβην εἰργάζοντο τοῖς ἀνθρώποις, συνιδόντες οἱ ἐν τῇ τρίτῃ συνελθόντες πατέρες, ὡς ἡ ἐξουσία αὕτη ὠφέλειαν οὐδεμίαν ἐργάζεται τοῖς πιστοῖς, βλάβην δὲ μεγάλην, ἐκύρωσαν, ἐπεσφράγισαν ὡς ἠπίσταντο, ἵνα μηδὲν τοιοῦτο γίνηται τοῦ λοιποῦ. δῆλον γὰρ ὡς ἐκ μὲν τοῦ μηδαμῶς ἐξεῖναι προσθεῖναι, βλάβη μὲν οὐδεμία ἀκολουθήσει τοῖς πιστοῖς· πῶς γάρ; τὰ αὐτὰ ὁμολογοῦσί τε καὶ πιστεύουσιν, ἃ καὶ οἱ θεῖοι πατέρες; ὧν τίς τολμήσει πιστὸς κατηγορῆσαι ἀτέλειαν, ἢ ὅστις μαινόμενος; ἐκ δὲ τοῦ ἐξεῖναι μεταποιεῖν, ἀκολουθήσει καὶ βλάβη μεγάλη, τῆς τῶν λέξεων καὶ τῶν ὀνομάτων * μεταποιήσεως χρόνῳ ποτὲ ἐσομένης αἰτίας. ὅτι δὲ οὗτοι πρῶτοι κεκωλύκασι, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, μάλιστα δὲ ἐκ τῆς ἐπιστολῆς τοῦ μακαρίου Κυρίλλου, τῆς εἰς τὸν Μελιτηνῆς Ἀκάκιον· ἐκεῖ γάρ φησιν· Ἡ μὲν γὰρ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν τῇ Ἐφεσίων πόλει συναθροισθεῖσα, προὐνόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ἑτέραν πίστεως ἔκθεσιν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις εἰσκρίνεσθαι παρά γε τὴν οὖσαν, ἣν οἱ τρισμακάριοι πατέρες ἡμῶν ἐν ἁγίῳ Πνεύματι λαλοῦντες ὡρίσαντο.

* ἴσως· νοημάτων.

Ἐκ τούτου τοῦ ῥητοῦ καὶ ἄλλα μέν τινά ἐστιν ἐπισημειώσασθαι, μάλιστα δὲ τρία· πρῶτον, ὅτι αὕτη πρώτη ἔθετο τοῦτο τὸ κώλυμα, τοῦτο γὰρ δηλοῖ τό Προὐνόησε· δεύτερον, ὅτι ἀναγκαίως· τρίτον, ὅτι ἑτέραν ἔκθεσιν πίστεως κωλύει, οὐχ ἑτέρας πίστεως ἔκθεσιν. ἔτι καὶ ἕτερον σημειώσασθαι ἀναγκαῖον, ὅτι τοῦτο κωλύει ἀπὸ τοῦ κοινοῦ τῆς ἐκκλησίας πληρώματος· τοῦτο γὰρ λέγει, τὸ μὴ εἰσκρίνεσθαι ταῖς τοῦ Θεοῦ ἐκκλησίαις. συλλογισώμεθα δὲ τὰ εἰρημένα, καὶ μάλιστα τὸ ἀπὸ τοῦ πρώτου συμβαῖνον· φαίνεται, ὅτι αὕτη ἡ σύνοδος πρώτη τὸ κώλυμα τοῦτο πεποίηκε καὶ ὡρίσατο, ἀλλὰ τὸ ἐναντία δόγματα ἐκτίθεσθαι ἄνωθεν ἦν κεκωλυμένον, ἄλλο τι ἄρα κωλύει παρὰ τὸ πρότερον κεκωλυμένον; δηλονότι, τὴν ἐναλλαγὴν τῶν λέξεων, ὃ μέχρι τούτου ἐξῆν· καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ πληρώματος τῆς ἐκκλησίας, οὐ μὴν ἀπὸ τῶν ἰδίων ἑκάστου. οὐ γάρ ἐστι φροντὶς τῇ ἐκκλησίᾳ περὶ τοῦδε ἢ τοῦδε, ὅπως ἂν φράσειεν ἢ ἑρμηνεύσειε τὴν ἰδίαν πίστιν· ἀλλὰ τὸ κοινῇ ἀναγινωσκόμενον ταῖς ἐκκλησίαις, ἐφ᾽ ᾧ βαπτιζόμεθα, ἐκεῖνο ἐφρόν-

τισαν ἀπαραποίητον μένειν. τοῦτο δὲ πρῶτον κεκωλυκότες αὐτοὶ, καὶ ἑαυτοὺς ἐκώλυσαν πρώτους. τὴν γὰρ Θεοτόκος φωνὴν οὕτως οὖσαν ἀναγκαίαν τῷ τότε καιρῷ, καὶ σαφέστατα περιεχομένην τῷ θείῳ συμβόλῳ, δέησαν προσθεῖναι οὐ προσέθεσαν, ἑαυτοὺς παρέχοντες τύπον τοῖς ἐφεξῆς καὶ ἔργῳ κυροῦντες ὃν ἔθεντο νόμον, καίτοι ἀνάγκης οὔσης μεγάλης· πάντα γὰρ ἐκύκησε τότε τὰ τοῦ Νεστορίου μυσαρὰ δόγματα· ἔτι δὲ καὶ σαφέστατα περιεχομένης τῆς φωνῆς ταύτης ἐν τῷ θείῳ συμβόλῳ. τὸ γάρ, τὸν ὁμοούσιον Υἱὸν τῷ Πατρὶ, τοῦτον κατελθόντα ἐκ τῶν οὐρανῶν σαρκωθῆναι, ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου λέγειν, οὐδὲν ἄλλο δηλοῖ, ἢ θεὸν τὴν ἁγίαν παρθένον γεννῆσαι. ἔστιν ἄρα ἀνάπτυξις ἡ Θεοτόκος φωνὴ, ἀλλ' ὅμως οὐ προσετέθη. ἐρεῖτε· Διὰ τὸ πάνυ σαφῶς ἐμπεριέχεσθαι τῷ συμβόλῳ. ἀλλ' ἦσαν καὶ ἄλλα τινὰ ἐμπεριεχόμενα μὲν τῷ συμβόλῳ, οὐ μέντοι σαφῶς· ἀλλ' ὅμως οὐ προσετέθησαν οὐδ' ἐκεῖνα. αὐτίκα ἡ καθ' ὑπόστασιν ἕνωσις τοῦ Υἱοῦ τοῦ θεοῦ πρὸς τὴν προσληφθεῖσαν ἐξ ἡμῶν φύσιν, περὶ ἧς καὶ αὐτοὶ ἐποιήσαντο τὸν λόγον οἱ ἐν τῇ τρίτῃ πατέρες· ἔτι δὲ καὶ τὸ δύο φύσεις τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀσυγχύτους τετηρηκέναι μετὰ τὴν ἕνωσιν, περὶ οὗ προὔκειτο τῇ τετάρτῃ συνόδῳ· ἔτι γε μὴν καὶ τὸ δύο θελήματα καὶ δύο ἐνεργείας σώζειν, περὶ ὧν οἱ ἐν τῇ ἕκτῃ πατέρες μακάριοι ἐποιήσαντο πάντα τὸν λόγον· ταῦτα δὴ πάντα οὐχ οὕτω σαφῶς φαίνεται πάντοθεν ἐμπεριεχόμενα τῷ συμβόλῳ, ἀλλ' ὅμως σαφηνείας μὲν καὶ ἀναπτύξεως ἔτυχον, οὐ μὴν προσετέθησαν τῷ συνθήματι τούτῳ τῆς πίστεως. εἴτε γοῦν τὰ πάνυ συνεπτυγμένως ἔδει προσθεῖναι περιεχόμενα, οἱ Πατέρες τὰ ἀσαφῆ οὐ προσέθεσαν· εἴτε τὰ μᾶλλον σαφέστερα, οἱ ἐν τῇ τρίτῃ τοῦτο οὐκ ἐπεποιήκεσαν· κατ' οὐδένα ἄρα τρόπον προσθεῖναι ἐξῆν· ὥστε φαίνεται πάντοθεν μὴ δεῖν προστιθέναι οὔτε τὰ πάνυ σαφῶς ἐμπεριεχόμενα, οὔτε τὰ ἧττον, ἀλλὰ μᾶλλον συνεπτυγμένως. τοῦτο πᾶσαι αἱ ἐπιγενόμεναι ἅγιαι σύνοδοι μετὰ τὴν τρίτην ἐφύλαξαν, ἡ τετάρτη, ἡ πέμπτη, ἡ ἕκτη καὶ ἡ ἑβδόμη. εἰ δέ τις διαφορὰ παρ' ὑμῖν τοῖς βιβλίοις εὑρεθῇ τῆς ἑβδόμης, ἐν τῷ οἰκείῳ τόπῳ πλατύτερον ἐροῦμεν, καὶ δείξομεν κἀκείνην ἀκολουθήσασαν ταῖς πρὸ αὐτῆς, μᾶλλον δὲ αὐτὴν δείξομεν ἐκδικοῦσαν ἑαυτήν. πάντες γὰρ οὗτοι ἀπένειμαν χώραν ταῖς ἀναπτύξεσι, τὴν ταῖς ἀναπτύ-

ξιν περιττεύουσαν· αὕτη δέ ἐστι τὸ ταύτας μὲν ἔξωθέν που προσπαραγράφεσθαι, τὰ δὲ πρωτότυπα μένειν ἐᾶν ἄθικτα· ἐξαιρουμένων τοῦ λόγου, οἵτινές ποτε δι' ἀνάγκην καὶ ἑτέρῳ τρόπῳ ἐχρήσαντο, προσούσης αὐτοῖς καὶ ἐλευθερίας, λέγω δὲ τοὺς πρὸ τῆς τρίτης συνόδου. εἰ δὲ ὁ μακάριος Παῦλος* λέγει, μὴ δεῖν εὐαγγελίζεσθαι παρ' ὃ ἐκεῖνος παρέδωκεν, εἰ δὲ μὴ ὑπὸ ἀναθέματι εἶναι τὸν τοῦτο ποιήσαντα· τοῦτο οὐδὲν πρόκριμα ποιεῖ, οὔτε τοῖς πατράσιν, οὔτε ἡμῖν. ἐκεῖνος γὰρ περὶ πίστεως ἄλλης ποιεῖται τὸν λόγον· ἑτέραν δὲ πίστιν οὐκ ἐξέθεντο οἱ πατέρες. καὶ ἔστιν οὗτος ὁ λόγος κατὰ πάντων ἔχων τε καὶ ἕξων τὸ κράτος· τὸ δὲ προκείμενον, ἔστι μὲν τοιοῦτον, ἔστι δὲ καὶ ἕτερον διὰ τὴν τότε καλέσασαν ἀνάγκην καὶ χρείαν. εἰ δὲ ὁ μακάριος Γρηγόριος λέγει, τῆς αὐτῆς πίστεως εἶναι τοῖς ἐν Νικαίᾳ πατράσι, καὶ μηδὲν αὐτῆς προτιμῆσαι μηδέποτε, προσδιαρθρῶσαι δὲ μόνον καὶ σαφηνίσαι τὸ ἐλλιπῶς εἰρημένον, τοῦτο δεχόμεθα καὶ ἡμεῖς· καὶ λέγομεν μὴ ἑτέραν πίστιν αὐτὸν ἐκθεῖναι, ἐξεῖναι δ' οὖν ὅμως ἐκείνῳ, λέγω δὲ ἐκείνῳ, ἤτοι πάσῃ τῇ συνόδῳ τῇ σὺν ἐκείνῳ. ἦσαν γὰρ δὴ πρὸ τοῦ κωλύματος· ὥστε τὰ παλαιότερα οὐδὲν ὑμῖν πρὸς βοήθειαν, ἀλλ' εἰ μετὰ ταῦτα γέγονέ τις δείξατε· εἰ μετὰ τὴν τρίτην σύνοδον ἄλλως ἀνεγνώσθη παρά τινι τῶν ἁγίων συνόδων τὸ σύμβολον, εἰ ὅλως προσετέθη λέξις ἢ συλλαβὴ ἢ τὸ τυχόν. καὶ εἰ τοῦτο δείξετε, ἕξετε καὶ ἡμᾶς ἑπομένους· ἀλλ' οὐκ ἂν ἔχοιτε· βοᾷ γὰρ αὐτῶν τὰ ἔργα ἡλίου τρανότερον, καὶ σύμφωνοι τοῖς λόγοις εἰσὶ καὶ αἱ πράξεις. πολλῶν γὰρ ἀναγκῶν γινομένων καὶ πολλῶν ἀναπτύξεων, οὐδεμία προσετέθη τῷ θείῳ συμβόλῳ· εὗρον γὰρ ὁδὸν, δι' ἧς τήν τε προκειμένην ἀναπληρώσουσι χρείαν, καὶ τοῖς πατράσι τὸ σέβας φυλάξουσιν, ἐν ἰδίῳ μὲν ὅρῳ τὰ ἑαυτῶν ἐκθέμενοι, τό γε μὴν ἱερὸν σύμβολον ἀμεταποίητόν τε καὶ ἀμετακίνητον φυλάξαντες· ὅθεν οὐδέ τις ἀκολουθεῖ βλάβη τοῖς πιστοῖς ἐντεῦθεν, ὡς ἡ αἰδεσιμότης ὑμῶν ἔλεγε· καὶ γὰρ ἀνέπτυξαν καὶ τὴν πίστιν, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν ἐπορίσαντο τοῖς πιστοῖς, καὶ τὸ σύμβολον ἀπαραποίητον ἐφύλαξαν, ὡς κερδᾶναι ἡμᾶς καὶ τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν, καὶ μηδ' ἐκείνους ὑποπεσεῖν τοῖς τῶν πατέρων ὅροις. εἰ δὲ πάλιν προάγετε τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, μὴ ποιεῖσθαι λόγον τῶν συλλαβῶν καὶ τῶν λέξεων, λέγομεν καὶ πρὸς τοῦτο, ὅτι οὐδὲν τοῦτο πρὸς τὸν

* Γαλ. 1, 8.

ἡμέτερον λόγον ποιεῖ. περὶ λέξεων γὰρ ἐκεῖνος ποιεῖται τὸν λόγον, τῶν τὸ αὐτὸ πρᾶγμα σημαινουσῶν, καὶ κατὰ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου κατηγορουμένων· περὶ ὑποστάσεων γὰρ καὶ προσώπων καὶ ἰδιοτήτων ποιεῖται τὸν λόγον, ἐν καὶ τὸ αὐτὸ πρᾶγμα σημαινουσῶν· ὥσπερ ἂν εἴ τις εἴποι τὰ τέσσαρα δὶς δύο, καὶ τὰ εὐθύγραμμα ἰθύγραμμα· ἐνταῦθα δὲ οὐκ ἔστι ταὐτὸ· πρὸς γὰρ ταῖς ἄλλαις λέξεσι καὶ ἄλλα πράγματα. ἄλλο γὰρ πρόσωπον ὁ Πατὴρ, καὶ ἄλλο ὁ Υἱός· ὥστε καὶ πρὸς ἄλλην ἔννοιαν φέρει τὸ ἐκ τοῦ Πατρὸς λέγεσθαι ἢ τὸ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ. πολλὰ ἔχοντες περὶ τούτου εἰπεῖν, φυλάξομεν ταῦτα ἐν τῇ κατὰ πεῦσιν καὶ ἀπόκρισιν διαλέξει. Μεταβησόμεθα δὲ ἐπὶ τὸ δεύτερον ἐπιχείρημα, ἐν ᾧ ἐπεχειρεῖτε ἀπὸ τῆς κατὰ τὰς διαφόρους φωνὰς ἐκφωνήσεως τοῦ συμβόλου. ἐλέγετε γὰρ, ὡς ἐπεὶ κατὰ διαφόρους φωνὰς οἱ Χριστιανοὶ τὸ σύμβολον ἐκφωνοῦντες, ὅμως οὐ διαφέρονται διὰ τὸ τὴν αὐτὴν ἔννοιαν σώζειν, τῶν νοημάτων εἶναι δεῖν μόνον πάντα τὸν λόγον, καὶ τούτων σωζομένων, τῶν λέξεων λόγος οὐδείς. τούτου οὖν ἡμεῖς δυνάμει καὶ ἐν τῷ τέλει τοῦ πρώτου λόγου τε καὶ κεφαλαίου ἡψάμεθα, οὐδὲν δὲ ἧττον καὶ νῦν ἐροῦμεν ὅμως σαφέστερον. ἡμεῖς γὰρ λέγομεν, οὐ μόνον εἶναι λέξεις διαφόρους τὸ λεγόμενον παρ' ὑμῶν, ἀλλὰ καὶ πράγματα, ἐξ ἀνάγκης δὲ καὶ νοήματα· ἑκάστου γὰρ λόγου ἐστί τι νόημα πάντως. τὸ μὲν γὰρ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, λόγος ἐστὶν εἷς· τὸ δὲ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ, λόγοι δύο, συνδέσμῳ εἷς, διὸ καὶ ἔχει δύο λόγους ἀντικειμένους ἀποφατικῶς, τὸν μὲν ἕνα ψευδῆ καὶ κατ' ἀμφοτέρους, θάτερον δὲ ἀληθῆ καθ' ἡμᾶς μόνους· οὐκ ἔστιν οὖν ὅμοιον τὸ ταὐτὸ πρᾶγμα διαφόροις φωναῖς ἐκφωνῆσαι, ὥσπερ καὶ τὸ τὰ ἕτερα. πῶς γὰρ ἂν εἴη τοῦτο ταὐτὸ τῷ εἰπεῖν· Ἡμέρα καλὴ, λατινικῶς καὶ γραικικῶς; τούτῳ γὰρ τῷ τρόπῳ πρότερον συνεφωνοῦμεν τὰ αὐτὰ λέγοντες· ἀπὸ δὲ τοῦ νυνὶ λεγομένου, λέγω δὲ τῆς προσθήκης καὶ πρὸς ὑμᾶς διαφωνοῦμεν, καὶ πρὸς τοὺς ἰδίους διεφωνοῦμεν ἄν, εἴ τι παρά τινι τοιοῦτον ἐγένετο. εἰ δὲ ἕν τι καὶ τὸ αὐτὸ δοίημεν εἶναι, τοῦτο ὅμως οὐκ ἀναιρεῖ τὸ κώλυμα, ἕως ἂν ἡτισοῦν προσθήκη κωλύηται.

Τρίτον εἴπατε, τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα ἑκάστης ἐπιστήμης δυνάμει περιέχειν τὰ μετ' αὐτὰ καὶ ὅτι ἐκ τῶν ἀρχῶν καὶ τῶν ἀξιωμάτων ὁρμώμενοι καὶ ὑμεῖς δείξετε ἡμῖν, ἀληθὲς εἶναι

τὸ δόγμα ἐκ τῶν ἀρχῶν τῆς πίστεως ἐπαγγειλάμενοι· οὕτω καὶ ἡμεῖς λέγομεν. τοῦτο μὲν οὖν ὅταν ἡμῖν δείξητε, καὶ ἡμεῖς χάριν ὑμῖν εἰσόμεθα, οὐ μέντοι γε ἴσως καὶ προσθήσομεν τοῦτο ταῖς ἀρχαῖς. τοῦτο γὰρ καὶ ἐπὶ τῶν πλείστων μὲν ἀρχῶν ἐστιν ἀδύνατον, καὶ μάλιστα ἰδικῶς ἐπὶ τούτου διὰ τὸ κεκωλύσθαι. ἡ γὰρ ἀρχὴ καὶ τὰ μετὰ τὴν ἀρχὴν ἐπὶ τῶν πλείστων διώρισται, τάχα δὲ καὶ ἐπὶ πάντων· ἡ μὲν γάρ ἐστι καθόλου, τὰ δὲ μερικά· καὶ ἡ μὲν τὸ ἀποδεικτικὸν, τὰ δὲ τὰ ἀποδεικτά· καὶ ἡ μὲν πρότασις, τὰ δὲ συμπεράσματα· πῶς ἂν οὖν ῥᾳδίως γένοιτο μερικὰ τὰ καθόλου, καὶ ἀποδεικτὰ τὰ ἀποδεικτικά; ὥστε ἐμπεριέχεσθαι μὲν ταῖς ἀρχαῖς τὰ μετ' αὐτὰς ἀναγκαῖον, οὐ μέντοι προστίθεσθαι ταῦτα αὐταῖς ἀναγκαῖον. ἐὰν δέ τι καὶ κώλυμα ἰδικὸν ᾖ, ὥσπερ ἐπὶ τοῦ προκειμένου, τότε καὶ μάλιστα ἀδύνατον τοῦτο γενέσθαι· καὶ γὰρ καὶ ἄλλα τῶν ἀληθῶν οὐ προσετέθησαν ταῖς ἀρχαῖς. πάντα γὰρ τὰ θεῖα δόγματα ἀπὸ πηγῶν τῶν θείων γραφῶν ἀρυόμεθα, αἵτινές εἰσιν ἀρχαὶ καὶ θεμέλια τῆς ἡμῶν πίστεως· ἀλλ' ὅμως οὐδὲν αὐταῖς προσετέθη, οὔτ' ἂν προστεθείη, οὔτε παρ' ἡμῶν ἕως ἂν ὦμεν ἡμῶν αὐτῶν, οὔτε παρ' ἑτέρων Χριστιανῶν ὡς ἀναγκαίως συμβαίνειν, ἐπεὶ καὶ τὸ θεῖον σύμβολον λόγον ἀρχῆς ἔχει ἐν τῇ ἐκκλησίᾳ, οὐδὲν αὐτῷ δεῖν προσθεῖναι. Ἐῤῥήθη παρ' ὑμῶν, ὡς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν μίαν οὖσαν καὶ τὴν αὐτὴν, μίαν ἔχειν καὶ τὴν αὐτὴν ἐξουσίαν τε καὶ ἀρχὴν δεῖ. Πρὸς τοῦτο οὖν λέγομεν, ὅτι τὴν μὲν αὐτὴν ἐξουσίαν ἀναγκαῖαν ἔχειν αὐτὴν, δεῖ δὲ ὅμως οὐχ ἧττον καὶ τὰ τῶν πρὸ αὐτῆς πατέρων φυλάττειν, καὶ ὡς θείας ἡγεῖσθαι φωνὰς ἃ ἐκεῖνοι ὡρίσαντο. κατὰ διαφόρους γὰρ χρόνους καὶ καιροὺς γενομένων τῶν θείων συνόδων ἐπὶ διαφόροις αἰτίαις τε καὶ ἀνάγκαις, ἃς ἡ τοῦ καιροῦ τε καὶ χρόνου φύσει περίοδος, κατὰ τὰς περιισταμένας ἀνάγκας μετεχειρίζοντο τὰ πράγματα ἐξ ἀνάγκης, ἕνα μὲν καὶ τὸν αὐτὸν σκοπὸν ἔχοντες, καὶ πρὸς τὸ αὐτὸ ἀποβλέποντες τέλος, τὴν σωτηρίαν δηλαδὴ τῶν ἀνθρώπων, μεταχειριζόμενοι δὲ τὰ πράγματα ἕκαστα, ὡς ὁ καιρὸς ἐδίδου τότε· ὅθεν καὶ ἀνομοίως περὶ τῶν ἀνομοίων ἀπεφαίνοντο πραγμάτων. δεῖ δὴ τοὺς ἐπιγενομένους φυλάττειν τὰ τῶν πρὸ αὐτῶν καὶ ἃ ἐκεῖνοι ἐπὶ ταῖς προκειμέναις ἀνάγκαις καὶ χρείαις ὡρίσαντο, ταῦτα μὴ παραβαίνειν τοὺς ἐπιγενομένους. οὕτω γὰρ ἂν καὶ κάλ-

λιον τὴν αὐτὴν καὶ μίαν ἐξουσίαν ἕξει ἡ ἐκκλησία ἀεὶ, καὶ οὕτως ἂν ἑαυτὴν συντηροίη· ἄλλως δ' ἂν αὐτὴ ἑαυτὴν ἀνατρέψειε, καὶ αὐτὴ ὑφ' αὐτῆς ἀνατραπείη. κεκώλυταί τι παρὰ τῶν προγενεστέρων, τοῦτο φυλακτέον καὶ τοῖς μετέπειτα. οὐ κεκώλυταί τι πάλιν, οἷον ὑποδείγματος χάριν, τὸ ἀναπτύσσειν, ἔξω μέντοι τῶν πρωτοτύπων, τούτῳ καὶ ἡμῖν χρηστέον τῷ τρόπῳ. τούτῳ τῷ τρόπῳ καὶ Ἀγάθων καὶ Σωφρόνιος καὶ Κύριλλος ἐσαφήνιζον, ἀνέπτυσσον, ἐδίδασκον. ἐν οἷς γὰρ οὐκ ἦσαν κεκωλυμένοι, ἐξῆν καὶ αὐτοῖς καὶ ἄλλοις ἐν ἰδίοις συγγράμμασι σαφηνίζειν καὶ διδάσκειν καὶ ἀναπτύσσειν. τίς γὰρ ἂν ἡμῖν φροντὶς τῆς ἑκάστου ἑρμηνείας ἢ φράσεως, ἕως ἂν ὑγιαίνῃ αὐτῷ τὰ νοήματα; ἐξέσται γὰρ ἑκάστῳ τηροῦντι τὰ κοινὰ δόγματα, τὴν ἰδίαν ἐκτιθέναι πίστιν, ὡς ἂν δύναιτό τε καὶ βούλοιτο· ὅταν δηλαδὴ μὴ νομοθετῇ κοινὸν μάθημα, ἢ κοινὸν σύμβολον, ἀλλὰ τὴν αὐτοῦ ἐκτίθεται πίστιν· τούτῳ γὰρ τῷ τρόπῳ ἐξῆν καὶ ἐξέσται ἑκάστῳ ἐκτιθέναι ἐξ ἑαυτοῦ. τούτῳ τῷ τρόπῳ καὶ τῷ μακαρίῳ Ἀγάθωνι καὶ ἄλλῳ τῶν ἐπισκόπων καὶ τῷ ἐλαχίστῳ ἐπίκειται ἀνάγκη βαρεῖα ἐκδιδάσκειν καὶ νουθετεῖν τοὺς λαούς· καὶ τοῦτο οὐδὲν ἐμποδὼν πρὸς τὸ προκείμενον ζήτημα. ἐν τούτοις, ἵνα μὴ πλείονα λέγω, τὴν προτέραν ὑμῶν ὁμιλίαν τελέσαντες, ἐν τῇ δευτέρᾳ πάλιν ἐπανελάβετε τὰ αὐτὰ, πλατύτερον μὲν εἰπόντες καὶ σαφέστερον, τὰ αὐτὰ δὲ ὅμως ἅπερ καὶ πρότερον. διὸ καὶ ἡμεῖς περὶ τῶν αὐτῶν εἰπόντες πλατύτερον, ὅμως καὶ τοῦτο ἐροῦμεν στενότερον, διά τε τὸ δυνάμει ἐν ἐκείνοις ἐμπεριέχεσθαι ταῦτα, καὶ διὰ τὸ τῆς ὥρας στενόν. Ταῦτα μὲν οὖν μερίζονται εἰς δέκα κεφάλαια ἢ καὶ πλείω. περὶ πάντων δὲ ἐροῦμεν ὡς οἷόν τε συντόμως· εἰ γάρ τι καὶ τῶν προκειμένων παρ' ὑμῶν ἔξω εἴρηται, ταῦτα καταλείψομεν κατά γε τὸ νῦν· Πρῶτον μὲν οὖν ἔφητε θαυμάζειν, τίνος ἕνεκα τὸ τῆς ἐν Νικαίᾳ προσθέμεθα σύμβολον. ἡμεῖς δὲ καὶ τότε καὶ νῦν ἐροῦμεν, ὡς διὰ τοῦτο προσεθήκαμεν ἐκεῖνο, ἵνα δείξωμεν, ὡς ἡ τρίτη σύνοδος τοῦτο ἀναγνοῦσα, προτέρα ἐπ' ὀνόματι τῆς τε πρώτης καὶ δευτέρας συνόδου, καὶ ὡς ἐν ἄμφω λογισαμένη, ἐπήνεγκε τὴν εἰρημένην σφραγῖδα, μηδενὶ δηλαδὴ ἐξεῖναι μηδὲν τούτῳ προσθεῖναι.

ΙΟΥΛ. ΚΑΡΔ. Λέγετε ὅτι ἀνεγνώσθη ἐν τῇ τρίτῃ καὶ τὸ τῆς πρώτης καὶ τὸ τῆς δευτέρας;

Ὁ ἘΦΕΣΟΥ. Λέγομεν, ὅτι οὐκ ἀνεγνώσθη, ἀλλὰ δυνάμει ἐμπεριέχεται τῷ τῆς πρώτης, καθὼς διὰ πλειόνων ἐδείξαμεν πρότερον.

Ὁ ΝΙΚΑΙΑΣ. Δεύτερον εἴπατε, ὅτι τὰ κωλύματα ἀναφέρονται πρὸς τὴν τῆς πίστεως ἔννοιαν, οὐ μὴν πρὸς τὴν τῆς λέξεως ἢ συλλαβῆς. πρὸς οὖν τοῦτο ἐνὸν διὰ πλειόνων εἰπεῖν, καὶ ἀπ' αὐτῶν τῶν ῥητῶν τῶν συνόδων ἐπιχειρῆσαι· καὶ γὰρ ῥητῶς ἐν ἑκάστῳ ὅρῳ καὶ ἐπισεσημασμένως περὶ τοῦ συμβόλου διαλαμβάνεται· ὅμως ἀρκούμεθα τοῖς ἔργοις αὐτῶν, ἃ κηρύττει τὸν αὐτῶν νοῦν λαμπρότερον, ὃν εἶχον λέγοντες ταῦτα. καὶ γὰρ ἀνάγκης οὔσης, ὡς πολλάκις εἴπομεν, οὐδὲν ὅμως οὐδαμοῦ προσέθηκαν. Τρίτον πάλιν ἀπὸ τῶν ἀρχῶν ἐπεχειρήσατε καὶ τῶν ἀξιωμάτων. πρὸς τοῦτο οὖν καὶ πρότερον ἀπολογησάμενοι, πάλιν ἐροῦμεν, ὅτι διχῶς οὐκ ἀναγκαίως συνάγεται, ὅπερ ὑμεῖς εἴπατε· πρῶτον μὲν καθόλου ἀπὸ τῶν ἀρχῶν· οὐδεμία γὰρ ἀρχὴ ἡστινοσοῦν ἐπιστήμης ἢ μαθήματος δύναται καὶ συμπέρασμα εἶναι αὐτῆς ταύτης τῆς ἐπιστήμης, ἧς ἐστιν ἀρχή· δεύτερον ἀφ' αὐτῶν τούτων τῶν προκειμένων ἡμῖν ἀρχῶν, δηλονότι τῶν θεολογικῶν· ταύταις γὰρ ταῖς ἀρχαῖς φαίνεται οὐδὲν μετέπειτα προστεθὲν ὑπὸ τῶν διδασκάλων, καίτοι πάντως ἑπομένων ταῖς ἀρχαῖς αὐταῖς ὧν ἐσαφήνισαν.

Ὁ ῬΟΔΟΥ. Καλόν ἐστιν, ἵνα ἔχητε τὰ γεγραμμένα καὶ εἰρημένα ὑφ' ἡμῶν, καὶ τηρῆτε τὴν τάξιν, ὡς ἐκεῖ ἔγκειται.

Ὁ ΝΙΚΑΙΑΣ. Νομίζομεν, ὅτι ἐφυλάξαμεν τὴν τάξιν ὡς ἔνεστιν. ὅμως ὡς καὶ ὑμῖν ἔξεστι τοῖς διαλεγομένοις ἐναλλάττειν τὴν τάξιν τῶν κεφαλαίων κατὰ τὸ αὐτοῖς συμφέρον, καὶ τάττειν αὐτὰ ὡς βούλονται.

Ὁ ῬΟΔΟΥ. Τοῦτο μὲν ἔξεστιν, ἀλλ' οὐχ ἵνα μέμνηται σεσημειωμένως, ἐν τόπῳ τρίτῳ τυχὸν ἢ τετάρτῳ, ὅπερ ἐν τοῖς ὑπ' ἡμῶν οὐ κεῖται ἐν τοιούτῳ τόπῳ.

Ὁ ΝΙΚΑΙΑΣ. Οὐκ εἶπον ἐν τοιούτῳ τόπῳ, τρίτῳ ἢ τετάρτῳ, ἀλλ' ἁπλῶς λέγω τρίτον ἢ τέταρτον.

Ὁ ῬΟΔΟΥ. Ἔστω.

Ὁ ΝΙΚΑΙΑΣ. Κατὰ συνέχειαν τῶν πρότερον εἰρημένων λέγομεν, ὅτι πολλὰ μετὰ τὰς ἀρχὰς σαφηνισθέντα ὑπὸ τῶν θείων πατέρων, οὐ προσετέθησαν ταῖς ἀρχαῖς, ἤτοι τῇ θείᾳ γραφῇ· ὥστε

φαίνεται οὐ μόνον τοῦτο τηρούμενον ἐπὶ τῶν ἄλλων ἀρχῶν, ἀλλὰ καὶ ἐπὶ τῶν θεολογικῶν. αὐτίκα γὰρ καὶ τὸ Ὁμοούσιον μία λέξις ὄν, καὶ τό· Τὸ Πνεῦμα τὸ ἅγιον κύριον καὶ ζωοποιόν, καὶ τἆλλα τὰ ῥηθέντα, καίτοι λέξεις οὖσαι μικραὶ, καὶ περιεχόμεναι τῇ θείᾳ γραφῇ, ὅμως οὐ προσετίθησαν ταῖς ἀρχαῖς. ἢ οὖν καὶ ταῦτα προσθετέον τῇ θείᾳ γραφῇ, ἢ μηδὲ τῷ συμβόλῳ προσθετέον οὐδέν. τὴν αὐτὴν γὰρ καὶ τοῦτο τιμὴν εἴληχε τῇ θείᾳ γραφῇ, οὕτω τῶν πατέρων αὐτῶν ἀξιωσάντων αὐτό. Ἔτι λέγετε, πρὸς τὰ τῆς τρίτης συνόδου δεῖν ἀναφέρεσθαι πάντα τὰ τῶν ἄλλων συνόδων, καὶ ἐκεῖθεν ἐξηγεῖσθαι τὰ μετὰ ταῦτα. ὅτι μὲν οὖν εἰς τὰ τῆς τρίτης συνόδου ἀναφέρεσθαι πάντα, καὶ ἐκεῖθεν κανονίζεσθαι ἀναγκαῖον, καὶ ἡμεῖς οὕτω λέγομεν, οὐχ ὥστε μέντοι τὰ τῆς τρίτης συνόδου εἶναι ἐξηγήσεις τῶν ἄλλων· πῶς γὰρ τὰ πρότερον τῶν ὕστερον καὶ μετὰ ταῦτα εἶεν ἐξηγήσεις; ἀλλὰ τὰ μετὰ ταῦτα μάλιστα εἶναι δεῖ αὐτῶν ἐξηγήσεις. ἐπειδὴ δὲ οἱ μετὰ ταῦτα καὶ μάλιστα ὁ ἅγιος Κύριλλος, ὃς ἔξαρχος ἦν τῆς τρίτης συνόδου, καὶ ὁ ἅγιος Ἀγάθων σαφέστερόν τε καὶ ὕστερον τὰ περὶ τούτων διαγορεύουσιν, οὗτοι ἂν εἶεν ἐξηγηταὶ τῶν τῆς τρίτης συνόδου. σαφέστερον δὲ οὐδὲν ἂν γένοιτο τῆς Κυρίλλου ἐπιστολῆς καὶ Ἀγάθωνος. δεῖ μέντοι εἰδέναι καὶ τοῦτο, ὅτι οὐ τὰ ῥήματα μόνον πρὸς τὰ τῆς τρίτης συνόδου ἀναφέρεσθαι δεῖ, ἀλλὰ καὶ τὴν διάνοιαν πρὸς τὴν ἐκείνων διάνοιαν· καὶ ὃς ἦν σκοπὸς ἐκείνοις τοῦ κωλύματος, τὸν αὐτὸν τίθεσθαι καὶ τοῖς ἄλλοις. καὶ ἐπειδὴ ἐκείνοις ὁ σκοπὸς ἦν τοῦ κωλύματος διὰ τὴν λέξιν, ὡς δηλοῖ ὁ μακάριος Κύριλλος ἐν τῇ ἐπιστολῇ, λέγων, ἀναγκαῖον πεποιηκέναι τὴν σύνοδον τοῦτο τὸ κώλυμα, δῆλον δὴ ὡς καὶ ταῖς ἄλλαις ἁγίαις συνόδοις αὐτὸ τοῦτο ἦν τὸ προκείμενον, ὡς καὶ τῷ ἔργῳ ἐδήλωσαν, δηλαδὴ μηδὲν προστιθέναι τῷ συμβόλῳ τὸ σύνολον. διὰ τούτου γὰρ καὶ τοὺς παραπλάσσοντας τὰ σύμβολα ἔμελλον κωλύσειν, καὶ τὴν ἐντεῦθεν ἀκολουθοῦσαν βλάβην τοῖς πιστοῖς. Ἔτι εἰρήκατε, τὸ τοῦ ἁγίου Κυρίλλου τὸ λέγον, μηδενὶ τρόπῳ αὐτὸν ἀνέχεσθαι σαλεύεσθαι τὴν πίστιν, ἄλλο εἶναι τοῦ λέξεις προσθεῖναι. πρὸς οὖν τοῦτο ὀλίγων δεόμενον ὀλίγα ἐροῦμεν, εἰ δοκεῖ, τἆλλα καταλιπόντες διὰ τὸ τῆς ὥρας στενόν. μᾶλλον δὲ ἀφετέον καὶ τοῦτο τανῦν. καὶ νῦν μὲν ἐπὶ τούτοις, εἰ δοκεῖ, καταπαύσωμεν τὸν λόγον, ἐν ἑτέρᾳ δὲ ὁμιλίᾳ καὶ περὶ τούτου καὶ

τῶν ἄλλων ἐροῦμεν. ἔστι γὰρ τὸ λειπόμενον τοσοῦτον, ὡς ἐν ἑτέρᾳ ὁμιλίᾳ ἐξεῖναι καὶ ταῦτα εἰπεῖν καὶ συστάδην ἀγωνίσασθαι καὶ ἀπαντῆσαι ἀλλήλοις πυνθανομένους τε καὶ ἀκούοντας. ἐγὼ δὲ ἔχω καὶ μετά τινος τῶν αἰδεσιμωτάτων πατέρων τῶν αὐτόθι καθημένων συμφωνίαν, ἵνα ἀλλήλοις ἀγωνισώμεθα· ὁ εἰδὼς εἴσεται. ἴστω γοῦν τοῦτο ἀπὸ τοῦ νῦν, καὶ ἑτοιμασθήτω ἐν τῇ μελλούσῃ συνελεύσει διδόντος θεοῦ.

Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ Νικαίας, ἐλύθη ἡ σύνοδος. τῇ ἑξῆς δὲ συνελεύσει ἀνεπλήρωσεν ὁ Νικαίας τὰ παρ' αὐτοῦ εἰρημένα.

Νοεμβρίου μηνὸς τετάρτῃ, ἡμέρᾳ τρίτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Θ.

Ὁ ΝΙΚΑΙΑΣ. Πρὸς τὰ πλείω τῶν παρὰ τῆς αἰδεσιμότητος ὑμῶν εἰρημένων, πατέρες ἄριστοι, ἀπολογησάμενοι ὡς ἐνῆν, παρελείπομέν τινα διὰ τὸ τῆς ὥρας στενὸν, καὶ ὀλίγων δεόμενα λόγων, ἐπειδὴ ὡς καὶ τότε εἴπομεν ἐν τῇ προλαβούσῃ, δυνάμει καὶ τούτων ἡψάμεθα. εἰσὶ δὲ καὶ τὰ παραλελειμμένα, ὡς ἡμεῖς ἠδυνήθημεν ἐπισημειώσασθαι, ταῦτα· ὅτι τὸ σαλεύειν τὴν πίστιν, ὅπερ φησὶν ὁ μακάριος Κύριλλος, ἄλλο ἐστὶ παρὰ τὸ ἀναπτύσσειν· ὅτι αἱ καλύσεις μετὰ τοὺς ὅρους ἐτέθησαν· ὅτι ὁ μακάριος Ἀγάθων τὰς λέξεις ἐκείνας κωλύει, τὰς μὴ πρὸς τὸν νοῦν φερούσας τὸν αὐτόν· ὅτι καὶ ὁ αὐτὸς θεῖος ἀνὴρ ἐν τῇ τῆς ἑαυτοῦ πίστεως ἐκθέσει τὰ μὲν προσέθηκε, τὰ δ' ἀφεῖλεν· ὅτι ἡ Θεοτόκος φωνὴ οὐκ ἦν ἀναγκαῖον προστεθῆναι τῷ συμβόλῳ· τελευταῖον, ὅτι ἡ ἁγία Ῥωμαϊκὴ ἐκκλησία τοῦτο προσέθηκε κινηθεῖσα ταῖς φωναῖς τῶν ἁγίων, καὶ ἀνάγκης μεγάλης γενομένης, καὶ πρὸς τούτοις ἐξουσίᾳ καὶ αὐθεντίᾳ αὐτῆς. πρὸς ταῦτα ἐροῦμεν ὡς ἔνεστι διὰ βραχέων, ἵνα μὴ τὸ χθεσινὸν πάθωμεν ἀπολλῦντες τὸν καιρὸν ἐν κενῷ· ἐπειδὴ τὸ μακροὺς ἀποτείνειν λόγους οὔ μοι δοκεῖ ἀναγκαῖον εἶναι, οὐδὲ σύμφωνον· οὕτω γὰρ εἰς οὐδὲν συμπέρασμα καταντήσομεν, ἀνεξελέγκτως ἀλλήλοις διαλεγόμενοι. πρῶτον λέγομεν περὶ τῆς λέξεως τοῦ σαλεύειν, οὗ δοκεῖ τοῦτο ὅπερ ἡ αἰδεσιμότης ὑμῶν εἴρηκε. πρῶτον μὲν

γὰρ αὐτὸς ἐκεῖνος λέγει, ὡς οὐδὲ συλλαβὴν οὐδὲ λέξιν ἀμεῖψαι δέχεται. δεύτερον, αὐτοῖς τοῖς ἔργοις μαρτυρεῖ, καὶ ἐπεξηγεῖται τοὺς ἑαυτοῦ λόγους, οὐδεμίαν προσθήκην ἐν τῷ συμβόλῳ ποιήσας. πρὸς δὲ τὸ μετὰ τοὺς ὅρους τὰς κωλύσεις τιθέναι, ὁ αὐτὸς Κύριλλος λέγει οὕτως· ὅτι οὐδὲ τοῖς ὅροις ἔξεστι προστιθέναι, εἴπερ εἰσὶν ἀναπτύξεις· ταῖς δ' ἀναπτύξεσιν οὐ δεῖ προστιθέναι οὐδέν. ἔπειτα λέγομεν, ὅτι τοῦτο οὐδὲν ἡμῖν ἐμποδών· προϊόντες γὰρ ῥητῶς διαλαμβάνουσι περὶ τοῦ συμβόλου, ἐπισεσημασμένως ἐν ἑκάστῳ περὶ αὐτοῦ λέγοντες· καὶ τοῦτο ἴσως πλατύτερον ἐξετασθήσεται περὶ αὐτοῦ, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν συμβαλλομένων πρὸς τὸ προκείμενον ἐν ἰδίῳ τόπῳ. τὸ δὲ παρὰ τοῦ μακαριωτάτου Ἀγάθωνος λεγόμενον, ὅτι ῥήμασι καὶ νοήμασι χρὴ φυλάττεσθαι τῆς πίστεως τὰ αὐτὰ, οὐχ οὕτω νοοῦμεν ὡς ἡ ὑμετέρα ἀγάπη, ἀλλὰ νομίζομεν αὐτὸν πᾶσαν προσθήκην κωλύειν· καὶ τοῦτο δῆλον ἀφ' ὧν προστίθησι λόγων. οὐ βούλεται γὰρ οὔτε μειωθῆναι οὔτ' ἐναλλαγῆναι τὴν πίστιν. ταῦτα γὰρ εἰπὼν ἐπάγει, καὶ ῥήμασι καὶ νοήμασι φυλάττεσθαι δεῖν τὰ αὐτά. ἐπειδὴ οὖν τῇ προσθέσει καὶ ἐναλλαγῇ καὶ μειώσει τῶν ῥημάτων καὶ νοημάτων ἀντίθησι φυλακὴν, δοκεῖ μᾶλλον ἐκεῖνο λέγειν ὅπερ ἡμεῖς. εἰ δὲ ὁ αὐτὸς θεῖος ἀνὴρ ἐν τῇ ἰδίᾳ ἐκθέσει τῆς πίστεως προσέθηκέ τινα ἢ ἀφεῖλεν, οὐδὲν τοῦτο πρὸς τὸν ἡμέτερον λόγον. τὴν γὰρ ἰδίαν τινὸς ἔκθεσιν ἡ ἐκκλησία οὔτε κεκώλυκεν, οὔτε κωλύσει· οὐδὲ περὶ τῆς ἑκάστου ἑρμηνείας καὶ φράσεως, ὅπως βούλοιτο καὶ δύναιτο ἕκαστος, τὸν λόγον ποιεῖται. ἀλλὰ τὸ μὲν κοινὸν τοῦτο μάθημα καὶ μέχρι λέξεως ἀπαράτρωτον ἐθέλει μένειν, ἔστι γὰρ ἐκείνου λέξις τὸ ἀπαράτρωτον· ἰδίᾳ δὲ ἑκάστῳ φυλάττοντι τὰ κοινὰ δόγματα ἔξεστι φράζειν τὰ ἑαυτοῦ, ὡς ἂν δύναιτο καὶ βούλοιτο. τὴν δὲ Θεοτόκος φωνὴν ἡμῶν λεγόντων μὴ προστεθῆναι τῷ συμβόλῳ, καίτοι μεγάλης γενομένης ἀνάγκης, διὰ τὸ μὴ ἐξεῖναι, ἡ αἰδεσιμότης ὑμῶν εἶπε, μὴ προστεθῆναι ἀναγκαῖον. οὐκ οἶδα οὖν, διατί τοῦτο εἴπατε. εἰ μὲν γὰρ οὐδαμῶς ἦν ἀναγκαῖον, οὐκ ἔδει οὐδαμοῦ τεθῆναι· εἰ δὲ μὴ, περιττὰ ἐποίησαν ἐκεῖνοι θέντες αὐτό που. εἰ δὲ ἦν ἀναγκαῖον, ὥσπερ καὶ ἦν, οὐ προσέθεσαν δὲ, μαρτυροῦσι τῷ λόγῳ ἡμῶν. τελευταῖον εἴπατε, τὴν Ῥωμαϊκὴν ἐκκλησίαν κεκινημένην φωναῖς τῶν ἁγίων τοῦτο ποιῆσαι· πότερον μὲν δὴ ταῖς τῶν ἁγίων φωναῖς κε-

κίνηται ἢ μή, τοῦτο ἐν τοῖς ἐφεξῆς καλὸν πραγματεύεσθαι, περὶ τούτου γὰρ ἐξῆς ἔσται λόγος Θεοῦ θέλοντος. εἰ δ' ἀνάγκῃ τινὶ ἢ ἐξουσίᾳ κεκίνηται, περὶ μὲν τῆς ἀνάγκης καὶ ἐξουσίας φαμὲν, ὅτι καὶ τούτων ὄντων, οὐδ' οὕτως ἔδει τοῦτο γενέσθαι· ἡ γὰρ ἀνάγκη οὐδὲν πρὸς ὑμετέραν βοήθειαν, ἕως ἂν μὴ πρόσκειται τοῖς ὅροις ῥητῶς, ὅτι ἀνάγκης οὔσης δεῖ τοῦτο γενέσθαι. ἴσως δὲ ἐν καιρῷ τῷ προσήκοντι μετὰ ἀγάπης ἐρωτήσομεν περὶ τῆς ἀνάγκης, πῶς καὶ πότε ἐγένετο· περὶ δὲ τῆς ἐξουσίας τῆς δυτικῆς ἐκκλησίας εἴχομεν πολλὰ λέγειν, εἰ μὴ ἦν ἄλλο ἡμῖν τὸ προκείμενον· εἰδότες μὲν καὶ τὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας δίκαια καὶ πρωτεῖα, οὐδὲν δὲ ἧττον εἰδότες καὶ μέχρι πόσου αὐτῇ τὰ πρωτεῖα· ὅμως δὲ εἰδέναι βουλόμεθα τὴν αἰδεσιμότητα ὑμῶν, ὅτι ταύτην ἡμεῖς τὴν ἄδειαν ἀπὸ πάσης ἀφαιροῦμεν ἐκκλησίας τε καὶ συνόδου, καὶ αὐτῆς τῆς οἰκουμενικῆς, ἀλλ' οὐκ ἀπὸ μόνης τῆς Ῥωμαϊκῆς ἐκκλησίας. ἐπειδὴ οὖν κἂν ὁπόσα ἰσχύῃ ἡ Ῥωμαϊκὴ ἐκκλησία, ἧττον ὅμως ἰσχύει οἰκουμενικῆς συνόδου καὶ τῆς καθόλου ἐκκλησίας, ἡμεῖς δὲ ἀπὸ πάσης ἐκκλησίας τοῦτο ἀφαιροῦμεν, πολλῷ γε μᾶλλον ἀπὸ τῆς Ῥωμαϊκῆς ἐκκλησίας τοῦτ' ἀφαιρήσομεν. ἀφαιροῦμεν δὲ οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ νομίζομεν τοῦτο τοῖς ὅροις τῶν πατέρων κεκωλύσθαι. ταῦτα μὲν εἴρηται πρὸς τὰ παρὰ τῆς ὑμῶν αἰδεσιμότητος εἰρημένα, καὶ εἴρηται λόγου χάριν· οὐδὲ γὰρ ἰσχυριζόμεθα ἐν τούτῳ, οὐδὲν ἐντεῦθεν ἐπιχειροῦμεν δεῖξαι τὸ προκείμενον ἡμῖν πρόβλημα, εἰ μὴ ὅσα τούτων πρὸς αὐτὸ συντελοῦντα, καὶ τοῦδε τοῦ προβλήματος συστατικά. εἰ δοκεῖ οὖν ὑμῖν, ἐγγύτερον ἔλθωμεν τοῦ πράγματος καὶ σκεψώμεθα, τί δοκεῖ τοῖς πατράσι κοινῶς, ἵνα ποτὲ δυνηθείημεν καὶ εἴς τι συμπέρασμα καταντῆσαι. ἡμεῖς γὰρ λέγομεν, ὅτι οἱ ὅροι τῶν ἁγίων πατέρων πρὸς πᾶσαν καὶ ὁποιανοῦν κώλυσιν φέρουσι· καὶ ὅτε ἐκεῖνοι λέγουσιν, ὅτι οὔτε δεῖ προστιθέναι, οὔτε ἀφαιρεῖν, οὔτ' ἄλλο τι ποιεῖν, καὶ περὶ συλλαβῆς τὸν λόγον ἐκεῖνοι ποιοῦνται καὶ λέξεως· τούτου ποιούμεθα μέγα μαρτύριον τὰ ἔργα ἐκείνων. λοιπὸν ἐρωτῶμεν ὑμᾶς, οἱ διορισμοὶ οὗτοι καὶ τὰ κωλύματα πρὸς τὸ τῆς πίστεως σύμβολον φέρουσιν, ἢ πρὸς ἄλλο τι ἐξωτερικόν; καὶ ζητοῦμεν, ἀποκρίθητε πρὸς τοῦτο ἡμῖν.

Τούτων οὕτω παρὰ τοῦ Νικαίας εἰρημένων, ἐκεῖνοι περὶ τὸν Πάπαν γενόμενοι, οἱ ἐκλελεγμένοι ἅμα ταῖς καρδιναλίοις πᾶσι καὶ

ἑτέροις τισὶ, καὶ ἐφ' ἱκανὸν συνδιασκεψάμενοι ἐκάθισαν· καὶ δέον ὂν ἀπολογήσασθαι πρὸς ἔπος εἰς τὰ παρὰ τοῦ Νικαίας εἰρημένα, ὅμως περὶ τούτου μὲν οὐδὲν ἀπεκρίναντο· μόλις δέ ποτε ὁ Κολοσσένσις·* τὸν λόγον ἀναλαβὼν, τὰς μὲν κατὰ φύσιν προσφόρους ἀπολογίας οὐ δίδωκεν· οὐδὲ γὰρ ηὐπόρει εὐλόγων πρὸς ταῦτα, ὡς οἶμαι, ἀπολογιῶν καὶ προφάσεων· ἤρξατο δ' ὅμως λέγων ἐν περιττολογίαις ἐπὶ τοσοῦτον, ὡς καταναλωθῆναι τὴν προσήκουσαν καὶ τεταγμένην ὥραν. διολισθήσας γὰρ οἷον ἐπιτηδείως καὶ ἐκστὰς καθάπαξ τοῦ προκειμένου, ἐνέπεσεν εἰς ἕτερα, καὶ μάλιστα εἰς τὸ δεικνύειν δῆθεν καὶ συνιστᾶν ὅτι ἡ δόξα αὕτη, ἡ ἐκ τοῦ Υἱοῦ λέγουσα τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἐστιν ἀναγκαία καὶ ἀληθής. καὶ ἐπὶ τούτῳ παρήγαγε ῥήματα καὶ μαρτυρίας τινὰς, ἐξηγούμενος ταύτας καθὼς ἤθελεν, εἰς σύστασιν δῆθεν ὧν ἔλεγεν. ἡμεῖς δὲ γράφειν ἀρξάμενοι, ἐπειδὴ συνείδομεν ἔξω πάντη τοῦ προκειμένου ταῦτα φέρειν, παρήκαμεν· καὶ μάλιστα ὅτι οὐδ' ἀπολογήσασθαι τοὺς ἡμετέρους ἐπὶ τούτοις φροντὶς ἦν. διὸ οὐδὲ τῷ παρόντι ἐνεγράφησαν ὑπομνήματι, ὥσπερ καὶ ἄλλα τινα τῶν μὴ πάντη ἀναγκαίων· καὶ οὕτως ἐλύθη ἡ σύνοδος. ἐν δὲ τῇ ἑξῆς συνελεύσει Ἰωάννης ὁ Φορολιβιένσις ἐπίσκοπος ἐγγράφως ἔλεγεν οὕτω ταῦτα.

* δηλονότι Ἀνδρ. ὁ Ῥόδου.

Νοεμβρίου μηνὸς ὀγδόῃ τῷ σαββάτῳ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Ι.

ἸΩ. Ὁ ΦΟΡΟΛΙΒ. Μετὰ τῆς εὐλογίας τοῦ μακαριωτάτου πατρὸς, ἤλθομεν πρὸς ὑμᾶς ἀπολογησόμενοι εἰς ἅπερ ὑμεῖς, αἰδεσιμώτατοι πατέρες, ἐξέθεσθε πρὸς ἡμᾶς. πρῶτον περὶ τριῶν τινων, ἅπερ ὑμεῖς ἐν εἴδει προοιμίων εἰρήκατε, διὰ βραχέων ποιήσομαι μνείαν. ἠκούσαμεν ὑμῶν ἀπὸ τῆς ἀρχῆς τῆς ὑμετέρας λεγόντων, μὴ ὀφείλειν ἡμᾶς περὶ τούτου ἢ γυμνάζεσθαι ἢ φιλονεικεῖν πρὸς ἀλλήλους, ἵνα τὸ ἓν μέρος νικήσῃ τὸ ἕτερον, ἢ τὸ ἄλλο μέρος ὡς ἂν ἕξῃ τὴν νίκην, ἀλλὰ μόνον σπουδάσωμεν πρὸς τὴν τῆς ἀληθείας ἀκραιφνῆ εὕρεσιν, καὶ ἵνα εἰς τὸ μέσον ἄξωμεν ταύτην. ὃ δὴ καὶ ἀποδεχόμεθα, καὶ πάσῃ σπουδῇ τῷ τοιούτῳ ἑπόμεθα. καὶ γὰρ καθώς φησιν ὁ μακάριος Ἱερώνυμος ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ·

Οὐδέποτε πλανᾶται ὁ ἀκολουθῶν τῇ ἀληθείᾳ, μᾶλλον μὲν οὖν τῇ ἀληθείᾳ ταύτῃ, καὶ τῆς ἡμετέρας πίστεως ἀληθείᾳ, ἣ τοὺς ἀνθρώπους πρὸς ἀλλήλους πολὺ διεστῶτας καὶ χώρᾳ καὶ διαλέκτῳ καὶ ἤθεσιν ἑτοιμότατα πρὸς τὸ συνάγεσθαι παρασκευάζει. καθ᾽ ὃν τρόπον καὶ ὁ μέγας Διονύσιος ἐτράνωσε λέγων ἐν τῇ περὶ θείων ὀνομάτων βίβλῳ· Ἡ ἐπιστήμη, ἡ θεία πίστις ἐστὶν ἑνικὸς τῶν πιστευόντων θεμέλιος, τοὺς αὐτοὺς καθιδρύων ἐν ἀληθείᾳ καὶ συνάγων· ἡ αὐτὴ ἐπιστήμη συνάγει τοὺς γινώσκοντας καὶ τοὺς γινωσκομένους. Τοιγαροῦν εἴπερ ἐφιέμεθα τῆς ἁγίας τοῦ θεοῦ ἑνώσεως ταύτης ἐφικέσθαι, περὶ τοῦτο σπουδάσωμεν καὶ ἐπιμελησώμεθα, ὡς ἂν μεταξὺ ἡμῶν πραγματικῶς καὶ σπουδαίως περὶ ἐκείνης φροντίσωμεν. δεῖ οὖν πρῶτον, ἵνα τοῖς νοήμασι τῶν καρδιῶν ἡμῶν πρὸς αὐτὴν τὴν ἀλήθειαν ὁμονοήσωμεν. δεύτερον ἐῤῥήθη παρ᾽ ὑμῶν, ὅτι ὃ μέλλομεν μεταχειρίσασθαι, καὶ τῆς προκειμένης ὕλης τὴν ἐπιείκειαν καὶ ἀνοχὴν καὶ ταπεινοφροσύνην φυλάξωμεν, ἵνα διὰ πάντων τηρῶμεν τὴν τῶν ψυχῶν ἐπιείκειαν. τοῦτο οὖν μεγίστην εὐφροσύνην ἐν τῇ ψυχῇ μου εἰσήγαγεν, ἐπειδὴ δύναμαι μετὰ τοῦ προφήτου εἰπεῖν· Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.* καὶ γὰρ ὡς ὁ μακάριος Παῦλος ἐν τῇ δευτέρᾳ πρὸς Τιμόθεον ἐπιστολῇ φησι· Τὸν δοῦλον τοῦ κυρίου οὐ δεῖ μάχεσθαι καὶ ἐρίζειν, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, καὶ τὰ λοιπά.* τρίτον εἰρήκατε· ὅπερ εὐφραίνει ἐμαυτὸν, καὶ τηρῆσαι βούλομαι· δίκαιον γάρ ἐστι καὶ εὔλογον· ἵνα αἱ προτάσεις καὶ αἱ ἀποκρίσεις καὶ οἱ λόγοι διὰ βραχέων λέγοιντο· ἐπειδὴ καὶ ἡ συντομία τῷ νῷ καταλαμβάνεται, καὶ δραστικώτερον ἐν τῇ μνήμῃ παραπέμπεται· καὶ τοῦτο ἀρέσκει πᾶσιν. οὐ μὴν πρέπει τοὺς ῥηθησομένους λόγους ἢ ἀσαφεῖς εἶναι, ἢ μὴ παρεσκευασμένους πρὸς τὴν σύνεσιν τῆς ψυχῆς, ὡς ἂν μὴ τὸ ἄτοπον συμβῇ ἐκεῖνο· Σύντομος εἶναι κοπιῶν ἀσαφὴς γίνομαι. παρακαλῶ δὲ ὑμᾶς, ὦ πατέρες, ἵνα μὴ ἀπαιτήσητε ἐξ ἐμοῦ δύο τινὰ, ἃ πρὸς ἄλληλά εἰσιν ἀδύνατα, ἵνα καὶ σύντομος ὦ ἀπολογήσασθαι, καὶ εἰς πάντα τὰ εἰρημένα ἱκανὸν ἀποδοῦναι λόγον. ἀπολογήσομαι δὲ πρὸς τὰ καιριώτερα, καὶ ἕψομαι τῇ τάξει τοῦ παρ᾽ ἐμοῦ* προτεθέντος λόγου. Ὑμεῖς ἐξέθεσθε πάντας τοὺς λόγους ὑμῶν καὶ ἐν τῇ πρώτῃ τοῦ νοεμβρίου καὶ ἐν τῇ τετάρτῃ· ἐν ᾗ ἀπολογίᾳ δοκούσῃ εὐλόγῳ δεχόμεθά τινα, τινὰ δὲ ἀρνούμεθα.

* Ψαλμ. 4, 7.

* Τιμ. β΄. 2, 24.

* ἴσως· προ ἐμοῦ.

εὐλόγους δὲ καὶ δικαίας τὰς αἰτίας τῆς ἀρνήσεως ἐν τῷ μέσῳ παραθέντες, τινὰ διασαφηνίσομεν, πρός τινα δὲ οὐκ ἀποδώσομεν πεπλατυσμένην ὁμιλίαν, ἀλλὰ κεφαλαιωδῶς τρόπον τινὰ περὶ πάντων ἐροῦμεν. ἀλλ' οὐδὲ ἀμφιβάλλω, ὅτι καὶ ὑμεῖς, ὦ πατέρες, τοῦτο εὐλόγως καὶ δικαίως ὀφεῖλον κρινεῖτε γενέσθαι. ἑπόμενος δὲ τῇ τάξει τῶν ὑμετέρων λόγων, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπολογήσομαι πρὸς ἕξ τινα κεφάλαια καθολικά. τὸ μὲν οὖν προοίμιον ἀφορᾷ πρὸς ὑμᾶς, ὅτι πάντων ἀκροασάμενοι μετὰ ἀγάπης, καὶ τὰ ἑξῆς· ὅσον πρὸς τὸ μέρος τοῦτο, οὐ δοκεῖ ἡμῖν τι ἀποκριθῆναι δεῖν· καλῶς γὰρ καὶ ἀρίστως τετηρήκατε τὴν τῶν προοιμίων τάξιν. ἕπεται τὸ δεύτερον, δηλονότι ἡ ἀρχὴ τῆς ὑμετέρας ἀμφισβητήσεως, ταύτην τὴν μερίδα τό· Ἐκ τοῦ Υἱοῦ, εἶναι προσθήκην ἐκ τῶν ἔξωθεν, καὶ εὐλόγως καὶ ἑπομένως κεκωλυμένην. φατὲ γὰρ οὕτω κατὰ τὸ γράμμα, ὅτι εἰ καὶ ἦν ἀληθὲς, οὐκ ἔξεστιν ὅμως προστεθῆναι· ἐπειδὴ πολλῶν ἀναπτύξεων καὶ ἀναγκαίων γεγονυιῶν, οὐκ ἐτέθησαν αὗται ἐν τῷ συμβόλῳ, ὡς μὴ ἐξὸν τοῦτο γενέσθαι. μετὰ ταῦτα μετὰ παρένθεσιν πολλῶν λόγων, ἅτινα κεφαλαιωδῶς εἴπατε, συλλαμβάνω, ὅτι οὕτω συνεπεράνατε· ὥστε ἐπειδὴ ἡ προσθήκη κεκωλυμένη τυγχάνει, καὶ τοῦτο ἀπεδείχθη προσθήκη, καὶ τοῦτο κεκώλυται, οἷστισιν ἐξ ἅπαντος βουλόμεθα ποιήσασθαι ἀπολογίαν, ἵνα μὴ φανῶμεν τῶν ἡμετέρων ἀμελεῖν. λέγω, ὅτι ἐν ταύτῃ τῇ παρενθέσει τῶν λόγων, ὑμεῖς ἐμνήσθητε τῶν εἰρημένων παρὰ τοῦ Ῥόδου, καὶ βούλεσθε ἀποκριθῆναι πρὸς τὰ ποιοῦντα πρὸς τὸ προκείμενον, τὰ δ' ἄλλα ἐν ἄλλῳ καιρῷ ταμιεύσασθαι· καὶ λέγετε, ὅτι οὗτος ἐχρήσατο συλλογισμῷ, καθώς ἐστιν ἀληθές· καὶ λέγετε ποιήσασθαι λόγον περὶ τῆς ἐλάττονος τῶν προτάσεων, καὶ πρὸς ἐκεῖνα ἀπολογήσασθαι οἷστισιν οὗτος ἐχρήσατο πρὸς κατασκευὴν καὶ τυποῦτε τὸν συλλογισμὸν οὕτως· Πᾶσα προσθήκη ἔξωθεν, ἡ δ' ἀνάπτυξις οὐκ ἐκ τῶν ἔξωθεν, ἄρα ἡ ἀνάπτυξις οὐκ ἔστι προσθήκη. τοῦτο τὸ μέρος ὅλον παραλείψαμεν, καὶ γὰρ οὗτος ὁ Ῥόδου ἐξοχώτατος διδάσκαλος καὶ βαθὺς θεολόγος ἐστὶ, καὶ ἀρίστως ἐπεχείρησε πρὸς ταῦτα· καὶ πρὸς τὴν ἀρχὴν τῆς ὑμετέρας ἀμφισβητήσεως, ἥτις ἐστὶν ἡ μερὶς ἐκείνη· Ἐκ τοῦ Υἱοῦ, ὡς εἴη προσθήκη, καὶ κεκωλυμένη, τοῦτο φανερῶς ἀντιλέγομεν, ἀρνούμενοι ταύτην εἶναι κυρίως καὶ ἀληθῶς προσθήκην·

ἀρνούμενοι ἔτι ταύτην εἶναι κεκωλυμένην· καὶ ταῦτα βουλόμεθα
διασαφῆσαι διὰ ῥητῶν τῶν ἁγίων, καὶ δι' εὐλόγων διασαφήσεων·
ὅτι μὲν γὰρ οὐκ ἔστι κυρίως καὶ ἁπλῶς προσθήκη, φαίνεται καὶ
ἀπὸ τῆς ἕξεως τῆς δυνάμει περιοχῆς τῆς νέας διαθήκης ἐν αὐτῇ
τῇ παλαιᾷ διαθήκῃ, καὶ ἀπὸ τῆς συνυφασμένης διαδοχῆς ἐν τῇ
ἐκθέσει τῶν ἄρθρων τῆς πίστεως. περὶ τοῦ πρώτου ὁ μακάριος
Αὐγουστῖνός φησι κατὰ Φαύστου· Ὁ Χριστὸς οὐκ ἦλθε καταλῦσαι
τὸν νόμον, ἀλλὰ πληρῶσαι· οὐχ ἵνα προστεθῇ ἐν τῷ νόμῳ τὰ λεί-
ποντα, ἀλλ' ἵνα γένοιντο τὰ ἐγγεγραμμένα· ὅπερ τὰ ῥήματα αὐ-
τοῦ μαρτυροῦσιν. οὐδὲ γὰρ αὐτὸς εἶπεν· Ἰῶτα ἓν ἢ μία κεραία οὐ
μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν προστεθῶσι τὰ λείποντα, ἀλλά
φησιν· Ἕως ἂν πάντα γένηται.* ἔτι ἐν τῷ περὶ τῶν κατηχουμένων * Ματθ. 5, 18.
βιβλίῳ· Ἐν τῇ παλαιᾷ διαθήκῃ, φησὶν, ἔστιν ἀποκρυφὴ τῆς νέας,
καὶ ἐν τῇ νέᾳ διαθήκῃ φανέρωσις ὑπάρχει τῆς παλαιᾶς. ἔτι ἐν
τοῖς ζητήμασι τῆς παλαιᾶς καὶ νέας διαθήκης φησίν· Ἡνίκα λέ-
γεται ἐν τῷ εὐαγγελίῳ· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα
ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ·* οὐδὲν * Ματθ. 5, 21. 22.
ἄλλο ἠθέλησεν, ἢ ὅπερ ὁ νόμος ἔσχεν ἐν τῇ ἐννοίᾳ. ἡ γὰρ τοῦ νό-
μου ἔννοια, φησὶν, πρὸς τὴν ἀνθρώπου σωτηρίαν ἀνήκει. καὶ εἰς
ἐκεῖνο τοῦ Ἰεζεκιήλ· Ὁ τροχὸς ἐν τῷ τροχῷ,* ὁ Γρηγόριος πρὸς τὸ * Ἰεζεκ. 1, 16.
γράμμα φησίν· Ἡ παλαιὰ διαθήκη ἐν τῇ νέᾳ. ἔτι ὁ αὐτὸς Γρηγό-
ριος ἐν ἄλλῳ τόπῳ λέγει· Ὅπερ ὁ νόμος κελεύει, καὶ οἱ προφῆται
φυλάττουσι καὶ τὸ εὐαγγέλιον, τοῦτο καὶ οἱ ἀπόστολοι κηρύττουσιν
ἐν τῷ κόσμῳ. ὁμοίως ἡ ἐξήγησις τοῦ ῥητοῦ· Οὐκ ἦλθον καταλῦσαι
τὸν νόμον*, δηλοῖ σαφῶς, ὅτι τὸ εὐαγγέλιόν ἐστιν ἀνακεφαλαίωσις * Ματθ. 5, 17.
τοῦ παλαιοῦ νόμου. φαίνεται οὖν, ὅτι ἡ ἀνακεφαλαίωσις οὐκ ἔστι
προσθήκη ἁπλῶς καὶ κυρίως κατὰ τὸν Αὐγουστῖνον τοσαύτη μυ-
στηρίων φορὰ τῆς νέας διαθήκης, ὅτι περιεκλείετο συνεπτυγμένως
ἐν τῇ παλαιᾷ, οὐ λέγεται προσθήκη κατὰ τὸν νοῦν· οὐδὲν θαυ-
μαστὸν, εἰ καί τις τούτων ἀνάπτυξις οὐ λέγεται ἁπλῶς καὶ κυ-
ρίως προσθήκη, δηλονότι κατὰ τὸν νοῦν, ἀλλὰ μᾶλλον τοῦ συνε-
πτυγμένου ἐξάπλωσις. ἔτι φαίνεται τοῦτ' αὐτὸ ἀπὸ τῆς συνυφασμένης
διαδοχῆς ἐν τῇ ἐκθέσει τῶν ἄρθρων τῆς πίστεως. καὶ γὰρ καθὼς
φησιν ὁ αὐτὸς Αὐγουστῖνος· Οἱ χρόνοι μετεβλήθησαν, οὐχ ἡ πί-
στις· ἡ αὐτὴ γὰρ τῶν προαπελθόντων πατέρων, καὶ τῶν ἐπιγενο-

μένων ἡ πίστις· καὶ γὰρ καὶ οἱ προαπελθόντες καὶ οἱ ἐπιγενόμενοι
* Ματθ. 21, 9. ἐβόων· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· * ἀλλ' ὅμως ἐν τοῖς ἄρθροις γέγονέ τις διαδοχὴ, τοῦ συνεπτυγμένου ἀνάπτυξις καὶ τοῦ ἀορίστου διορισμός· ὅθεν περὶ τὴν πίστιν τῆς ἡμετέρας ἀνακτήσεως μᾶλλον ἢ ἐν τοῖς λοιποῖς τοῖς πρὸ τῶν χρόνων γεγονέσι τοῦ Ἀβραὰμ γέγονε τοῦ συνεπτυγμένου ἀνάπτυξις· ἐῤῥέθη γὰρ αὐτῷ τῷ Ἀβραὰμ ἐν τῇ Γενέσει ἐν τῷ εἰκοστῷ δευτέρῳ κε-
* Γεν. 22, 18. φαλαίῳ· Ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη. * ἔτι μείζων ἐστὶν ἀνάπτυξις, ἣν ὁ Ἡσαΐας ἐν τῷ ἑβδόμῳ φησίν·
* Ἠσ. 7, 14. Ἰδοὺ ἡ παρθένος ἕξει ἐν γαστρὶ καὶ τέξεται, * καὶ τὰ λοιπά. ἔτι μείζων διὰ τοῦ ἀγγέλου μετὰ ταῦτα τῇ παρθένῳ ζητούσῃ τὸν τρόπον ἀνάπτυξις γέγονε· Πνεῦμα ἅγιον, φησὶν, ἐπελεύσεται ἐπὶ
* Λουκ. 1, 35. σέ. * οὕτω γέγονε καὶ περὶ τοῦ ἄρθρου τοῦ περὶ τοῦ ἁγίου Πνεύματος, ὃ πρότερον μὲν ὡμολόγει ἡ ἐκκλησία τῷ καιρῷ τῶν ἀποστόλων· Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ὃ δὲ μετὰ ταῦτα ἡ ἐκκλησία ἐν τῇ συνόδῳ εἰρήκει· Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, οὐκ ἦν νέου ἄρθρου προσθήκη, ἀλλὰ τοῦ αὐτοῦ τρανοτέρα ἀνάπτυξις. οὕτω δὴ ἡνίκα μετὰ ταῦτα ἀνεπτύχθη· Καὶ ἐκ τοῦ Υἱοῦ, οὐ γέγονε περὶ τοῦ ἁγίου Πνεύματος νέου ἄρθρου προσθήκη, ἀλλὰ τοῦ αὐτοῦ ἄρθρου μᾶλλον ὡρισμένη ἀνάπτυξις. ἀρνούμεθα δὲ παντάπασι τὴν τοιαύτην προσθήκην εἶναι κεκωλυμένην. καὶ γὰρ ὡς ἄριστα διεῖλεν ὁ κύριος Βοναβεντούρας ὁ ἄριστος θεολόγος, τριπλῆ ἐν ταῖς γραφαῖς εὑρίσκεται ἡ προσθήκη· μία ἐν ᾗ τὸ προστεθὲν ἐστιν ἐναντίον· ἑτέρα ἐν ᾗ τὸ προστεθὲν ἐστιν ἕτερον· ἑτέρα ἐν ᾗ τὸ προστεθὲν ἐστι σύμφωνον. ἐκείνη ἐν ᾗ τὸ προστεθὲν ἐστιν ἐναντίον τοῦ ἐν ᾧ προστίθεται, ἔστι προσθήκη πλάνης καὶ τῶν αἱρετικῶν· ὡς ἂν εἴ τις ἔλεγεν ἐν τοῖς θείοις τὸν Πατέρα γεννητὸν, τὸν Υἱὸν ἀγέννητον, τὸ Πνεῦμα τὸ ἅγιον παρ' οὐδενὸς ἐκπορευόμενον. ἔστι δὲ ἡ ἑτέρα προσθήκη, ἐν ᾗ τὸ προστεθὲν εἰ καὶ οὐκ ἔστιν ἐναντίον ἐν ᾧ προστίθεται, ἔστιν ὅμως διάφορον, καὶ αὕτη ἡ προσθήκη ἐστὶ τῶν προπετῶν. ὅτι προπετείας καὶ αὐθαδείας ἐστὶν, ἐν ταῖς ἀληθείαις τῆς πίστεως καὶ τῆς ἱερᾶς γραφῆς διάφορόν τι λέγειν· ὡς ἂν εἴ τις λέγοι τὸν Πατέρα γεωμέτρην, τὸν Υἱὸν ἀστρονόμον, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀριθμητικόν. εἰ γὰρ καὶ τὰ μάλιστα οὑτωσὶ λέγων τις οὐ πολλῷ τῆς ἀληθείας ἀφίσταται, ὄντος ἐκείνων ἑκά-

στου παντοδυνάμου καὶ πάντα εἰδότος, ὅμως ἐπειδὴ ὁ τρόπος οὗτος τοῦ λέγειν πολὺ ἀφίσταται τοῦ τρόπου τῶν ἁγίων καὶ τῆς γραφῆς, διὰ τοῦτο αἱ τοιαῦται διάφοροι καινότητες τῇ προπετείᾳ ἀναγράφονται. ἐκείνη δὲ ἡ προσθήκη, ἐν ᾗ τὸ προστεθὲν οὐκ ἔστιν ἐναντίον, οὐχ ἕτερον, ἀλλὰ τούτῳ σύμφωνον ᾧ προστίθεται, ὡς ἂν εἰ λέγοιμι ἐν τοῖς θείοις τὸν Πατέρα παντοκράτορα, αἰώνιον, τὸν Υἱὸν ὁμοούσιον, συνόμοιον,* τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον, πνεόμενον· αὕτη ἡ προσθήκη ἐστὶ τῶν εὐσεβῶν, τῶν καθολικῶν· τῆς πίστης γάρ ἐστι διδαχῆς, ἐπειδὴ τὸ συνεπτυγμένως ὂν ἀναπτύσσει. ἐκεῖναι δὲ αἱ προεισαχθεῖσαι δύο προσθῆκαι, δηλονότι ὅπου τὸ προστεθὲν ἐστιν ἐναντίον ἢ ἕτερον, ἐκ παντὸς κωλύονται ὑπὸ βαρυτάτης ποινῆς ἀπειλήν. ὅθεν ἡ Ἀποκάλυψις ἐν τῷ τελευταίῳ· Ἐάν τις ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ.* ἀλλ' ἡ προσθήκη ἐκείνη, ἐν ᾗ τὸ προστεθέν ἐστι σύμφωνον καὶ ἁρμόζον, οὐ κωλύεται ἐν ταῖς γραφαῖς, μᾶλλον μὲν οὖν ἐπαινεῖται, καὶ ἐπήγγελται ταύτῃ γέρας παρὰ τοῦ σωτῆρος ἡμῶν. ὅθεν ὁ διδάσκαλος τῶν ἀποφάσεων ἐν προοιμίοις φησί.*

Καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι.* νῦν πρὸς τὸ ἡμέτερον προκείμενον λέγω, ὅτι ἐν ταύτῃ τῇ ῥηματικῇ προσθήκῃ οὔτε ἐναντίον προσετέθη, οὔτε ἕτερον· καὶ διὰ τοῦτο οὐκ ἔστι κεκωλυμένη, μᾶλλον μὲν οὖν τό· Ἐκ τοῦ Υἱοῦ, σύμφωνον προσετέθη καὶ ἁρμόζον· ὅθεν οἱ ἀπόστολοι λέγοντες· Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον, εἰς τὴν ἁγίαν καθολικὴν ἐκκλησίαν, φαίνεται ὅτι οὐκ ἐποίησαν ἀνεπτυγμένως μνείαν, οὔτε περὶ τῆς ἐκ τοῦ Πατρὸς ἐκπορεύσεως, οὔτε τῆς ἐκ τοῦ Υἱοῦ· ἀλλὰ μετὰ ταῦτα οἱ ἅγιοι πατέρες ἀπαντῶντες ταῖς πλάναις καὶ τοῖς σκολιοῖς δόγμασι τῶν αἱρετικῶν, διετράνωσαν αὐτοῦ τὴν ἐκπόρευσιν τὴν ἐκ τοῦ Πατρὸς, ὡς σύμφωνον δῆθεν τῇ πίστει τῶν ἀποστόλων καὶ τῇ ἑαυτῶν ὁμολογίᾳ, ἐν τῷ συμβόλῳ τούτῳ αὐτὸ προσθέντες. οὕτως ἑπομένως καὶ οἱ ἄλλοι ἐπιγενόμενοι πατέρες τὴν ἐκπόρευσιν αὐτοῦ τὴν ἐκ τοῦ Υἱοῦ, ἅτε σύμφωνον τῇ πίστει καὶ τῇ ὁμολογίᾳ τῶν πατέρων, ἐν τῷ συμβόλῳ καθολικῶς καὶ ἄριστα διετράνωσαν. ἐνταῦθα οὐκ ἐκτείνω ἐμαυτὸν εἰς τὸ διασαφῆσαι, ὡς αὕτη ἡ ἀνάπτυξις τό· Ἐκ τοῦ Υἱοῦ, σύμφωνος εἴη καὶ ἁρμόζουσα τῇ πίστει

* Ἴσως· συναιώνιον.

* Ἀποκ. 22,18.

* Λείπει τινά.

* Λουκ. 10, 35.

καὶ ὁμολογίᾳ, καὶ ἐν τῷ συμβόλῳ τῶν πατέρων, ἵνα μὴ λέγητέ μοι ἔξω τοῦ προκειμένου λέγειν· ἀλλ' ἐπειδὰν θελήσητε, ἕτοιμός εἰμι· καὶ ἤδη κατωτέρω ἐσημειωσάμην, ἐάνπερ θελήσητε, πρὸ τοῦ ἀναχωρῆσαι ἡμᾶς ἐνθένδε ἐξαπλώσω, οὐ λίαν βαθέως ταύτην τὴν ὕλην εἰσερχόμενος. οὕτω δῆλον γενήσεται τῷ τὴν ἀλήθειαν ὁρᾶν βουλομένῳ, ὅτι ἡ ἔκθεσις αὕτη εἴτουν ἀνάπτυξις τό· Ἐκ τοῦ Υἱοῦ, οὐκ ἔστι προσθήκη, ἀλλ' ἀνάπτυξις καὶ οὐδενὶ τρόπῳ κεκώλυται. καὶ ταῦτα κατὰ τὸ παρὸν ἀρκείτω πρὸς ἀπολογίαν τῆς δευτέρας ἐκείνης μερίδος τοῦ ὑμετέρου προβλήματος, ὅπου ἐστὶν ἡ ἀρχὴ τῆς ὑμετέρας ἀμφισβητήσεως. ἔπεται τὸ τρίτον, ἡ ῥίζα καὶ ὁ θεμέλιος τῆς ἀμφισβητήσεως ἐκείνης, ἐν ᾗ λέγετε πανταπασι διαφωνοῦντες, ὅτι κατ' οὐδένα τρόπον ἐξῆν προσθεῖναι μήτε συλλαβὴν μήτε λέξιν μήτε ῥῆμα. ἄρχεται δὲ ἡ μερὶς αὕτη, ὅπου ὑμεῖς ἀπαριθμεῖτε διὰ βραχέων τέσσαρα, ἣν ἀπαρίθμησιν κατὰ τὸ παρὸν παραλείψω. ἔρχομαι δὲ εἰς αὐτὸν τὸν θεμέλιον, περὶ ὃν τέτταρα ταῦτα τιθέατε· πρῶτον τὴν κίνησιν τῶν πατέρων, δεύτερον ἕνα λόγον, τρίτον ῥητὸν ἕν, δηλονότι τοῦ μακαρίου Κυρίλλου, τέταρτον ἐκ τοῦ εἰκότος ἐπιχειρεῖτε. πρῶτον τὴν κίνησιν τῶν πατέρων, ὡς ἂν ἡ τοιαύτη κώλυσις ἐπίσημος γένηται, λέγετε γεγονέναι, ὡς ἂν ἀφέλωσιν ἀπὸ τῶν πιστῶν τὴν ἄδειαν οὐκ ὠφέλιμον οὖσαν, μᾶλλον μὲν οὖν ἐπιβλαβῆ. ἀλλὰ πρῶτον περὶ τὴν τοιαύτην ἄδειαν λέγετέ τι, ὅπερ οὐ δοκεῖ ἀληθὲς, σωζομένης τῆς ὑμετέρας τιμῆς. λέγετε γάρ· Ἐξῆν ἀπ' ἀρχῆς τῆς θρησκείας καὶ τῆς πίστεως ἀναπτύσσειν μόνον, ἐκτιθέναι, ἐξηγεῖσθαι τὰ συνεπτυγμένως περιεχόμενα τῇ ἱερᾷ γραφῇ· καὶ τοῦτο μόνον ἐξῆν τοῖς ἀρχαίοις ἐκείνοις μόνοις πατράσι ποιεῖν, καὶ χρῆσθαι ὡς ἐβούλοντο· κἀκείνας τὰς ἀναπτύξεις ἐξῆν τιθέναι ἐν τῷ συμβόλῳ καὶ πανταχοῦ, πλὴν ἐν τῷ κειμένῳ τῆς ἱερᾶς γραφῆς· μετὰ ταῦτα, ὅτι μέρος ἐκωλύθη τῆς τοιαύτης ἀδείας, μέρος δὲ κατελείφθη, δηλονότι διασαφηνίζειν, ἐξαπλοῦν, ἐκτιθέναι ἐκεῖνα τὰ συνεπτυγμένως ἐν τῇ ἱερᾷ γραφῇ κείμενα· τοῦτο γὰρ οὐδέποτε ἐκωλύθη, οὔτε εἰς τὸ ἑξῆς κωλυθήσεται. ἐνταῦθα οὐ δοκεῖ μοι τοῦτο ὡς εἰκὸς πιθανὸν εἶναι, δηλονότι ἐξῆν τοῖς πατράσι ποιεῖσθαι τὰς ἀναπτύξεις, καὶ τιθέναι ὡς ἐβούλοντο ἐν τῷ κοινῷ συμβόλῳ τῆς πίστεως, εἰ μὴ συνέβαινον καὶ συνηθροίζοντο ἐν οἰκουμενικαῖς συνόδοις, λέγει γὰρ ὁ ἅγιος Θωμᾶς, ὅτι οὐδέποτε γέγονεν ἀνάπτυξις

ἐν τῷ συμβόλῳ, εἰ μὴ ἐν οἰκουμενικῇ συνόδῳ, καὶ λέγει περὶ οὑτινοσοῦν συμβόλου, ὅπερ ἦν κοινὸν τῆς ἐκκλησίας. τούτου προτεθέντος ἕψομαι τοῖς τέσσαρσιν, ἃ εἴπατε περὶ τοῦ θεμελίου τοῦ ὑμετέρου προβλήματος· ἔστι τὸ πρῶτόν ἐστι τοῦτο, ὅτι μέχρι τῆς δευτέρας οἰκουμενικῆς συνόδου ἐξῆν τοῖς πατράσι χρῆσθαι τῇ τοιαύτῃ ἀδείᾳ· μετὰ δὲ τὴν δευτέραν, ἐπειδή τινες ἐχρήσαντο τῇ ἀδείᾳ ταύτῃ ἐπὶ κακῷ τῷ σφετέρῳ, πάντοτε παραπλάσσοντες τὰ σύμβολα καὶ σπείροντες ἐναντία καὶ ἀσεβῆ δόγματα, ἐπειδὴ εἶδον οἱ πατέρες τῆς τρίτης συνόδου, ὅτι ἡ τοιαύτη ἄδεια βλάβην ἐργάζεται τοῖς πιστοῖς καὶ οὐ κέρδος, ἐπειδὴ ἐξῆν ἑκάστῳ προσθεῖναι, ταύτην τὴν ἄδειαν ἀπὸ τῶν πιστῶν ἀφεῖλον. πρὸς τοῦτο ἀπολογούμεθα, ὅτι ὁμολογουμένως οὐ φαίνεται ἀληθὲς, ἐξεῖναι ἑκάστῳ προσθεῖναι ἐν τῷ κοινῷ συμβόλῳ τῆς πίστεως, εἰ μὴ νοῶμεν περὶ τῆς ἀδείας, ἣν ἐνοσφίσαντό τινες καὶ μάλιστα τῶν αἱρετικῶν· περὶ οὗ ἁρμοζόντως δύναται νοεῖσθαι τὸ παλαιὸν, ὅτι πάντες χείρονες τῇ ἀδείᾳ γινόμεθα· ἕπεται ἄρα, ὅτι ἀφεῖλον οἱ πατέρες τὴν τοιαύτην ἄδειαν καὶ ἀπεσφράγισαν καὶ ἐβεβαιώσαντο μὴ ἐξεῖναί τινι προσθεῖναί τι ἐν τῷ συμβόλῳ. δεύτερον ἕπεται καὶ ἡ πρᾶξις, ὅτι εἴπερ οὐκ ἔξεστι προσθεῖναι, οὐδεμία δύναται προσαχθῆναι τοῖς πιστοῖς ζημία, ὁμολογοῦσι τὴν πίστιν τῶν πατέρων, καὶ οὐδεὶς ἐγκαλέσει ἀτέλειαν πίστεως, εἰ μή τις εἴη μαινόμενος· ἀλλὰ ληφθείσης αἰτίας ἑκάστῳ προσθεῖναι, δυνατὸν ἐντεῦθεν τοῖς πιστοῖς βλάβην γενέσθαι· καὶ διὰ τὴν ἐναλλαγὴν τῶν λέξεων δυνατόν ἐστι τῇ ἐκκλησίᾳ πλάνην γενέσθαι· ἡμεῖς δὲ δεόμενοι μεθ' ὑπομονῆς κωλύειν τοὺς λόγους τούτους, ὅπερ ἀποδείξομεν καλῶς ἐν ἰδίῳ τόπῳ. ἕπεται τρίτον, τὸ ῥητὸν τοῦ ἁγίου Κυρίλλου, καὶ τὸ τέταρτον ἀπὸ τοῦ εἰπόντος· ἀλλ' ἐπειδὴ πάντα εὐχερῶς λύονται κλασθέντος τοῦ θεμελίου, ἐρχόμεθα πρὸς αὐτὸ τοῦτο· ὅθεν ῥητῶς λέγομεν, ὅτι ἐπειδὴ ἀφορᾶν δεῖ μᾶλλον πρὸς τὸν μυελὸν ἢ τὸν φλοιὸν καὶ πρὸς τὸν ἀρχαῖον νοῦν τοῦ νομοθέτου ἢ πρὸς δεισιδαιμονίαν τῶν λέξεων ἢ τοῦ γράμματος, καὶ ἡ κώλυσις ἄρα ἐκείνη ἐστί τις νόμος τῇ ἐκκλησίᾳ, ὀφείλει νοεῖσθαι κατὰ τὸν νοῦν ἐκείνων, οἵτινες τὸν τοιοῦτον νόμον ἐξέθεντο καὶ ἐβεβαιώσαντο. οὗτοι δὲ οἱ πατέρες κωλύουσιν ἐκεῖνο κυρίως καὶ πρώτως τὴν ὁμολογίαν δηλονότι τῆς πίστεως τῆς ἐναντίας καὶ τῆς ἀπᾳδούσης τῇ πίστει τῶν πατέρων· καὶ διὰ τοῦτο

λέγει ὁ Βοναβεντούρας, ὅτι ἡ ἀπόφασις, ἣ τέθειται ἐν τῇ πρώτῃ κωλύσει τῶν πατέρων, οὐχ ἑαυτὴν ἐκτείνει, εἰ μὴ πρὸς τοὺς ἀντιλέγοντας καὶ πρὸς ἐκείνους τοὺς φθείροντας, οἵτινες τῇ διανοίᾳ φθείρειν σπουδάζουσι, καὶ καινίζειν καὶ βέβηλον καὶ ῥυπαρὰν ποιεῖν τὴν πίστιν τῶν πατέρων, καὶ μεταποιεῖν καὶ προστιθέναι λέξιν ἢ ῥητὸν ἢ συλλαβήν. ἀλλ' ἡ τοιαύτη προσθήκη * οὐ κωλύεται ἐν οὐδεμιᾷ γενεᾷ μέχρι τοῦ τέλους τῶν αἰώνων, οὐδὲ κωλύεσθαι δύναται, ὡς ἂν μὴ πάντοτε ἐξῇ τῇ ἐκκλησίᾳ τοῦτο ποιεῖν, αὐθεντίᾳ τῇ προσηκούσῃ συναθροισθείσῃ, ὅτι καὶ ἀρχηγῷ τῆς ἐκκλησίας ἔχοντι ἐν ἑαυτῷ πᾶσαν ἐξουσίαν καὶ αὐθεντίαν τῆς πάσης ἐκκλησίας, διὰ νομίμους αἰτίας, εἰς τὸ ἀπαντᾶν ταῖς πλάναις καὶ ταῖς αἱρέσεσι, καὶ ἀνάπτυξιν ποιεῖσθαι μέρους τινὸς τοῦ συμβόλου σύμφωνον τῇ πίστει, καὶ ἐν τῷ συμβόλῳ προσθεῖναι. τίς δ' ἂν δυνηθείη ἀμφισβητεῖν, ὅτι ἀνάγκης ἐπικειμένης, ὅτι μέγιστον ὀλισθήσει τὸ Χριστιανῶν πλῆθος τῇ αἱρέσει περὶ τὸ μυστήριον τοῦ θείου θυσιαστηρίου, ὅτι καθὼς ἐτέθη διὰ τῶν συμβόλων τό· Ὁμολογῶ ἓν βάπτισμα, ὥστε μὴ δύνασθαι τὴν ἐκκλησίαν ἐκεῖνο πρὸς σωτηρίαν τῶν ψυχῶν, καὶ δύνασθαι προστιθέναι τὴν Θεοτόκος φωνὴν ἐν τῷ συμβόλῳ, ὅπου ἂν ἐκείνη φανείη *, σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου; ἀλλὰ μὴν ὁμολογοῦμεν ἐκεῖνο, ὅτι οὐδενὶ ἰδιάζοντι προσώπῳ ἢ ἰδιαζούσῃ ἐκκλησίᾳ τοῦτο ἔξεστι καὶ πρὸς ταῦτα λέγομεν δεῖν ἀνάγεσθαι τὴν κώλυσιν, πρὸς ἰδιώτας ἀνθρώπους καὶ πρὸς ἐκείνους, οἵτινες σκολιᾷ διανοίᾳ τοῦτο ἐπιχειρήσουσιν. ὡς δὲ λέγει ὁ Βοναβεντούρας, οὐκ ἦν ὁ νοῦς τῶν πατέρων ἐκείνων, οἵτινες τὴν τοιαύτην κώλυσιν ἐποίησαν, τοῦ συγγράφειν τὴν ὁδὸν τοῖς ἄλλοις πατράσι τῆς ἐκκλησίας, ὥστε μὴ δύνασθαι ταύτῃ τῇ ἀδείᾳ χρήσασθαι, ὁπόταν ὁ Θεὸς ἐκείνους μᾶλλον φωτίσῃ· μᾶλλον δὲ λέγει καὶ πλέον ὁ αὐτὸς Βοναβεντούρας, ὅτι εἰ τῇ τοιαύτῃ ἐννοίᾳ εἰρήκεσαν, φαίνεται ὅτι οὐ καλῶς ἐκινήθησαν. καὶ διὰ τοῦτο ἡ διάνοια τῶν οὕτω λεγόντων καὶ φρονούντων περὶ τῶν πατέρων ἐκείνων εἰκότως, φησὶν, ἔστιν ἐκφευκτέα· ἀλλ' ὅτι οἱ πατέρες ἐκεῖνοι ἔσχον ἐν τῇ κωλύσει τὴν ὑγιᾶ διάνοιαν, ἥντινα προειρήκαμεν, τοῦτο ἀποδεῖξαι βουλόμεθα ἐν ταῖς πράξεσι τῶν ἁγίων συνόδων, καὶ μάλιστα τῆς τρίτης, καὶ ἐν ταῖς ἐπιστολαῖς τῶν πατέρων τῶν κατ' ἐκείνους τοὺς καιροὺς γεγονότων. συνελθόντων τῶν ἐπισκόπων

* δηλονότι ἡ προσθήκη· Ἐκ τοῦ υἱοῦ, στηριχθεῖσα ὑπὸ τῆς ἐκκλησίας.

* δηλονότι ταῖς λέξεσι· Σαρκωθῆναι κτλ.

ἐν τῇ Ἐφέσῳ, καὶ τοῦ Νεστορίου προσκληθέντος καὶ μὴ παραγενομένου, εἶπον ἐκεῖνοι κατὰ τὴν κανονικὴν συνήθειαν· Ἀναγνωσθήτω ἡ ἔκθεσις τῶν ἐν Νικαίᾳ πατέρων, ὡς ἂν τῇ τοιαύτῃ συμβάλλοιμεν τοὺς περὶ πίστεως λόγους· καὶ οἱ μὲν συμφωνοῦντες ἐκείνοις λόγοι στερχθῶσιν, οἱ δὲ διαφωνοῦντες ἀποβληθῶσιν. ὅθεν φαίνεται, ὅτι ὁ νοῦς τῆς συνόδου ἐστὶν, ὡς ἂν μὴ κωλύηται ἡ πίστις σύμφωνος τῶν πατέρων, ἀλλ' ἡ διαφωνοῦσα. καὶ διὰ τοῦτο φαίνεται, τί σημαίνουσιν ἐκεῖνα τὰ ῥήματα· Μηδενὶ ἐξέστω προφέρειν πίστιν ἑτέραν παρὰ τὴν ἐν Νικαίᾳ ταχθεῖσαν, τουτέστι διαφωνοῦσαν καὶ ἐναντίαν. μετὰ ταῦτα ἀνεγνώσθη τὸ σύμβολον τῶν ἐν Νικαίᾳ· Πιστεύομεν εἰς ἕνα Θεὸν, καὶ τὰ ἑξῆς· εἶτα ἀνεγνώσθη τοῦ Κυρίλλου ἡ ἐπιστολὴ πρὸς Νεστόριον, ἐν ᾗ διαλαμβάνει ῥήματα τοῦ ἐν Νικαίᾳ συμβόλου καὶ ἐκτίθησι καὶ διασαφεῖ, ἀποδεικνύων τὸν Χριστὸν Θεὸν καὶ ἄνθρωπον ἐν μιᾷ ὑποστάσει γεννηθέντα, οὐκ ἐν δυσὶν, ἐκ τῆς παρθένου Μαρίας· καὶ ἀποδείκνυσιν εἶναι Θεοτόκον, προφέρων μαρτυρίας τῆς ἱερᾶς γραφῆς· καὶ διαμαρτύρεται τὸν Νεστόριον, ἵνα τὰ ἐν τῇ ἐπιστολῇ αὐτοῦ κατέχῃ καὶ φρονῇ. ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ Κυρίλλου, ἥτις ἄρχεται*. Ὡς λέγουσι περὶ ἐμοῦ, ὁ Κύριλλος γράφων Νεστορίῳ καὶ ἐκδικῶν τὴν ὀρθὴν πίστιν φησί· Πεπληροφόρημαι, ὅτι οὐδ' ὅλως εὑρίσκομαι παραβάτης τοῦ λόγου τῆς ὀρθῆς πίστεως ἢ τοῦ συμβόλου τοῦ ἐν Νικαίᾳ· καὶ ζητῶ ἵνα εἴπητε, πότερον ὀρθῶς καὶ ἀληθῶς καὶ συμφώνως τῇ συνόδῳ ἐκείνῃ τὰ τοιαῦτα ἔγραψα, ἢ οὔ. ἀπεκρίναντο οἱ πατέρες, ὅτι συμφώνως εἶπε, καὶ οὐδεμίαν καινότητα ἢ καινοτομίαν εἰσῆξεν· ὅσα ἐρρήθησαν συντόμως ὑπὸ τῶν ἐν Νικαίᾳ, ἡ ἐπιστολὴ τοῦ Κυρίλλου ἐξέθετο εἰς πλάτος καὶ ἐσαφήνισε· καὶ ὅτι αὕτη ἡ ἐπιστολὴ πολὺ φῶς παρέχει εἰς κατάληψιν τῆς διασαφήσεως τῶν εἰρημένων ἐν αὐτῇ τῇ ἐν Νικαίᾳ συνόδῳ· ὁμολογοῦσί τε τὰ αὐτὰ φρονεῖν τὴν αὐτὴν ἐπιστολὴν μετὰ τοῦ ἐν Νικαίᾳ συμβόλου. μετὰ ταῦτα ἀνεγνώσθη τοῦ Νεστορίου ἡ ἐπιστολὴ πρὸς Κύριλλον, ἐν ᾗ ὁμολογεῖ τὴν ἁγίαν Μαρίαν μὴ εἶναι Θεοτόκον, καὶ εἰσάγει τὰ τῆς γραφῆς πρὸς τοῦτο. καὶ ὁ Κύριλλος ἠρώτησε τὴν σύνοδον, εἴπερ συμφωνεῖ τῇ πίστει τῶν ἐν Νικαίᾳ πατέρων ἡ ἀναγνωσθεῖσα ἐπιστολή. ἀπεκρίθησαν οἱ πατέρες· Οὐκ ἔστι σύμφωνος, ἀλλ' ἀλλοτρία τῆς ὀρθῆς πίστεως καὶ μαχομένη τῇ ἐκτεθείσῃ πίστει, καὶ διαφωνοῦσα τῆς

* Καταφλυαροῦσι μέν, ὡς ἀκούω.

πίστεως τοῦ Κυρίλλου καὶ τῶν ἐν Νικαίᾳ πατέρων, καὶ οὐδ' ἑαυτῇ συμβαίνουσα· ἔτι ὅτι ἐστὶν ἐναντία τῇ πίστει τῶν ἐν Νικαίᾳ καὶ ἀπάδουσα τῇ συνόδῳ, ἐπιβόησεν ἡ σύνοδος· Ἡ ὀρθὴ πίστις ἀναθεματίζει τὸν Νεστόριον, ὃς ἐπιβοᾷ ἀσεβῆ δόγματα καὶ ἀσεβῆ κοινωνίαν.

Ἐκ τούτων φαίνεται, πατέρες αἰδεσιμώτατοι, τίς ἐστιν ὁ σκοπὸς τῆς συνόδου καὶ τῶν πατέρων τῶν θέντων τὴν κώλυσιν, ὥστε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν παρὰ τὴν ἐν Νικαίᾳ, δηλονότι ἐναντίαν ἢ μαχομένην ἢ διαφέρουσαν ἢ ἀλλοτρίαν ἢ ξένην ἀπὸ τῆς ἀληθοῦς πίστεως· ὅθεν τὸ ῥῆμα σημαίνει διαφορὰν καὶ ἐναντιότητα, οὐχ ἑτέραν ἔκθεσιν σύμφωνον τῇ ἀληθείᾳ ἐν τῇ πίστει. * τοῦτο μαρτυρεῖ καὶ ὁ Κύριλλος, ὃς τρανότερον καὶ σαφέστερον ἀνέπτυξε καὶ ἐξήπλωσε τὴν πίστιν τῶν ἐν Νικαίᾳ. τοῦτο ἐπιφέρεται τρανότερον ἐν τῇ πίστει, ἣν ἡ τρίτη αὕτη σύνοδος ἔγραψε πρὸς τοὺς βασιλεῖς, ἀναφέρουσα τὰ πραχθέντα ἐν τῇ συνόδῳ· λέγει δὲ μετὰ τῶν ἄλλων· Τὰς ἐπιστολὰς τοῦ Κυρίλλου εὕρομεν συμφωνούσας τῷ δόγματι καὶ νοήματι τῶν πατέρων καὶ οὐδενὶ τρόπῳ ἀλλοτρίας τῆς πίστεως τῆς παραδοθείσης παρὰ τῶν ἀποστόλων καὶ τῶν πατέρων τῶν ἐν Νικαίᾳ· τὰ δὲ δόγματα τοῦ Νεστορίου εὕρομεν μαχόμενα τοῖς δόγμασι καὶ τῇ καθολικῇ πίστει.

* ἴσως ἐν τῇ ἐπιστολῇ.

Μετὰ ταῦτα ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Καιλεστίνου πρὸς Νεστόριον, ἥτις ἄρχεται· * Ἀπό τινων ἡμερῶν, καὶ μετὰ τῶν ἄλλων φησί· Τίς ποτε οὐκ ἐκρίθη ἄξιος τοῦ ἀναθέματος ἢ προστιθέμενος ἢ ἀφαιρῶν; καὶ γὰρ ἡ πίστις ἡ παραδοθεῖσα παρὰ τῶν ἀποστόλων οὔτε προσθήκην οὔτε μείωσιν ἀπαιτεῖ· ἀνέγνωμεν ἐν ταῖς βίβλοις ταῖς ἡμετέραις, ὅτι μεγίστη προσβάλλει τιμωρία τὸν ἀφαιροῦντα καὶ τὸν προστιθέντα.

* Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν.

Σημειῶσαι καὶ τοῦτο, ὅτι καὶ πρὸ τῆς ἐν Ἐφέσῳ συνόδου κεκωλυμένον ἦν καὶ ὑπὸ ποινὴν τὸ προστιθέναι ἢ ἀφαιρεῖν ἔτι καὶ ἐν τῷ συμβόλῳ τῶν ἀποστόλων, καθ' ὃν τρόπον σαφέστερον κατωτέρω ὁ Καιλεστῖνος ἐκτίθησιν, ἀλλὰ ταύτης τῆς κωλύσεως μὴ προσισταμένης, τῷ συμβόλῳ προσετέθησάν τινα καὶ ἀφῃρέθησαν, ὡς τό· Κατελθόντα εἰς τὸν ᾅδην· ἀλλ' ὅμως οὐκ ἐπιδράττεται τοῦτο ἡμῶν. ὁ Καιλεστῖνος ἐπιλαμβάνεται τοῦ Νεστορίου, ὅτι ἀφαιρεῖται τοῦ συμβόλου, δηλονότι τὴν Θεοτόκος φωνὴν ἥτις οὐκ ἀνεπτυγμέ-

νως, ἀλλὰ συνεπτυγμένως περιέχεται ἐν τῷ ἀποστολικῷ συμβόλῳ. τούτου δὲ λόγος, ὅτι ἡ ἐν Νικαίᾳ καὶ ἡ ἐν Κωνσταντινουπόλει καὶ αἱ ἄλλαι σύνοδοι οὐδὲν προσέθηκαν ἐν τῇ πίστει ἢ ἀφεῖλον ἐναντίον τοῦ ὑγιοῦς νοῦ καὶ κατὰ τῆς ἀληθείας, ἀλλ' ὁ Νεστόριος οὕτως. ἐκ τούτων φαίνεται, ὅτι κωλύεταί τις, ὁπόταν κατὰ τοῦ ἀληθοῦς νοῦ ἢ κατὰ τῆς ὀρθῆς πίστεως προστίθησιν ἢ ἀφαιρεῖ· καὶ ἀπὸ τούτου λύεται πᾶσα δυσχέρεια, ἣν ὑμεῖς, ὦ πατέρες οἱ τῆς ἀνατολικῆς ἐκκλησίας, κατὰ τῶν Λατίνων εἰσφέρετε. καὶ γὰρ οὐ προσέθεσαν τό· Ἐκ τοῦ Υἱοῦ, κατὰ τοῦ συμβόλου τοῦ ἐν Κωνσταντινουπόλει ἢ κατὰ τῆς ἀληθείας ἢ κατὰ τῆς ὀρθῆς πίστεως· ἐπειδὴ εἶπον οἱ πατέρες· Τὸ σύμβολον τὸ ἐν Νικαίᾳ καὶ τὸ ἐν Κωνσταντινουπόλει ταὐτόν ἐστι, καὶ ἀναγνωσθέντος τοῦ ἑνὸς νοεῖται τὸ ἕτερον, καὶ εἰ τοῖς ῥήμασι διαφέρουσιν, ἀλλὰ τῇ ἐννοίᾳ καὶ τῇ ἀληθείᾳ συμφωνοῦσι. τὸ αὐτὸ λέγομεν καὶ ἡμεῖς, ὅτι ἀναγνωσθέντος ἐκείνου νοεῖται καὶ τοῦτο· καὶ ἔξεστι προσθεῖναι τὸ ῥῆμα τοῦτο, ἐπειδὴ οὐ διαφωνεῖ ἀπὸ τῆς ὀρθῆς καὶ ἀληθοῦς πίστεως. ὅτε δὲ λέγετε· Κεκώλυται τὸ προσθεῖναι, ἀπολογούμεθα, ὅτι ἓν καὶ ταὐτόν ἐστιν ἐκείνοις, εἰ καὶ διαφέρει τοῖς ῥήμασιν. ἕπεται ἄρα, ὅτι οὐκ ἔστι κυρίως προσθήκη, ἀλλ' ἓν καὶ τὸ αὐτὸ, ἡ τῆς ταυτότητος ἔκθεσις.

Ἐπάγεται ἐν τῇ ἐπιστολῇ τοῦ Καιλεστίνου· Μετὰ * πολλῶν τῶν κηρύκων ἡ καθολικὴ ἐναντιοῦται ἐκκλησία, τὸ σύμβολον τὸ παραδοθὲν παρὰ τῶν ἀποστόλων ἀφαιρεθῆναι τὰ ῥήματα, ἅτινα τὴν σωτηρίαν ἡμῶν καταγγέλλονται, δηλονότι ἡ μακαρία Μαρία θεοτόκος ἐστὶν, ἥτις δυνάμει ἐστὶν ἐν τῷ συμβόλῳ τῶν ἀποστόλων. Καὶ τοῦτο φαίνεται, ὅτι τοῦ συμβόλου τῶν ἀποστόλων οὐδὲν δεῖ ἀφαιρεῖν, ἀλλ' ὅμως ἀφῃρέθη τό· Κατελθόντα εἰς τὸν ᾅδην· ἀλλ' ἐκεῖνοι οἵπερ τοῦτο ἀφείλοντο, οὐκ ἠρνοῦντο αὐτὸ, οὐδὲ ἐμάχοντο τῇ ἀληθείᾳ, καθὼς ὁ Νεστόριος λέγει, ὅτι οὐκ ἔστιν ἡ παρθένος θεοτόκος.

* τῶν παρὰ σοῦ κηρυττομένων ἅπερ ἡ καθολικὴ ἀπωθεῖται ἐκκλησία, κλαίομεν μάλιστα τὸ ταῦτα τὰ ῥήματα παρὰ σοῦ ἀπῆρθαι ἀπὸ τοῦ συμβόλου ἅτινα.

Μετὰ ταῦτα εἰσάγει ὁ Καιλεστῖνος ῥητὰ τῆς γραφῆς, ἵνα ἐντὸς δέκα ἡμερῶν ὁ Νεστόριος ἀνακαλέσηται καὶ διδάξῃ ὅπερ ἡ καθολικὴ ἐκκλησία κατέχει· ἄλλως δὲ γνώτω ἑαυτὸν, ὅτι ἔσται ἀπόβλητος τῆς ἐκκλησίας τῆς καθολικῆς. ἠδυνάμην καὶ ἄλλα εἰσαγαγεῖν, ἀλλ' ἐπισπεύδει ὁ ἡμέτερος λόγος πρὸς ἐκεῖνα, ἅπερ κατελείφθησαν, ἐπανελθεῖν· ἐπανέλθωμεν δὲ ὅθεν ἐξήλθομεν. * ὅσον πρὸς

* λείπει τινά.

τὴν προχώρησιν τοῦ ἡμετέρου λόγου οὐκ ἂν ἐχωρήσαμεν ἀπὸ τῆς προκειμένης ὑποθέσεως· καὶ λέγομεν, ἔνθα ἑδράζεται ἡ ὑμετέρα ἀντιλογία, χωλαίνει κατά τι, καὶ ἐπιχειρεῖται οὕτως *.

* λείπει τὸ τέλος τοῦ λόγου.

Νοεμβρίου μηνὸς ἐνδεκάτῃ, ἡμέρᾳ τρίτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΑ.

ʼΙΟΥΛ. ΚΑΡΔ. Ἐπειδὴ ἐξ ἑκατέρου μέρους πολλὰ ἐῤῥήθησαν λίαν ἐπιστημόνως καὶ λεπτῶς, ἅπερ ἴσως νοοῦνται μᾶλλον παρὰ τῶν θεολόγων καὶ τῶν πεπειραμένων τῆς ἱερᾶς γραφῆς, ἢ παρὰ τῶν λαϊκῶν καὶ τῶν ἄλλων τῶν μὴ οὕτω πεπαιδευμένων· ἐγὼ ἔχω τι ἀμαθὲς εἰπεῖν ἐν ταύτῃ τῇ ὕλῃ, ὅπερ εἰ νοηθείη οὐ μόνον παρὰ τῶν πεπειραμένων τὰ τοιαῦτα, ἀλλὰ καὶ παρὰ τῶν λαϊκῶν, εἰ μὴ ἀπατῶμαι, ῥᾳδίως λύσει τὴν ἀπορίαν ταύτην εἰς τὸ ζήτημα τοῦτο. πλὴν ἐπειδήπερ περιίστημεν εἰς τοῦτο, τελεσθέντος τοῦ λόγου, ἵνα ἔλθωμεν εἰς τὰ κατὰ πεῦσιν καὶ ἀπόκρισιν, εἰ φαίνεται τοῦτο, ἵνα ἀκούσητε καὶ τοῦ λόγου τοῦ ἡμετέρου, ἤδη καλόν· εἰ δὲ μὴ, ἔστω παρ᾽ ὑμῖν.

ʽΟ ΒΑΣΙΛ. Εἰπάτω δὴ ὁ καρδινάλιος, εἰπάτω.

ʼΙΟΥΛ. ΚΑΡΔ. Ἅψομαι τοίνυν τῆς ῥίζης τῆς ἀπορίας. τὸ ζήτημά ἐστι περὶ τῆς κωλύσεως τῆς ἐν Ἐφέσῳ συνόδου, δηλονότι ἐπὶ τῶν ῥημάτων ἐκείνων· Μηδενὶ ἐξέστω προφέρειν ἢ συγγράφειν ἢ συντιθέναι, καὶ τὰ λοιπά. ἡμεῖς λέγομεν, ὅτι ταῦτα τὰ ῥήματα οὕτω νοοῦνται, δηλαδὴ μηδενὶ ἐξέστω λέγειν ἐναντία τῇ πίστει τῇ ἐν Νικαίᾳ· ὑμεῖς λέγετε οὐ μόνον περὶ ἑτέρας καὶ ἐναντίας πίστεως, ἀλλὰ καὶ περὶ πάσης ἡστινοσοῦν σαφηνείας ἢ ἐκθέσεως ἢ προσθήκης· καὶ ὅτι διὰ τῆς κωλύσεως ἐκείνης κωλύεται μηδὲ τὴν τυχοῦσαν ἔκθεσιν ἢ ἀνάπτυξιν ἐν τῷ συμβόλῳ ποιεῖσθαι. οἱ οὖν ἔχοντες πεῖραν ἐν τοῖς νόμοις λέγουσιν· Οὐκ ἔστι δυνατὸν τὸν νόμον νοῆσαι, ἂν μὴ πᾶς ὁ νόμος θεωρηθείη. ὅθεν πρὸς σύνεσιν τῆς τοιαύτης πραγματείας ἀναγκαῖον θεωρῆσαι ἡμᾶς τὰ προηγούμενα τούτου τοῦ νόμου. Κεῖται τοῦτο ἐν τοῖς πρακτικοῖς τῆς συνόδου, ὅτι πρὸ τοῦ ποιῆσαι τοὺς πατέρας τὴν κώλυσιν ταύτην, Χαρίσιός τις ἀνέγνω ἔκθεσιν πίστεως Ἀναστασίου καὶ Φωτίου μαθητῶν τοῦ

Νεστορίου, οἵτινες ἔπεμψαν καί τινα Ἰάκωβον εἰς τὸ κηρύττειν τὴν αἵρεσιν τοῦ Νεστορίου· καὶ οὗτος ἐπλάνησε πολλοὺς, καὶ ἔδωκεν ἕτερον σύμβολον πίστεως, μᾶλλον δὲ ὡς λέγει Χαρίσιος, ἔδωκε σύμβολον ἀπιστίας, οὐ πίστεως· καὶ μετὰ τῶν ἄλλων φησὶν ὁ αὐτὸς, ὅτι ὁ Ἰάκωβος καὶ οἱ ἄλλοι οἱ ἐκείνου ὁμόφρονες ἐνεκάλουν ἐκείνῳ, μὴ δεχόμενοι τὴν παρ' ἐκείνου πίστιν. διὰ τοῦτο αὐτὸς ὁ Χαρίσιος βουλόμενος δεῖξαι ἑαυτὸν ὀρθόδοξον, ἐπήγαγε τὴν ἔκθεσιν τῆς ἑαυτοῦ πίστεως πρῶτον· εἶτα εἰπὼν, ὅτι ἐγὼ καὶ προκομίσω καὶ τὸ σύμβολον τοῦ Νεστορίου καὶ τῶν ἄλλων τῶν ἀκολουθούντων. πρῶτον μὲν οὖν ἀνέγνω τὸ ἴδιον, τὸ πιστὸν σύμβολον· ἀλλ' ὅμως τοῦτο οὐκ ἦν οὔτε τὸ ἐν Νικαίᾳ, οὔτε τὸ ἐν Κωνσταντινουπόλει. λέγω, ὅτι πρῶτον ὁ Χαρίσιος ἀνέγνω τὴν ὁμολογίαν τῆς ἑαυτοῦ πίστεως, καὶ μετὰ ταῦτα τὸ ὑπὸ τῶν Νεστοριανῶν παραπλασθέν. εἶτά φησιν ὁ Χαρίσιος· Ἐμὲ δὲ ὡς αἱρετικὸν ἀπὸ τῆς κοινωνίας ἐξώρισαν· ἐγὼ δὲ πιστεύω εἰς ἕνα Θεὸν, καὶ τὰ λοιπά. οὐκ ἔστιν οὖν ἐν τούτῳ τό· Τοὺς δὲ λέγοντας· Ἦν ποτε ὅτε οὐκ ἦν· τοῦτο αἴρει ἀπὸ τοῦ συμβόλου τοῦ ἐν Νικαίᾳ, καὶ τίθησι τό· Τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὅπερ οὐ κεῖται ἐν τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ οὔτε τῷ ἐν Κωνσταντινουπόλει. μετὰ ταῦτα ἀνέγνω ὁ αὐτὸς τὸ σύμβολον τῶν Νεστοριανῶν, ὅπερ λέγει εἶναι σύμβολον ἀπιστίας. τούτων ἀναγνωσθέντων, ἐπέχει ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν ἢ διδάσκειν. μετὰ ταῦτα κατακρίνει ἡ σύνοδος τοὺς κατέχοντας τὴν παράπλασιν τοῦ συμβόλου τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν Νεστοριανῶν, καὶ οὐ ποιεῖσθαι μνείαν ἀθετοῦσαν τὴν ὁμολογίαν καὶ τὴν πίστιν τοῦ Χαρισίου. ὅθεν εἰ ἦν ὁ σκοπὸς κωλῦσαι τὴν ἑκάστου καὶ τὴν τυχοῦσαν ὁμολογίαν, καὶ εἴπερ ἤθελεν ἄλλο σύμβολον μὴ λέγεσθαι, εἰ μὴ κατὰ τὸν τύπον τοῦ ἐν Νικαίᾳ συμβόλου καὶ κατὰ ῥῆμα καὶ κατὰ λέξιν, ὁμολογουμένως ἠθέτησεν ἂν τὴν ἔκθεσιν τοῦ Χαρισίου. ἀλλ' ἐπειδὴ ὡμολόγει ὁ Χαρίσιος τἀληθῆ, διὰ τοῦτο οὐκ ἠθέτησεν ἡ σύνοδος τὸ προκομισθὲν παρ' αὐτοῦ σύμβολον, ἀλλ' ἐστέρξε, καὶ κατεδίκασε τὴν πίστιν τῶν Νεστοριανῶν. ὅθεν ἕπεται, ὅτι τὰ ῥήματα ἐκεῖνα σημαίνουσιν ἐναντίαν πίστιν παρὰ τὴν ἐν Νικαίᾳ. καὶ τοῦτο φαίνεταί μοι ἰσχυρὸν εἰς τὸ ἀποδεῖξαι τὴν σημασίαν τῆς τοιαύτης κωλύσεως. Δεύτερον, ἡ σύνοδος αὕτη οὐ μόνον ἐκώλυσε μηδενὶ ἐξεῖναι προφέρειν, συγγράφειν,

καὶ τἆλλα, ἀλλὰ μηδὲ φρονεῖν παρὰ τὴν ἐν Νικαίᾳ ἐξενεχθεῖσαν. ἐὰν ἐρωτήσω ὑμᾶς τί ἄρα φρονεῖτε ἐν ταῖς ὑμετέραις διανοίαις, ὅτι ὁ θεὸς αἰώνιος, φήσετε πάντες. ἀλλὰ κατὰ τοῦτο εἴποι ἄν τις ὑμᾶς ὑπὸ ἀνάθεμα εἶναι, ἐπειδὴ οὐ περιέχεται ἐν τῷ συμβόλῳ, καὶ ὑμεῖς φρονεῖτε ἑτέρως παρὰ τὸ περιεχόμενον ἐν τῷ συμβόλῳ· καὶ οὕτω δύναται λέγεσθαι περὶ ἀπείρων ἀληθειῶν. πρὸς ἐκεῖνο δὲ ὃ λέγετε, ὅτι μερικοῖς προσώποις καὶ ἰδίᾳ ἐξουσίᾳ ἔξεστιν ἐκτιθέναι καὶ σαφηνίζειν καθὼς βούλονται, τῇ δὲ καθολικῇ ἐκκλησίᾳ τοῦτο ποιεῖν οὐκ ἔξεστιν, ἐγὼ λέγω, ὅτι τοῦτό ἐναντίον ἐστὶ τῶν ἐν τῷ ὅρῳ κειμένων. καὶ γὰρ ἐν τῷ ὅρῳ, ἐν μὲν τῇ ἀρχῇ λέγεται, μηδενὶ ἐξεῖναι προφέρειν καὶ τὰ λοιπά· ἐν δὲ τῷ τέλει· εἰ μὲν ἐπίσκοπος ἢ κληρικὸς εἴη, ὁ ἐπίσκοπος ἐκπιπτέτω τῆς ἐπισκοπῆς, καὶ τὰ ἑξῆς. ἀπὸ τούτων φαίνεται, ὅτι κατὰ πάντων καθολικῶν τε καὶ μερικῶν φέρεται ὁ ὅρος, κἄν τε ἐπίσκοποι, κἄν τε κληρικοὶ εἶεν· ἐπειδὴ δὲ ποιεῖται μνείαν λαϊκῶν, δῆλον ὅτι περὶ πάντων λαϊκῶν λέγει· οἱ λαϊκοὶ οὐκ εἰώθασι ψάλλειν ἐν ταῖς ἐκκλησίαις τὸ σύμβολον, ἀλλ᾽ οἱ κληρικοί· ὅθεν ὁ νοῦς ἦν κωλῦσαι πάντας καὶ λαϊκοὺς καὶ κληρικούς, καὶ ἐν τῇ ἐκκλησίᾳ καὶ ἔξω. ἀπὸ τούτων φαίνεται, ὅτι καὶ μερικὰ πρόσωπα κωλύονται ἑτέραν πίστιν προφέρειν. καὶ εἰ βούλεσθε ἑτέραν πίστιν περὶ πάντων νοεῖν, ἔσονται πολλοὶ ὑπὸ ἀνάθεμα, καὶ σχεδὸν πάντες. ἔτι ἵνα μᾶλλον διασαφηνισθῇ τὸ ζήτημα, λέγομεν, ὅτι ἡ ἔκθεσις, ἣν ὁ Ἀγάθων ἔγραψε καὶ ἔστειλε πρὸς τὴν σύνοδον, οὐκ ἦν ἔκθεσις ἑνὸς προσώπου, ἀλλὰ πολλῶν· ἦν γὰρ πάσης τῆς δυτικῆς ἐκκλησίας, ἐπειδὴ λέγει ὁ Ἀγάθων μετὰ πάντων τῶν ὑποτεταγμένων αὐτῷ ἐν τῇ δυτικῇ ἐκκλησίᾳ, καὶ ἐν ἐκείνῃ τῇ ἐπιστολῇ ὑπέγραψαν ἐπίσκοποι πολλοί, ὡσεὶ ἑκατὸν εἴκοσι πέντε. Ἔτι ὁ κύριος ὁ Νικαίας ποιούμενος τὸν λόγον ἐν τῇ προλαβούσῃ ὁμιλίᾳ περὶ τοῦ λόγου, ὃν εἶπεν ὁ Κολοσσένσις*, ὅτι ἀνάγκης ἐπικειμένης καὶ κατεπειγούσης ἡ Ῥωμαϊκὴ ἐκκλησία ἀνέπτυξε τό· Ἐκ τοῦ Υἱοῦ· ἐπήγαγεν, ὅτι τό· Ἀνάγκης οὔσης, οὐ κεῖται ἐν τῷ ὅρῳ οὐδὲ ἐξαιρεῖται. λέγω οὖν, ὅτι ἐν τῷ ὅρῳ ῥητῶς λέγεται, μηδενὶ ἐξεῖναι προφέρειν ἢ διδάσκειν, καὶ οὐδεμία γίνεται μνεία περὶ ἰδιάζοντος προσώπου ἢ καθόλου, καὶ διὰ ταῦτα ὀφείλομεν περὶ πάντων ὁμοῦ τὸ τοιοῦτο νοεῖν. Ἔτι λέγω, ὅτι ἐν τῇ συνόδῳ τῇ ἐν Ἐφέσῳ οὐδέποτε ἐγένετο μνεία περὶ τοῦ ἐν Κωνσταν-

* ὁ Ῥόδου.

τινουπόλει συμβόλου· ἢ γὰρ οἱ πατέρες ἐκεῖνοι ἐπελάθοντο τούτου, καὶ ἠθέλησαν ἵνα ψάλληται ἐν τῇ ἐκκλησίᾳ τὸ τοιοῦτον, καὶ πάντες οἱ μετ' ἐκείνους γεγονότες οὐκ ἄλλο ἢ τὸ ἐν Νικαίᾳ ὀφείλομεν ᾄδειν, καὶ τότε κακῶς ἂν ποιοῦμεν ψάλλοντες τὸ ἐν Κωνσταντινουπόλει, καὶ ὡς οὐκ ὤφειλε ψάλλεσθαι ἢ ἐμνήσθησαν, καὶ ὡς ἐναντίον καὶ μὴ ὀφεῖλον ψάλλεσθαι εἴπωσαν· ἢ τὸ αὐτὸ ἐνόμισαν. καὶ χρὴ θεωρῆσαι, ὅτι ἐν πολλοῖς διαφέρει τὸ ἐν Νικαίᾳ τοῦ ἐν Κωνσταντινουπόλει, καὶ διότι περιέχει τὴν αὐτὴν ἔννοιαν καὶ πίστιν, νοεῖται ὡς ἓν καὶ οὐκ ἐναντίον· καὶ ὑμεῖς εἴπατε, ὅτι δυνάμει περιέχεται τὸ ἐν Κωνσταντινουπόλει σύμβολον τῷ ἐν Νικαίᾳ, καὶ ἀναγνωσθέντος τοῦ ἑνὸς νοεῖται τὸ ἕτερον. λοιπὸν ἔνθα ἐστὶ σύμβολον σύμφωνον κατὰ τὸν νοῦν, ὃ ὀφείλει νομίζεσθαι, καὶ οὐχ ἕτερον. ἀπὸ τοῦ ὅρου τοῦτο οὐ κωλύεται, ἀλλὰ μόνον ἑτέραν πίστιν κωλύει· ὅθεν προσήκει νοεῖν περὶ ἐναντίας πίστεως καὶ διαφωνούσης τῇ ἀληθείᾳ. Ἔτι ἕτερον βούλομαι εἰπεῖν πρὸς μείζονα σαφήνειαν τῆς ἀληθείας· τὰ ὁρισθέντα ἐν ταῖς συνόδοις φαίνεται διὰ τοῦ ἁγίου Πνεύματος ὁρισθῆναι· τὸ αὐτὸ Πνεῦμα ἅγιον φαίνεται εἶναι ἐν πάσαις. ἀλλ' ἐν τῇ ἕκτῃ συνόδῳ, ὅπου ἀνεγνώσθη ὁ νόμος, εἶπον οἱ πατέρες οὕτως· Μηδενὶ ἐξέστω, καὶ τὰ λοιπὰ, μήτε ἄλλο φρονεῖν ἐν καταστροφῇ ἐκείνων τῶν ὁρισθέντων· ὅθεν ἡ ἕκτη σύνοδος, ἢ τὸ Πνεῦμα τὸ ἅγιον τὸ κρῖνον δι' ἐκείνης, ἐξηγοῦνταί τινι τρόπῳ μηδενὶ ἐξεῖναι προφέρειν πίστιν ἑτέραν, ἢ προσμίξειν ἐναντίαν οὖσαν εἰς ἀνατροπὴν τῆς ἀληθοῦς πίστεως· ἀλλ' οὐ κωλύουσι τὸ γινόμενον εἰς σαφήνειαν ἢ πρὸς μείζονα τῆς ἀληθείας ἀνάπτυξιν. Ἔτι ἡνίκα ἀμφιβάλλεται περὶ ῥημάτων τινῶν τοῦ νόμου, ὀφείλομεν ἀνατρέχειν πρὸς τὸν σκοπὸν τοῦ νομοθέτου. ὁ δὲ τοιοῦτος σκοπὸς τοῦ νομοθέτου καταλαμβάνεται ἢ ἀπὸ τοῦ προοιμίου ἢ ἀπὸ τῶν ἐγκειμένων ἐν τῷ νόμῳ ῥημάτων ἢ τῶν ὄντων μετὰ ταῦτα. ἐν μὲν οὖν τοῖς προοιμίοις κεῖται, ὅτι συνελθόντες οἱ πατέρες ἠθέλησαν ἀναγνῶναι τὸ σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων, καὶ ἵνα εἰσενεχθῶσι καὶ οἱ λόγοι οἱ ἀφορῶντες πρὸς τὸ σύμβολον, καὶ ἵνα οἱ λόγοι οἱ σύμφωνοι βεβαιωθῶσιν, οἱ δὲ ἐναντίοι ἀποβληθῶσιν. ὅθεν ὁ σκοπὸς τοῦ νομοθέτου, τουτέστι τῆς ἐν Ἐφέσῳ συνόδου οὐκ ἦν ἄλλος, εἰ μὴ κωλῦσαι ἑτέραν πίστιν ἢ ἑτέραν ἔκθεσιν ἀφορῶσαν πρὸς ἀνατροπὴν τῆς ἀληθοῦς πίστεως· ἀλλ' οὐκ ἦν ὁ σκοπὸς ἐκείνων, ἵνα

πρὸς τὰ ῥήματα ἀποβλέπουσιν, ἀλλὰ πρὸς τὸν νοῦν τῆς ἱερᾶς γραφῆς. τοῦτο φαίνεται ἀπὸ τῆς ἐπιστολῆς τοῦ θείου Κυρίλλου, ὃς ἀφ' οὗ ἀνεγνώσθη τὸ ἐν Νικαίᾳ σύμβολον, φησὶν εὐθύς· Ἡμεῖς ἑπόμενοι τῇ ὁμολογίᾳ τῶν πατέρων ἀκολουθοῦμεν τῷ σκοπῷ τοῦ νοὸς, καὶ ἐξηγούμεθα τὴν ὀρθὴν πίστιν. τοῦτο φαίνεται καὶ ἀπὸ τῆς ἑβδόμης συνόδου, ὅπου λέγει· Μετὰ πάσης ἀκριβείας ἐρευνῶντες καὶ ἑπόμενοι τῇ ἀληθείᾳ τῆς πίστεως. καὶ κατωτέρω οἱ αὐτοὶ πατέρες λέγουσιν· Ἀκολουθοῦντες τῇ ὀρθῇ καὶ ἀπλανεῖ πίστει, οὐδὲν ἀφαιροῦμεν, οὐδὲν προστίθεμεν παρὰ τὴν τῶν ἐν Νικαίᾳ. ἀλλ' ὅμως ἐκεῖνοι ἐποιήσαντο ἑτέρους ὅρους περὶ τῶν εἰκόνων. ἀφ' ὧν φαίνεται, ὅτι ὁ σκοπός ἐστι τοῦ νομοθέτου, ἵνα ἡ ἀλήθεια κηρύττηται ἐν πᾶσι, καὶ διδάσκηται καὶ λέγηται καὶ μὴ σιωπᾶται. Τελευταῖον ἐταμιευσάμην τι, ὅπερ φαίνεταί μοι εἶναι ἡ ὑπόθεσις ἡ τρέχουσα νῦν· καὶ πρὸ ἐκείνου ἐρῶ ἕτερον ἀνῆκον πρὸς σαφήνειαν. ἡ ἐν Χαλκηδόνι σύνοδος λέγει, ὅτι ἦσάν τινες οἱ καταλέγοντες τοῦ Λέοντος πάπα, λέγοντες, ὅτι ἐποίησε ξένην ἔκθεσιν πίστεως, καὶ ἐξηγήσατο τὴν πίστιν ἄλλως ἢ ἐξῆν κατὰ τοὺς ἐν Νικαίᾳ πατέρας. λέγει δὲ οὕτως· Καὶ ἵνα μή τις ἐγκαλῇ τῷ Λέοντι ὡς ξένην τῆς πίστεως ἐξήγησιν ποιησαμένῳ, ἐπειδὴ οὐκ ἐξῆν τινι παρὰ τοὺς ἐν Νικαίᾳ πατέρας ἐξηγεῖσθαι τὴν πίστιν· ἡ σύνοδος λέγει κατὰ τῶν ἐπανισταμένων τῇ ἀληθείᾳ, ἡ σύνοδος ὑπεραπολογεῖται τοῦ Λέοντος, καὶ φησίν· Οὐκ ἐποίησε κατὰ τῆς κωλύσεως τοῦ νόμου ἐκτιθέμενος τὴν πίστιν, καὶ ἀναπτύξας ἐκείνην, ἐπειδὴ ὁπόσαι ἀναφύονται πλάναι, διάφοροι θεραπεῖαι ὀφείλουσι προσφέρεσθαι παρὰ τῶν ἁγίων πατέρων. καὶ εἰ ἤρκεσεν ἡ πίστις ἡ ἐκτεθεῖσα παρὰ τῶν πατέρων, ὅμως ἐπειδή εἰσι πολλοὶ ἀνατρέπειν βουλόμενοι τὸν ἀληθῆ νοῦν, προσήκει ἀναπτύξαι καὶ ἐξηγήσασθαι κρεῖττον τὴν αὐτὴν πίστιν. καὶ γὰρ εἰ πάντες ἔστεργον τὴν ὁρισθεῖσαν πίστιν, οὐκ ἂν ἦν χρεία περὶ ἄλλου μεριμνᾶν παρὰ τὸ ἐν Νικαίᾳ. ἀλλ' ἐπειδὴ πολλοὶ ἀπὸ τῆς ὀρθῆς γραμμῆς φέρονται πρὸς διεξόδους σκολιὰς, ἐνδελεχεῖ διὰ τῆς ὁδοῦ τοῦ ψεύδους καὶ τῆς ἀπάτης, ἀνάγκη ἐστὶν ἡμῖν ἀναπτύξαι καὶ σαφηνίσαι τὴν ὁδὸν τῆς ἀληθείας, καὶ τὰ ἑξῆς. καὶ πολλὰ ἄλλα τίθησιν, ἅτινα ἀποβλέπουσιν εἰς τοῦτο. νῦν δὲ ἔρχομαι πρὸς ἐκεῖνο, ὅπερ ἐβουλόμην εἰπεῖν τελευταῖον. οἴδατε ὅτι ὁ Φλαβιανὸς κατεδίκασε τὸν Εὐτυχῆ ἐν τῇ ἐν Κωνσταντινουπό-

λει συνόδῳ. μετὰ ταῦτα συνεκροτήθη ἡ ἐν Ἐφέσῳ σύνοδος, ἥτις καὶ ἀνετράπη· κἀκεῖσε ἦν ὁ Διόσκορος ἔξαρχος καὶ ἡγούμενος ἐκείνης τυραννικῶς· ἦν ἐκεῖσε καὶ ὁ Εὐτυχὴς, καὶ ἤθελεν ἐκδικῆσαι ἑαυτὸν, ὅτι οὐκ ἐπλανήθη, καὶ ἀνέγνω τὴν ἑαυτοῦ πίστιν, ἤτοι τὸ σύμβολον τὸ ἐν Νικαίᾳ ἀπὸ ῥήματος πρὸς ῥῆμα· καὶ μετὰ ταῦτα εἶπεν· Αὕτη ἡ πίστις τῶν πατέρων, καὶ ἐν ταύτῃ θέλω ζῆν καὶ ἀποθανεῖν. ἀλλ' ὅτι ἡ πίστις ἡ ἐν Νικαίᾳ ἐστηρίχθη διὰ τῆς συνόδου τῆς ἐν Ἐφέσῳ, καὶ ὅτι ἡ ἐν Ἐφέσῳ ἐκώλυσε φέρειν ἑτέραν πίστιν παρὰ τὴν πρώτην, καὶ μηδὲν προστιθέναι, μηδὲν ἀφαιρεῖν· διὸ ἔλεγεν· Ἐγὼ κατέχω τὴν ὀρθὴν πίστιν, καὶ ὁ Φλαβιανὸς οὐ κατέχει τὴν ὀρθὴν πίστιν, ἐπειδὴ ὁ Φλαβιανὸς λέγει τὸν Χριστὸν ἀπὸ δύο φύσεων, καὶ ἐν δυσὶ φύσεσι· ἐν δὲ τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ οὐ λέγεται τὸν Χριστὸν ἔχειν δύο φύσεις, ἢ εἶναι ἐκ δύο φύσεων. ὁ Εὐτυχὴς ἐκώλυε τὴν τοιαύτην εὐσέβειαν καὶ μέχρι προσθήκης ῥηματικῆς. Εὐσέβιος δέ τις Δορυλαίου ἀκούων, εὐθὺς ἐξεβόησεν· Ἐψεύσθη, οὐκ ἔστι κανὼν ὁ τοῦτο διορίζων. ὁ Διόσκορος λέγει· Πῶς οὐκ ἔστι κανὼν τοιοῦτος; ἡμεῖς ἔχομεν ἐνταῦθα δύο κώδικας, καὶ ἐν πᾶσι λέγεται, μὴ ἐξεῖναι προσθεῖναι τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ. Ταῦτα ἀνεγνώσθησαν ἐν τῇ ἐν Χαλκηδόνι συνόδῳ. ἡ σύνοδος οὐκ εἶπε κατὰ τοῦ Εὐσεβίου τοῦ Δορυλαίου, ἀλλ' ἐδοκίμασε καὶ ἔστερξεν ἐκεῖνον· καὶ κατωτέρω ὁ Διόσκορος ἐπάγει ἀπόφασιν κατὰ τοῦ Φλαβιανοῦ, καὶ ἐν τοῖς ῥήμασι τῆς ἀποφάσεως λέγει, ὅτι διὰ τοῦτο ἀλλοτριοῖ ἐκεῖνον τῆς ἐπισκοπῆς, ἐπειδὴ παρέβη τὸν ὅρον τῆς ἐν Ἐφέσῳ συνόδου, ἐπειδὴ διαλαμβάνεται ἐκεῖσε· Ὅστις προφέρει ἑτέραν πίστιν ἢ ἐπίσκοπος ἢ κληρικὸς, ἢ προστιθεὶς ἢ ἀφαιρῶν, στερείσθω τῆς ἰδίας ἐπισκοπῆς· ἐπειδὴ, καὶ τὰ λοιπά. καὶ διὰ τοῦτο ἐστέρησε τὸν Εὐσέβιον καὶ τὸν Φλαβιανὸν ὡς παραβάτας τοῦ νόμου τούτου. πάντες οὖν οἱ ἐπίσκοποι ἐκεῖνοι, εἰ καὶ ἠκολούθησαν τῇ ἀποφάσει τοῦ Διοσκόρου, ἠκολούθησαν τῇ μετὰ ταῦτα ἀκυρωθείσῃ· καὶ πάντες ἐρείδοντο ἐν τῇ κωλύσει τῇ γενομένῃ ἐν τῇ συνόδῳ. ὅθεν φασὶν οὕτως· Ἑαυτοὺς ἀλλοτρίους εἶναι πάσης ἱερατικῆς ἀξίας ἔδειξαν ὁ Φλαβιανὸς καὶ Εὐσέβιος, οἵτινες ἐνεχείρησαν προστιθέναι ἢ ἀφελεῖν ἀπὸ τῆς ἁγίας πίστεως τῆς ἐκτεθειμένης παρὰ τῆς ἐν Νικαίᾳ συνόδου, ἣν ἔστερξε καὶ ἐκύρωσεν ἡ ἐν τῇ Ἐφεσίων πόλει συγκροτηθεῖσα· διὰ τοῦτο δίκαιόν ἐστι τοὺς

προστιθέντας τι ἢ ἀφαιροῦντας ἀλλοτρίους εἶναι, τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου. Ὅτε δὲ ταῦτα ἀνεγινώσκοντο ἐν τῇ συνόδῳ τῇ ἐν Χαλκηδόνι, εἶπον πάντες· Ἀνάθεμα τῷ Διοσκόρῳ, ὅτι κακῶς ἔκρινε, ταύτῃ τῇ ὥρᾳ κατακριθείη ὁ Διόσκορος. καὶ οὕτως ἀνέτρεψεν ἡ σύνοδος πάντα τὰ κατὰ τοῦ Φλαβιανοῦ ἐπενεχθέντα, καὶ ἔκρινεν, ὅτι οὐδὲν ἐποίησεν ὁ Φλαβιανὸς κατὰ τῆς ἐν Νικαίᾳ συνόδου ἢ κατὰ τῆς ἐν Ἐφέσῳ. καὶ ὅτι εἰ καὶ τὰ ῥήματα ταῦτα τὰ λέγοντα, τὸν Χριστὸν δύο φύσεις ἔχειν, ἢ ἐκ δύο φύσεων εἶναι, οὐ κεῖνται ῥητῶς ἐν τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ, ὅμως οὐκ εἰσὶ κατὰ τῆς ἀληθείας, ἀλλὰ δυνάμει ἕλκονται ἀπὸ τοῦ συμβόλου τοῦ ἐν Νικαίᾳ. ὅθεν οὐ δεῖ ἐλέγχειν ἢ ἐπιπλήττειν τὸν προστιθέντα ἢ σαφηνίζοντα, μέχρις ἂν σύμφωνα λέγῃ τῇ ἀληθείᾳ καὶ τῇ καθολικῇ πίστει. καὶ φαίνεταί μοι, πατέρες αἰδεσιμώτατοι, ὅτι οὐδέν ἐστιν εὑρεῖν ἐν τῷ κόσμῳ ἕτερον παράδειγμα πρὸς τὴν τοιαύτην ὕλην, ἢ τὸ γεγονὸς περὶ τὸν Φλαβιανόν. συμπεραίνω τοίνυν, ὅτι τὰ ῥήματα τῆς καλύσεως τῆς, μηδενὶ ἐξεῖναι προφέρειν ἢ φρονεῖν, καὶ τὰ λοιπά. ὀφείλει νοεῖσθαι περὶ τῶν φρονούντων ἐναντίαν πίστιν ἢ ἑτέραν τῆς ἀληθοῦς, ἢ ποιούντων ἐναλλαγὴν τῆς θείας γραφῆς, καὶ τοῦ ἐν Νικαίᾳ συμβόλου. ταῦτα δύναται λύειν πᾶσαν ἀπορίαν κατὰ τὴν ἐμὴν ἀμαθῆ κρίσιν· εἰ δὲ οὕτως οὐκ ἔστιν, ἐγὼ ἐπιποθῶ ἐντυχηθῆναι παρ᾽ ὑμῶν. ὅθεν ἐπεὶ λέγει ἡ ἐκκλησία ἡ λατινικὴ μηδὲν προσθεῖναι κατὰ τῆς ἀληθείας ἢ τῆς ἱερᾶς γραφῆς ἢ τοῦ ἐν Νικαίᾳ συμβόλου ἢ τῶν ὅρων τῶν ἄλλων συνόδων, ἄξιον παραλιπεῖν τὸ ζήτημα τοῦτο τό, εἰ ἔξεστιν, ἢ οὔ, καὶ χωρῆσαι πρὸς τὸ ἕτερον τὸ λέγον, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ, εἰ ἀληθὲς ἢ οὔ. καὶ ἐὰν ὑμεῖς δυνηθῆτε δεῖξαι, ὅτι οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, τότ᾽ ἂν εἴποιμι ἐγὼ φανερῶς, προσθήκην εἶναι, καὶ ὅτι οὐκ ἐξῆν τῇ ἁγίᾳ Ῥωμαϊκῇ ἐκκλησίᾳ προσθεῖναί τι ἐναντίον τῆς ἀληθοῦς πίστεως· εἰ δὲ οὐ δυνηθῆτε ἀποδεῖξαι ψευδές, ἀλλὰ μᾶλλον ἀποδειχθῇ χρήσιμον καὶ ἀληθές, τότε προσήκει ἐνδοῦναι, ὅτι ἐξῆν ἀναπτύξαι ἐν τῷ συμβόλῳ· καὶ ἔσται εἰρήνη ἐν ἑκατέρῳ μέρει. Ταῦτα ἠδυνήθην εἰπεῖν ὑπὸ διορθώσει τοῦ μακαριωτάτου πατρὸς καὶ κυρίου ἡμῶν καὶ τοῦ γαληνοτάτου βασιλέως καὶ τῶν ἄλλων αἰδεσιμωτάτων πατέρων.

'Ο ΝΙΚΑΙΑΣ. Αἰδεσιμώτατε κύριέ μου, καὶ πάντες μὲν οἱ λόγοι οἱ ἀφ' ἑκατέρου μέρους εἰρημένοι, ἦσαν ἄριστα καὶ κάλλιστα εἰρημένοι, μάλιστα δὲ οἱ παρὰ τῆς σῆς αἰδεσιμότητος εἰρημένοι καὶ κάλλιστοι καὶ πρὸς τὸ προκείμενον μάλιστα· ἥψω γὰρ καὶ αὐτοῦ τοῦ πράγματος, καὶ σχεδὸν οὐδὲν κατέλιπες τῶν ἀναγκαίων ῥηθῆναι. ὅμως μετὰ ἀγάπης ἀπολογησόμεθα πρὸς ταῦτα, καὶ ἴσως ἀκούσομεν ὁμοίως καὶ τὰ παρ' ὑμῶν. ἡμεῖς γὰρ νομίζομεν, ὅτι καὶ τὰ πλείω τούτων εἰσὶν ὑπὲρ ἡμῶν. ὅμως κατὰ τὸ παρὸν οὐκ εἶναι νομίζω καιρὸν ἀποκρίσεως διὰ δύο ταύτας αἰτίας· πρῶτον διὰ τὴν ὥραν, ὅτι καιρός ἐστιν ἀναστῆναι· δεύτερον, ὅτι ὥσπερ ἦσαν καλὰ, οὐδὲν ἧττον ἦσαν καὶ πολλά· θέλομεν οὖν ἰδεῖν αὐτὰ καὶ γεγραμμένα, καὶ οὕτω δοῦναι τὴν ἀπολογίαν. νῦν δὲ εἰ δοκεῖ, ἐν ὀνόματι τοῦ κυρίου ἀναστῶμεν· μετὰ δὲ ταῦτα λαβόντες τὰ γεγραμμένα καὶ σκεψάμενοι δώσομεν ἱκανὴν τὴν ἀπόκρισιν.

Νοεμβρίου πέμπτη καὶ δεκάτη, τῷ σαββάτῳ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΒ.

'Ο ΕΦΕΣΟΥ. Ἡμεῖς, ὦ φίλοι πατέρες, οὐκ ἀντιλέγειν ἀλλήλοις ἁπλῶς, οὐδὲ τὰ παρ' ἀλλήλων λεγόμενα ἀνατρέπειν συνεληλύθαμεν· τοῦτο γὰρ φιλοτιμίας ἔχεται μᾶλλον, ἢ τῆς πρὸς ἀλήθειαν φερούσης ὁδοῦ· ἀλλ' ἵνα κοινῇ συζητοῦντες ἕκαστον τῶν ἀναπιπτόντων εἰς μέσον, καὶ μετὰ πάσης ἀκριβείας εἰρηνικῶς τε καὶ ἁπλῶς καὶ φιλικῶς αὐτὸ ἐξετάσαντες, οὕτω τὰ ἑξῆς περαίνωμεν, ἄχρις ἂν ἐπὶ τὸ κοινῇ ζητούμενον ἀμφότεροι τέλος καταντήσωμεν, ὅπερ ἐστὶν ἡ τῆς ἀληθείας εὕρεσις. διὰ τοῦτο τὰ μὲν πρότερον εἰρημένα τῷ αἰδεσιμωτάτῳ κυρίῳ τῷ καρδιναλίῳ, καὶ τῷ μετ' αὐτὸν καθημένῳ αἰδεσίμῳ ἐπισκόπῳ Φορολιβιένσει, θεοῦ διδόντος, καὶ τοῦ καιροῦ συγχωροῦντος, ἐν τοῖς ἑξῆς ἐξετασθήσεται. πρὸς ἕκαστον τούτων ἁπάντων, ἡμῶν οὐ μακροῖς τισι καὶ εὐλογοφανέσι καὶ κεκοσμημένοις λόγοις, ἀλλ' ἐκεῖνα λεγόντων, ἅπερ ἂν καὶ διὰ τῆς ὑμετέρας συγκατατεθείσης ὁμολογούμενα φαίνοιτο. νῦν δὲ εἰ δοκεῖ, πρὸς ἃ τελευταῖον εἶπεν ὁ αἰδεσιμώτατος κύριος ὁ καρδινάλιος χωρήσωμεν πρότερον. καὶ ταῦτα μὲν κεφαλαιωδῶς

ἕκαστα ὁποῖά ποτ᾽ ἐστὶν, ἐξετάσωμεν. ταῦτα γὰρ καὶ πρὸς αὐτὸ τὸ προκείμενον εἴρηται, μηδὲν ἀλλότριον ἔχοντα, καὶ εὐτάκτως ὡς ἔνι μάλα καὶ εὐπρεπῶς διατέθειται. ὅθεν καὶ ταύτην αὐτοῖς τὴν χάριν ἡμεῖς ἀποδώσομεν, τὸ μηδὲν αὐτῶν καταλιπεῖν ἀνεξέταστον. λέγω δὲ τὰ πρότερον κεφαλαιωδῶς εἰρημένα, καὶ οὐχὶ τὰ ὕστερον κατὰ μέρος ἐπεξειργασμένα· ταῦτα γὰρ ὑπερβαίνει τὴν ἐξέτασιν αὖθις εἰς μῆκος ἄπειρον ἐκτεινόμενα. παρακαλῶ δὲ αὐτὸν, ὁσάκις ἂν ἐρωτηθῆναι συμβαίη, ἢ συμφωνεῖν τοῖς παρ᾽ ἐμοῦ εἰρημένοις ἢ ἐνίστασθαι. μετ᾽ αὐτοῦ γὰρ τοὺς αὐτοῦ λόγους, ἀλλ᾽ οὐ πρὸς αὐτὸν μόνον ἐξετάσαι προήρημαι, χαίροντα τοῦτον ἰδὼν μᾶλλον τῇ τῆς ἀληθείας εὑρέσει ἢ τῇ τῶν οἰκείων λόγων συστάσει. ὅθεν κἂν ἐλεγχθῆναι συμβαίη τὸν αὐτοῦ λόγον, ἀγαπήσει με μᾶλλον οἷα σοφός· ὁ γὰρ σοφὸς ἐλεγχόμενος ἀγαπᾷ τὸν ἐλέγχοντα, κατὰ τὸν τοῦ σοφοῦ λόγον. ἐξέστω δὲ καὶ αὐτῷ ἐπανερωτᾷν πᾶν, ὅπερ βούλοιτο ἐν τοῖς προσήκουσι τόποις. ἀνέξομαι γὰρ ἐγὼ καὶ διακοπτόμενος καὶ ἐξεταζόμενος καὶ λόγον ὑπέχων τῶν παρ᾽ ἐμοῦ εἰρημένων, ἂν ὁ θεὸς χορηγῇ. ἐλεγχέτω δὲ καὶ εἴ τι μὴ ἀληθὲς αὐτῷ δόξειεν ὑπ᾽ ἐμοῦ λέγεσθαι· τοῦτο γινώσκων, ὡς εἴπερ ἐν ἀνεξέταστα καταλίπω, κυρωθήσεται πάντως ὡς ἀναντίῤῥητα καὶ μηδεμιᾶς ἔτι συζητήσεως προσδεόμενα. αὐτὰ δὲ πάντα τηρηθήσεται πάντως καὶ ἐν τοῖς μετ᾽ ἐμὲ διαλεγομένοις τὸν λόγον. Τὸ μὲν οὖν πρῶτον ἐπιχείρημα τῶν παρ᾽ αὐτοῦ εἰρημένων τοιοῦτον ἦν· ἐπὶ τῆς τρίτης οἰκουμενικῆς συνόδου Χαρίσιός τις ἐν τοῖς λιβέλλοις, οὓς κατὰ τῶν τὰ τοῦ Νεστορίου φρονούντων ἐπέδωκε, τῆς ἑαυτοῦ πίστεως ἔκθεσιν ποιησάμενος, ἑτέρως ἔχουσαν παρὰ τὴν ἐν Νικαίᾳ παραδοθεῖσαν, οὐδὲν ἐπετιμήθη παρὰ τῆς συνόδου· φαίνεται τοίνυν ἐκ τούτου, μὴ τὴν ἑτέραν ἁπλῶς πίστιν, ἀλλὰ τὴν ἐναντίαν κωλύεσθαι. οὕτως ἔχει τὸ σὸν ἐπιχείρημα; ἀπόκριναι.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐγὼ ἤκουσα ἄσμενος ἅπερ ἡ αἰδεσιμότης σου εἴρηκε νῦν. καὶ ὅσα ἀνήκει πρὸς τὰ προοίμια, αὐτὸς οὐδὲν ἐρῶ. πρὸς δὲ τὴν ἐρώτησιν, ἣν ἡ αἰδεσιμότης σου εἴρηκε νῦν, ἑπόμενος
* Πέτρ. ά 3, 15. τῇ διδασκαλίᾳ τοῦ μακαρίου Πέτρου * ἔσομαι ἕτοιμος ἀποδοῦναι λόγον ἑκάστῳ, καθόσον ἐγχωρεῖ ἡ σμικρότης τῆς ἐμῆς διανοίας. ἀλλ᾽ ἐβουλόμην ἂν μᾶλλον τὴν αἰδεσιμότητά σου ποιήσασθαι τὴν ἐρώτησιν πρός τινα τῶν παρόντων διδασκάλων, ἐπειδὴ αὐτοὶ καὶ

καλλίους ἂν τὰς ἀποκρίσεις ἐποιήσαντο. ἐπειδὴ δὲ ἐξελέξω ἐμὲ καὶ πρὸς ἐμὲ ποιήσασθαι τὴν ἐρώτησιν, ἀποκρινοῦμαι κατὰ τὸ ἐγχωροῦν. ἀλλ' ἐπεὶ ἐνταῦθα συνήλθομεν διὰ τὴν τῆς ἀληθείας εὕρεσιν, ἐγὼ οὐκ αἰσχυνθήσομαι, κἄν τε ὑπὸ σοῦ, κἄν τε ὑπ' ἄλλου διορθωθήσομαι ἔν τινι ἐμῷ σφάλματι. μᾶλλον γὰρ ὀφείλομεν προκρίνειν τὴν τοῦ Θεοῦ τιμὴν, ὅστις ἐστὶν αὐτὴ ἡ ἀλήθεια, ἢ τὴν ἰδίαν τιμήν. ἀποκριθήσομαι δὲ μετὰ τούτου τοῦ προσδιορισμοῦ, ὅτι ἐὰν μὴ ἱκανὴ ἡ ἀπόκρισις ᾖ πρὸς θεραπείαν ὧν παρ' ἐμοῦ ἐρωτᾷς μαθεῖν, ἔστω ἴδια τοῖς παροῦσι πατράσι καὶ πᾶσιν ἀπολογήσασθαι. θέλω δὲ ἐάν τι ῥηθῇ παρ' ἐμοῦ οὐκ ὀρθῶς, ὅπως ἀναγραφῇ πρὸς ἐμὲ μόνον, καὶ οὐ πρὸς αὐτὴν τὴν ἀλήθειαν ἢ πρὸς τοὺς ἄλλους πατέρας. δέχομαι δὲ καὶ τὴν προσφορὰν ἐκείνην ἢ ὑπόσχεσιν τῆς σῆς αἰδεσιμότητος λέγοντος, ὅτι ὁσάκις ἂν ἐρωτηθήσῃ παρ' ἐμοῦ, ἀνέξῃ τὴν ἡμετέραν ἐρώτησιν, καὶ ἀποκριθήσῃ κατὰ τὸ προσῆκον, ἔρχομαι δὲ πρὸς αὐτὴν τὴν ἀπόκρισιν καὶ λέγω, ὅτι οὐκ ἦν ἀναγκαῖον τὴν σὴν αἰδεσιμότητα ἐρωτᾶν με νῦν, ἐπειδὴ ἐν τῇ προλαβούσῃ ὁμιλίᾳ πάντα εἶπον ἀναπεπταμένως καὶ σαφῶς· μᾶλλον δὲ καὶ γεγραμμένα δέδωκα τὰ εἰρημένα, καὶ ἀπεχρώντως εἶπε πάντα ἐκεῖνα. ὅμως εἰ ἀρέσκει τῇ σῇ αἰδεσιμότητι, χαρίζομαί σοι καὶ τοῦτο, καὶ ἀποκριθήσομαι κατὰ τὴν ἐρώτησίν σου. ἀποκριθήτω γοῦν καὶ ἡ αἰδεσιμότης σου, εἰ ἀρκεῖται τοῖς εἰρημένοις· εἰ δὲ βούλει καὶ πλεῖόν μέ τι εἰπεῖν, ἐρῶ.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς οὐ δεόμεθα ἑτέρας ἀποκρίσεως, ἀλλὰ συγκατατεθειμένης μόνης, εἴπερ καὶ ἔχει οὕτως, ἐπειδὴ ἐξετασθήσονται ἐκεῖνα· διὰ τοῦτο οὐδὲ μακρῶν λόγων χρεία. ἡμεῖς γὰρ ὅσον ἀπὸ τῶν γεγραμμένων τοιαύτην διάνοιαν ἐξελάβομεν, καὶ ἐρωτῶμεν εἰ καλῶς ἐνοήσαμεν, ἢ οὔ.

Ὁ ΒΑΣΙΛ. Οἱ πατέρες θαρροῦσι τὸν αἰδεσιμώτατον καρδινάλιον· ἀλλ' ἐὰν χρῄζωσιν, οἱ ἄλλοι πατέρες ἀπολογησάσθωσαν· εἰ δὲ μὴ, πάλιν ὡς ἀρέσκει ἐκείνοις.

Ὁ ἘΦΕΣΟΥ. Ἐννοοῦμεν, ὥσπερ εἴπομεν ἐν ὀλίγοις ῥήμασιν, οὕτω δέξασθαι καὶ τὰς ἀποκρίσεις· ἄλλως γὰρ ἐν ταῖς διαλέξεσιν οὐκ ἐγχωρεῖ γίνεσθαι, ἐὰν μὴ συντέμνωνται αἱ ἀποκρίσεις, καὶ οὕτω προβαίνωσιν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐγὼ οὐδὲν ἐρωτῶ ἄλλο τι εἰ μὴ μόνον ἐὰν θέ-

λῃς, ἵνα ἀναλάβῃς ἐκεῖνα τὰ εἰρημένα. ἐὰν φαίνεταί σοι μηδὲν ἐρωτᾶν καὶ ποιοῦ τοὺς λόγους καὶ τὰς ἀνατροπὰς βλέπων μόνον πρὸς τὰ γεγραμμένα. εἰ δὲ θέλεις, πάλιν εἰπὲ ἃ χρήζεις, καὶ ἀποκρινοῦμαί σοι. ὅμως κεφαλαιωδῶς τὰ εἰρημένα παρ' ἐμοῦ εἰσι ταῦτα. ὁ Χαρίσιος ἔδωκεν ἐν τῇ συνόδῳ τὴν ἑαυτοῦ πίστιν, ἥτις ἦν καὶ καθολική. μετὰ ταῦτα ἀνεγνώσθη τὸ παραπλασθὲν σύμβολον ὑπὸ τῶν Νεστοριανῶν. ἡ σύνοδος ἀποδοκιμάσασα τὸ σύμβολον τὸ παραπλασθὲν, οὐ μὴν τὴν ἔκθεσιν τῆς πίστεως τῆς ἑαυτοῦ, ἥντινα ὁ Χαρίσιος ἐποιήσατο πρὸς τὴν σύνοδον. διὰ τοῦτο εἴπερ οὐκ ἐξῆν τῷ Χαρισίῳ ἐκτίθεσθαι, ἠκύρωσεν ἂν καὶ ἠθέτησεν ἐκείνην ἡ σύνοδος. καὶ ὅτι ἡ ἔκθεσις καὶ ὁμολογία τῆς πίστεως τοῦ Χαρισίου σχεδὸν κατὰ πάντα ἐξομοιοῦται τῷ ἐν Νικαίᾳ συμβόλῳ πλὴν δύο ἢ τριῶν λέξεων, αἵ εἰσι καὶ ἀληθεῖς καὶ καλαί. εἰ δὲ ἄλλως ἔχει, ἡ αἰδεσιμότης σου εἰπάτω.

Ὁ ἘΦΕΣΟΥ. Συνεφώνησάς μοι κατὰ πάντα· τοιαύτην γὰρ εἶπον τὴν διάνοιαν καὶ ἐγὼ τῶν παρὰ σοῦ εἰρημένων, πλὴν ἑνὸς μόνου τοῦ εἶναι τοῦ Χαρισίου τὴν πίστιν καθολικήν. καθολικὴ γὰρ ἦν τῇ ἐννοίᾳ μόνον, ἀλλ' οὐ ταῖς λέξεσι· παρηλλαγμένη γάρ ἐστι παρὰ τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν· καὶ οὐδὲ ὡς καθολικὴ παρ' ἐκείνων ἐδέχθη, ἀλλ' ὡς συμβαίνουσα καὶ ἑπομένη τῇ καθολικῇ πίστει, ἰδία δὲ ὅμως ἐκείνου. οὕτως ἔχει ἢ ἄλλως;

ἸΟΥΛ. ΚΑΡΔ. Ἀρέσκει μοι ὅπερ εἶπας καὶ δέχομαι. δέχομαι δὲ τοῦτο ὅπερ ἐρῶ, ὅτι ἡ ἔκθεσις ἢ ὁμολογία τῆς πίστεως τοῦ Χαρισίου ἦν ἑπομένη τῇ καθολικῇ πίστει κατὰ τὸν νοῦν, οὐ μὴν κατὰ τὰς λέξεις ἢ τὰς συλλαβάς, ἐπειδὴ πολὺ παρήλλακται. καὶ ὅταν ἐγὼ λέγω τὴν καθολικὴν πίστιν, τὴν ἀληθῆ νοῶ. εἰ δὲ ὁμολογεῖς ὅτι ἡ τοῦ Χαρισίου ἔκθεσις ἢ ὁμολογία συμβαίνει τῇ καθολικῇ πίστει καὶ ἑπομένη ἐστὶ, τοῦτο ἀρέσκει μοι. μεταξὺ δὲ ἐρωτῶ, πότερον ἡ ὁμολογία ἐκείνη ἐδέχθη παρὰ τῆς συνόδου, ἢ οὔ;

Ὁ ἘΦΕΣΟΥ. Ἐδέχθη ὡς ἰδία, οὐχ ὡς κοινή.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐδέξατο ὡς ἀληθῆ ἡ σύνοδος αὐτήν;

Ὁ ἘΦΕΣΟΥ. Ἔχομεν ἱκανῶς τὰ ἠρωτημένα. πρὸς ὅλον τὸ ἐπιχείρημα τοῦτο καὶ φιλαλήθως καὶ ἁπλῶς ἀποκρινόμενοι λέγομεν, ὅτι ὁ Χαρίσιος ἐκεῖνος οὐχ ἁπλῶς ἐνεκάλει τοῖς Νεστοριανοῖς, ὡς ἑτέραν πίστιν ἐκδεδωκόσιν ἀλλὰ διὰ τρία ταῦτα. πρῶτον μὲν, ὅτι

τὴν ὑπ' ἐκείνων διεστραμμένην πίστιν ὡς κοινὸν μάθημα παρεδίδουν τοῖς ἐξ αἱρέσεων προσερχομένοις τῇ πίστει, ἀντὶ τῆς ἐν Νικαίᾳ παραδοθείσης. τοῦτο δὲ ἀνατρέχει προδήλως εἰς ἀτιμίαν τῆς ἁγίας συνόδου ἐκείνης καὶ τῆς ὑπ' αὐτῆς ἐκτεθείσης πίστεως. δεύτερον ὅτι ψευδῆ καὶ διεστραμμένα δόγματα ἐν ταύτῃ παρέσπειραν καὶ ἀσεβείας πλήρη· διὰ τοῦτο καὶ ἀπιστίαν μᾶλλον ἢ πίστιν ἐκείνην καλεῖ ὁ Χαρίσιος. Τρίτον, ὅτι καὶ αὐτὸν τὸν Χαρίσιον μὴ δεχόμενον τὴν τοιαύτην ἔκθεσιν ὡς αἱρετικὸν ἤλαυνον. διὰ ταῦτα τοίνυν ὁ Χαρίσιος ἠναγκάσθη τὴν ἑαυτοῦ πίστιν ἐκθέσθαι, ὡς ἠβούλετο καὶ οἷς ἐβούλετο ῥήμασιν, ἵνα δείξῃ ἑαυτὸν συμφωνοῦντα μὲν τοῖς ἐν Νικαίᾳ πατράσι καὶ τὰ αὐτὰ φρονοῦντα· εἰκότως δὲ παρὰ τῶν αἱρετικῶν ἐλαυνόμενον, ὡς ἀλλότρια τῆς ὀρθῆς πίστεως ἐκείνων φρονούντων. τοῦτο δὲ οὐδέποτε κεκώλυται, τὸ τὴν ἑαυτοῦ πίστιν ἐν τῇ ἐκκλησίᾳ ἐκτίθεσθαι ὡς βούλεται ἕκαστος, εἰς ἐπίδειξιν μόνον τοῦ ἑαυτοῦ φρονήματος, ἀλλ' οὐχ ὡς καθολικὴν ὁμολογίαν καὶ πίστιν· καὶ πολλῷ μᾶλλον τότε ἐξῆν, ὅτε οὐδὲ ὅρος ἔφθασεν ἐξενεχθῆναι. δῆλον γάρ ἐστι καὶ ἐν ταῖς μετὰ ταῦτα συνόδοις, ὅτι πολλοὶ τῶν ἡγουμένων τῆς ἐκκλησίας ἐξέθεντο τὴν ἑαυτῶν πίστιν κατὰ καιροὺς, ὡς ἐβούλοντο καὶ οἷς ἐβούλοντο ῥήμασι. καὶ γὰρ ὁ μακάριος Ἀγάθων, καθὼς ἡ ὑμετέρα αἰδεσιμότης εἴρηκε, τὴν ἑαυτοῦ ὁμολογίαν ἐκθέμενος μετὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων, ἀπέστειλε πρὸς τὴν ἕκτην σύνοδον τὴν οἰκουμενικήν· καὶ πρὸ αὐτοῦ ὁ μακάριος πατριάρχης Ἱεροσολύμων Σωφρόνιος ἐν τῇ οἰκείᾳ καταστάσει, τουτέστιν ἐν τῇ εἰς τὴν ἐπισκοπὴν ἀνόδῳ, γράψας τὴν ἔκθεσιν τῆς ἑαυτοῦ πίστεως, πρὸς τὸν πατριάρχην Κωνσταντινουπόλεως ἀπέστειλεν· ἥτις ἔκθεσις ἀνεγνώσθη καὶ αὐτὴ ἐν τῇ οἰκουμενικῇ ἕκτῃ συνόδῳ· καὶ ὅλως ἕκαστος τῶν ἀρχιεπισκόπων καὶ πατριαρχῶν πρὸς ἀλλήλους ἀπέστελλον τὰ συνοδικὰ λεγόμενα γράμματα, οὐδὲν ἄλλο περιέχοντα ἢ τὴν ὀρθὴν πίστιν καὶ τὴν ὁμολογίαν τοῦ φρονήματος. καὶ μέχρι τοῦ νῦν τοῦτο γίνεται ἐν ταῖς ἀνατολικαῖς ἐκκλησίαις. οἱ γὰρ μετὰ τὸν Κωνσταντινουπόλεως πατριάρχαι τρεῖς ἕτεροι γράφουσιν ἐν ταῖς οἰκείαις καταστάσεσι πρὸς αὐτὸν τὴν ὁμολογίαν τοῦ ἰδίου φρονήματος· καὶ ὅλως ἐξ ἀρχῆς εἴωθε τοῦτο γίνεσθαι, καὶ μέχρι τοῦ νῦν ἐπεκράτησε. διὰ τοῦτο καὶ ἐπὶ τῆς ἐκθέσεως ἐκείνης τοῦ Χαρισίου θαυμαστὸν οὐδὲν,

εἰ μὴ ἐπετιμήθη παρὰ τῆς συνόδου· οὐ γὰρ ὡς καθολικὴν πίστιν αὐτὴν ἔδωκεν, οὐδὲ ὡς ὀφείλουσαν τηρεῖσθαι καὶ ἐνεργεῖσθαι παρὰ τῶν μετὰ ταῦτα, ἀλλ' ὡς ἐπίδειξιν μόνον τοῦ ἰδίου φρονήματος, καθάπερ εἴρηται. εἰ δὲ ὑμεῖς ἄλλο τι ἔχετε λέγειν περὶ τῆς ἐκθέσεως ἐκείνης, ἀκουσόμεθα τοῦτο προθύμως. ἐρωτῶμεν οὖν, ὡς ἰδίαν ὁμολογίαν ἐπεδώκατε ταύτην τὴν ἔκθεσιν, ἢ ὡς κοινὸν μάθημα, καὶ παρὰ τοῖς Χριστιανοῖς ὀφεῖλον ἐπικρατεῖσθαι ὡς σύμβολον; τὰ γὰρ ἴδια οὐδέποτε κεκώλυται ὡς εἴπομεν. εἴ τι πρὸς ταῦτα ἔχεις εἰπεῖν, εἰπέ.

ἸΟΥΛ. ΚΑΡΔ. Πρῶτον τριττὰς ἀπέδωκας αἰτίας, δι' ἃς αἰτίας λέγεις, ὅτι ἡ σύνοδος ἐκείνη οὐκ ἠθέτησε τὴν ἔκθεσιν τοῦ Χαρισίου, ἀλλὰ τὴν τῶν Νεστοριανῶν. ἡ πρώτη ἦν, ὅτι οἱ Νεστοριανοὶ παρεδίδουν τὸ σύμβολον ἐκεῖνο τὸ παραπλασθὲν ἀντὶ τοῦ συμβόλου τοῦ ἐν Νικαίᾳ. ἡ δευτέρα, ὅτι ἐν τῷ παραπλασθέντι περιείχοντο πολλὰ ψευδῆ καὶ διεστραμμένα δόγματα. ἡ δὲ τρίτη, ὅτι ἤλαυνον καὶ ἐδίωκον τὸν Χαρίσιον ὡς ἀλλότρια φρονοῦντα, καὶ μὴ τὰ ἐκείνων δόγματα. εἰς μὲν οὖν τὸ πρῶτον ἐρῶ τινα, καθὼς εὑρίσκω ἐν τῇ ἐμῇ βίβλῳ· ὅτι οἱ Νεστοριανοὶ συνέθεντο σύμβολον, καὶ ἐδίδουν ἀντὶ τοῦ ἐν Νικαίᾳ συμβόλου. καὶ ὡς εὑρίσκω ἐν τοῖς πρακτικοῖς, φαίνεται ὅτι κατεφρόνουν τοῦ ἐν Νικαίᾳ, καὶ διὰ τοῦτο καταφρονοῦντες παρεδίδουν ἕτερον σύμβολον. οὕτω κεῖται ῥητῶς, ὅτι ἐλθόντες ἐν τῇ Φιλαδελφείᾳ τινὰς ἠπάτησαν, καὶ παροραθέντος τοῦ ἐν Νικαίᾳ, παρεδίδουν ἕτερον σύμβολον κακοδοξίας τοῖς ἁπλουστέροις. ὅθεν οὐκ ἦν ἡ τοιαύτη αἰτία, ἥτις παρεκίνησε τὴν σύνοδον ἀθετῆσαι τὸ σύμβολον τῶν Νεστοριανῶν, ἀλλ' ἡ αἰτία ἦν αὕτη, δι' ἣν ἠκύρωσε τὸ παραπλασθὲν σύμβολον, ὅτι περιεῖχε διεστραμμένα καὶ μιαρὰ δόγματα τοῦ Νεστορίου. ὁ δὲ λόγος, ὅτι εἰ περιεῖχεν ἐκεῖνο τἀληθῆ δόγματα, οὐκ ἂν ἠθετήθη παρὰ τῆς συνόδου, ἀλλὰ μᾶλλον ἐδέξατο ἂν ἡ σύνοδος ἐκεῖνο. πρὸς δὲ τὴν δευτέραν αἰτίαν, ὁμολογῶ σοι κἀγὼ, ὅτι ἡ αἰτία ἐκείνη ἦν, ἥτις παρεκίνησε τὴν σύνοδον ἀθετῆσαι τὸ τοιοῦτον, ὅτι περιεῖχε τὰ ψευδῆ καὶ νόθα δόγματα. πρὸς δὲ τὴν τρίτην αἰτίαν, οὐ φαίνεται ἀρκοῦσα, οὐδ' ἦν τοιαύτη ὥστε παρακινῆσαι τὴν σύνοδον ποιῆσαι ὃ ἐποίησεν. ὁ δὲ λόγος· καὶ γὰρ ἡ σύνοδος οὐκ ἔσχε φροντίσαι, εἰ ὁ Χαρίσιος ἠλαύνετο παρὰ τῶν Νεστοριανῶν, ἀλλὰ μᾶλλον ἐφρόντι-

σιν, εἰ ἐν τῷ συμβόλῳ τῆς πίστεως ἐναντία περιείχετο δόγματα. ὅθεν ἐξαιρουμένης τῆς πρώτης καὶ τῆς τρίτης αἰτίας, ἡ μέση ἦν αἰτία ἡ παρακινήσασα τὴν σύνοδον εἰς τὸ ἀθετῆσαι τὸ τῶν Νεστοριανῶν σύμβολον. ἐντεῦθεν εἶπεν ἡ αἰδεσιμότης σου, ὅτι οὐδέποτε κεκώλυκεν ἡ σύνοδος πρόσωπον ἰδίᾳ ἐκτιθέμενον τὴν ἑαυτοῦ ἔκθεσιν, ἕως ἂν μὴ ἐκπίπτῃ τῆς ὀρθῆς πίστεως. μετὰ ταῦτα προκομίζεις παραδείγματα τοῦ Ἀγάθωνος καὶ τοῦ Σωφρονίου, οἵτινες ἰδίως ἐκθέμενοι τὴν ἑαυτῶν πίστιν οὐκ ἠλέγχθησαν ἢ ἠθετήθησαν παρὰ τῆς συνόδου. ἀλλ' ἐνταῦθα γινομένῳ ἔπεισί μοι ἐρωτῆσαι, καὶ δὴ ἐρωτῶ, πότερον ὁ Ἀγάθων ἐκεῖνος καὶ ὁ Σωφρόνιος οἱ ἐκθέμενοι τὴν ἑαυτῶν ὁμολογίαν ἰδίᾳ, παρέβησαν τὴν κώλυσιν τῆς πίστεως, ἢ οὔ;

Ὁ ἘΦΕΣΟΥ. Οὐδαμῶς, οὐ γὰρ προσέθηκαν ἐν τῷ κοινῷ συμβόλῳ, ἀλλ' ἔξω καὶ ἰδίᾳ ἐκθέμενοι τὰς ἑαυτῶν ὁμολογίας οὐχ ὑπάγονται τῷ τῆς συνόδου ὅρῳ. εἴρηται γὰρ, ὅτι τὸ ἰδίᾳ τὴν ἑαυτοῦ πίστιν ἐκτίθεσθαι οὐ κεκώλυται, τὸ δὲ ἀντὶ τοῦ συμβόλου ταύτην παραδιδόναι, ἢ ἐν τῷ συμβόλῳ τι παρεμβάλλειν, τοῦτο κεκώλυται.

ἸΟΥΛ. ΚΑΡΔ. Ἀρέσκει μοι ὅ, τι ἡ αἰδεσιμότης σου λέγει, ὅτι οὔτε ὁ Ἀγάθων, οὔτε ὁ Σωφρόνιος, οὔτε ὁ Χαρίσιος παρέβησαν τὴν κώλυσιν ἐν τῇ ἐκθέσει τῆς ἑαυτῶν πίστεως. πρὸς δὲ τὴν ἐρώτησιν ἀπολογοῦμαι, ὅτι ὁ Χαρίσιος παρεδίδου τὴν ἔκθεσιν καὶ ὁμολογίαν τῆς ἑαυτοῦ πίστεως, ὡς ἀληθῆ καὶ συμφωνοῦσαν τῇ καθολικῇ πίστει· οὐ παρεδίδου μέντοι τὴν ἔκθεσιν τῆς πίστεως, οἱονεὶ νομοθετῶν ἐκεῖνος τῇ ἐκκλησίᾳ καὶ διδοὺς σύμβολον, ὡς ἂν ἐκεῖνο πάντες χρῶντο· οὐ γὰρ ἐκείνου ἴδιον τὸ διδάσκειν τοὺς λαοὺς καὶ παραδιδόναι τύπον τῆς κοινῆς πίστεως, ἀλλὰ μόνον τὸ ἐκτιθέναι τῆς ἑαυτοῦ πίστεως γνώρισμα. ὅθεν ἀρκεῖ μοι, ὅτι οὐκ ἐποίησεν ἐκεῖνος κατὰ τῆς κωλύσεως. ἐντεῦθεν ἢ ἡ καθολικὴ ἐκκλησία ἢ ὁ διδάσκων τὴν καθολικὴν ἐκκλησίαν, καὶ ἔχων ἐξουσίαν διδάσκειν τοὺς λαοὺς, ἔχει καὶ ταύτην πάντως τὴν ἐξουσίαν τοῦ προστιθέναι ἐν τῷ συμβόλῳ ἡνίκα δεήσει, ἀρκεῖ τοῦτο, ὅτι ἀπὸ τῆς κοινῆς ἐκκλησίας οὐ κεκώλυται.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο ἔχομεν ἀπὸ σοῦ, ὅτι ὁ Χαρίσιος οὐκ ἐπετιμήθη, μᾶλλον ἔχων ἐπιτιμήσεως ἄξιον. οὐκ ἄρα φαίνεται, ἀπὸ τοῦ μὴ κωλυθῆναι ἐκεῖνον, ὅτι οἱ πατέρες οἱ ἐν Ἐφέσῳ ἐξέδοσαν ἐκδίκησιν

τοῖς μεταποιεῖν βουλομένοις τὸ σύμβολον· καὶ οὕτως ἀνῄρηται τὸ πρῶτον τῶν σῶν ἐπιχειρημάτων. εἰ δὲ ἡ καθολικὴ ἐκκλησία ἔχει τοιαύτην ἄδειαν, τουτέστι μεταποιεῖν τὸ κοινὸν σύμβολον, ἐν ἑτέραις διαλέξεσι, Θεοῦ διδόντος καὶ τοῦ καιροῦ συγχωροῦντος, ἐξετάσομεν. ἐκεῖνό γε μὴν ἐρωτῶ, ἆρα ὁ μὲν Χαρίσιος οὐκ εἶχεν ἄδειαν ποιεῖν, ἐκεῖνοι δὲ οἱ τὰ Νεστορίου φρονοῦντες εἶχον ἄδειαν ποιεῖν τοῦτο, εἴπερ ὀρθῶς ἐφρόνουν; ἔφθασας γὰρ εἰπεῖν περὶ τούτου πρότερον· σαφήνισον οὖν ὅπερ εἴρηκας. ἐξῆν τοῖς Νεστοριανοῖς, εἴπερ ὀρθῶς ἐφρόνουν, παραλιπεῖν μὲν τὸ ἐν Νικαίᾳ σύμβολον, διδόναι δὲ τὸ ἑαυτῶν ἐν τῷ βαπτίσματι; νῦν γὰρ λέγεις, τὴν καθολικὴν ἐκκλησίαν δύνασθαι τοῦτο ποιεῖν· ἆρα δὲ καὶ ἐκεῖνοι εἶχον τοιαύτην ἄδειαν, ἢ οὔ;

ʼΙΟΥΛ. ΚΑΡΔ. Δύο τινὰς ἐρωτήσεις ἐποιήσω, καὶ ἡ μὲν πρώτη δεῖ παραλειφθῆναι. πρῶτον εἶπες, ὅτι ὁ ὅρος τῆς κωλύσεως οὐ βούλεται ἔχειν τινὰ ἄδειαν μεταποιεῖν ἢ μετατιθέναι ἕτερον σύμβολον. ἐντεῦθεν δοκεῖ τοῦτο, ὡς καὶ ἡ σὴ αἰδεσιμότης ὡμολόγησεν, ὅτι ἡ σύνοδος οὐ κωλύει ἐκτιθέναι ἕκαστον τὴν ἑαυτοῦ ὁμολογίαν, ὡς βούλεται.

ʽΟ ʼΕΦΕΣΟΥ. Ἕστ' ἂν μὴ ἐκπίπτῃ τῆς ὀρθῆς ὁμολογίας, καὶ ἕστ' ἂν μὴ ἐνοχλῇ τὸ κοινὸν σύμβολον.

ʼΙΟΥΛ. ΚΑΡΔ. Κατὰ τὸ παρὸν ἀρκείτω, ὅτι ἡ σύνοδος ἡ ἐν ʼΕφέσῳ οὐ κωλύει ἕκαστον ἐκτιθέναι τὴν τῆς ἑαυτοῦ πίστεως ἔκθεσιν ὡς βούλεται. καὶ ἵνα μὴ χωρῶμεν περαιτέρω, βούλομαι ἀντιτάξαι ὁμολογίαν τινὰ, ἢ ἀντίφασιν τὴν ἀντικειμένην ἐν τῷ βιβλίῳ καὶ ἐν τῷ γράμματι. τὸ κείμενόν φησιν οὕτω· μηδενὶ ἐξεῖναι προφέρειν, καὶ τὰ λοιπά· σὺ δὲ νοεῖς, ἄλλοις ῥήμασι συντιθέναι, τὴν αὐτὴν μέντοι οὖσαν. τούτου δοθέντος, σκοπείτω ἡ σὴ αἰδεσιμότης ποῖ φερόμεθα. καὶ γὰρ ἐν αὐτῷ τῷ ὅρῳ κωλύονται πάντες, ὅμως καὶ ἐν τῷ τέλει τοῦ αὐτοῦ ποιεῖται μνείαν· Μὴ ἐξέστω μήτε κληρικῷ, μήτε λαϊκῷ, καὶ τὰ ἑξῆς ὡσπερεὶ τὰ ῥήματα ταῦτα ἔχουσιν ἑτέραν πίστιν, ἣν αὐτοῖς ἡ αἰδεσιμότης σοῦ δίδωσιν, ἕπεται ἐναντίον καὶ ἀντιφάσκον. δίδως γὰρ τοῦτο, ὅτι ἔξεστιν ἑκάστῳ ἐκτιθέναι τῆς ἑαυτοῦ πίστεως ὁμολογίαν οἵοις ῥήμασι βούλεται· εἶτα ἐπάγεις τὸν ὅρον λέγων περὶ ἐπισκόπων καὶ κληρικῶν, ὅστις ὅρος ἐκτείνεται μέχρι καὶ λαϊκῶν. καὶ ἀφ' ὧν λέγεις περὶ ταῦτα, ἐναν-

τιοῦται ταῦτα ἀλλήλοις. ὅσον δὲ ἀνήκει πρὸς τὸν ἀληθῆ νοῦν, ἐγὼ ἴδωκα ἀποχρώντως γεγραμμένα. καὶ τὸ κείμενον τοῦ ὅρου λέγει, μηδενὶ ἐξεῖναι ἑτέραν πίστιν, ὡσανεὶ πίστιν ἥτινι ὀφείλουσι χρῆσθαι οἱ μετὰ ταῦτα. τὸ δέ· Ἑτέραν πίστιν, νοεῖται τὸ οἱονεὶ Ἐναντίαν. αὖθις οὐ λέγει τὸ κείμενον, μηδενὶ ἐξεῖναι προσθεῖναι ἢ προφέρειν, ἢ δημοσίᾳ ἢ κοινῇ διῃρημένως, ἀλλ' ἁπλῶς, μηδενὶ ἐξεῖναι, καὶ τὰ λοιπά. ὅτι δὲ τὰ ῥήματα ταῦτα οὐ νοοῦνται οὕτως, εἰ μὴ περὶ ἐναντίας, φαίνεται προδήλως ἀφ' ὧν ἐπράχθησαν ἐν τῇ τῆς αὐτῆς συνόδου ἐκθέσει. καὶ γὰρ συνελθόντων τῶν ἐπισκόπων, ἐῤῥέθη· Ἀναγνωσθήτω τὸ σύμβολον, καὶ ἐπενεχθήτωσαν οἱ λόγοι περὶ τοῦ συμβόλου τοῦ ἀναγνωσθέντος· καὶ ὅσοι τῶν λόγων τῶν ἐπενεχθησομένων εὑρεθῶσι σύμφωνοι, δεχθήτωσαν καὶ δοκιμασθήτωσαν· ὅσοι δὲ μὴ σύμφωνοι τῆς ἀληθείας, ἀποδοκιμασθήτωσαν. ὅθεν ἡ αὐτὴ σύνοδος πάντως ἐπάγει τὸν ὅρον τοῦτον σύμφωνον τοῖς προειρημένοις, ὅσα μὲν εἰσὶ σύμφωνα δεχθῶσιν, ὅσα δὲ ἐναντία ἀρθῶσιν. ὅθεν ἀπὸ τούτων φαίνεται, ἑτέραν πίστιν λέγειν, μὴ τὴν ἀληθῆ, ἀλλὰ τὴν ἐναντίαν καὶ ἀντιφάσκουσαν. δυναίμην ἂν καὶ ἄλλοις ῥήμασι παραστῆσαι τοῦτο, ὅμως ἐπειδὴ γεγραμμένως ἐξέδωκα πρὸς ὑμᾶς διὰ πλειόνων λόγων, ἵνα μὴ ἀνατρίβω τὴν τάξιν, καὶ ἀπέδειξα ἀπὸ τῶν γραμμάτων ἀναγκαίως, ὅτι τό· Ἑτέραν, φησίν· Ἐναντίαν, τούτων παραλειφθέντων, νῦν ἀποκρινοῦμαι πρὸς τὰς δύο σου ἐρωτήσεις. πρὸ τοῦ οὖν ἐλθεῖν με εἰς τὴν ἀπολογίαν, δέον ἐστὶ ποιήσασθαι μνείαν περί τινος λόγου, δηλονότι, ὅτι ταῦτα πάντως ἐλέγοντο καὶ ἐπράττοντο ἐν τῇ συνόδῳ, οὔπω τεθέντος τοῦ τῆς κωλύσεως ὅρου. πρὸς τοῦτο οὖν λέγω, ὅτι ἕτοιμός εἰμι ἀποδεῖξαι καὶ διὰ τῶν πρακτικῶν τῆς τρίτης συνόδου καὶ τῆς ἑβδόμης, ὅτι ἡ κώλυσις αὕτη καὶ πρὸ τῆς τρίτης ἦν· καὶ εἴπερ ἀρέσκει, ἐρῶ τὰ τοιαῦτα νῦν. ἵνα δὲ μὴ δόξω τὴν ἀπόκρισιν φεύγειν τῆς σῆς ἐρωτήσεως, ἀπολογήσομαι καὶ πρὸς αὐτά· ἠρώτησας πρῶτον, ὅτι * ὁ Χαρίσιος διὰ τοῦτο ἐνεκλητεύθη καὶ ἔλαβεν ἄδειαν ὅτι οὐκ εἶχεν ἄδειαν ποιῆσαι ἕτερον σύμβολον. ἔδοξας γὰρ ἀνελεῖν τὸν λόγον τὸν ἐμὸν, ὅτι οἱ Νεστοριανοὶ διὰ τοῦτο ἐνεκλήθησαν, ὅτι ἐποίησαν ἕτερον σύμβολον. καὶ εἶπας καθαρῶς, ὅτι εἰ ἦν ὀρθὸν, οὐκ ἂν ἐπετιμήθησαν παρὰ τῆς συνόδου. τοῦτο αὐτὸ καὶ πάλιν ἀπολογοῦμαι, ὅτι εἴπερ τὸ παραπλασθὲν σύμβολον ὑπὸ τῶν Νεστοριανῶν ἦν ὀρθὸν, ἔμεινεν ἂν καὶ

* Ισ. εἴπερ ὁ Χαρ.

τοῦτο ὥσπερ τοῦ Χαρισίου καὶ τοῦ Ἀγάθωνος καὶ τοῦ Σωφρονίου. καὶ γὰρ ἀθετεῖται ἐκεῖνο, ἐπειδὴ περιέχει ἐν ἑαυτῷ διεστραμμένα καὶ νόθα δόγματα. πρὸς τὸ δεύτερον, ὅτι εἴπερ εὑρέθη ἀληθὲς, οὐκ ἂν ἠθετήθη, λέγεις ὅτι οὐκ εἶχον ἄδειαν οἱ Νεστοριανοί.

Ὁ ἘΦΕΣΟΥ. Ἐκεῖνο τὸ σύμβολον ἀνομοίως εἶχε τῷ τοῦ Χαρισίου καὶ τοῦ Ἀγάθωνος καὶ τοῦ Σωφρονίου. διότι ἐκεῖνο ὡς κοινὸν μάθημα ἐξεδίδοτο τοῖς ἐπιστρέφουσιν ἐξ αἱρέσεων ἀντὶ τοῦ ἐν Νικαίᾳ συμβόλου, ταῦτα δὲ οὐχ οὕτως. οὐ γὰρ ὡς κοινὰ σύμβολα, οὔτε τῇ ἐκκλησίᾳ παρεδόθησαν, οὔτε δι' αὐτῶν βαπτίζεσθαί τινας ὡρίσθη. ὥστε οὐχ ὑπάγεται ταῦτα κἀκεῖνο τῷ αὐτῷ λόγῳ, εἴπερ τὸ αὐτὸ σύμβολον ὀρθόδοξον ἦν· ἀλλ' ἐκεῖνο εἰκότως ἂν ἀνετράπη καὶ ἐκωλύθη, εἰ καὶ ὀρθόδοξον ἦν· ταῦτα δὲ εἰκότως οὐκ ἐκωλύθησαν, ἐπειδὴ οὐχ ὡς κοινὰ παρεδόθησαν, ἀλλ' ὡς ἴδιαι καὶ μερικαὶ ἐκθέσεις. ὥστε ἐξ ὧν λέγεις, δοκεῖς ἐκείνοις μόνοις διδόναι τὴν ἄδειαν μεταποιεῖν τὸ σύμβολον, εἴπερ ὀρθόδοξοι ἦσαν· ὁ γὰρ Χαρίσιος καὶ οἱ λοιποὶ τοῦ συμβόλου οὐχ ἥψαντο.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐκ τοῦ ἐναντίου, ὁ Χαρίσιος ἐν τῇ ἐκθέσει τῆς ἑαυτοῦ πίστεως ἥψατο καὶ τοῦ ἐν Νικαίᾳ καὶ τοῦ ἐν Κωνσταντινουπόλει συμβόλου· λέγει γάρ· Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ παράκλητον, τὸ πνεῦμα τῆς ἀληθείας τὸ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ, ὅπερ οὐ κεῖται οὔτε ἐν τῷ ἐν Νικαίᾳ συμβόλῳ, οὔτε ἐν τῷ ἐν Κωνσταντινουπόλει· ἐπειδὴ δὲ εἶπας ἐν τοῖς προοιμίοις, ὅτι ὅσα ἂν εἴποις, καὶ παρ' ἡμῶν οὐδὲν ἀποκριθήσεται, ἔσται ἡμῖν ὡς ὁμολογούμενα, διὰ τοῦτο μὴ λέγε πλῆθος ἐπιχειρημάτων, ἀλλ' ἓν ἕκαστον, καὶ πρὸς τοῦτο ἕξεις καὶ τὰς ἀποκρίσεις. λέγω δὲ, ὅτι οὐδεμία ἀνομοιότης ἦν μεταξὺ τοῦ τῶν Νεστοριανῶν συμβόλου καὶ τοῦ Χαρισίου καὶ τοῦ Σωφρονίου καὶ τοῦ Ταρασίου, εἴπερ ἐκεῖνο τὸ τῶν Νεστοριανῶν περιεῖχεν ἐν ἑαυτῷ πᾶσαν τὴν ἀλήθειαν. ἡ δὲ αἰδεσιμότης σου οὐκ ὀφείλει λαμβάνειν ἑτέραν διάνοιαν τοῦ νόμου παρὰ τὴν ἐν αὐτῷ κειμένην. ἀλλ' ἡ σύνοδος δι' αὐτὸ, λέγω, καὶ ὁ ὅρος διὰ τοῦτο ἀθετεῖ καὶ ἀποδοκιμάζει τὸ τῶν Νεστοριανῶν σύμβολον, διότι εἶχεν ἐν ἑαυτῷ πολλὰ καὶ διεστραμμένα δόγματα. ὥστε ἡ αἰδεσιμότης σου προσέχειν ὀφείλει τῷ τοιούτῳ. τὸ γὰρ παραδίδοσθαι σύμβολον ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἀπὸ μερικοῦ προσώπου, ὥστε χρῆσθαι τὴν καθόλου ἐκκλησίαν ἐκείνῳ, τοῦτο κεκώ-

λυται. ἀλλ' ἀπὸ τούτου κωλύεται, ἑτέραν πίστιν ἢ ὁμολογίαν, δηλονότι ἐναντίαν προφέρειν ἢ συντιθέναι. πότερον δὲ ἔχοι ἄν τις παραδοῦναι σύμβολον τῇ καθολικῇ ἐκκλησίᾳ, ὥστε πάντας ἐκείνῳ χρῆσθαι, τοῦτο ἀπὸ τοῦ ὅρου οὐ κεκώλυται, ἀλλὰ κεκώλυται ἀφ' ἑτέρας κωλύσεως. κωλύεται δὲ τοῦτο διά τινος ἄλλου λόγου, ἐπειδὴ οὐκ ἐνέχεται τοῦτο ποιεῖν ἢ ὑπηρετεῖν ἢ ὑπακούειν ἐκείνοις, οἵτινες κατὰ ταῦτα οὐκ ἔχουσιν ἄδειαν. εἶτά ἐστι καὶ ἕτερος λόγος, ὅτι ἐν τῇ παραδόσει τῶν λόγων καὶ πάντων τῶν ἄλλων τῶν ἐκκλησιαστικῶν διατάξεων ὀφείλουσιν αἱ καταδεέστεραι ἐκκλησίαι ἀκολουθεῖν τῇ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ.

Ὁ ἘΦΕΣΟΥ. Πάλιν ἐπανῆλθες πρὸς τὰ πρότερον εἰρημένα, ὅτι ἡ καθολικὴ ἐκκλησία ἔχει ἄδειαν μεταποιεῖν τὰ σύμβολα πρὸς τὰς ὑπ' αὐτὴν μερικάς. πρὸς ἐκεῖνο δὲ τὸ πρότερον εἰρημένον οὕπω καθαρώτερον ἀπεκρίθης, πότερον οἱ Νεστοριανοὶ εἰ καὶ ὀρθόδοξοι ἦσαν, εἰ αὐθεντίαν εἶχον παραδιδόναι ἕτερον σύμβολον. ἀπόκριναι καθαρῶς, ἵνα ἑξῆς χωρήσωμεν τοῦτο συμπεράναντες.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐμοὶ φαίνεται, ὅτι ἀρκούντως ἀπελογήθην πρὸς τὸ προκείμενον.

Ὁ ἘΦΕΣΟΥ. Ἐρωτῶ, πότερον εἶχον ἄδειαν οἱ Νεστοριανοὶ παραδιδόναι ἕτερον σύμβολον, ἵνα βαπτίζωνται. τὰ γὰρ ἄλλα οὔτε σύμβολα ἦσαν, οὔτε ὠνομάσθησαν, οὔτε ἐδόθησαν, οὔτε ἐστέρχθησαν, ὥστε βαπτίζεσθαι δι' αὐτῶν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἀποκρίνομαι, τὸ ἴδιον καὶ τὸ μερικὸν παραδιδόναι ὡς κοινὸν, τοῦτό ἐστι ψευδές. οἱ Νεστοριανοὶ ἠδυνήθησαν ἂν ἐκθεῖναι σύμβολον, εἴπερ αὐτὸ ἐξέθεντο ὀρθῶς, καὶ ἠδυνήθησαν χρῆσθαι ἐκείνῳ καὶ προφέρειν. εἰ δὲ εἶπον, ὅτι τοῦτό ἐστι κατὰ * τοῦ ἐν Νικαίᾳ καὶ τῇ διανοίᾳ καὶ τῷ ῥήματι, οὐκ εἶπον ἀληθές· ἀλλὰ προφέρειν καὶ ἔτι ἠδυνήθησαν ἄν.

* ἴσ. κατὰ τὸ ἐν Νικαίᾳ.

Ὁ ἘΦΕΣΟΥ. Ἐκεῖνοι ὡς κοινὸν προέφερον, ἐπειδὴ δι' αὐτοῦ ἐβάπτιζον τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας, σιωπῶντες τὸ ἐν Νικαίᾳ. ἆρα εἶχον ἄδειαν τοῦτο ποιεῖν, εἴπερ ὀρθόδοξον ἦν;

ἸΟΥΛ. ΚΑΡΔ. Πολλὰ ἀπελογησάμην καὶ σαφῶς ἤδη, καὶ πάλιν λέγω ἠδύναντο μὲν προφέρειν εἴπερ ὀρθὸν ἦν· παραδιδόναι δὲ τὸ μερικὸν καὶ ἴδιον ὡς κοινὸν, τοῦτο οὐκ ἂν ἐξῆν.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο ἄρα ἔλεγον, ὅτι διὰ τὴν τοιαύτην αἰτίαν

παραδοῦναι οὐκ ἐξῆν, οὐδὲ γὰρ ὤφειλε παραδίδοσθαι τοῦτο ὡς κοινὸν μάθημα ἀντὶ τοῦ ἐν Νικαίᾳ συμβόλου. εἰ δὲ καὶ ὅλως εἶχον ἄδειαν τοῦτο ποιεῖν, εἴρηται γὰρ καὶ ἀπὸ τοῦ μήπω ἐξενεχθῆναι τὸν ὅρον, εἰκότως καὶ διὰ ταύτην τὴν αἰτίαν ἐξηνέχθη ὁ ὅρος παρὰ τῆς συνόδου, ἵνα μὴ ἔχωσιν ἄδειαν καὶ οἱ Νεστοριανοὶ καὶ οἱ ἕτεροι· ἐπειδὴ ἡ τοιαύτη ἄδεια ἐγένετο αἰτία τοῦ παρενθεῖναι τὰ ψευδῆ καὶ διεστραμμένα δόγματα, ἴσως διότι οὐκ ἐξηνέχθη ὁ ὅρος. εἰ γὰρ μὴ εἶχον τὴν τοιαύτην ἄδειαν τοῦ μεταποιεῖν, οὐκ ἂν τὰ τοιαῦτα δόγματα ἐνέσπειρον· διὰ τοῦτο προνοουμένη ἡ σύνοδος τοῦ μηκέτι ἐξῆς τοιοῦτόν τι γίνεσθαι, τὸν τοιοῦτον ὅρον ἐξήνεγκε καθόλου διοριζομένη, μηδένα τολμᾶν διδάσκειν ἑτέραν πίστιν παρὰ τὴν ἐν Νικαίᾳ δεδομένην. τοῦτο γὰρ συνεῖδεν αἴτιον γεγονέναι τοῦ τὰ ψευδῆ καὶ διεστραμμένα δόγματα ἐν τῷ συμβόλῳ τίθεσθαι. ὥστε καὶ ἀπὸ τῆς τοιαύτης ἐξουσίας, ἣν εἶχον οἱ πατέρες ἐκεῖνοι, φαίνεται πρὸς τοῦτο φέρειν τὴν διάνοιαν τῶν πατέρων, καθόλου τὸ μηδένα τολμᾶν ἑτέραν πίστεως ἔκθεσιν συντιθέναι. τοῦτο μὲν ἐκ τῶν σῶν λόγων ὥσπερ τι πόρισμα συνελέξαμεν· εἰ δ' ἔχεις εἰπεῖν τι πρὸς τοῦτο, εἰ κελεύεις, εἰπέ.

ΙΟΥΛ. ΚΑΡΔ. Τίνι μᾶλλον πιστεύειν ἡ αἰδεσιμότης σου βούλεται, τῷ ὅρῳ τῆς ἐν Ἐφέσῳ ἢ σαυτῷ;

Ὁ ΕΦΕΣΟΥ. Καὶ τῷ ὅρῳ καὶ τῇ συνόδῳ. εἰ δ' ἔχομεν ἀπορίαν τινὰ, μᾶλλον τῷ ὅρῳ πιστεύσομεν καὶ τοῖς ἐξηγησαμένοις αὐτὸν, ἢ ἡμῖν αὐτοῖς. ἐξηγεῖται δὲ τὸν ὅρον ὁ μακάριος Κύριλλος ἐν τῇ πρὸς Ἰωάννην ἐπιστολῇ, καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς. θεωρήσωμεν τὴν ἐκείνου ἐξήγησιν, καὶ ἐκείνῳ κατὰ πάντα ἀκολουθήσωμεν· οὐδεὶς γὰρ ἐκείνου κυριώτερος τοῦ τοιούτου ὅρου ἐξηγητής. νῦν δὲ εἴ τι πλέον κελεύεις εἰπεῖν, εἰπέ.

ΙΟΥΛ. ΚΑΡΔ. Ἐγὼ διὰ τοῦτο ἠρώτησα, τίνι δεῖ πιστεύειν, ἐπειδὴ ἡ σύνοδος αὐτὴ ἡ ποιήσασα τὸν ὅρον, ἐπάγουσα τὴν αἰτίαν, ταύτην λέγει, διότι τὸ σύμβολον τῶν Νεστοριανῶν περιέχει διεστραμμένα δόγματα.

Ὁ ΕΦΕΣΟΥ. Οὐκ ἔχει οὕτως, ὅτι διὰ ταύτην τὴν αἰτίαν ἠθετήθη.

ΙΟΥΛ. ΚΑΡΔ. Ὁ ὅρος τῆς συνόδου λέγει οὕτως, ὅτι κατεδίκασεν ἡ ἁγία σύνοδος τὴν ἔκθεσιν τοῦ Νεστορίου, ἤγουν τὰ τοῦ

Νεστορίου μυσαρὰ δόγματα. φαίνεται δὲ τὸ τοιοῦτον καὶ ἀπὸ τῶν προαγηγεσαμένων ῥημάτων τοῦ Χαρισίου. καὶ γὰρ ὁ Χαρίσιος ἐγκαλῶν τοῖς Νεστοριανοῖς λέγει, ὅτι παροραθέντος τοῦ ἐν Νικαίᾳ συμβόλου, ἐκεῖνοι ἐξέθεντο σύμβολον ἀπιστίας, οὐ πίστεως. τρίτον, ὅτι τὸ περιεχόμενον ἐν τῷ συμβόλῳ ἀνεγνώσθη καὶ ἐν τῇ ἐπιστολῇ τοῦ Νεστορίου. ὅτε δὲ ἀνεγνώσθη, ἠρώτησε τὴν σύνοδον ὁ Κύριλλος, εἰ δοκοῦσιν ἀληθῆ τὰ ἐν τῇ ἐπιστολῇ. καὶ ἀπεκρίθη ἡ σύνοδος, ὅτι οὐκ ἀληθῆ καὶ διὰ τοῦτο κατεκρίθησαν παρὰ τῆς συνόδου. εἰς ὃ δὲ λέγεις, ὅτι μᾶλλον πιστεύεις τῷ Κυρίλλῳ οἷα τῆς συνόδου ἐξάρχῳ, καὶ αὐτὸς ὁμολογῶ. ἡ δὲ ἐπιστολὴ τοῦ Κυρίλλου οὐ προσίσταταί μοι, μᾶλλον δὲ συνίσταται καὶ ἀποδείκνυσι τὸ παρ' ἐμοῦ λεγόμενον. καὶ εἴπερ βούλει, σκέψαι καλῶς τὸν νοῦν τῆς ἐπιστολῆς, καὶ εὑρήσεις, ὅτι τό· Ἑτέραν ἐξηγεῖται πίστιν, οὐδὲν ἄλλο ἢ ἐναντίαν. δῆλον δὲ ἐντεῦθεν, ὅτι ἐν τῇ ἐπιστολῇ τοῦ Κυρίλλου τῇ πρὸς Ἰωάννην Ἀντιοχείας, ἐν ᾗ ἀπολογεῖται πρὸς τὴν ἐπιστολὴν τοῦ Νεστορίου, λέγει πολλά, ἃ ἐν τῷ συμβόλῳ τῷ ἐν Νικαίᾳ οὐ κεῖται ῥητῶς· ὅμως ἐπειδὴ τὰ τοιαῦτα οὐκ ἦσαν ἀλλότρια, διὰ τοῦτο λέγει ὁ Κύριλλος· Οὐδὲν προστίθεμεν οὐδὲν ἀφαιροῦμεν· καίτοι γε πολλὰ καὶ διάφορα τίθησιν. ὅθεν τοὐλάχιστον συνάγεται ἀπὸ τῆς ἐπιστολῆς ἐκείνης, ὅτι οὐ δεῖ λέγεσθαι προσθήκην, οὔτε ἀφαίρεσιν τοῦ ἀληθοῦς καὶ ὀρθοῦ νοῦ. ὅτι ἡ πρὸς Ἀκάκιον ἡμῖν οὐ προσίσταται, μᾶλλον δέ ἐστι καὶ ὑπὲρ ἡμῶν· ἐπειδὴ ἐν αὐτῇ ὁ Κύριλλος περὶ τὸ τέλος ἐξηγεῖται, πῶς ὀφείλει νοεῖσθαι τὸ μὴ δεῖν προστιθέναι. ὥστε ὁ ἀναπτύσσων καὶ διασαφῶν, καθαρώτερον καὶ εὐκρινέστερον ποιεῖ.

Ὁ ἘΦΕΣΟΥ. Ἐρωτῶ, τὸ ἀναπτύξαι ἔξωθεν οὐ κωλύει;

ἸΟΥΛ. ΚΑΡΔ. Ὁ βουλόμενος τὸ τοιοῦτον ποιεῖν οὐδὲν καινὸν ποιεῖ, ἀλλ' οὐδὲ γινώσκεται τὴν ἔκθεσιν τῆς πίστεως καινοτομεῖσθαι, ἀλλὰ τὰ φανερὰ συνιστᾷ μᾶλλον. τί ἄλλο σαφέστερον εὑρήσεται τούτου; ἵνα μὴ ἐπιλάβησθέ μου περὶ ψεύδους, ἐν τῇ προλαβούσῃ ὁμιλίᾳ, ἡνίκα ὁ Νικαίας ἔλεγεν, ἐγὼ ἐξήτασα τὸν πίνακα τοῦ βιβλίου, καὶ οὐχ εὗρον. μετὰ δὲ ταῦτα ἐξήτασα καὶ εὗρον τὸν Κύριλλον ἐν μιᾷ ἐπιστολῇ πρὸς μαθητὴν τοῦ Νεστορίου οὕτως ἐκτιθέμενον, καὶ ἀπὸ ταύτης ἔγνων, ὅτι ἡ τοιαύτη λύεται ἀμφισβήτησις. αὐτὸς γὰρ ὁ Κύριλλος τοῦτο λέγει ἐν ἐπιστολῇ, ἧς

ἡ ἀρχή· Χρῆμα μὲν, ὅτι δὲ ἡ γενομένη ἀνάπτυξις οὐκ ἔστι προσθήκη, ἀλλ' οὐδὲ καινοτομία τις, φαίνεται, ὅτι μεθ' ὃ ἀνεγνώσθη ἐν τῇ συνόδῳ ἡ ἐπιστολὴ, ἠρώτησε τὴν σύνοδον ὁ Κύριλλος.

Ὁ ΕΦΕΣΟΥ. Ποία ἐπιστολή;

ΙΟΥΛ. ΚΑΡΔ. Ἡ πρὸς Νεστόριον. ἡνίκα οὖν ὁ Κύριλλος ἠρώτησε τὴν σύνοδον, εἴπερ ἔδοξεν ἡ ἐπιστολὴ συμφωνοῦσα τῇ ἐν Νικαίᾳ συνόδῳ, ἀπεκρίθη ἡ σύνοδος πᾶσα λέγουσα, ὅτι σύμφωνός ἐστι, καὶ ὅτι μᾶλλον διήνοιξε τὴν ἀλήθειαν, καὶ ὅτι σαφέστερον καὶ καθαρώτερον, καὶ τὸ συνεπτυγμένον ἐν Νικαίᾳ σύμβολον ἐκεῖνος πλατύτερον καὶ σαφέστερον διετράνωσεν. ὅθεν πᾶσα ἡ σύνοδος συνεπέρανεν, ὅτι καὶ ὁ Κύριλλος τὰ αὐτὰ ἐφρόνει τῇ ἐν Νικαίᾳ συνόδῳ καὶ διὰ τοῦτο οὐδεμίαν εἰσῆγε καινότητα. ὅθεν εἰ τὰ ῥήματα ἐκεῖνα ἐσήμαινον δηλονότι * ἐναντίαν πίστεως ἔκθεσιν, ὁμολογουμένως ὁ Κύριλλος περιέπεσεν ἂν τῷ ὅρῳ. ἐπειδὴ δὲ ἐποιήσω μνείαν τοῦ Κυρίλλου, βούλομαι προοιμίσαι τὴν ἐξήγησιν τοῦ αὐτοῦ Κυρίλλου, ἣν ἐποιήσατο ἐν τῷ συμβόλῳ· καὶ ἀπὸ τούτων ὄψεσθε, τίς ὁ νοῦς τῆς κωλύσεως ἐκείνης, καὶ τί ἠβουλήθη κωλῦσαι ἡ σύνοδος. Ἡ ἐπιστολή· Τὸ φιλομαθὲς καὶ φιλόπονον. Ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ κατὰ νεῦσιν θεοῦ συναθροισθεῖσα ἐξήνεγκεν ἁγίαν ἀπόφασιν κατὰ τοῦ Νεστορίου καὶ κατὰ τῶν ἄλλων τῶν καινοφώνων, οἵτινες μετ' ἐκεῖνον ἢ πρὸ ἐκείνου γεγονότες, καὶ τὰ αὐτὰ φρονοῦντες ὑπῆρχον ἐκείνῳ, καὶ τοὺς λέγοντας ἢ συγγράφειν τολμῶντας ὁμοίως κατέκρινε, καὶ ἴσην ἐκείνοις ἐπέθηκε τὴν αἰτίαν. Ὅθεν ἀπὸ τῆς ἐπιστολῆς ταύτης δαψιλῶς φαίνεται, ὅτι κατεδίκασεν ἡ σύνοδος τὸν Νεστόριον καὶ τοὺς φρονοῦντας τὰ αὐτὰ ἐκείνῳ. καὶ ἀπὸ τούτου φαίνεται τὸ ῥῆμα τοῦτο τέ· Ἑτέραν πίστιν, Ἐναντίαν πίστιν σημαίνειν παρὰ τὴν ὀρθὴν, ἥτις ἐστὶ νεστοριανὴ πίστις ἢ ἑτέρου τινός. ὅθεν φαίνεται, ὅτι τὸ παραπλασθὲν σύμβολον ὑπὸ Νεστοριανῶν ἠθετήθη, ὅτι ἐφρόνει ἐναντία δόγματα τῆς ὀρθῆς καὶ ἀληθοῦς πίστεως. βλέπε οὖν, πῶς ὁ Κύριλλος αὐτὸς ἐξηγούμενος τὸν ὅρον λέγει, ὅτι ἡ σύνοδος κατεδίκασε τὸν Νεστόριον καὶ τοὺς φρονοῦντας τὰ ἐκείνου· ὅθεν φαίνεται διὰ τοῦτο ἠκυρῶσθαι τὸ σύμβολον τῶν Νεστοριανῶν· ὅτι περιεῖχε δόγματα ἴσα καὶ ὅμοια τῷ δόγματι τοῦ Νεστορίου· καὶ τοῦτο ἐναντίον ἐστὶν ᾧ εἶπεν ἡ αἰδεσιμότης σου. ὡς συνετὸς καὶ σοφὸς ἀνὴρ θελήσεις ἰδεῖν τὰ γεγραμμένα· καὶ

* Ἴσως· εἰ μὴ τὰ ῥήματα ἐκ. ἐσ. ἑτέραν δηλονότι ἐναντίαν.

γὰρ ἀπὸ τούτων ἔγνων, ὅτι ἡ κώλυσις οὐκ ἄλλο ἢ ἐναντίον καὶ ασύμφωνον τῇ πίστει κωλύει. Διὰ τοῦτο παρακαλῶ τὴν αἰδεσιμότητά σου, μὴ θέλε κατέχειν τοσοῦτον ἀκροατήριον εἰς τὸ ἀκούειν λόγους οὕτω σαθροὺς, οὓς καὶ νήπια ἂν ἤλεγξαν. ὅθεν εἰ δοκεῖ καὶ ὑμῖν καλὸν, ἐαθέντων τούτων πάντων, ἐλευσόμεθα πρὸς τὴν ὕλην τὴν κυρίαν αὐτὴν, ἐν ᾗ πάντως ἕξομεν ἀξιολόγους πορίσασθαι λόγους· ὅμως ἐγὼ ἑτοιμότατός εἰμι οὐ μόνον ἡμέραν, ἀλλὰ καὶ μῆνα ἀπολογεῖσθαι πρὸς τὰς παρὰ σοῦ ἐρωτήσεις ἁπάσας. ἀλλὰ τοῦτο λυποῦμαι, ὅτι καταναλίσκομεν τὸν καιρὸν ἐπὶ ματαίῳ.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς οὔτε μικροὺς, οὔτε ὑπὲρ μικρῶν τοὺς τοιούτους λόγους νομίζομεν, οὔτε δυναμένους καὶ ὑπὸ νηπίων, ὡς ἡ σὴ αἰδεσιμότης εἴρηκε, λύεσθαι, ἀλλ' ἀναγκαίους πρὸς τὸ προκείμενον, καὶ ἄλλως χρησίμους, ἐπειδὴ περὶ τῶν φωνῶν τῶν θείων πατέρων αὐτοὺς λέγομεν· τοῦτο πρότερον ὑποθέμενοι, κἂν ἀληθὲς τὸ δόγμα ᾖ τὸ παρ' ὑμῶν προστιθέμενον, μὴ δεῖν ἐν τῷ συμβόλῳ προσκεῖσθαι καὶ ἐκφωνεῖσθαι. βέλτιον οὖν περὶ τοῦτο τὸ μέρος ἀπασχολεῖσθαι, καὶ τὰ τῆς θεολογίας μένειν ἐᾶν ἀκίνητά τε καὶ ἀνεξέταστα· τοῦτο γὰρ καὶ εὐλαβείας ἔχεται μᾶλλον, καὶ τῇ φύσει τοῦ πράγματος ἕπεται. γινώσκειν οὖν βουλόμεθα τὴν αἰδεσιμότητά σου, ὅτι ἡμεῖς οὐκ ἀποστησόμεθα τῆς ἐξετάσεως ταύτης, μέχρις ἂν εἰς τέλος ἐξυφανθῇ, καὶ εἴς τι κοινὸν συμπέρασμα καταντήσωμεν. τοῦτο γὰρ ἡμεῖς καὶ λέγομεν καὶ φρονοῦμεν καὶ ἀποδεῖξαι ῥᾳδίως ἔχομεν, ὅτι κἂν ἀληθὲς εὑρεθῇ τὸ δόγμα ἐξεταζόμενον ὕστερον, ἐν ἰδίῳ ὅρῳ ἐκτεθήσεται πάντως, ὥσπερ ἐν ἑκάστῃ τῶν οἰκουμενικῶν συνόδων ἐγένετο· ἐξ αὐτοῦ δὲ τοῦ συμβόλου ὀφείλει πᾶσι τρόποις ἐξαιρεθῆναι, ἵνα ἡ τῶν Χριστιανῶν ὁμόνοια ἡ διὰ ταύτην τὴν αἰτίαν λυθεῖσα, συναφθῇ πάλιν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐπειδήπερ ὁ καιρός ἐστι τὸ ποθεινότερον πρᾶγμα πάντων, ὧν δύναται ἄνθρωπος ἔχειν, καὶ πολλάκις ὁ γαληνότατος βασιλεὺς εἴρηκεν, οὐκ ὀφείλειν καταναλίσκεσθαι τὸν καιρὸν ἐπὶ ματαίῳ, ἀρκεσάντως περὶ τούτου τοῦ ζητήματος διελέχθημεν, καὶ διὰ ῥημάτων καὶ συγγραμμάτων ἑκατέρωθεν. ἡγοῦμαι δὲ, ὅτι πάντες ἄτε ἄνδρες σοφώτατοι καὶ νουνεχέστατοι καὶ συνετώτατοι γνωρίζετε τὴν ἀλήθειαν καὶ κρίνετε, ὅτι τὸ ζήτημα τοῦτο οὐκ ἔχει δυσχέρειαν. ἐγὼ δὲ οὐκ ἐπιλαμβάνομαι, διότι τὸ ζήτημα τοῦτο

εἰσήξατε εἰς τὸ μέσον· ἐποιήσατε γὰρ κατὰ τοὺς ἀξιολόγους ἄνδρας, οἵτινες ὅτε βούλονται ἀγωνίσασθαι, ἄρχονται ἀπὸ τοῦ κουφοτέρου. τοῦτον τὸν τρόπον καὶ ἡ αἰδεσιμότης ὑμῶν βουλομένη εἰσελθεῖν εἰς τὸν ἀγῶνα περὶ τῆς μείζονος ὑποθέσεως, ἠβουλήθη ἄρξασθαι ἀπὸ τοῦ εὐχερεστέρου ζητήματος. ἐπειδὴ δὲ διὰ τοσούτου καιροῦ ἐξήτασται, καὶ καλῶς διηνοίχθη ἡ ἀλήθεια· εἰ καὶ τὰ μάλιστα παρ' ὑμῖν οὐκ ἠγνοεῖτο, ἀλλ' ἐποιήσατε τοῦτο, ἵνα δῆλον ὑμῖν γένοιτο, τίνι τρόπῳ οἴδαμεν ἡμεῖς οἱ Λατῖνοι ἀπολογεῖσθαι· παρακαλῶ ἵνα ἔλθωμεν πρὸς τὴν μείζονα ἐκείνην δυσχέρειαν. καὶ γὰρ καθ' ὃν τρόπον πρότερον εἶπον, πάλιν λέγω τοῦτο· ὅτι ἐὰν δυνηθῆτε ἀποδεῖξαι, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ, ἐρῶ ὅτι κατ' οὐδένα τρόπον τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ἐξῆν προσθεῖναι τοῦτο ἐν τῷ συμβόλῳ. εἰ δὲ τοῦτο οὐ δυνηθῆτε δεῖξαι, ἀλλὰ μᾶλλον μὲν οὖν τὸ ἐναντίον δειχθήσεται, τότε πεπεισμένος εἰμὶ, ὡς οὐδεμίαν περὶ τούτου ποιήσετε ἀμφισβήτησιν. ὅμως δι' ἐμὲ οὐ βούλομαι τὰ τοιαῦτα παραλιπεῖν. εἰ γὰρ οὐκ ἔστι πρὸς βάρος τῶν ἀκροωμένων, ἐγὼ ἑτοιμότατός εἰμι ἀποκρίνεσθαι πρὸς τὰς φερομένας παρ' ὑμῶν ἐρωτήσεις. ἀλλ' ἴσως ἄμεινον ἂν εἴη τὰς τεταγμένας ἡμέρας, ἐν αἷς ὀφείλομεν συνέρχεσθαι, ποιεῖσθαι τὸν λόγον περὶ τὴν μείζονα ἀμφιβολίαν· μεταξὺ δὲ τῶν ἄλλων καὶ ἡμᾶς συνέρχεσθαι καὶ ἐξετάζειν περὶ τούτου. ὅμως εἰ βούλεσθε καί τι ἐρωτῆσαι ἕτερον, ἐρωτησάτω ἡ σὴ αἰδεσιμότης, καὶ ἐγὼ ἄσμενος ἀποκρινοῦμαι. ἐρῶ ἔτι λόγον ἕνα. ἐγὼ ἡδέως ὁμιλῶ μετὰ τῆς σῆς αἰδεσιμότητος ὡς μετὰ πατρός. πολλάκις εἶπες, ὅτι ἡ τοιαύτη κώλυσις οὐκ ἦν πρὸ τῆς τρίτης συνόδου. ἐγὼ ὑπολαμβάνω, ὅτι αὕτη ἡ κώλυσις πρὸ τῆς τρίτης συνόδου γέγονε. καὶ καλόν ἐστιν, ἵνα ἀκούσωσιν οἱ πατέρες οὗτοι. εἰ γὰρ καὶ πολλὰ ἐξεθέμην ἐν τῷ συγγράμματί μου, ὅμως περὶ τούτου οὐκ εἶπον. ὁ δὲ ἰσχυρότερος λόγος, ἀφ' οὗ φαίνεται ἐν τῷ συμβόλῳ μὴ ἐξεῖναι προσθεῖναι μηδοτιοῦν, λαμβάνεται ἀπὸ τῆς ἐπιστολῆς τοῦ Κυρίλλου. εἰ οὖν καλῶς ἐπιβάλλεις τὸν νοῦν τοῖς ῥήμασιν ἐκείνου, εὑρήσεις τὸν Κύριλλον μὴ * ποιοῦντα προσθήκην περὶ ὀνόματος, ἀλλὰ μὴ παραβῆναι κατ' οὐδένα τρόπον τὴν πίστιν· ὅμως δοθέντος ὅτι καὶ ὁ Κύριλλος εἶπε, μὴ ἐξεῖναι προσθεῖναί τι ἐν τῷ συμβόλῳ, τοῦτο σὺ ποιεῖ καθ' ἡμῶν. ὁ Κύριλλος καθίστησιν ἑαυτὸν ἔν τινι ῥητῷ τῆς

* ἴσως· μὴ κωλύοντα προσθήκην.

γραφῆς, ἔνθα λέγει· Ἐμνήσθημεν τοῦ λέγοντος· Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου· * οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός. ὅθεν ὁ Κύριλλος ἑδράζεται ἐν τοιούτῳ ῥητῷ, ὡς κεκωλυμένον εἴη τὸ μήτε προσθεῖναι μήτ' ἀφελεῖν· καί φησιν, ὅτι οἱ ἅγιοι πατέρες, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον· τοῦτο γὰρ κεῖται ἐν τῇ Σοφίᾳ * τοῦ Σολομῶντος· πρὸ τῆς τρίτης συνόδου ἦσαν, καὶ οὐ πρὸ τῆς τρίτης μόνον, ἀλλὰ καὶ πρὸ τῆς πρώτης, καὶ πρὸ τῆς πίστεως τοῦ Χριστοῦ. ἔτι λέγει ὁ μακάριος Καιλεστῖνος· Τίς ποτε οὐκ ἐκρίθη ἄξιος τοῦ ἀναθεματισμοῦ, ὁ προστιθέμενος ἢ ἀφαιρῶν ἀπὸ τῆς καθολικῆς πίστεως; ἥπερ ἀποστολικὴ οὖσα οὐκ ἐπιδέχεται οὔτε αὔξησιν οὔτε μείωσιν· καὶ μεγάλῃ τιμωρίᾳ ὑποβαλεῖται καὶ ὁ ἀφαιρῶν καὶ ὁ προστιθέμενος· ἀνέγνωμεν ἐν τοῖς βιβλίοις ἡμῶν, μηδὲν δεῖν προστιθέναι ἢ ἀφαιρεῖν. Αὕτη ἡ ἐπιστολὴ ἦν πρὸ τῆς ἀρχῆς τῆς ἐν Ἐφέσῳ συνόδου, ὅμως ὁ ὢν πρὸ τῆς τρίτης ὁμολογεῖ μὴ ἐξεῖναι προσθεῖναι μήτ' ἀφαιρεῖν ἀπὸ τῆς καθολικῆς πίστεως. ἔχω δύο μάρτυρας, ἔτι προσοίσω καὶ τρίτον, ὡς ἂν ἐν ῥήματι δύο ἢ τριῶν σταθῇ πᾶν ῥῆμα· * καὶ προκομίζω τὴν ἑβδόμην σύνοδον, ἥτις φησί· Τὰ παραδοθέντα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ οὔτε μείωσιν οὔτε αὔξησιν ἐπιδέχεται· μεγίστῃ γὰρ ὑποβάλλει ποινῇ καὶ τὸν ἀφαιροῦντα καὶ τὸν προστιθέμενον· ἐπικατάρατός ἐστιν ὁ μεταίρων ὅρια αἰώνια, ἐπικατάρατός ἐστιν ὁ μεταίρων ὅρια τῶν πατέρων αὐτοῦ· * ἀλλ' οὐκ ἔσχον πρόθεσιν πρὸς τὸ γνῶναι τὴν ἀλήθειαν.

* Παροιμ. 22, 28.

* ταῖς Παροιμίαις.

* Δευτερ. 19, 15.

* Δευτερ. 27, 17.

Αὕτη ἡ ἑβδόμη σύνοδος ἑδράζεται ἐν τῇ χρήσει τῆς ἱερᾶς γραφῆς τῇ λεγούσῃ· Ἐπικατάρατος ὁ μεταίρων, καὶ τὰ λοιπά· τοῦτο δὲ συμβαίνει κατ' ἐκείνων τῶν μὴ ἐχόντων πρόθεσιν ἐπιγνῶναι τὴν ἀλήθειαν. ὅθεν περαίνεται, ἐκεῖνον εἶναι τὸν παραβαίνοντα, τὸν μὴ ἑπόμενον τῇ πίστει τῇ παραδοθείσῃ παρὰ τῶν πατέρων αὐτοῦ· ὁ δὲ ἀναπτύσσων τὴν πίστιν, οὔτε παραβαίνει τοὺς ὅρους τῶν πατέρων αὐτοῦ, οὔτε ἀφαιρεῖ ἢ προστίθησιν. ὁ δὲ λόγος· γέγονεν αὕτη ἡ κώλυσις, καθὼς ὁ Κύριλλός φησι, κατὰ τοῦ λαλοῦντος παρὰ τοὺς ὅρους τῶν πατέρων αὐτοῦ. ἐπειδὴ δὲ τὸ Πνεῦμα τὸ ἅγιον πνεῦμα ἀληθείας ἐστὶν, ὃς ἂν λέγῃ τὴν ἀλήθειαν, φίλος ταύτης καὶ τῶν ὅρων ἐντός ἐστιν· ὁ δὲ λέγων τὸ ψεῦδος καὶ παραβαίνων, ἢ προστίθησιν ἢ ἀφαιρεῖ, καὶ ἐκεῖνός ἐστιν ὁ παραβάτης τῶν ὅρων τοῦ

ἁγίου Πνεύματος, καὶ προστιθέμενος καὶ ἀφαιρῶν τῆς πίστεως τῶν πατέρων· τοῦτο οὖν τὸ κείμενον σαφῶς παριστᾷ, ὅτι ὁ μὴ ἔχων πρόθεσιν ἐπιγνῶναι τὴν ἀλήθειαν, ἐκεῖνός ἐστιν ὁ προστιθέμενος ἢ ἀφαιρῶν.

Ἐπειδὴ δὲ ἡ κώλυσις αὕτη γέγονε παρὰ πατέρων τῆς τρίτης συνόδου, ἢ δι' αὐτῶν * παρὰ τοῦ ἁγίου Πνεύματος, ἆρα ἂν εἰ εἴποιμεν τὴν ἐν Νικαίᾳ σύνοδον παραβεβηκέναι τὰ ὅρια τῶν πατέρων αὐτῆς, πιστευθείημεν ὑπὸ τῶν ἄλλων; καὶ γὰρ εἰ νοήσομεν νῦν, ὅτι ἡ ἐναλλαγὴ τῶν ῥημάτων κωλύεται, οὐχ ἡ τῆς διανοίας, τότε ὑποβαλοῦμεν τοὺς πατέρας τῇ φωνῇ τοῦ ἀναθέματος· καὶ γὰρ, ὡς εἶπον, ἡ ἐν Νικαίᾳ ἀφεῖλέ τινα τοῦ συμβόλου τῶν ἀποστόλων. τοῦτο λέγω καὶ περὶ τῆς ἐν Κωνσταντινουπόλει, ἣ μετὰ τὴν κώλυσιν ταύτην προσέθηκε πολλὰ τῷ ἐν Νικαίᾳ. τὸ δὲ λέγειν τὴν ἀλήθειαν κρίνεται ταὐτὸν, καὶ οὐχ ἑτέρωθεν ἢ ἐναντίως. ὅθεν ἀπὸ τούτων συνάγεται, ὅτι τὸ λέγειν τὰς μετὰ ταῦτα συνόδους κεκωλῦσθαι προσθεῖναί τι ἐν τῷ συμβόλῳ, οὐκ ἔστιν ἀληθές. Ἔτι ἐν τῇ βίβλῳ ταύτῃ ἐστὶ τὸ σύμβολον τὸ ἐν Νικαίᾳ καὶ τὸ ἐν Κωνσταντινουπόλει ἑλληνικῶς, ἔσχομεν γὰρ ταύτην ἀπὸ τῆς Κωνσταντινουπόλεως· Πιστεύομεν εἰς ἕνα Θεὸν, καὶ τὰ ἑξῆς· ἡμεῖς ἔχομεν ἐνταῦθα τρεῖς βίβλους, δύο τῆς πράξεως τῶν ἐν Χαλκηδόνι, καί εἰσι λίαν ἀρχαῖαι, ἡ μὲν μία ἐστὶ πλέον πεντακοσίων χρόνων, κἀκεῖ τίθεται τὸ ἐν Κωνσταντινουπόλει σύμβολον, καὶ οὐδέποτε τίθεται τό· Ἐκ τῶν οὐρανῶν, καί· Κατὰ τὰς γραφάς. Ἔτι ἔχομεν βίβλον διὰ γραμμάτων λογγοβάρδων, ἥτις ἐστὶν ἀρχαιοτάτη, καὶ κεῖται ἐκεῖσε καὶ ἐν τῷ ἐν Κωνσταντινουπόλει συμβόλῳ, δηλονότι τό· Ἐκ τῶν οὐρανῶν, καί· Κατὰ τὰς γραφάς. ἡ βίβλος δὲ ἐκείνη, ἣν μοι ἐδείξατε, ὅπου εἰσὶ τὰ πρακτικὰ τῆς τετάρτης συνόδου, ἐστὶ βίβλος νέα καὶ οὐ πλεῖον τῶν τριάκοντα χρόνων, αὗται δέ εἰσιν ἐπέκεινα τῶν πεντακοσίων χρόνων. Κύριε Ἐφέσου, ἐὰν καὶ ἡμεῖς τίθεμεν δύο τινὰ ῥήματα οὐκ ὄντα ἐν τῷ συμβόλῳ, οὐκ ὀφείλετε ἐλέγχειν ἡμᾶς. τὰ ῥήματα ταῦτα τά· Θεὸν ἐκ Θεοῦ, οὐκ ἔχετε, καὶ ἡμεῖς ἔχομεν τὰ ῥήματα ταῦτα, ἀλλ' ὅμως οὐκ ἐπιλαμβάνεσθε ἡμῶν, διὰ δὲ τῶν ῥημάτων τῶν· Ἐκ τοῦ Υἱοῦ, ἐπιλαμβάνεσθε.

* Ἴσως πρὸ αὐτῶν.

Ὁ ἘΦΕΣΟΥ. Πρὸς μὲν τὰ πρότερον εἰρημένα δεόμενα μακροτέρων λόγων, οὐκ ἔστι καιρὸς ἀπολογήσασθαι νῦν. καίτοι γε ὡς

ἠρώτησας, ταῦτα προύβαλλετο ἡ σὴ αἰδεσιμότης. καὶ ἐντυπωθῆναι παρ' ἡμῶν ἐζήτησας. τοῦτο μὲν οὖν ἐστιν ὑπὲρ τὴν ἡμετέραν ἀξίαν, ὅμως δὲ εἴχομεν ἀπολογήσασθαι καὶ συμβιβάσαι πρὸς τὴν ἀληθῆ ἔννοιαν. ἀλλ' οὐδὲ πρὸς τὸ νῦν εἰρημένον τοῦ βιβλίου ἔχομεν ἀπολογήσασθαι κατὰ τὸ παρὸν, τοῦ καιροῦ τοῦτο μὴ συγχωροῦντος. ἀναβληθήσεται δὲ ἅπαντα κατὰ τὸν ἴδιον λόγον ἐξετασθησόμενα. ἐπειδὴ δὲ καὶ νῦν ἐν τοῖς σοῖς λόγοις εἴρηκας, τὴν καθολικὴν ἐκκλησίαν καὶ τὸν προεστῶτα ταύτης δύνασθαι μεταποιεῖν τὸ κοινὸν σύμβολον, καὶ πολλάκις ἄλλοτε πρότερον εἴρηται τοῦτο, δῆλον δὲ ὅτι πρὸς τὴν Ῥωμαϊκὴν ἐκκλησίαν ἀποβλέπων καὶ τὸν ἄκρον ἀρχιερέα τοῦτο εἴρηκας, ἡμεῖς τοῦτο καταλιπεῖν ἀνεξέταστον εἰρημένον οὕτω πολλάκις οὐκ ἀνεχόμεθα. βουλόμεθα δὲ περὶ τούτου τὸν λόγον ποιήσασθαι ἐν τῇ ἐφεξῆς συνελεύσει, εἰ καὶ ὑμῖν συνδοκεῖ. ἔχομεν γὰρ πολλὰ καὶ γενναῖα εἰπεῖν εἰς ἡμέτερον δίκαιον συμβαλλόμενα· ὑποπτεύομεν δὲ μήποτε οἱ περὶ τούτων λόγοι σκάνδαλόν τι εἰσενέγκωσι. διὰ τοῦτο εἴπον, εἰ καὶ ὑμῖν συνδοκεῖ. ἔσται γὰρ ἡ ἐξέτασις αὕτη παρὰ τῇ ὑμετέρᾳ θελήσει, καὶ εἰ ὑμῖν συνδοκεῖ γενήσεται· ἡμεῖς γὰρ ἕτοιμοί ἐσμεν.

ΙΟΥΛ. ΚΑΡΔ. Μετὰ τῶν ἄλλων ἄρθρων, ὧν διαφέρονται οἱ Λατῖνοι καὶ οἱ Γραϊκοὶ, ἔστι καὶ τοῦτο, ἡ αὐθεντία τῆς Ῥωμαϊκῆς ἐκκλησίας. ἐπειδὴ νῦν ἐσμεν ἐν τῇ ἐξετάσει τοῦ ἄρθρου τῆς πίστεως περὶ τοῦ ἁγίου Πνεύματος, οὐ φαίνεται πρέπον ἐγκαταμίξαι τὸ ἄρθρον τοῦτο μετὰ τοῦ ἄρθρου τοῦ τῆς καθολικῆς ἐκκλησίας ὄντος. διὰ τοῦτο καὶ ἐν τῇ γραφῇ, ἣν ἔδωκα πρὸς ὑμᾶς, λέγω, ὅτι περὶ τῆς αὐθεντίας τῆς Ῥωμαϊκῆς ἐκκλησίας κατὰ τὸ παρὸν οὐ λέγω, ἐν καιρῷ δὲ καὶ περὶ τούτου ῥηθήσεται. ὅταν οὖν ἔλθωμεν ἐπὶ τὴν ἐξέτασιν τοῦ ἄρθρου τούτου, τότε ἡ αἰδεσιμότης σου ἐλευθέρως ἐρεῖ πάντα ὅσα ἂν εἴη σοι βουλητά. καὶ ὀφείλετε πιστεύειν, ὅτι οὐ προσκρούετε τῷ ἁγίῳ ἡμῶν δεσπότῃ τῷ πάπᾳ, ἐπειδὴ οὐκ ἔστιν ἐνταῦθα δι' ἄλλο, ἀλλ' ἢ ἵνα ἀναπτυχθῇ ἡ ἀλήθεια. διὰ δὲ τῆς τοῦ Χριστοῦ χάριτος αὕτη ἡ ἐξουσία τῆς Ῥωμαϊκῆς ἐκκλησίας καὶ τοῦ ἄκρου ἀρχιερέως ἐστὶ φανερωτέρα διὰ τῶν εὐαγγελίων, ἔτι γε μὴν καὶ διὰ τῶν ἁγίων οἰκουμενικῶν συνόδων. ὥστε εἴπερ ἡ ἀπορία αὕτη, τὸ μὴ ἐξεῖναι προσθεῖναι, ἔχει ἀπορίαν, ἐπειδὴ ὡς εἶπον πρὸ ὀλίγου ἡ περὶ τοῦ τοιούτου ἄρθρου ἐστὶ διακεκριμένη

τῶν ἄλλων, οὐ φαίνεται προσῆκον συμμιγνύειν τῇ τούτου ἐξετάσει τὴν περὶ τοῦ ἑτέρου ἄρθρου ἐξέτασιν. ὅθεν καὶ πάλιν παρακαλῶ, ἵνα εἰσέλθητε ἐν τῇ ἐξετάσει τῆς προόδου τοῦ ἁγίου Πνεύματος. ἐκεῖ γὰρ διασαφηνισθήσονται ταῦτα καὶ βέλτιον καὶ ἀληθῶς. πέπεισμαι δὲ ὡς ἐὰν ὁμονοήσωμεν ἐν ταύτῃ τῇ ἀμφισβητήσει τῇ περὶ τοῦ ἁγίου Πνεύματος, εὐχερῶς καὶ καλῶς καὶ ἐν τοῖς ἄλλοις ὁμονοήσομεν.

Νοεμβρίου ἑβδόμῃ καὶ εἰκοστῇ, ἡμέρᾳ πέμπτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΓ.

Ἰστέον ὅτι ἐν τῇ παρούσῃ συνόδῳ παρεγένοντο οἱ τοῦ δουκὸς τῆς Βουργουνδίας ἀποκρισιάριοι, ὄντες ἐπίσκοποι μὲν τέσσαρες, ἀρχιδιάκονος εἷς καὶ ἄρχοντες καβαλλάριοι δύο καὶ ἕτεροι ἱερομόναχοι καὶ κοσμικοί, οἳ καὶ προσεκύνησαν τῷ μακαριωτάτῳ πάπᾳ προκαθημένῳ, παρόντος καὶ τοῦ βασιλέως τοῦ ἁγίου καὶ πάντων τῶν τε τῆς ἀνατολικῆς ἐκκλησίας καὶ τῆς δυτικῆς, ἄνευ μόνου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ πατριάρχου, ἐπισχεθέντος ἀσθενείᾳ σωματικῇ. προσφωνησάντων οὖν αὐτοὺς δύο ἐπισκόπων ἀπὸ στόματος τοῦ μακαριωτάτου πάπα, καὶ τῆς τεταγμένης ὥρας παρελθούσης, ἀνέστησαν, μηδὲν περὶ τοῦ προκειμένου εἰπόντες. Οὗτοι τοίνυν οἱ τοποτηρηταὶ καὶ ἀποκρισιάριοι τοῦ δουκὸς, ἐλθόντες ὡς εἴπομεν, καὶ τάξεως γενομένης, προσεκύνησαν μόνον τὸν πάπαν κατὰ τὸ ἔθος αὐτῶν, καὶ ἠσπάσαντο πάντες τὴν δεξιὰν αὐτοῦ καὶ τὴν παρειὰν καθημένου· τὸν δὲ βασιλέα ἡμῶν οὐδ' ὅλως ἢ ἐχαιρέτησαν ἢ προσεκύνησαν, ἀλλὰ τὸ μέρος τῶν Λατίνων διελθόντες ἐκάθισαν. ἀλλ' ὅμως τὰ κομισθέντα τῇ συνόδῳ γράμματα ἔδωκαν, καὶ λατινικῶς ταῦτα ἀνέγνωσαν, καὶ ἡμεῖς οὐδὲν ἐξ αὐτῶν κατελάβομεν, ἐπεὶ ἑλληνιστὶ οὐκ ἀνέγνωσαν ταῦτα ἡμῖν, καὶ εὐθέως ἀνέστημεν· καὶ οὕτως ἐλύθη ἡ σύνοδος.

Ἀλλ' οὐκ ἦν φορητὰ ταῦτα τῷ βασιλεῖ· ὕβριν γὰρ ἐλογίσατο, ὅτι οὐδὲν προσεκύνησαν αὐτὸν, καὶ ἐλυπήθη ὡς τὰ πολλά. ἀπὸ τότε δὲ ἔλεγεν· Εἰ μὴ πάλιν ἡ σύνοδος γένηται, καὶ οἱ τοποτηρηταὶ τοῦ δουκὸς καταλάβωσι, καὶ τὴν προσήκουσαν προσκύνησιν ἐμοὶ,

ὡς ἔθος βασιλεῦσι, ποιήσωσιν, οὐκ εἰσέρχομαι ἀπὸ τοῦ νῦν ἐν τῇ συνελεύσει, ἀλλ᾽ οὐδὲ σύνοδος γενήσεται. πρέσβεων οὖν γενομένων ἀπὸ τοῦ πάπα τῷ βασιλεῖ, ὁ πατριάρχης μεσολαβήσας ἔπεισε τὸν βασιλέα, ἵνα τὴν σύνοδον ποιήσῃ, καὶ ὅπερ οὐκ ἐποίησαν οἱ τοποτηρηταὶ τῇ παρελθούσῃ συνελεύσει, ποιήσουσι νῦν. καὶ γὰρ ἦν ὁ πατριάρχης τότε ἀσθενὴς, ἀλλ᾽ ὅμως οὐκ ἠμέλησε τῆς διορθώσεως τοῦ πράγματος, ἀλλὰ καὶ τὸν βασιλέα ἐδυσώπησε καὶ τὸν πάπαν ἐδιώρθωσε καὶ εἰς τοὺς τοποτηρητὰς ἔταξεν, ἵνα τὸν βασιλέα προσκυνήσωσι. Τούτων οὖν οὕτω πραχθέντων, ἡμέραι παρῆλθον ὀκτὼ, καὶ τῇ τετάρτῃ τοῦ δεκεμβρίου, ἡμέρᾳ πέμπτῃ συνῆλθε πάλιν ἡ σύνοδος.

Δεκεμβρίου μηνὸς τετάρτῃ, ἡμέρᾳ πέμπτῃ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΔ.

Ἐν ταύτῃ τῇ συνελεύσει πάντων δὴ συναχθέντων, καὶ τῆς τάξεως γενομένης, ἦλθον οἱ ἀποκρισιάριοι καὶ οἱ τοποτηρηταὶ καὶ προσεκύνησαν τὸν βασιλέα, ἀλλ᾽ οὐδὲ πάλιν καθὼς ἔπρεπεν. ἀλλ᾽ ὅμως τοῦτο γενναίως ὁ βασιλεὺς ὑπομείνας, ὥρισε λέγειν τοὺς διαλεγομένους. καὶ δὴ εἰς τὸ μέσον καθισάντων, ἤρξατο ὁ Ἐφέσου τὸν διάλογον, καὶ ὡς διὰ τὸ ἐν καλλιεπείᾳ τοῦ λόγου πολλὰ λέγειν αὐτοὺς ἀεὶ, εἰπὼν διὰ βραχέων διαλέγεσθαι, καὶ οἱονεὶ διὰ τοῦ ναὶ καὶ τοῦ οὒ τὰς ἀπολογίας ποιεῖσθαι, προσέθηκεν, ὅτι ὁ Χαρίσιος αὐτοῖς οὐδὲν ἐχαρίσατο. ταῦτα καὶ ὅμοια ἄλλα τοῦ Ἐφέσου εἰπόντος, ἤρξατο ὁ καρδινάλιος Ἰουλιανὸς λέγειν εἰς τὴν μίαν λέξιν μυρίας, καὶ λέγων οὐκ ἐπαύσατο· ἀλλὰ καὶ τὸ διὰ καλλιέπειαν, ὡς ἔφημεν, ῥηθὲν ναὶ καὶ οὒ ἐπαναλαβὼν, αὐτὸς τοσοῦτον ἐπλάτυνε τὸν λόγον, ὅτι οὐκ εἴασε τὸν Ἐφέσου εἰπεῖν λόγον πρὸς αὐτόν· ἀλλ᾽ ἔλεγεν ἕως οὗ τὴν σύνοδον λόγοις ἐπλήρωσε καὶ ἕως ἡ ἑσπέρα κατέλαβε· καὶ οὕτως ἐλύθη ἡ σύνοδος. πρὸς τὰ τέλη τοῦ Ἐφέσου εἰπόντος, καὶ τὸν λόγον παρ᾽ ἡμῖν μεταθέντος, διελάλησαν πάλιν γενέσθαι τὴν σύνοδον τῇ ὀγδόῃ τοῦ δεκεμβρίου μηνός.

Δεκεμβρίου μηνὸς ὀγδόῃ, ἡμέρᾳ δευτέρᾳ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΕ.

Συνήχθημεν οὖν τῇ ἄνωθεν εἰρημένῃ ἡμέρᾳ ἐν τῇ συνελεύσει ἄνευ τοῦ πατριάρχου ἡμῶν, ἠσθένει γάρ· καὶ τῆς συνήθους τάξεως γενομένης, προετρέψατο ὁ βασιλεὺς καὶ τὸν Ἐφέσου λαλεῖν. καὶ δὴ ἤρξατο μετὰ παῤῥησίας, ὅτι οὐκ ἔξεστι προσθεῖναι ἐν τῷ συμβόλῳ μήτε συλλαβήν. τοσοῦτο δὲ ἐξέτεινεν ἑαυτὸν, ὅτι οὐδεὶς ἤλπιζεν ἀντιστῆναι αὐτῷ τινα. Ὁ δὲ Ἰουλιανὸς εἰς εἴκοσι ὀκτὼ κεφάλαια συναγαγὼν πάντα τὰ λαληθέντα παρὰ τοῦ Ἐφέσου, ἐσιώπα ἕως οὗ ὁ Ἐφέσου ἐλάλει. εἶτα ἀνοίξας τὸ στόμα αὐτοῦ, καὶ κατ' ἔπος καὶ κατὰ ἀριθμὸν πάντα ἀπολογησάμενος, ἔλεγεν, ὅτι οὐχ ἥμαρτον ἐν τῷ προσθεῖναι ἐν τῷ συμβόλῳ· καὶ λέγων οὐκ ἐπαύσατο φιλοσοφῶν ποτὲ μὲν ἀπὸ τῶν θείων γραφῶν, ποτὲ δὲ καὶ ἀπὸ συλλογισμῶν. Τούτων παρὰ τοῦ Ἰουλιανοῦ ῥηθέντων, ὁ Ἐφέσου καὶ πάλιν ἤρξατο δημηγορεῖν καὶ ἀποδεικνύειν, ὅτι οὐκ ἔξεστι προσθεῖναι ἐν τῷ συμβόλῳ κατ' οὐδένα τρόπον κἂν μίαν λέξιν ἢ μίαν συλλαβὴν, μερίσας καὶ τὰ προῤῥηθέντα παρὰ τοῦ καρδιναλίου καὶ διαιρήσας αὐτὰ ἐν κεφαλαίοις ὀκτώ· ἤγουν τὸ σύμβολον τοῦ Χαρισίου ὅτι οὐκ ἦν κοινὸν, τὸ τοῦ Νεστορίου ὅτι οὐ περὶ ἐκείνου λόγος, τὴν δύναμιν καὶ τὰς ποινὰς τῶν ὅρων ὅτι ἑνικῶς κολάζουσι καὶ οὐ πληθυντικῶς, τὰς ἐπιστολὰς τοῦ ἁγίου Κυρίλλου, μαρτυρίαν τοῦ μακαρίου Ἀγάθωνος, τὴν ἀνάπτυξιν καὶ τὴν λεγομένην ἑρμηνείαν παρ' αὐτῶν ἐξέθετο, καὶ ὅτι παρὰ κανόνας ἐστὶ τὸ πραχθὲν, ὡς καὶ ἄνευ τελείας συνόδου γεγονός· πολὺν ἐποιήσατο τὸν λόγον, οὐχ ὥσπερ διαλεγόμενος, ἀλλὰ τέλος βουλόμενος ἐπιθεῖναι τῷ πράγματι. ὁ δὲ λόγος αὐτοῦ ἦν οὗτος.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο τὸ σύμβολον ἀπαιτοῦμεν ὑμᾶς, ὦ φίλοι πατέρες, τὴν καλὴν παρακαταθήκην τῶν ἡμετέρων πατέρων τῶν ἐν τῇ ἡμετέρᾳ βασιλίδι πόλει συναθροισθέντων. ἀπόδοτε τοίνυν τοῦτο, καθὼς παρελάβετε παρ' ἡμῶν, εἴ τις ὑμῖν ἐνεπίστευσε παρακαταθήκην, οὐκ ἂν αὐτὴν ὡς παρελάβετε παρεδώκατε; ἀπόδοτε τοίνυν καὶ τὸ τῶν πατέρων σύμβολον ὡς ἐλάβετε. οὐ δέχεται

προσθήκην, οὐ δέχεται μείωσιν. κέκλεισται παρ' αὐτῶν καὶ ἐσφράγισται, καὶ τοὺς τολμῶντας τοῦτο καινοτομεῖν ἀποπέμπονται, καὶ τοὺς ἕτερον παρ' αὐτὸ ποιοῦντας εὐθύναις ὑπάγουσι. μικρὸν ὑμῖν ἡ γενομένη τῆς λέξεως προσθήκη εἶναι δοκεῖ, καὶ ὀλίγος ὁ περὶ ταύτης λόγος; οὐκοῦν καὶ ἐξαιρεθεῖσα μικρὸν ἂν βλάψειεν ἢ οὐδὲν, μᾶλλον δὲ ὠφελήσει τὰ μέγιστα. συνάψει γάρ Χριστιανοὺς ἅπαντας. ἀλλὰ μέγα τὸ γεγονὸς, καὶ πολὺς ὁ περὶ τούτου λόγος· οὐκοῦν οὐδὲ ἡμεῖς ἁμαρτάνομεν πολὺν ποιούμενοι τὸν περὶ τούτου λόγον. δι' οἰκονομίαν τινὰ προσετέθη, δι' οἰκονομίαν ἀφαιρεθήτω πάλιν, ἵνα προσλάβησθε ἀδελφοὺς σπαραττομένους, καὶ τὴν ἀγάπην οὕτω περὶ πολλοῦ ποιουμένους.

Παρακαλοῦμεν τοίνυν ὑμᾶς, ὦ πατέρες καὶ ἀδελφοὶ καὶ κύριοι τιμιώτατοι, ὡς καὶ πρότερον ὑμᾶς παρεκαλέσαμεν διὰ τὰ σπλάγχνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀγαπήσαντος ἡμᾶς ἀχρείους ὄντας καὶ ἁμαρτωλοὺς καὶ ἀπεγνωσμένους, καὶ τὴν ψυχὴν αὐτοῦ θέντος ὑπὲρ ἡμῶν, ἐπανέλθωμεν εἰς τὴν καλὴν συμφωνίαν τὴν πρὸς ἡμᾶς αὐτοὺς καὶ τοὺς ἁγίους πατέρας, ἣν εἴχομεν πρότερον, ὅτε τὸ αὐτὸ πάντες ἐλέγομεν, καὶ οὐκ ἦν ἐν ἡμῖν σχίσματα. * ἐπιγνῶμεν ἀλλήλους ἀδελφικῶς, αἰδεσθῶμεν τοὺς κοινοὺς πατέρας ἡμῶν, τιμήσωμεν αὐτῶν τοὺς ὅρους, φοβηθῶμεν αὐτῶν τὰς ἀπειλὰς, φυλάξωμεν τὰς παραδόσεις, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάσωμεν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* Κορ. ά. 1, 10.

Ὁ δὲ Ἰουλιανὸς οὐκ ἐσιώπησεν, ἀλλὰ καὶ πάλιν ἀπελογήσατο καθὼς ἠδύνατο διαφενδεύεσθαι. τέλος οὕτως εἰπών· Ἐὰν δέκα κεφάλαια προτείνῃς, μυρία μέλλω σοι ἀπολογήσασθαι· καιροῦ δὲ μὴ ὄντος ἀπολογίας, ἐλύθη ἡ σύνοδος.

Οἱ Γραικοὶ οὖν ἡμεῖς ἠρξάμεθα ἀγανακτεῖν, οὐ μόνον οἱ ἀρχιερεῖς, ἀλλὰ καὶ πάντες οἱ κληρικοὶ, ἀλλὰ καὶ οἱ συγκλητικοὶ, καὶ ὅσον ἄθροισμα τούτων ἐστὶ λέγοντες· Τί ποιοῦμεν λέγοντες καὶ ἀκούοντες ἐπὶ κενοῖς ῥήμασιν; οὔτε αὐτοὶ μέλλουσι πεῖσαι ἡμᾶς, οὔτε ἡμεῖς αὐτούς· διὰ τοῦτο πρέπει ἡμῖν ἐπιστραφῆναι εἰς τὴν πόλιν ἡμῶν.

Ὁ δὲ βασιλεὺς μακρόθυμος ἀνὴρ εὑρεθεὶς ἐκαρτέρει τὰ πράγ-

ματα. καὶ οἱ μὲν Γραικοὶ τέλος ἐσπούδαζον ἐπιθεῖναι τῇ διαλέξει, οἱ δὲ Λατῖνοι διϊσχυρίζοντο γενέσθαι τὰς συνελεύσεις, καὶ ἐξετάζειν περὶ τῆς δόξης καὶ τοῦ δόγματος. ἔλεγον γάρ· Ἡμεῖς οὐ περὶ αναπτύξεως θέλομεν ἐρευνᾷν, οὐδὲ πῶς προσετέθη ἐν τῷ συμβόλῳ τό· Ἐκ τοῦ Υἱοῦ, φωνή. ἅπαξ γὰρ ἐτέθη, καὶ ἀδυνάτως ἔχει ἐξελεῖν, εἰ μὴ βλάσφημον ἀποδειχθῇ παρ' ὑμῶν. ἐξετασθήτω οὖν, καὶ εἰ μὲν βλάσφημος, ἀποκηρυχθήτω· εἰ δ' εὐσεβὴς, τί ἔχετε ἐγκαλεῖν ἡμῖν; Ὁ γὰρ Ἐφέσου ἔλεγεν· Ἐξαιρεθήτω ἀπὸ τοῦ συμβόλου, καὶ τεθήτω ἐν ἰδίῳ ὅρῳ, ὥσπερ καὶ τό· Ὁ μονογενὴς υἱός. Ὁ δὲ Ἰουλιανὸς ἀντέφασκεν· Ἐξετασθήτω, πάτερ, ἐξετασθήτω· καὶ εἰ μὲν βλάσφημος εὑρεθείη ἡ· Ἐκ τοῦ Υἱοῦ, φωνὴ, οὔτε ἐν τῷ συμβόλῳ μενεῖ, οὔτε ἀλλαχοῦ τεθείη· τὰ γὰρ βλάσφημα οὐδ' ὅλως χρὴ λέγεσθαι· εἰ δὲ εὐσεβὴς, πανταχοῦ δεκτέα ἐστὶ, καὶ ἐν τῷ συμβόλῳ ἀναγκαιοτάτη.

Τούτων οὕτω λεγομένων, πίπτει ὁ βασιλεὺς ἐν ὀδύνῃ ῥευματισμοῦ, καὶ ὁ πατριάρχης ἀσθενεῖ, καὶ οὐδὲ κἂν δύναται ἀκούειν ἢ λαλεῖν, καὶ ὁ λαὸς πλημμελεῖ. διαγενομένων οὖν ἡμερῶν ἑκκαίδεκα, τοῦ πατριάρχου μικρὸν ἀναζωοποιηθέντος, συνήλθομεν πάντες ἐπ' αὐτὸν, καὶ παρακαλεσάντων αὐτὸν μόλις ἠδυνήθη μετὰ φορείου βασταζόμενος ἀπελθεῖν πρὸς τὸν βασιλέα. δύο οὖν ἡμέρας ποιήσας καὶ βουλευόμενος σὺν τῷ βασιλεῖ, συνήλθομεν πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς· καὶ συνόδου ἡμετέρας γενομένης ἐν τῷ παλατίῳ τοῦ βασιλέως, ἐδημηγόρησεν ὁ βασιλεὺς, λέγων οὕτως.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς ἐπὶ ἑνώσει τῶν ἐκκλησιῶν παρῃτησάμεθα τὴν πατρίδα ἡμῶν, καὶ ἤλθομεν μετὰ μεγάλων κινδύνων καὶ κόπων ζητοῦντες αὐτήν. καὶ πάντες μὲν ὑμεῖς ἐκοπιάσατε τῷ πράγματι· ἀλλ' ἔχετε καὶ λόγον ἀνταποδόσεως τὸν διπλοῦν· καὶ οἱ μὲν ἀρχιερεῖς, ὡς ἐπίσκοποι, εἰς σύστασιν τῶν ἐκκλησιῶν αὐτῶν· οἱ συγκλητικοὶ διὰ τὴν ὀρθοτομίαν τῆς πίστεως καὶ ἐλπίδα τῶν κληρονόμων αὐτῶν· ἐγὼ δὲ ἐπὶ μιᾷ ἐλπίδι μόνον ταλαιπωρῶ πλεῖον ἁπάντων ὑμῶν, ἵνα τάχα δοξασθῶ παρὰ τῷ Θεῷ, ὅπερ ἐστὶ κοινὸν τοῦτο καὶ ὑμῖν. οὔτε γὰρ παιδία καὶ κληρονόμους ἔχω· οὐδὲ πλείονα τιμὴν θέλω ἐγὼ, ἀλλὰ διὰ τὸ γένος τῶν Ῥωμαίων πάσχω ὅσον θεωρεῖτε. λοιπὸν πρέπει ὑμῖν σπουδάσαι τὴν ἕνωσιν τῶν ἐκκλησιῶν διὰ πολλὰ τὰ καλὰ, καὶ μᾶλλον διὰ τὸ ἐπιστρέψαι ἡμᾶς μετὰ

τιμῆς ἠνωμένους, ἢ μετ' αἰσχύνης διῃρημένους εἰς τὴν πατρίδα ἡμῶν.

Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ βασιλέως, ἠρξάμεθα γνωμοδοτεῖν, καὶ ἀνεφάνη καλὸν, ὅπως ἐξετάζωμεν περὶ τῆς δόξης τῶν Λατίνων. ἀλλ' ὁ βασιλεὺς καὶ ἔτι ἐζήτει βουλὴν, πόθεν μέλλομεν ἄρξασθαι, καὶ ποῖόν ἐστι τὸ λυσιτελοῦν ἡμῖν, καὶ πῶς μέλλομεν προχωρῆσαι καὶ ἐξετάζειν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ. καὶ διεκρίθη παρὰ πάντων μὴ ἐν παῤῥησίᾳ, ἀλλ' ἐν μέρει καὶ ἰδίως ἐξετάσαι αὐτό. ἡμεῖς γὰρ οὐ βουλόμεθα ἐκμῆναι τοὺς Λατίνους, οὐδὲ θέλομεν φιλονεικίας καὶ λόγους πολλοὺς, ἀλλ' ἐκλέξασθαι ἀφ' ἡμῶν δώδεκα, κἀκεῖνοι ἑτέρους δώδεκα· καὶ εἴ τι χορηγήσει ὁ Θεὸς αὐτοῖς, ἐκεῖνο γενήσεται.

Ταύτης τῆς γνώμης δοθείσης, ἠρώτησεν ὁ βασιλεὺς τοὺς ἀρχιερεῖς, λέγων· Πῶς ὁ Πάπας ἐμήνυσεν ἡμῖν, ὅτι ἐστὶν ἀναγκαῖον ἀπελθεῖν εἰς τὴν Φλωρεντίαν, καὶ πῶς μηνύει καὶ ἡμᾶς ἀπελθεῖν μετ' αὐτοῦ ἐκεῖ. ἐρωτῶ βουλὴν, εἰ ἔστι καλὸν ἀπελθεῖν, ἢ οὔ. ἀποκριθέντες δὲ οἱ ἀρχιερεῖς εἶπον· Ἡμεῖς οὐδέποτε ἐβουλόμεθα ἐξελθεῖν ἀπὸ τῆς Φεῤῥαρίας, ἐπειδὴ ἐν αὐτῇ ἐτάχθη ἡ σύνοδος πληρωθῆναι, καὶ οὐκ ἀλλαχοῦ· ἀλλ' ὁ ὁρισμὸς τῆς βασιλείας σου εὑρεθήσεται φανερῶν, διατί μέλλομεν ἀπελθεῖν ἐκεῖ; τί γὰρ ἂν οὐδὲν εἴπομεν ὧδε, ἵνα εἴπωμεν αὐτὰ ἐκεῖ; τί δύνανται οἱ Λατῖνοι ποιῆσαι ἐν Φλωρεντίᾳ, ὃ οὐ δύνανται ὧδε; ἆρά ἐστιν ἐλπὶς, ὅπως ἐκβάλωσι τὴν προσθήκην ἀπὸ τοῦ συμβόλου; ἢ ἡμᾶς βούλονται πεῖσαι δέξασθαι αὐτὴν ἐν τῷ συμβόλῳ ἡμῶν; ταῦτά εἰσιν ἀδύνατα ἐπ' ἀμφοτέροις τοῖς μέρεσι· διὸ οὐ πρέπει ἡμᾶς ἀπελθεῖν ἀλλαχοῦ. ἀπεκρίνατο ὁ βασιλεύς· Καὶ πῶς ἔχομεν ζητῆσαι ἔξοδον καὶ τριήρεις παρ' αὐτῶν, ἐὰν μὴ ἀκολουθήσωμεν αὐτοῖς ἔνθα εἰσὶν αἱ ἔξοδοι καὶ τὰ ἀναλώματα; Οἱ δὲ ἀπελογήσαντο, ὅπως ἐξετασθῇ ἡ δόξα ἐν Φεῤῥαρίᾳ· καὶ εἰ μὲν συμφωνήσομεν, ἵνα ἀπέλθωμεν· εἰ δὲ μὴ, οὕτω γενέσθω πάλιν βουλή.

Ἀπεδέξατο ταῦτα ὁ βασιλεὺς· καὶ δὴ ἐξελεξάμεθα ἀφ' ἡμῶν πρόσωπα δώδεκα; ἵνα διαλεχθῶσι περὶ τῆς δόξης τῶν Λατίνων, πῶς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ.

Τούτων οὖν γινομένων ἦλθεν ὁ πατριάρχης εἰς τὴν καταμονὴν αὐτοῦ. περὶ δὲ τῆς δόσεως τῶν τροφείων οὐκ ἦν μελέτη ποτὲ, διὸ καὶ ἐστενοχωρούμεθα τὰ μέγιστα. ἔλεγε γὰρ ὁ Πάπας· Ἐπίστασθε ἀκριβῶς, ὅτι τί ποτε οὐδὲν ἔχω δώσειν ὑμῖν ἐν Φερράρίᾳ, ἐπειδὴ ὅσα ἠλπίζομεν οὐδὲν ἐν εὐοδοῦται. λοιπὸν οἱ Φλωρεντῖνοι δανείζουσιν ἡμῖν τεσσαράκοντα χιλιάδας χρυσίνων, ὅπως μεταθήσωμεν ἐκεῖσε τὴν σύνοδον. ἀκολουθήσατέ μοι γοῦν, ἵνα ἀπέλθωμεν εἰς τὴν Φλωρεντίαν, καὶ ὑπόσχομαι δώσειν ἐν τῇ Κωνσταντινουπόλει ὑπὲρ βοηθείας χρυσίνων χιλιάδας δώδεκα καὶ τριήρεις δύο· ὑμῖν δὲ ὅσα φλωρία χρεωστῶ, καὶ μπάγκον εἰς τὸ ἑξῆς ἀνελλιπῶς λαμβάνειν κατὰ μῆνα τὸ διατεταγμένον ὑμῖν. ἔλθετε οὖν εἰς Φλωρεντίαν, καὶ εἰς διωρίαν τριῶν μηνῶν ἢ τεσσάρων ἵνα ἔχητε ἐξουσίαν ἐπιστροφῆς, κἄν τε ἑνωθῶμεν, κἄν τε μή.

Ταῦτα ἡμεῖς ἀκούσαντες ἐταράχθημεν ὡς εἰκὸς, καὶ μάλιστα ὅτι οὐκ εἴχομεν ἐλπίδα δόσεως ἐν τῇ Φερράρίᾳ, καὶ τί ποιῆσαι οὐκ εἴχομεν· μὴ ἀπελθεῖν εἰς τὴν Φλωρεντίαν; καὶ μὴ εὐποροῦντες ὧδε τοῦ ζῆν; ἀπελθεῖν; καὶ μήπως εὕρωμεν τὰ αὐτὰ ἐκεῖ ὅσα καὶ ἐν Φερράρίᾳ; ἀλλ' ὅμως τί ποιῆσαι οὐκ εἴχομεν. Γέγονε δὲ ὁ βασιλεὺς ὑγιὴς, καὶ μηνύει τῷ πατριάρχῃ ἀπελθεῖν μετὰ τῆς συνόδου καὶ βουλεύσασθαι. ὁ δὲ πατριάρχης ἠσθένει βαρύτερον ἢ χθὲς καὶ πρότριτα. μὴ ἔχων οὖν τί ποιῆσαι ὁ βασιλεὺς, ἀναγκαζόμενος καὶ παρὰ τῶν Ἰταλῶν ἀπολογήσασθαι, εἰ βούλεται ἀπελθεῖν εἰς Φλωρεντίαν ἢ οὔ, ἦλθε πρὸς τὸν πατριάρχην. καὶ εὑρὼν αὐτὸν ἐν κλίνῃ κείμενον, συνῆξε τοὺς ἀρχιερεῖς, καὶ ἐποίησαν σύνοδον ἔξω τῆς καταμονῆς τοῦ πατριάρχου, οὐ μακρὰ ἀπ' αὐτοῦ, ἀλλ' ὅσον τοῦ ἀκούειν καὶ μηνύειν αὐτῷ τὰ γινόμενα.

Προκαθίσαντος οὖν τοῦ βασιλέως, καὶ τῆς συνόδου ἀθροισθείσης μέχρι καὶ τῶν ἡγουμένων, ἐδημηγόρησεν ὁ βασιλεὺς, πάλιν τὰ αὐτὰ εἰπὼν, ὅσα προλαβὼν ὥρισεν ἐν τῇ συναθροίσει τῆς συνόδου ἐν τῷ παλατίῳ αὐτοῦ. ἔλεγε γάρ·

Ὁ ΒΑΣΙΛ. Ἐπίστασθε ἀκριβῶς, ὅτι ἐὰν ἤθελον, ἔμελλον καθέζεσθαι εἰς τὴν βασιλείαν μου, καθὼς καὶ τὸ πρότερον· καὶ ὅπως δήποτε μετὰ τῆς βοηθείας τοῦ θεοῦ ἔμελλον ζῆν. ἀλλ' ὁ πόθος τοῦ γένους καὶ ἡ τιμὴ τῆς πατρίδος ἡμῶν ἠνάγκασέ με καταλιπεῖν τὰς ἀναπαύσεις μου, καὶ τὴν κυρίαν τὴν μητέρα μου, τὴν

δέσποιναν, τὴν Παῤῥησίαν, ἣν ἐπίστασθε. καὶ λαβὼν ὑμᾶς πάντας ἦλθον διὰ πελάγους μετὰ κινδύνων, χειμερίου ὄντος καιροῦ, καὶ ταῦτα ὄντος μου ἐν ἀσθενείᾳ δεινῇ. ἀλλ' οὔτε χειμὼν, οὔτε ἀσθένεια, οὔτε τι ἄλλο ἐνεπόδισε τὴν ὁρμὴν τὴν εἰς τὸ ἀγαθὸν, ἵνα τί κερδανῶ, ἢ τί προσλάβωμαι, εἰ μὴ τοῦ γένους ἀναψυχήν; καὶ προέκρινα ἀποθανεῖν, ἵνα λάβῃ τι ἀγαθὸν ἡ ἡμετέρα πατρίς. ἐκινδύνευσα οὖν, καὶ οὐδέποτε ἐνιάσθην ἐς τοσοῦτον, ὥσαν ἐν τοῖς παροῦσι καιροῖς ἄχρι τῆς σήμερον· ἀλλ' ἡ ἐλπὶς τοῦ ἀγαθοῦ ποιεῖ τὴν ὑπομονήν. λοιπὸν ἤλθομεν εἰς τὸ τέλος τῶν πραγμάτων, καὶ θέλω εἰπεῖν ἕκαστον, ὅσον ἰσχύει ἡ γνῶσις αὐτοῦ· σωτηρία γάρ φησιν ὁ σοφὸς, ἐν πολλῇ βουλῇ. καὶ εἴ τι ἀναφανῇ καλὸν, ἐκεῖνο ποιήσωμεν. οὐδὲν γὰρ βιαστῶς ποιοῦμεν. ἀλλὰ μετὰ σκέψεως καὶ βουλῆς. δότε οὖν γνώμην, ἐκ τῶν δύο τὸ ἕν· ἵνα λάβωμεν τὴν δόσιν ταύτην τοῦ Πάπα, καὶ ἀπέλθωμεν εἰς Φλωρεντίαν· ἢ ἵνα παραιτησώμεθα αὐτὸν, καὶ ἐπιστρέψωμεν εἰς τὴν πατρίδα ἡμῶν. πλὴν σκέψασθε πῶς μέλλομεν ἀπελθεῖν, καὶ ἐὰν ἔχωμεν ἔξοδον, καὶ ἐὰν ἔχῃ βοήθειάν τινα ἡ Κωνσταντινούπολις.

Ταῦτα τοῦ βασιλέως εἰπόντος καὶ ἄλλα ὅμοια, ἀπεκρίθησαν ὁ Ἡρακλείας καὶ ὁ Ἐφέσου ἀπὸ τῆς συνόδου, λέγοντες· Τοὺς κόπους τῆς ἁγίας σου βασιλείας σαφῶς ἐπιστάμεθα, καὶ τὴν ἀπορίαν ἣν ἔχομεν οὐκ ἀγνοοῦμεν. λοιπὸν δίκαιόν ἐστιν, ὅπως φροντίσωμεν καὶ περὶ ἑαυτῶν, καὶ περὶ μητροπόλεως ἡμῶν. καὶ πάντες οἱ ἀρχιερεῖς εἶπον· Ἀρέσκει. Διὸ καὶ ἐζητήσαμεν τῷ βασιλεῖ ποιῆσαι ἡμῖν ταῦτα, καὶ οὕτως ἀπελευσόμεθα εἰς Φλωρεντίαν. ὅπως ἔχῃ ἡ πόλις ἡμῶν μηνῶν ὀκτὼ βοήθειαν· ὅπως ἔχωμεν ἡμεῖς πέντε μηνῶν ὀφειλόμενα τροφεῖα· ὅπως ἔχωμεν μπάγκον φλωρέντιον εἰς τὸ ἑξῆς· ὅπως ἔχωμεν πάσας τὰς ἐξόδους ἕως τῆς Φλωρεντίας· ὅπως ἐκεῖσε ἀπελευσόμεθα μόνον καὶ οὐκ ἀλλαχοῦ· ὅπως ποιήσωμεν μόνον μῆνας τέσσαρας καὶ οὐ πλέον· ὅπως ἔχωμεν τὴν κρίσιν ἡμῶν εἰς ἑαυτοὺς καὶ τὴν ἐξουσίαν εἰσελθεῖν ὡς βουλόμεθα· καὶ ἔτι τὰ ὤνια μὴ κρεουργηθῆναι ἀπὸ τοῦ νῦν. Ταῦτα εἰπόντες, καὶ τὸν βασιλέα εὑρόντες καταπειθῆ μᾶλλον, ταῦτα ὁ βασιλεὺς ἀποδεξάμενος ἐμήνυσε τῷ πατριάρχῃ ὄντι ἐν τῷ ἐνδοτέρῳ οἰκήματι, καθὼς ἔφημεν, εἰ ἀρέσκεται ἐν τῇ γνώμῃ ταύτῃ τῶν ἀρχιερέων. ὁ δὲ καὶ ἀρέσκει ἔφη, καὶ κατὰ τὴν γνώμην αὐτοῦ ἔκριναν, προσθεὶς, ὅτι ἵνα ὀφείλῃ ὁ Πάπας εἰ μὴ

ἄλλον τινὰ, ἀλλὰ κἂν ἑαυτὸν, ὅτι νὰ ὑποστρέψῃ μετὰ τῶν ἐξόδων αὐτοῦ εἰς Βενετίαν.

Τούτων γενομένων ὥρισεν ὁ βασιλεὺς καὶ ἔλαβε γνώμας τῶν ἀρχιερέων, καὶ ἐβεβαίωσε τὴν εἰς Φλωρεντίαν ἀπέλευσιν. ἦν δὲ τότε παρασκεύη ἡμέρα, ἑσπέρας, ἰανουαρίου μηνὸς δευτέρα. τοῦ σαββάτου δὲ καὶ τῆς κυριακῆς παρελθούσης, καὶ τοῦ βασιλέως μετὰ τοῦ Πάπα περὶ τῆς ὁδοῦ φροντιζόντων, ἰδοὺ ἐπέστη ἡ ἑορτὴ τῶν ἁγίων Θεοφανίων, ἣν καὶ ἑορτάσαμεν ἐν τῇ Φερραρίᾳ ἐν τῷ οἴκῳ τῷ συνήθει τῶν ἀκολουθιῶν. τῆς ἑορτῆς οὖν παρελθούσης, καὶ τῶν συμφωνιῶν γενομένων, ἦλθε καὶ πάλιν ὁ βασιλεὺς ἐμφανίσων εἰς τὴν σύνοδον ἀνυπόγραφα τὰ γεγονότα γράμματα, εἰ πᾶσιν ἀρέσκουσι. καὶ ταῦτα ἀναγνόντες, καὶ καλὰ τοῖς πᾶσι φανέντα, ἐβεβαιώθη παρ' ἡμῶν, ἵνα λάβωμεν ἔξοδον, καὶ εἰς τὴν Φλωρεντίαν ἀπελευσώμεθα.

Τούτων οὖν γενομένων, ὥρισεν ὁ βασιλεύς· Νόμος ἐστὶ παρὰ τοῖς Λατίνοις, μὴ ἁπλῶς καὶ ὡς ἔτυχε διαλύεσθαι οἰκουμενικὴν σύνοδον ἄνευ τελείας πράξεως καὶ ὅρων συνοδικῶν, εἰ μὴ συμβῇ ἀπὸ τῶν τριῶν τούτων αἰτιῶν· τὸ ἓν, ἐάν ἐστι θανατικόν· τὸ δεύτερον, ἐὰν γένηται λιμός· τὸ τρίτον, ἐὰν συμβῇ ἐπανάστασις ἐχθρῶν. διὸ καὶ ἡμεῖς μέλλομεν μετὰ αἰτίας μεταθέσθαι τὴν σύνοδον, καὶ ἔστιν αἰτία τὸ θανατικόν. ἐπίστασθε γὰρ, ὅτι ἀπὸ τοῦ φθινοπώρου οὐ παύεται ἕως τοῦ νῦν τὸ θανατικὸν ἀπὸ τῆς Φερραρίας· λοιπὸν ἐστήσαμεν μετὰ τοῦ Πάπα, ἵνα γένηται παῤῥησίᾳ ἡ αἰτία τῆς μεταβάσεως τῆς συνόδου, καὶ ἐὰν ὑμῖν δοκῇ.

Πάντες εἶπον, δίκαιόν ἐστι γενέσθαι φανερὰν τὴν τῆς συνόδου μετάθεσιν. διὸ καὶ διεκρίθη γενέσθαι σύνοδον οἰκουμενικὴν, ἔνθα ἡ ἀνακήρυξις γέγονεν ἐν τῷ ναῷ τῆς ἐπισκοπῆς.

ΣΥΝΕΛΕΥΣΙΣ ΙϚ.

Τελευταία τῶν ἐν Φερραρίᾳ.

Συναχθείσης οὖν τῆς συνόδου, καὶ προκαθισάντων τοῦ Πάπα, καὶ τοῦ βασιλέως, τοῦ πατριάρχου ἀσθενοῦντος καὶ μὴ παρόντος ἐκεῖ, γέγονε σύναξις ὁμοίως τῇ γεγονυίᾳ ἐν τῇ ἀνακηρύξει, φο-

ρέσας οὖν τὴν ἀρχιερατικὴν στολὴν ὁ Νεαπόλεως ἀρχιεπίσκοπος, καὶ τὴν θείαν ἐκτελέσας μυσταγωγίαν, ἤρξατο λιτανείας καὶ παρακλήσεως· εὐξάμενος οὖν ὁ ἀρχιερεὺς τὰ εἰκότα, καὶ τῆς παρακλήσεως πληρωθείσης, ἦλθε καὶ ὁ Πάπας φορῶν τὴν ἀρχιερατικὴν στολὴν, σὺν αὐτῷ δὲ καὶ οἱ καρδινάλεις καὶ οἱ ἀρχιεπίσκοποι καὶ ἐπίσκοποι, ἡγούμενοι, φορεμένοι πάντες καὶ ἐκάθισαν.

Τούτων οὖν οὕτω συνταχθέντων καὶ γεγονότων, ὥρισε καὶ ὁ μακαριώτατος Πάπας τὸν ἀρχιεπίσκοπον Γραδένσιν, καὶ ὁ βασιλεὺς τὸν ἀρχιεπίσκοπον Μιτυλήνης, οἵτινες ἀνεκήρυξαν κατ' ἀρχὰς τὴν οἰκουμενικὴν σύνοδον, καὶ ἀνῆλθον ἐν τῷ ἄμβωνι, καὶ ἀνέγνωσαν, ὁ μὲν ῥωμαϊκῶς, ὁ δὲ ἑλληνικῶς, πῶς μετατίθεται ἡ σύνοδος εἰς τὴν Φλωρεντίαν, λέγοντες μεγαλοφώνως.

Εὐγένιος ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ θεοῦ εἰς διηνεκῆ μνήμην.

Γέγονε σύνοδος οἰκουμενικὴ ἐν τῇ Φεῤῥαρίᾳ, καὶ ἐμέλλομεν πληρῶσαι ταύτην καὶ τελειῶσαι ἐν αὐτῇ. ἐπειδὴ δὲ λοιμὸς θανάτου συνέχει αὐτὴν, καὶ ταῦτα ἐν καιρῷ χειμῶνος, μή ποτε ἐπικρατήσῃ καὶ ἐν τῷ ἔαρι, κατὰ τοὺς νόμους καὶ τοὺς κανόνας ἡμῶν μετατιθέαμεν τὴν σύνοδον ταύτην ἀπὸ τῆς Φεῤῥαρίας ἐπὶ τὴν Φλωρεντίαν, πόλιν ἐλευθέραν καὶ εἰρηνικὴν, εὐάερόν τε καὶ ὑγιῆ.

Ταῦτα τῶν ἀρχιερέων ἀναγνωσάντων, καὶ τῶν νοταρίων γραψάντων, ἐλύθη ἡ σύνοδος ἀπὸ τῆς Φεῤῥαρίας, ἵνα μετατεθῇ εἰς Φλωρεντίαν.

Τῇ οὖν ἐνδεκάτῃ τοῦ ἰανουαρίου μηνὸς ἐδόθη τοῖς Γραικοῖς ἔξοδος καὶ ἀναλώματα παρὰ τοῦ Πάπα. οὐ μόνον δὲ ὧδε αὐτοῖς ταῦτα δίδοται, ἀλλὰ καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐστάλησαν φλωρία χιλιάδες δεκαεννέα πρὸς σύστασιν καὶ βοήθειαν· καὶ ἤρξαντο ἅπτεσθαι τῆς πρὸς Φλωρεντίαν ὁδοῦ.

Τῇ δὲ δεκάτῃ ἕκτῃ τοῦ ἰανουαρίου ἐξῆλθεν ὁ Πάπας τοῦ παλατίου αὐτοῦ μετὰ παῤῥησίας καὶ φαντασίας πολλῆς· ἵππους γὰρ ἐκονόμησαν λευκοὺς δώδεκα μετὰ τζιαρίων καὶ ἐνδυμάτων λαμπρῶν. ἐπάνω δὲ τοῦ ἑνὸς ἐπέθηκαν κιβώτιον ἓν, ἐντὸς κατέχον τὴν ἁγίαν δωρεὰν, πεζῶν ἀνδρῶν ἔνθεν κἀκεῖθεν περιπατούντων μετὰ λαμπάδων φαιδρῶν ὡσεὶ πεντήκοντα τὸν ἀριθμόν· ἐπάνω δὲ τοῦ δευτέρου ἐκάθισεν ὁ Πάπας φορῶν τὴν μίτραν αὐτοῦ καὶ μανδύαν

πολυτελῆ, καὶ κύκλῳ αὐτοῦ λαμπάδες πολλαί. ὁ δὲ τῆς πόλεως τοπάρχης ὁ μαρκέσιος τὰ χαλινὰ τοῦ ἵππου αὐτοῦ κρατῶν πεζὸς ὥδευεν, ἕως οὗ ἐξῆλθε τῆς πόλεως, ὁμοίως καὶ ὁ υἱὸς αὐτοῦ. οἱ δὲ ἕτεροι ἵπποι ἀπήρχοντο ἀκολουθοῦντες αὐτῷ, καὶ οἱ καρδινάλιοι καὶ πάντες οἱ ἐπίσκοποι, οἱ μὲν ἔνθεν, οἱ δὲ κἀκεῖθεν ἠκολούθουν μετὰ ἵππων αὐτῷ. εἶτα ὁ στρατὸς, προάγοντες καὶ ἀκολουθοῦντες, πλῆθος πολύ.

Ταύτης τῆς τάξεως γενομένης ἐξῆλθεν ὁ Πάπας τὰ τείχη τῆς Φερραρίας, καὶ εἰς τὴν μονὴν τοῦ ἁγίου Ἀντωνίου ἀπῆλθε, τὸν ἑσπερινὸν ὕμνον τελέσαι ἐκεῖ· ἦν γὰρ ἡ μνήμη τοῦ ἁγίου τῆς μονῆς· ἡ δὲ μονὴ ὑπῆρχεν ἀσκητήριον γυναικῶν, κάλλιστον καὶ χωρητικὸν, ἔχον παλάτια καὶ τρικλίνους εἰς καταμονὴν ἀρχόντων πολλῶν. τοῦτο δὲ γέγονεν, ὅτι πλησίον καὶ ἔγγιστα τῆς μονῆς ἐστιν ὁ ποταμὸς, καὶ ἵνα ἐξελθὼν ὁ Πάπας εὐθὺς εἰσέλθῃ ἐν τοῖς πλοίοις τοῖς ἐν ποταμῷ καὶ ἀπέλθῃ εἰς τὴν Μόδεναν, πόλιν μέσον Φερραρίας καὶ Φλωρεντίας. μείνας οὖν ὁ Πάπας ἐν τοῖς τρικλίνοις τοῦ μοναστηρίου, καὶ ἕωθεν ἀναστὰς, τῇ δεκάτῃ ἑβδόμῃ τοῦ μηνὸς ἤρξατο πλέειν, τὴν πρὸς Φλωρεντίαν ὁδὸν πορευόμενος, ἀκολουθοῦντος αὐτῷ καὶ τοῦ μαρκεσίου· καὶ τὸ ἄριστον εἰς τὴν Μόδεναν ἐποίησεν. εἶτα τῷ στρατῷ αὐτοῦ ἑνωθεὶς καὶ τὴν ἄπειρον ὁδὸν ἐπιλαβόμενος, ἀπῆλθεν εἰς Φλωρεντίαν. ἡμεῖς δὲ τῇ Φερραρίᾳ μικρὸν προσμείναντες, ἀπήλθομεν καὶ ἡμεῖς εἰς Φλωρεντίαν, οἱ μὲν τῶν μητροπολιτῶν ἔμπροσθεν τοῦ πατριάρχου, οἱ δὲ μετ' αὐτοῦ· καὶ τῇ πόλει προσπελάσαντες ἐμείναμεν ἔξω τῆς πόλεως ἐν μοναστηρίῳ τινὶ καὶ πανδοχείοις.

Περὶ τῆς εἰσελεύσεως τοῦ πατριάρχου καὶ τοῦ βασιλέως εἰς Φλωρεντίαν.

Μηνὶ φεβρουαρίῳ, δεκάτῃ τρίτῃ, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ πατριάρχου ἡμῶν καρδινάλιοι δύο, ἀρχιεπίσκοποι δὲ καὶ ἐπίσκοποι ὡσεὶ τριάκοντα, καὶ ἄλλος πολὺς λαὸς, καὶ ἀπαντήσαντες αὐτῷ εἰσήγαγον εἰς τὴν Φλωρεντίαν. ἤρχετο δὲ ὁ πατριάρχης ἐν μέσῳ καρδιναλίων μετὰ τιμῆς μεγάλης. ἀπῆλθον δὲ πάντες ὀφικεύοντες

τὸν πατριάρχην ἕως τοῦ ἡτοιμασμένου αὐτῷ οἴκου· ὃν ἐκεῖσε οἱ πάντες καταλιπόντες, ἀπήλθομεν καὶ ἡμεῖς, ἕκαστος ὅπου ἂν ἡτοιμάσθη ἡμῖν. μετὰ παραδρομὴν δὲ ἡμερῶν τριῶν ἦλθεν ὁ βασιλεύς. Καὶ τίς δύναται ἐξηγηθῆναι τὴν ὑπαντὴν αὐτοῦ; ὑπῆρχε δὲ οὕτω λαμπρὰ, οὕτω κοσμία, οὕτω περιφανὴς, ὡς καταπλῆξαι πάντα βάσκανον καὶ ἐπαινέτην ποιῆσαι τῆς προπομπῆς. ἦλθον γὰρ οἱ αὐθένται πεζοὶ περιπατοῦντες ἕως τῶν πυλῶν τῆς πόλεως, καὶ ὑπήντησαν αὐτῷ. ἦλθον πάντες οἱ καρδινάλιοι, ὁ χορὸς ἅπας τῶν εὐγενῶν ἀνδρῶν τε καὶ γυναικῶν· οἱ μὲν ὑπήντων, οἱ δὲ ἐξεδέχοντο, οἱ δὲ ἵσταντο, οἱ δὲ ἄλλοι ἠρώτων, τί ἐστιν; καὶ οἱ μὲν ἐν τῇ ὁδῷ, οἱ δὲ ἐν τῇ ἀγορᾷ, ἄλλοι ἐν τοῖς τείχεσιν, ἕτεροι δὲ ἀπὸ τῶν θυρίδων καὶ ἀπὸ τῶν ἐξάτων, καὶ ὁμοῦ ἐσείσθη πᾶσα ἡ πόλις τῇ προπομπῇ καὶ τοῖς ὀργάνοις καὶ τοῖς ἤχοις τῶν σαλπίγγων. Αὕτη ἐστὶν ἡ πρὸς Φλωρεντίαν εἴσέλευσις τοῦ βασιλέως ἡμῶν, ἐν ἡμέρᾳ κυριακῇ. τῇ δευτέρᾳ δὲ ἠξίωσεν αὐτὸν, ὅπως παραγένηται ἐν οἴκῳ τιμίῳ, καὶ θεωρῇ ὑπ' αὐτῶν γινόμενα θέατρα ἐν τῷ ἱπποδρομίῳ, ὃ ἦν προκατεσκευασμένον πλησίον τοῦ οἴκου διὰ τὸ τὸν βασιλέα θεωρεῖν.

Τούτων οὕτω γενομένων καὶ τῆς τρίτης παρελθούσης τῇ καθαρᾷ τετράδι τῆς ἁγίας τεσσαρακοστῆς ὥρισεν ὁ βασιλεὺς, καὶ συνήχθημεν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐσκεψάμεθα περὶ τῆς προχωρήσεως πάλιν τῶν συνελεύσεων. καὶ δὴ ἐμηνύσαμεν τοῖς Λατίνοις, ὅτι ἐσμὲν παρεσκευασμένοι, καὶ ὅτι χρήζωσι γενέσθαι τὰς συνελεύσεις ἡμῶν. ἐρωτήσαντες οὖν οἱ Λατῖνοι, πῶς βουλόμεθα ποιεῖν ἤγουν γενέσθαι τὴν σύναξιν, ἰδίως ἢ κοινῶς· ἰδίως ἡμεῖς ἀπελογησάμεθα διὰ τὸ ἀσύγχυτον. Ἑτοιμασθέντος δὲ οἴκου, ὡς προείρηται, ἐν τῷ παλατίῳ τοῦ Πάπα, καὶ τῆς πρώτης ἑβδομάδος τῆς τεσσαρακοστῆς παρελθούσης, ἠσθένησεν ὁ πατριάρχης, καὶ ὠγκώθησαν οἱ πόδες αὐτοῦ, γέγονεν ἀκίνητος. ζητούντων οὖν τῶν ἀρχιερέων συμπαρεῖναι τὸν πατριάρχην, καὶ μάλιστα ἐν τῇ πρώτῃ συνελεύσει, αὐτὸς οὐ δύνασθαι ἔφασκε, καὶ ὁ καιρὸς παρήρχετο. ἀλλ' ὅμως τῇ πέμπτῃ τῆς δευτέρας ἑβδομάδος τῶν νηστειῶν, τῇ εἰκοστῇ ἕκτῃ τοῦ Φεβρουαρίου μηνὸς, συνήλθομεν ἐν τῷ ἡτοιμασμένῳ οἴκῳ ἐν τῷ παλατίῳ τοῦ Πάπα· καὶ καθίσαντες κατὰ τὴν τάξιν ἡμῶν, ἤρξατο ὁ καρδινάλιος Ἰουλιανὸς λέγειν οὕτως.

Φεβρουαρίου εἰκοστῇ ἕκτῃ ἡμέρᾳ πέπτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΖ.

Πρώτη τῶν ἐν Φλωρεντίᾳ.

ἸΟΥΛ. ΚΑΡΔ. Γαληνότατε κύριε βασιλεῦ, καὶ ὑμεῖς αἰδεσιμώτατοι καὶ σεβασμιώτατοι πατέρες, ἐπειδὴ ὁρισμῷ τοῦ μακαριωτάτου πατρὸς καὶ ἄκρου ἀρχιερέως, ὁμοῦ μετὰ τῶν ἀποταχθέντων ἐξ ἀρχῆς παρῆν, διὰ τοῦτο ὁ ἁγιώτατος πατὴρ ἐνετείλατό μοι καὶ νῦν, ἵνα εἰς τὸ μέσον προάγω ῥήματά τινα. ἐρῶ τοιγαροῦν διὰ βραχέων καὶ διὰ ῥημάτων γυμνῶν καὶ ἁπλῶν, τοῦτο μὲν, ὅτι ἐστὶν ἡ θέλησις τοιαύτη τοῦ μακαριωτάτου πατρὸς ἡμῶν· τοῦτο δὲ, ὅτι τὸ θεῖον τοῦτο ἔργον, περὶ οὗ ἡ παροῦσα πραγματεία, μᾶλλον δεῖται ἔργων ἢ λόγων. καὶ ἐπειδὴ πολλὰ μὲν ἀφ' ἑκατέρου μέρους ἐῤῥήθησαν, ὥστε τὸ πλεῖον μέρος τοῦ καιροῦ ἀποπεσεῖν, ἤδη δὲ ἤλθομεν ἐπ' αὐτὴν τὴν ὑπόθεσιν· πρὸς δὲ, ἐπειδὴ ἐν τῇ προλαβούσῃ ὁ γαληνότατος κύριος ὁ βασιλεὺς ἐμήνυσε πρὸς τὸν ἁγιώτατον δεσπότην ἡμῶν, ἵνα συνέλθωμεν ἰδίᾳ καὶ μυστικῶς, καὶ μὴ διὰ μακρῶν ὁμιλιῶν, μηδὲ ἀποτάδην διαλεχθῶμεν πρὸς ἀλλήλους, ἤδη ἄρξομαι διὰ βραχέων ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. Ἐν ὅσῳ ἦμεν ἐν τῇ πόλει τῆς Φεῤῥαρίας, καὶ ἐβουλευόμεθα ἐκεῖθεν μετατιθέναι τὴν ἱερὰν ταύτην σύνοδον ἐν τῇ πόλει τῆς Φλωρεντίας, ἡ γαληνότης αὐτοῦ καὶ ἡ πατρότης τοῦ ἁγιωτάτου πατριάρχου κατὰ πολὺ ἐφίετο, ὥστε τὴν πραγματείαν ταύτην τῆς ἑνώσεως συντελεσθῆναί τε καὶ συμπερανθῆναι. τοῦτο τὸ ῥῆμα ὑπερβαλλόντως ἐδέξατο ὁ μακαριώτατος πατὴρ, οὗτινος τὸ ἔργον καὶ ἡ ἔφεσις θερμοτάτη ἐστὶν, ὥστε τὴν πραγματείαν ταύτην τῆς ἑνώσεως διὰ ταχέων γενέσθαι. ἔφη γὰρ ἡ ἁγιότης αὐτοῦ διὰ τῶν ἐκ τοῦ μέρους ἀποτεταγμένων, ὅτι οὐδεὶς ἐστι τρόπος ἄλλος ἐπιτηδειότερος ὥστε τὴν ἕνωσιν τελεσθῆναι, ἀλλ' ἡ συχνάκις παραβάλλειν καὶ διαλέγεσθαι καὶ σχεδὸν καθ' ἑκάστην ἡμέραν. τελευταῖον ἀπεφάνθη συναινέσει ἑκατέρων, ἵνα ἐξ ἅπαντος συνερχώμεθα τρὶς τῆς ἑβδομάδος, καὶ ἵνα αἱ διαλέξεις διαρκῶσι μέχρι τριῶν ὡρῶν, μὴ

προϊσταμένου τινὸς, ὅπερ μὴ γένοιτο, ἢ εἰς τὸ πρόσωπον τοῦ μακαριωτάτου πατρὸς ἢ τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως ἢ τοῦ ἁγίου πατριάρχου. Ἐν τούτοις ἔδοξε τῷ γαληνοτάτῳ κυρίῳ τῷ βασιλεῖ συμφέρον ἔσεσθαι, πρὶν ἂν ἀρξώμεθα τῶν συνοδικῶν διαλέξεων, ἵνα ἐκλεξώμεθά τινας ἐξ ἑκατέρου μέρους, τοὺς διασκεψομένους ἰδίᾳ μετὰ ἀγάπης, ἐφ' ᾧ εὑρεθῆναί τινα τρόπον ποιοῦντα πρὸς τὴν ἕνωσιν. μέμνημαι δὲ ἐπὶ τούτοις εἰρηκέναι, μᾶλλον συμφέρειν καὶ λυσιτελῆσαι, εἴπερ προηγήσονται συνοδικαὶ καὶ κοιναὶ διαλέξεις, ὥστε διὰ τούτων τῶν διαλέξεων τῶν μεταξὺ πρῶτον μὲν εὕρωμεν τὴν ἀλήθειαν, εἶτα εὑρεθείσης τῆς ἀληθείας χωρήσωμεν πρὸς τὸ μέσον τὸ ποιοῦν τὴν ἕνωσιν· ὅμως ἡ γαληνότης αὐτοῦ ἐνέμεινε τῇ ἑαυτῆς διαθέσει, χρώμενος καὶ τούτῳ τῷ παραδείγματι· ἔλεγε γὰρ, ὡς ἡνίκα ἐμπέσῃ ἀμφισβήτησις μεταξὺ δύο τινῶν φίλων, ὥστε αὐτοὺς ἀναγκάζεσθαι παραγενέσθαι εἰς δικαστήριον, μᾶλλον ἂν εἵλοντο πρὶν εἰς δικαστήριον ἀπελθεῖν, προσλαβεῖν φίλους τινὰς ὥστε τὴν μεταξὺ διαφορὰν δι' αὐτῶν διαλύσασθαι· εἰ δὲ διὰ τοῦ τρόπου τούτου οὐ δυνηθεῖεν εὑρεῖν τὸ ποιοῦν μεταξὺ αὐτῶν ὁμόνοιαν καὶ ἕνωσιν, τὸ τελευταῖον παραβάλλουσιν εἰς τὸ δικαστήριον. οὕτως ἡ γαληνότης αὐτοῦ ἔλεγεν, ἵνα πρῶτον μὲν ἰδίᾳ καὶ μυστικῶς σκεψώμεθα περὶ τῶν ἀγόντων εἰς τὴν ἕνωσιν· καὶ εἰ μὲν τούτῳ τῷ τρόπῳ προβῇ συμπέρασμα, ἰδοὺ καλόν· εἰ δὲ μὴ, τότε προχωρήσομεν καὶ εἰς τὰς κοινῇ διαλέξεις. ταῦτα ἀκούσας ὁ μακαριώτατος πατὴρ, καὶ βουλόμενος χαρίσασθαι τῷ βασιλεῖ συνήνεσε καὶ αὐτὸς, ὥστε ἰδίᾳ σκέψασθαι περὶ τοῦ τρόπου τῆς ἑνώσεως. καὶ οὕτω τελευταῖον εἴρηται μεταξὺ τοῦ γαληνοτάτου βασιλέως καὶ τῶν περὶ αὐτὸν, ὅτι μετὰ τὸ ἐπιδημῆσαι εἰς τὴν Φλωρεντίαν, πρῶτον ἰδίᾳ καὶ μυστικῶς σκέψασθαι τὴν μεταχείρησιν τῆς ἑνώσεως, καὶ εὑρεῖν τρόπον τινὰ, δι' οὗ ἂν ἔλθωμεν εἰς τὴν ἕνωσιν. εἰ μὲν τούτῳ τῷ τρόπῳ γένηται τέλος καὶ ἐπακολουθήσῃ συμπέρασμα καὶ γένηται ἕνωσις, ἤδη καλόν· εἰ δὲ μὴ, ὀφείλομεν χωρὶς ἀναβολῆς συνέρχεσθαι τοὐλάχιστον τρὶς τῆς ἑβδομάδος, καθὼς ἤδη προείρηκα. ἤδη λοιπὸν ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνῆλθεν ἡ γαληνότης αὐτοῦ καὶ ὁ ἁγιώτατος πατριάρχης μετὰ τῶν περὶ αὐτοὺς, ἐφ' ᾧ πληρῶσαι τὴν συμφωνίαν, ἣν ἐν τῇ Φερραρίᾳ πεποιήκαμεν. ἐπειδὴ οὖν ὁ γαληνότατος βασιλεὺς πρῶτος προέτεινε τοῦτο, ὥστε ἡμᾶς ἰδίᾳ

σκέψασθαι, ἔδοξε γὰρ αὐτῷ ὁ τρόπος οὗτος μάλιστα ἄριστος, διὰ τοῦτο πεπεισμένος ἐστὶν ὁ μακαριώτατος πατὴρ τὸν βασιλέα εὑρεῖν τρόπον τινὰ τὸν ἄξοντα εἰς τὴν ἕνωσιν. καὶ διὰ τοῦτο ἀξιοῖ, ἵνα θελήσητε δεῖξαι τὸν τρόπον ἐκεῖνον, ὥστε καὶ ἐπὶ τούτῳ σκέψασθαι ἡμᾶς. ταῦτά εἰσιν ἅτινα ἐξ ἐπιταγῆς τοῦ μακαριωτάτου πατρὸς πρὸς τὴν ὑμετέραν ἀγάπην οὕτω ἁπλῶς καὶ γυμνῶς ἐξεθέμην κατὰ τὴν ὑπόσχεσιν.

Ὁ ΒΑΣΙΛ. Ἐγὼ ἐβουλόμην εἰπεῖν τι πρὸ τοῦ αἰδεσίμου καρδιναλίου· διότι δὲ προλαβὼν ἐκεῖνος εἶπεν, οὐκ εἶπον αὐτό. νῦν δὲ βούλομαι εἰπεῖν ὅπερ πρότερον προεθέμην εἰπεῖν, ἔπειτα δὲ ἀπολογήσομαι καὶ πρὸς τοὺς λόγους τοῦ αἰδεσίμου καρδιναλίου. λέγω τοιγαροῦν, ὅτι ἡμεῖς ἠρξάμεθα καὶ διελέχθημεν πολλά, εἰπόντες λόγους πολλοὺς περὶ τῆς προσθήκης καὶ ἀναγκαίους, ὡσαύτως καὶ ὑμεῖς. καὶ θαῤῥοῦμεν εἰς θεὸν, ὅτι ὅσα εἴπομεν ἦσαν καὶ γενναῖα καὶ ἀναγκαῖα. καὶ εἴχομεν εἰπεῖν καὶ ἔτι πολλῷ πλείονα καὶ ἰσχυρότερα· ἀλλὰ διότι ὁ αἰδέσιμος καρδινάλιος καὶ οἱ μετ' αὐτοῦ ἠξίωσαν ἡμᾶς, ὡς ἂν ἀφῶμεν ἃ εἰπεῖν ἔχομεν· ἔτι δὲ καὶ ὁ ἁγιώτατος πατὴρ ἰδίᾳ εἶπε περὶ τούτου πρὸς ἐμὲ, διὰ τοῦτο ἐφάνη καλὸν ἡμῖν, καὶ παρελίπομεν τὸ μέρος ἐκεῖνο τότε· διὸ καὶ οὐδὲν λέγομεν νῦν περὶ τούτου· ἄλλως τε καὶ διὰ τὴν συντομίαν τοῦ ἔργου εἰάσαμεν τοῦτο. ὅμως ἐστὶν εἰς τὸ ἡμέτερον θέλημα, ὅτε θέλομεν, καὶ ὡσὰν θέλομεν εἰπεῖν περὶ τούτου. πλὴν ἐφάνη μοι καλὸν προειπεῖν τοῦτο, ἵνα μὴ δόξῃ εἰς τὸ ἔμπροσθεν, ὅτι ἅπαξ παραιτησάμενοι οὐκ ἔτι ἔχομεν ἄδειαν ἐπανέρχεσθαι εἰς αὐτό. καὶ ὑπὲρ τούτου οὐ χρεία, ἵνα ποιῆτε ἀπολογίαν· ἐπειδὴ ὡς εἴπομεν, εἰάσαμεν τοῦτο τότε, ἵνα ὁπόταν θελήσωμεν, πάλιν ἐπανελθεῖν ἔχωμεν εἰς αὐτό. περὶ δὲ τῆς ἑτέρας ὑποθέσεως, οὕτως ἔχει ὡς αὐτός φησι, καὶ περισσόν μοι δοκεῖ, ἵνα λέγωμεν περὶ τούτου· στέργομεν γὰρ τοῦτο, ὅτι οὕτως ἔχει ὥσπερ αὐτὸς λέγει. περὶ δὲ τοῦ ἐρωτήματος οὗ ἐρωτᾷ, ἐὰν ἔχωμέν τι εἰπεῖν· ἡμεῖς περὶ τούτου καὶ ἄλλοτε εἴπομεν, ὅτι οὐκ ἔχομέν τι ἐσκεμμένον. μᾶλλον ἡμεῖς ἀξιοῦμεν, ὅτι ἐὰν ἔχητε αὐτοί τι εἰπεῖν, εἴπατε ἡμῖν, καὶ φανήσεται τοῦτο ἡμῖν ἄριστον. ὑπολαμβάνομεν γὰρ, ὅτι ἐνδεχόμενόν ἐστιν ἔχειν αὐτούς τι εἰπεῖν πρὸς ἡμᾶς περὶ τούτου· καὶ εἴπερ ἔχουσιν, εἰπάτωσαν. τοῦτο λέγω κατὰ τὸ παρὸν περὶ τούτου.

Μετὰ ταῦτα τῶν καρδιναλίων καὶ τῶν ἀρχιεπισκόπων, πρὸς τὸν Πάπαν γενομένων, καὶ βουλευομένων ἐφ' ἱκανὸν, πάλιν ὁ καρδινάλιος εἶπε.

'ΙΟΥΛ. ΚΑΡΔ. Γαληνότατε κύριε βασιλεῦ καὶ αἰδεσιμώτατοι καὶ σεβάσμιοι πατέρες, ὁ ἁγιώτατος δεσπότης ἡμῶν ὁ ἄκρος ἀρχιερεὺς πάλιν ἐνετείλατό μοι, ἵνα εἴπω τινὰ διὰ βραχέων, ἅτινά εἰσι τῆς γνώμης αὐτοῦ καὶ τῶν παρόντων πατέρων. ἅτινα ἔσονται πρὸς ἀπολογίαν τῶν ῥηθέντων κατὰ τὸ παρὸν ὑπὸ τῆς σῆς γαληνότητος. ἡ ἁγιότης αὐτοῦ καὶ πάντες οἱ μετ' αὐτοῦ ἤκουσαν ὅσα παρὰ τῆς σῆς γαληνότητος λίαν εὐρύθμως κατὰ τὸ εἰωθὸς εἴρηται. ἡ γαληνότης σου τοίνυν ἤρξατο ἀπὸ τούτου πρῶτον, ὅτι ἐγένοντο διαλέξεις τινὲς περὶ τοῦ ἄρθρου ἐκείνου, πότερον ἐξῆν προστιθέναι τι ἐν τῷ συμβόλῳ· καὶ ὅτι πέποιθεν ἡ γαληνότης σου, ὅτι τὰ εἰρημένα παρὰ τῶν σῶν περὶ τῆς διαφορᾶς ἐκείνης, ὑπῆρχον καλὰ καὶ εὔλογα· καὶ ὅτι καὶ ἄλλα πλείω παρελείφθησαν, ἅπερ ὤφειλον ἐπὶ τούτῳ ῥηθῆναι· καὶ ὅτι μεταξὺ τῶν διαλέξεων πολλάκις εἶπον ἐγὼ, καὶ ἐζήτησα, ἵνα παραλειφθεισῶν τῶν διαλέξεων ἐκείνων προχωρήσωμεν ἐπὶ τὰς διαλέξεις τὰς ποιούσας περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος· καὶ ὅτι αὐτὸς ὁ μακαριώτατος πατὴρ ἠξίωσε περὶ τούτου, ὥστε παραλειφθῆναι μὲν τὴν συζήτησιν ἐκείνην, μεταβῆναι δὲ ἐπὶ τὴν τῆς ἑτέρας διαφορᾶς ζήτησιν· καὶ ὅτι τότε ἡ γαληνότης σου βουλομένη χαρίσασθαι τῷ μακαριωτάτῳ πατρὶ καὶ ἡμῖν, ἔδοξέ σοι δεῖν παραλιπεῖν ἐκείνας τὰς διαλέξεις ἢ συζητήσεις, οὕτω γε μὴν ὥστε τὴν διαφορὰν ἐκείνην, ὅταν δόξῃ τῇ σῇ γαληνότητι, πάλιν καὶ κινῆσαι καὶ διαλέξασθαι περὶ τούτου· ὥστε ἐάν ποτε δόξῃ τοῖς σοῖς ἐπανελθεῖν ἐπὶ τὰς πρώτας ἐκείνας διαλέξεις, μὴ δόξαι ἡμῖν τὸ πρᾶγμα παράλογον καὶ παρὰ τὸ εἰκός. προσέθηκας δὲ τελευταῖον, ὅτι οὐκ ἔστι χρεία τὸ οἱονοῦν ἀπολογήσασθαι, ἀλλὰ τούτων εἰρημένων, μεταβῆναι ἐπὶ τὰ ἕτερα. Τῷ γοῦν ἁγιωτάτῳ πατρὶ καὶ τοῖς αἰδεσίμοις τούτοις πατράσιν ἐξ ἅπαντος φαίνεται ἡμᾶς τινα εἰπεῖν περὶ τούτου. πρὸς μὲν οὖν τὸ πρῶτον, ὅτι δοκεῖ σοι τοὺς σοὺς εἰρηκέναι λόγους πολλοὺς καὶ ἰσχυροὺς καὶ δικαίους, καὶ ἔχειν καὶ ἄλλους πλείους, φαίνεται τῷ ἁγιωτάτῳ πατρὶ καὶ τοῖς αἰδεσιμωτάτοις πατράσιν, ὅτι εἴπερ ἕτερα ἔχετε ἐν ταῖς καρδίαις ὑμῶν οὐκ οἴδαμεν· ἴσμεν δὲ καλῶς, ὅτι ἡ ἔκθεσις ἐκείνη ἀνεπτύχθη οὕτω

τηλαυγῶς, οὕτω λαμπρῶς, ὥστε μηδένα τρόπον ἔχειν ἀμφισβητήσεως. πεπείσμεθα μέντοι, ὅτι ἡ σὴ γαληνότης καὶ πάντες οἱ σεβάσμιοι πατέρες, ἀκούσαντες τὰς ἀνικήτους ἡμῶν ἀπολογίας, ἅτε νουνεχεῖς ὄντες καὶ σοφώτατοι, ἔχουσιν ἐν ταῖς καρδίαις ταῖς ἑαυτῶν τὴν διαφορὰν ἐκείνην σαφῶς ἀνεπτυγμένην ὑπάρχειν, καὶ λαμπρῶς διασαφηνισθεῖσαν. ὅτι δὲ πολλοὶ λόγοι καὶ πολλαὶ αἰτίαι περὶ τὴν ὑπόθεσιν ἐκείνην γεγόνασι τοῖς σοῖς, ἴσμεν τοῦτο καλῶς. ὅτι πολλάκις ἐδόθη αὐτοῖς ἄδεια τοῦ λέγειν, καὶ ἐν ταῖς διαλέξεσιν ἔσχον ἄδειαν. ἔτι δὲ καὶ μεθ' ὃ ἀπέδωκαν τὰς ἀποκρίσεις, πολλαὶ ἡμέραι παρῆλθον, ἐν αἷς ἦν λέγειν αὐτοῖς τὰ δοκοῦντα. εἰ δὲ ἐναπελείφθη λόγος ἰσχυρὸς, ὃς ἦν ἄξιος ῥηθῆναι, νομίζομεν ὅτι καθ' ὃν τρόπον εἶπον τὰ λοιπὰ, εἶπον ἂν κἀκεῖνον. μᾶλλον μὲν οὖν πολλὰ ἐπιχειρήματα ἡμῶν οὐκ ἐδέξαντο ἀπολογίαν, ἀλλ' ἔμειναν οὕτως ἀνήνυτα. καίτοι πρὸς τὰς ἀποκρίσεις αὐτῶν ὑμεῖς ἀπελογήθημεν λαμπρῶς καὶ καλῶς καὶ δικαίως, ἐφ' αἷς ἀποκρίσεσιν οὐδὲν παρ' αὐτῶν ἀντεισηνέχθη λαμπρόν. ὅτι δὲ ἐζητήθη παρὰ τοῦ μακαριωτάτου πατρὸς, ὥστε ἡμᾶς μεταβῆναι ἐπὶ τὰς διαλέξεις ταύτας, εἴρηται καὶ πρότερον παρ' ἐμοῦ, ὅτι δι' οὐδένα ἄλλον τρόπον ἐζητήθησαν παρ' ἡμῶν, ἢ ὅτι ἡμεῖς πεπληροφορημένοι ἦμεν περὶ ἐκείνων, ὅτι ἀπεδείξαμεν ταῦτα λαμπρῶς. διὰ τοῦτο οὐχ αἱρούμεθα τὸν καιρὸν κατατρίβειν· αἱ γὰρ διαλέξεις περὶ τὰ ἀμφίβολα γίνονται. διὰ τοῦτο ὥστε μὴ καταναλίσκεσθαι τὸν καιρὸν, καὶ ἐγὼ γνώμῃ πάντων τὸ τοιοῦτον ἐζήτησα παρ' ὑμῶν. ἀλλ' οὐδὲ προηνέγκαμέν τι ἡμέτερον ὡς παρ' ἡμῶν εὑρεθὲν, ἀλλ' ὅ, τι ἂν εἴπομεν, εἴπομεν ἀπὸ τῶν ἐπιστολῶν καὶ τῶν συνόδων καὶ ἄλλων ἁγίων πατέρων· ἀλλ' ὅμως οὔτε διὰ τὴν παράκλησιν τοῦ μακαριωτάτου πατρὸς, οὔτε διὰ τὴν ἐμὴν, ἡ περὶ τὸ ζήτημα ἐκεῖνο σκέψις κατελείφθη, μᾶλλον δὲ μετὰ ταῦτα πολλαὶ διαλέξεις ἐγίνοντο περὶ τούτου, ἐν αἷς ἱκανῶς ἐῤῥήθησαν τὰ δοκοῦντα. οὐ δοκεῖ δὲ ἡμῖν χρήσιμον καὶ λυσιτελὲς τὴν οὕτως ἐξετασθεῖσαν ὑπόθεσιν πάλιν ἐᾶσαι μετέωρον, καὶ προβαίνειν ἐφ' ἕτερα· ἀλλ' εἴπερ ἔχουσι λόγους τινὰς καὶ εἰσὶ ῥητέοι περὶ τὴν διαφορὰν ἐκείνην, ὁ μακαριώτατος πατὴρ καὶ οἱ αἰδέσιμοι οὗτοι πατέρες εἰσὶ παρεσκευασμένοι καὶ ἕτοιμοι ἀκοῦσαι ὑμῶν λεγόντων. ἐλπίζομεν δὲ εἰς θεὸν, ὅτι καθὼς ἐλύσαμεν τὰς πρότερον ἐκείνας, οὕτω διαλύ-

σομεν καὶ τὰς ὕστερον ἐπενεχθησομένας. πρὸς δὲ τὰ τελευταῖα ἡ γαληνότης σου εἶπεν, ὅτι καθὼς τὸ πρᾶγμα παρηκολούθησεν, οὕτως ἐξεθέμην· καὶ ὅτι ἡ γαληνότης σου οὐδὲν ἐφεῦρες μέσον, οὐδὲ ἐσκέψω περὶ τούτου, ἀλλὰ μᾶλλον νομίζεις ἡμᾶς εὑρεῖν τι, ὅπερ εἰ εὕρομεν, προτιθέναι καὶ ἄξαι εἰς τὸ μέσον. περὶ τούτου οὖν ἀρκούντως ἤδη αὐτὸς ἀπεκρίθην, ὅτι λεγούσης τότε τῆς σῆς γαληνότητος λυσιτελήσειν τοῦτον τὸν τρόπον, ἀντεπήγαγον ἐγὼ, μᾶλλον λυσιτελήσειν, ἂν ἀρξώμεθα τῶν συνοδικῶν διαλέξεων. ἀλλ' ὅμως ἡ γαληνότης σου ἐνίστατο, λέγων, οὕτω μᾶλλον λυσιτελήσειν. ἐπειδὴ οὖν ἔδοξε τῇ σῇ γαληνότητι καὶ πᾶσι τοῖς σοῖς εὑρηκέναι τρόπον τινὰ γενέσθαι τὴν ἕνωσιν, ἀξιοῦμεν καὶ παρακαλοῦμεν εἰς τὸ μέσον προτιθῆναι. εἰ δ' ἔλεγε τότε ἡ σὴ γαληνότης, ἄμεινον ἄρξασθαι τῶν συνοδικῶν διαλέξεων, ἡμεῖς δὲ ἀντεπηγάγομεν τὸν μυστικὸν τρόπον, δίκαιον ἂν ἦν καὶ προσῆκον, τὸ μέσον ἐκεῖνο εἰπεῖν ἡμᾶς. ἐπειδὴ δὲ ὑμεῖς ἐζητήσατε τοῦτο, ἄξιόν ἐστιν εὑρεῖν ὑμᾶς καὶ τὸ μέσον ἐκεῖνο, κἀκεῖνο προτιθέναι κατὰ τὸ παρόν.

Ὁ ΒΑΣΙΛ. Περὶ τῆς πρώτης ὑποθέσεως τῆς προσθήκης ἃ εἶπον, οὐκ εἶπον ταῦτα, ἵνα δέξωμαι ἀπολογίαν, ἅπαξ γὰρ ἐστήσαμεν ἵνα μεταβῶμεν· ὅμως ἐρῶ τινα, ὅτι οὐδέν μοι δοκεῖ καλὸν, ἵνα ὑποστρέψωμεν καὶ ὁμιλῶμεν περὶ αὐτῆς. θαυμάζω δὲ, ἂν ἀπὸ τούτου τοῦ τρόπου νομίζωσιν, ὅτι ἀφήκαμεν αὐτό. οἴδασι γὰρ πῶς παρεκολούθησε τὸ πρᾶγμα, ὅτι οὔτε αὐτοὶ συνεπέρανάν τι, οὔτε ἡμεῖς. καὶ διὰ τοῦτο ὡς μετέωρον τὴν ὑπόθεσιν οὐδὲν ἀξιοῦμεν ὑποστραφῆναι. ἤθελε γὰρ παρὰ τοῦ μέρους, ἢ τοῦ ἡμετέρου, ἢ αὐτῶν, ἵνα λαληθῇ; ὅτι ἀρκούντως ἐξητάσθη ἡ ὑπόθεσις, καὶ πλέον οὐδὲν ἔνι χρεία λόγων. διὰ τοῦτο ἐπειδὴ ἐνομίσαμεν, ἵνα εἴπωμεν περὶ τοῦ προκειμένου, θέλομεν εἰπεῖν. τοῦτο δὲ οὔτε ἀφήκαμεν, οὔτε ἀφήσομεν, ἀλλὰ μέλλει ἵστασθαι εἴπερ δεήσει ποτέ. περὶ τούτου οὐ λέγω πλέον· περὶ δὲ τῆς ἄλλης ὑποθέσεως οὐδὲν ἐκρίναμεν ἵνα σκεψώμεθα μόνοι περὶ ταύτης ἡμεῖς τὴν ἀνάγκην ταύτην, ἀλλὰ κοινῶς· οὐδὲ γὰρ ἀναγκαζόμεθα εἰς τοῦτο. ἐὰν ἔχωσί τι εἰπεῖν, εἰπάτωσαν, εἰ δὲ μή γε, σκεψάσθωσαν· ὁμοίως σκεψόμεθα καὶ ἡμεῖς, καὶ οὕτω συνελευσόμεθα. εἰ δὲ τοῦτο οὐχ εὑρήσει τρόπον ἑνώσεως, τότε οὐδὲν τὸ κωλύον κοινῶς καὶ συνοδικῶς συνέρχεσθαι καὶ διαλέγεσθαι.

'ΙΟΥΛ. ΚΑΡΔ. Γαληνότατε κύριε βασιλεῦ, ἵνα ἀφέλω ἔκπληξίν τινα καὶ θαῦμα, ὅπερ ἡ γαληνότης σου φαίνεται εἰληφέναι ἀπὸ τῶν εἰρημένων παρ' ἐμοῦ, ἐρῶ τινα ῥήματα διὰ βραχέων. ἐγὼ οὐ μέμνημαι εἰρηκέναι συμπερανθῆναι τὴν ὕλην ταύτην κοινῇ γνώμῃ τῶν τε σῶν καὶ τῶν ἡμετέρων· ἀλλ' εἶπον, ὅτι ἐφαίνετό μοι μὴ χρήσιμον εἶναι, μηδὲ προσῆκον ἐπαναστρέψαι ἐπὶ τὴν ὕλην ταύτην ἐφ' ἣν πολλὰ ἐῤῥήθησαν ἀπὸ ῥητῶν καὶ ἀποδείξεων ἐναργεστάτων· καὶ ὅτι ἡμεῖς ὄντες ἐν τῇ συνόδῳ τῇ ἐν Φερραρίᾳ πολλὰ εἴπομεν, πρὸς ἃ οἱ ὑμέτεροι οὐδὲν ἀπεκρίναντο· καὶ ὅτι εἴπομεν, εἰ ἔχουσί τι εἰπεῖν, εἰπάτωσαν, ἐπειδὴ ἕτοιμοι ἦμεν καὶ ἐσμὲν τῇ τοῦ θεοῦ χάριτι εἰπεῖν καὶ ἀκοῦσαι πάντα. τοῦτο τοίνυν λέγομεν καὶ κατὰ τὸ παρὸν, καὶ προκομίζομεν, ὅτι εἴπερ ἐστί τις ὁ βουλόμενος εἰπεῖν, εἰπάτω. ἡμεῖς γὰρ παρεσκευασμένοι ἐσμὲν τῇ χάριτι τοῦ θεοῦ δοῦναι ἀποκρίσεις ταύτας πρὸς πάντα. καὶ ὁμολογουμένως, εἴγε βούλονται ὀψέ ποτε ἐπανελθεῖν ἐπὶ τὴν ἐξέτασιν τῆς διαφορᾶς ἐκείνης, πολὺ κρεῖττόν ἐστι κατὰ τὸ παρὸν εἰπεῖν πάντα, καὶ γὰρ οὐκ ἔσται χρήσιμον οὐδὲ δίκαιον, ἄρξασθαι μὲν ἑτέρας ὑποθέσεως, μεταξὺ δὲ ἐπανελθεῖν εἰς ἑτέραν. πρὸς δὲ τὸ δεύτερον μέρος, καθ' ὃν τρόπον εἶπον, οὕτω καὶ νῦν λέγω ὁρισμῷ τοῦ μακαριωτάτου πατρὸς καὶ τῶν αἰδεσιμωτάτων πατέρων. ἡ γαληνότης σου οὖσα φρονιμωτάτη καὶ σοφωτάτη δύναται σκέψασθαι καὶ εὑρεῖν τὸ δίκαιον καὶ εὔλογον ὄν. ἐπειδὴ τοίνυν ἡ γαληνότης σου εὗρε τὸν τρόπον τὸν ἰδίᾳ καὶ μυστικὸν, καὶ τοῦτο ἀπήτησας, δίκαιόν ἐστι πάντως, καὶ οὕτως ᾄδεται παρὰ πάντων, εὑρεῖν σε τὸν τρόπον τὸν λυσιτελοῦντα πρὸς τὴν ἕνωσιν. ἐπειδὴ δὲ εἶπεν ἡ γαληνότης σου, καλὸν εἶναι σκέψασθαι καὶ ὑμᾶς καὶ ἡμᾶς, εἴπερ οὐκ ἦλθες ἐσκεμμένος, ἀρέσκει τῷ μακαριωτάτῳ πατρὶ καὶ πᾶσιν ἡμῖν, ἵνα τὸ τοιοῦτον ὑπερτεθῇ ἄχρι τῆς τοῦ σαββάτου ἡμέρας, καὶ οὕτως ἔλθητε μετὰ τοῦ μέσου τρόπου ἐκείνου τοῦ παρ' ὑμῶν εἰρημένου, ἐπειδὴ καὶ ἐκ τοῦ μέρους ὑμῶν ἡ περὶ τούτου ζήτησις γέγονεν. ἐρῶ δὲ καὶ ἕτερόν τι, καὶ οὕτως ἐπιθήσω τέλος. ἐπειδὴ ἡμεῖς προηνέγκαμεν μέσον τι, ἵνα ἀρξώμεθα κοινῶς τῶν διαλέξεων, λυσιτελοῦν πρὸς τὴν ἕνωσιν· ἡ γαληνότης σου δὲ ἐπήγαγεν ἕτερόν τι μέσον τὸ ἰδίᾳ καὶ μυστικὸν, δηλονότι πρῶτον ἰδίᾳ καὶ μυστικῶς, διὰ τοῦτο ἐπειδὴ καὶ ὑμεῖς ἐστε οἱ εὑρεταὶ, ἀναγκαῖόν ἐστιν ὑμᾶς τοῦτο εὑρεῖν.

Ὁ ΒΑΣΙΛ. Ὅσον πρὸς τοῦτο οὐ βούλομαι ἀπολογήσασθαι· εἰ γὰρ λέγω καὶ ἀπολογοῦμαι, τοῦτο ἔσται ἐπ' ἄπειρον. διὰ τοῦτο ἔσται σύντομον ὃ λέγω· ὅτι ἀναγκαῖόν ἐστιν ἐλθεῖν ἡμᾶς εἰς τὸ προκείμενον, ἐφ' ὧν ἐστήσαμεν, ἵνα μεταβῶμεν εἰς τὴν ἄλλην ὑπόθεσιν. πλὴν οὐδὲν παραιτούμεθα ἐκεῖνο, ἀλλ' ὅταν θέλωμεν, ἕξομεν αὐτὸ ἐπ' ἀδείας. εἰς τὴν ἄλλην δὲ ὑπόθεσιν, ἐπειδὴ φαίνεται καλὸν ἵνα σκεψάμεθα κοινῶς, ἀρέσκει καὶ ἡμῖν.

Ἰουλ. ΚΑΡΔ. Ὑμεῖς μὲν σκέψασθε περὶ τοῦ μέσου τρόπου, καὶ ἡμεῖς ἀποκρινούμεθα ἐφ' οἷς ἐρεῖν μέλλετε πρὸς ἡμᾶς. Οὕτω δὲ τούτων ῥηθέντων ἐλύθη ἡ συνέλευσις, καὶ ἀπήλθομεν.

Εἰπόντων οὖν ἡμῖν βουλευθῆναί τι μέσον τὸ λυσιτελοῦν πρὸς ἑνότητα, τοῦτο οὐ μικρὸν ἔδοξεν ἡμῖν, ἀλλὰ καὶ λίαν δυσεύρετον. Καὶ δὴ συναχθέντων ἡμῶν εἰς τὸν πατριάρχην· ἦν γὰρ ἀσθενής· ἠρώτησεν ἡμᾶς ὁ βασιλεὺς, τί ἂν περὶ τούτου ἀπολογησώμεθα, καὶ τί ἐστι μέσον ἐπάγον εἰς τὴν εὐσεβῆ ὁμόνοιαν. ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Ἡμεῖς μέσον οὔτ' ἔχομεν οὔτε λέγομεν· ἀλλ' ἐπειδὴ ὀφείλομεν ἀπολογίαν δοῦναι τοῖς Λατίνοις τῇ ἡμέρᾳ τοῦ σαββάτου, ζητησάτω ἡ βασιλεία σου, ὅπως συνέλθωσιν ἀμφότερα τὰ μέρη ἰδίᾳ, καὶ ὁ θεὸς μεριμνήσει τρόπον ἑνώσεως. ἀπεκρίθη ὁ βασιλεύς· Καὶ πάντες ὑμεῖς βούλεσθε τὴν ἰδίαν ταύτην συνέλευσιν ποιεῖν; καὶ ἀπεκρίθημεν αὐτῷ· Μήνυσον τῷ Πάπᾳ, εἰ ἀποδέχεται τοῦτο καὶ ἐὰν παραχωρήσῃ κατ' ἰδίαν γενέσθαι συνέλευσιν, τότε μέλλομεν ἐκλέξασθαι τῶν ἐκκρίτων τινὰς τῶν ἡμετέρων τοῦ ἀπελθεῖν, ὅσους ἂν δόξῃ τῷ ἀριθμῷ. ὁ δὲ βασιλεὺς καὶ ἔτι ἐζήτει ἐκλογὴν προσώπων τοῦ βουλεύεσθαι τὰς ἀπολογίας, καὶ ἔχειν τὴν μέριμναν πασῶν τῶν ἀποκρίσεων. ἔδοξε τοίνυν καλὸν, καὶ ἐξελεξάμεθα ἀφ' ἡμῶν τοὺς τοποτηρητὰς τῶν πατριαρχῶν, οἵτινές εἰσιν οὗτοι· ὁ μητροπολίτης Ἡρακλείας κῦρις Ἀντώνιος, ἀρχιερεὺς πάσης Θρᾳκίας καὶ Μακεδονίας· ὑπῆρχε δὲ οὗτος τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας· καὶ ὁ τιμιώτατος ἐν ἱερομονάχοις πνευματικὸς καὶ πρωτοσύγκελλος κῦρις Γρηγόριος, ὁ καὶ τοποτηρητὴς τῆς αὐτῆς ἀποστολικῆς καθέδρας τοῦ πατριάρχου τῆς Ἀλεξανδρείας· ὁ μητροπολίτης Κυαίβου καὶ πάσης Ῥωσίας, καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας, κῦρις Ἰσίδωρος· ὁ μητροπολίτης Ἐφέ-

σου, κῦρις Μάρκος ὁ Εὐγενικὸς, ὁ καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας, ἔτι δὲ καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων· ὁ μητροπολίτης Μονεμβασίας, καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, κῦρις Δοσίθεος. ἐλεξάμεθα δὲ καὶ ἑτέρους δύο ἀρχιερεῖς, οἵτινές εἰσιν οὗτοι· ὁ μητροπολίτης Νικαίας κῦρις Βησσαρίων· ὁ μητροπολίτης Μιτυλήνης κῦρις Δωρόθεος, ὡς γενέσθαι πάντας ὁμοῦ ἑπτά· καὶ ἵνα συνέρχωνται οὗτοι καὶ πράττωσι μετὰ γνώμης ἡμετέρας, εἴ τι χορηγήσει αὐτοῖς ὁ Θεός· Ταῦτα τῷ Πάπᾳ μηνύσαντες, οὐκ ἔδοξεν αὐτῷ λυσιτελὲς τὴν στενὴν ὁδεῦσαι ταύτην ὁδόν· ἀλλ' ἐμήνυσεν ἡμῖν, ὅτι ἐπειδὴ βούλεσθε διαλεχθῆναι, καὶ μέσον τι οὐχ εὑρίσκεται παρ' ὑμῶν, καθὼς ὑπεσχέθητε, ποιήσατε ἐκλογὴν προσώπων, ὥσπερ μέλλομεν ποιῆσαι καὶ ἡμεῖς. παρελθέτω δὲ τὸ σάββατον καὶ τῇ δευτέρᾳ, ἵνα γένηται καθολικὴ διάλεξις καὶ ἐξέτασις τῆς δόξης ἡμῶν.

Τῆς οὖν δευτέρας καταλαβούσης μηνὶ μαρτίῳ, δευτέρᾳ, γέγονε καὶ πάλιν συνέλευσις οἰκουμενικὴ ἐν Φλωρεντίᾳ. προκαθίσαντος οὖν τοῦ μακαριωτάτου πάπα, τοῦ βασιλέως ἡμῶν καὶ τοῦ πατριάρχου μὴ ὄντων ἐκεῖσε διὰ τὸ εἶναι αὐτοὺς ἀσθενεῖς· ἐκτὸς γὰρ τούτων πάντες συνήλθομεν· καὶ τῆς τάξεως γενομένης ἤρξατο τῆς διαλέξεως ἱερομόναχός τις ὀνόματι Ἰωάννης, ἀνὴρ φιλόσοφος τῶν Λατίνων καὶ διαλεκτικώτατος. οὗτος ἀναστὰς καὶ μετάνοιαν ποιήσας, ἠρώτησε κατὰ πεῦσιν καὶ ἀπόκρισιν τοὺς Γραικοὺς, ποίῳ λόγῳ συκοφαντοῦσι τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος: εἶχε δὲ ὁ λόγος αὐτοῦ ἐπὶ λέξεως οὕτως.

Μαρτίου μηνὸς δευτέρᾳ, ἡμέρᾳ δευτέρᾳ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΗ.

Ὁ ἸΩΑΝΝΗΣ. Μετὰ τῆς εὐλογίας τῆς ἁγιότητος τοῦ μακαριωτάτου πατρὸς, ἀπὸ ὁρισμοῦ καὶ προστάγματος τούτου ἀρξόμενος τοῦ διαλέγεσθαι πρὸς ὑμᾶς περὶ ἐκείνων, ἅτινα περιέχουσι περὶ τῆς πίστεως, ἤγουν τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος· ἔνθα κατὰ τὴν γνώμην τοῦ μακαρίου πατρὸς Αὐγουστίνου ἐν τῷ

πρώτῳ κεφαλαίῳ περὶ Τριάδος, μετὰ σεμνότητος διαλεκτέον ἐστὶ, παρακαλῶ ἵνα προσέχητε καὶ παρέχητε τὰ ὦτα ὑμῶν. ἐν πρώτοις ἐὰν εἴπω τι, ὅπερ μὴ ᾖ οὕτως ἐμπείρως, ἐπιθυμῶ διορθωθῆναι παρὰ τῆς ἁγιότητος τοῦ μακαριωτάτου πατρὸς, ἥτις κατέχει τὸν τόπον καὶ τὸν θρόνον καὶ τὴν πίστιν τοῦ ἁγίου Πέτρου. ἔτι ἐπιποθῶ διορθωθῆναι παρὰ τῶν ἐνθάδε αἰδεσιμωτάτων πατέρων τῶν παρόντων ἐνταῦθα· ἑπομένως δὲ παρὰ τῶν θεολόγων αὐτῶν. οὐ χρὴ δὲ εἶναι λογομαχίαν, ἀλλ' ἀεὶ ζητεῖν τὴν ἀλήθειαν καὶ τὴν γνῶσιν τῶν λεγομένων ὀφείλομεν. ἐλπίζομεν δὲ ἕξειν βοήθειαν παρ' ἐκείνου, ὅστις φωτίζει τὰς διανοίας καὶ εἰσάγει πάντας εἰς γνῶσιν, καθὼς ὑπέσχετο ὁ Υἱὸς τοῦ Θεοῦ τὴν ἀλήθειαν· οὕτως ἐλπίζομεν εἰς τὴν ἀγαθότητα τοῦ Θεοῦ. ἐπειδὴ ὅστις ἠθέλησε τὸ κεφάλαιον τὸ περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐν τῇ παρούσῃ οἰκουμενικῇ κινηθῆναι συνόδῳ, διὰ τοῦ αὐτοῦ ἁγίου Πνεύματος παρέξει, ὅπως μετὰ πάσης πραότητος καὶ ἐπιεικείας ἡ ἀλήθεια αὐτοῦ δηλωθείη καὶ διασαφηνισθείη, ὅπως μάθωσι πάντες καὶ χωρὶς φιλονεικίας τὴν ἀλήθειαν· ὅπως ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ τὸ αὐτὸ πάντες κατὰ τὸν ἀπόστολον εἴπωμεν· καὶ ὥσπερ εἷς ἐστι Χριστὸς καὶ μία πίστις, οὕτως ὦμεν ἐν μιᾷ πίστει καὶ ἐν τῷ αὐτῷ σώματι τοῦ Χριστοῦ.* νῦν δὲ τούτων προτεθέντων ἔρχομαι πρὸς τὸ πρᾶγμα αὐτό. Ἐν πρώτοις δὲ τρία γνώριμα δέονται γενέσθαι· πρῶτον ἐπειδὴ ὁ γαληνότατος κύριος ὁ βασιλεὺς πολλάκις τῇ Φερραρίᾳ εἶπεν, ὅτιπερ ἐδόκει ἐκείνῳ ὑπὲρ εὐχερεστέρας καὶ ῥᾴονος τοῦ πράγματος συντελείας, ὥστε μὴ ποιεῖν μακροὺς λόγους καὶ ἀποτάσεις, ἀλλ' ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα, ἢ ἀπὸ μαρτυρίας εἰς μαρτυρίαν, ἢ ἀπὸ κεφαλαίου ἐπὶ κεφάλαιον μεταβαίνειν, καθ' ὃν τρόπον καὶ ὑμεῖς τὸ αὐτὸ εἴπατε· βουλόμενος οὖν ὁ ἁγιώτατος δεσπότης ἡμῶν χαρίσασθαι τῷ γαληνοτάτῳ βασιλεῖ καὶ ὑμῖν τοῖς πατράσιν, ἔτι τε κατανοῶν, ὅτι καὶ αἱ ὑποθέσεις πᾶσαι ῥᾴδιον οὕτω διευθετοῦνται, ἀποδέχεται ἵνα καὶ τὴν παροῦσαν συνέλευσιν, καὶ εἰς τὸ ἑξῆς ἑπομένως τοῦτον τὸν τρόπον ποιῶμεν. τὸ δὲ τρίτον, ὃ δεῖ γνώριμον εἶναι, ἔστι τοῦτο· ἐπειδὴ ὁ μακαριώτατος πατὴρ Αὐγουστῖνος ἐν τῷ πρώτῳ περὶ τῆς πόλεως τοῦ Θεοῦ φησιν, ὅτι οὐδὲν διαλέξεως εἶδος, ἢ τέλος τοῦ ὁμιλεῖν, εἰ δεῖ ἀπολογεῖσθαι πρὸς τοὺς ἀποκρινομένους.

* Κορ. ά. 1, 10. Ἐφεσ. 4, 4.5.

Διὰ τοῦτο δοκεῖ δεῖν μεταξὺ συντηρεῖσθαι, ἵνα ἔχωμεν ἐν ταῖς παρούσαις διαλέξεσι τὰς μαρτυρίας τῶν γραφῶν, καὶ τῶν ἁγίων πατέρων, οὓς ἡ ἁγία ἐκκλησία προσίεται, ἔπειτα τοὺς λόγους τοὺς κομισθησομένους, ὡς ὅρους οἱονεί τινας τῆς ἡμετέρας διαλέξεως, οὓς οὐκ ἐξέσται παραβῆναι μήτε τῷ ἐπιχειροῦντι, μήτε τῷ ἀποκρινομένῳ. τοῦτο γὰρ διδασκόμεθα παρὰ τῶν ἁγίων πατέρων, μάλιστα δὲ παρὰ τοῦ Ἀγάθωνος πάπα ἐν τῇ ἐπιστολῇ τῇ προκομισθείσῃ πολλάκις, ἣν ἔγραψε πρὸς τὸν βασιλέα Κωνσταντῖνον καὶ τὴν ἕκτην σύνοδον, ἐν ῇ περὶ τῶν ἑαυτοῦ ἀποκρισιαρίων οὕτω φησίν· Οἷς, δηλονότι ἀποκρισιαρίοις καὶ μαρτυρίας ἐνίων ἁγίων πατέρων, οὓς αὕτη ἡ ἀποστολικὴ ἁγία ἐκκλησία προσήκατο, μετὰ τῶν βιβλίων ἐκείνων παραδεδώκαμεν, ὥστε εὐπορίαν βοηθείας καὶ ἀρωγὴν παρὰ τῶν γαληνοτάτων τότε τῶν χριστιανῶν βασιλέων μεταχόντες, ἀπὸ τούτων μόνων ἱκανοποιῆσαι σπουδάσωσι. Τοῦτό φασι καὶ οἱ πατέρες τῆς ἐν Χαλκηδόνι συνόδου ἐν τῷ προσφωνήματι τῷ πρὸς Μαρκιανὸν βασιλέα, οὗτινος ἡ ἀρχή· Καὶ τοῦτο πάντως ἔπρεπε τῇ σῇ βασιλείᾳ, λέγοντες περὶ τῆς ἐπιστολῆς Λέοντος πρὸς Φλαβιανόν· Οὐδὲ γὰρ δεῖ θαυμάζειν τοὺς τῆς Ῥωμαϊκῆς ἐκκλησίας προϊσταμένους, ὥστε τὴν ἐπιστολὴν ἐκείνην ὡς πρόσκομμά τι ἀσεβείας ἐγκαλεῖσθαι, ἀλλ' εἰ οὐκ ἔστιν ἐφαρμόζουσα ταῖς θείαις γραφαῖς, ἐλεγχέτωσαν· καὶ ἐάνπερ οὐκ ἔστι ταῖς διανοίαις τῶν πατέρων καὶ ταῖς γνώμαις ἡνωμένη. ἔτι· Ὥστε μηδεμίαν ἐκείνοις ἀφορμὴν ὑπολελεῖφθαι τοῖς ταράττουσι τὸν ἀποστολικὸν ἄνδρα καὶ διαβάλλουσιν, ἡ * συμφωνία τῆς ἐκείνου ἐπιστολῆς, τῶν ἁγίων πατέρων αἱ μαρτυρίαι πρὸς μείζονα τῆς εὐσεβείας μαρτυρίαν, ἀπὸ πολλῶν ὀλίγα ὑπεθέμεθα. Τούτων οὖν προτεθέντων πρὸς αὐτὸ τὸ κύριον δράμωμεν.

* ἴσ. πρὸς συμφωνίαν τῆς ἐκείνου ἐπιστολῆς ταῖς τῶν ἁγίων πατέρων μαρτυρίαις.

Ἐπειδὴ ἐν ἑκάστῃ διαλέξει ζήτημά τι ὑποτίθεται, τίνος ὀνόματός ἐστι, περὶ οὗ ἡ διάλεξις γίνεται· ἐπειδὴ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ὁ λόγος μεταξὺ ἡμῶν εἶναι ὀφείλει, ζητοῦμεν πρῶτον παρ' ὑμῶν, τί διὰ τοῦ ὀνόματος νοεῖται, εἴτε ἐν ἀνθρωπίνοις πράγμασιν, εἴτε ἐν θείοις. ἡ δ' αἰτία ἐστὶν αὕτη. ἐπειδὴ κατὰ τὴν ἀπόφασιν τοῦ μακαρίου Διονυσίου ἐν τῷ περὶ θείων ὀνομάτων, ἀπὸ τῶν κτισμάτων αὐτὸν τὸν Θεὸν ὀνομάζομεν· καὶ ἀπὸ τῆς θείας γραφῆς τοῦτο τὸ τῆς ἐκπορεύσεως ὄνομα οὐ μόνον

τῷ Πνεύματι ἀλλὰ καὶ τῷ Υἱῷ ἀπονέμεται. καὶ τοῦτο λέγει ὁ Ἰωάννης ἐν τῷ ἑκκαιδεκάτῳ κεφαλαίῳ· Ἐξῆλθον παρὰ τοῦ Πατρός· καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγεται, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. τοῦτο δὲ ὑπὲρ τούτου ἐῤῥέθη, ἐπειδὴ πεπείσμεθα, ὅτι ἐν ταῖς λοιπαῖς συνελεύσεσι ταύτην ἀνὰ χεῖρας μάλιστα ἔχειν ὀφείλετε.

Ὁ ἘΦΕΣΟΥ. Αἰδεσιμώτατοι κύριοι καὶ πατέρες, πρὸς μὲν τὰ πρῶτα τῶν παρ' ὑμῶν εἰρημένων διὰ τοῦ αἰδεσιμωτάτου τοῦδε πατρὸς, ἔξω τε τῆς προκειμένης ὑποθέσεως ὄντα, καὶ συνδοκοῦντα κοινῶς ἀμφοτέροις ἡμῖν, οὐ χρείαν ἔχομεν εἰς πλάτος ἀπολογήσασθαι κατὰ τὸ παρόν· πρὸς δὲ τὴν προταθεῖσαν ὑπόθεσιν ἀπολογούμεθα ταῦτα, ὅτι τὸ τῆς ἐκπορεύσεως ὄνομα διαφόρως μὲν ἐπί γε τῶν ὄντων καὶ τῶν θείων καὶ τῶν ἀνθρωπίνων λέγεται. προσήκει γὰρ ἐπὶ τούτων καὶ ταῖς δυσὶ προόδοις τῶν θεαρχικῶν προσώπων· ἰδίως δὲ μάλιστα κατὰ τὸν ἀκριβῆ τῆς θεολογίας λόγον, ἐπὶ τῆς προόδου τοῦ παναγίου Πνεύματος λέγεται παρά τε τῇ θείᾳ γραφῇ καὶ τοῖς ἁγίοις ἅπασι. καὶ τούτῳ τῷ ὀνόματι διαστέλλεται τοῦ Πνεύματος ἡ ὑπαρκτικὴ πρόοδος τῆς τοῦ Υἱοῦ προόδου, ὅτι ἡ μὲν ὀνομάζεται γέννησις, ἡ δὲ ἰδίως ἐκπόρευσις. πολλὰ δὲ τῶν ὀνομάτων τοιαῦτα, καὶ κοινῶς ἐπί τινων καὶ ἰδίως κατηγορούμενα. καὶ διὰ τοῦτο θαυμαστὸν οὐδὲν, εἰ καὶ τὸ ὄνομα τοῦτο καὶ ἐπὶ τῆς θείας γραφῆς περὶ τοῦ Υἱοῦ λέγεται· καίτοι γε ἡ τοῦ Ἐξῆλθον παρὰ τοῦ Πατρὸς, φωνὴ, οὐ ταὐτόν ἐστιν τῷ Ἐξεπορεύθην, ἀλλ' ἕτερόν τι παρὰ τὴν ἐκπόρευσίν ἐστιν· ὅμως δὲ ὁ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος τρόπος ἄῤῥητος καὶ ἀκατονόμαστος ἰδίως παρὰ τοῖς θεολόγοις λέγεται· ἐπειδὴ ἡ τοῦ Υἱοῦ γέννησις διὰ τὸν καθ' ἡμᾶς τῆς γεννήσεως τρόπον γνωριμωτέρα πως εἶναι δοκεῖ· διὰ τοῦτο περὶ τῆς ἐκπορεύσεως ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς φησιν· Ἄλλος τρόπος οὗτος ὑπάρξεως ἄῤῥητος καὶ ἀκατονόμαστος, ἄλλος δηλονότι παρὰ τὴν τοῦ Υἱοῦ γέννησιν. ὃ ἐβουλόμην ἀποκρινάμην πρὸς τὴν ἐρώτησιν.

Ὁ ἸΩΑΝΝΗΣ. Συνήκαμεν τὴν ἀπόκρισιν πρὸς τὸ ἐρώτημα, ὅσον πρὸς τὸ σημαινόμενον περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐπὶ τῶν θείων, ἀφ' ἧς τρία διὰ βραχέων ἕλκονται. τὸ πρῶτόν ἐστιν, ὅτι ἡ φωνὴ αὕτη τῆς ἐκπορεύσεως κοινή ἐστι τῇ τοῦ Υἱοῦ καὶ

τοῦ Πνεύματος ἀπὸ τοῦ Πατρὸς προόδῳ. δεύτερόν ἐστιν, ὅτι μᾶλλόν ἐστιν ἴδιον τῷ ἁγίῳ Πνεύματι, ἢ τῷ Υἱῷ· ὁ δὲ λόγος ἐστὶν, ὅτι ἡ πρόοδος τοῦ Λόγου ἐστὶν ἡμῖν μᾶλλον γνωριμωτέρα, ἢ τῆς τοῦ ἁγίου Πνεύματος· διὰ τοῦτο καὶ τὸ ὄνομα αὐτὸ τῆς προόδου ἀπονέμεται τῷ ἁγίῳ Πνεύματι. τρίτον ἐστὶν, ὅτι ἡ ἐκπόρευσις ἐκεῖ λέγεται ὑπαρκτικὴ καὶ οὐσιώδης. νῦν οὖν ἐρωτῶ περὶ τοῦ τρίτου· ἐπειδὴ ἐν τοῖς θείοις προσώποις οὐχ εὑρίσκεται ἄλλο τι, εἰ μὴ ὕπαρξις καὶ ἰδιότης καὶ ἀναφορὰ, τί βούλεται τούτῳ τῷ λόγῳ, ὅτι ἡ ἐκπόρευσίς ἐστιν ὕπαρξις ἐν τῷ θείῳ προσώπῳ; ἆρά γέ ἐστι τὸ λαβεῖν ἀφ' ἑτέρου τὴν ὕπαρξιν ἢ ἰδίωμα; ἡ γὰρ ἐκπόρευσις φαίνεται εἶναι πρόοδος ἀφ' ἑνὸς πρὸς ἕτερον. εἰ δὲ ἡ ἐκπόρευσίς ἐστιν ὑπαρκτικὴ, φαίνεται λαμβάνειν ἀπὸ τοῦ Πατρὸς τὴν ὕπαρξιν, ἐπειδὴ τὸ λαμβάνειν τὴν ὕπαρξιν ταυτόν ἐστι τῷ ἐκ τοῦ * Υἱοῦ. ἐρωτῶ οὖν, εἰ οὕτω νοεῖς.

* ἴσως πατρός.

Ὁ ΕΦΕΣΟΥ. Τοιαύτην νοῶ τὴν πρόοδον, καθ' ἣν ἐξ αὐτοῦ λαμβάνει τὸ εἶναι, καὶ πᾶν ὅπερ ἐστὶ καὶ ἰδίως λέγεται τὸ Πνεῦμα τὸ ἅγιον.

Ὁ ΙΩΑΝΝΗΣ. Ἀρέσκει μοι, ἔχομεν τὸ συμπέρασμα τοῦτο· τὸ λαμβάνειν τὸ Πνεῦμα τὸ ἅγιον τὸ εἶναι παρὰ τοῦ Πατρὸς ταυτόν ἐστι τῷ καὶ ἐξ αὐτοῦ ἐκπορεύεσθαι· τοῦτο λέγεται οὕτως· ἀφ' οὗ τὸ Πνεῦμα τὸ ἅγιον λαμβάνει τὸ εἶναι ἐπὶ τῶν θείων, ἀπὸ τούτου καὶ ἐκπορεύεται· ἀλλὰ λέγεται τὸ Πνεῦμα τὸ εἶναι λαμβάνειν παρὰ τοῦ Υἱοῦ· ἄρα τὸ Πνεῦμα πρόεισιν ἐκ τοῦ Υἱοῦ ἐν τῇ ἰδίᾳ σημασίᾳ τῆς ἐκπορεύσεως, καθὼς ὑμεῖς συνεχωρήσατε. ὅτι δὲ τὸ Πνεῦμα λαμβάνει τὸ εἶναι παρὰ τοῦ Υἱοῦ, τοῦτο δυνατὸν ἀποδειχθῆναι πολλαῖς μαρτυρίαις.

Ὁ ΕΦΕΣΟΥ. Πόθεν τοῦτο λαβόντες ἔχετε, τὸ ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον; ἡμεῖς τοῦτο οὐ συγχωροῦμεν.

Ὁ ΙΩΑΝΝΗΣ. Ἀρέσκει μοι τὸ ῥηθέν. ταχὺ γὰρ ἐπανελευσόμεθα πρὸς τὴν ἐρώτησιν. ὅτι μὲν οὖν λαμβάνει τὸ εἶναι παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, δείκνυται ἀπὸ τοῦ ῥητοῦ τοῦ ἁγίου Ἐπιφανίου· ὃς ἔν τινι συγγράμματι, Ἀγκυρωτῷ καλουμένῳ, μετενηνεγμένῳ ἀπὸ βιβλίου ἑλληνικοῦ παλαιοῦ παρὰ τοῦ Ἀμβροσίου, φησὶν οὕτως ὡς ἀπὸ προσώπου τοῦ Πατρός· ὅτι Υἱὸν λέγω ἐκεῖνον

τὸν ὄντα ἐξ αὐτοῦ, Πνεῦμα δὲ ἅγιον, ὃ μόνον ἐξ ἀμφοῖν ἐστιν. ἀπὸ τούτου οὖν τοῦ ῥητοῦ, εἰ τὸ Πνεῦμα ἐξ ἀμφοῖν ἐστιν, ἄρα καὶ τὸ εἶναι λαμβάνει ἐξ ἀμφοῖν. Ἔτι ἐν τῷ αὐτῷ συγγράμματι οὕτω λέγει· Καὶ καθάπερ οὐδεὶς ἑώρακε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον οἶδέ τις, εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἀφ' οὗ λαμβάνει καὶ ἐκπορεύεται. οὔτε τὸν Υἱὸν καὶ τὸν Πατέρα, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀληθῶς δοξάζον, τὸ διδάσκον πάντα, ὅπερ ἐστὶ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. ἀπὸ τούτου* οὖν τοῦ ῥητοῦ ὁ ἅγιος Ἐπιφάνιος ὑπὲρ τοῦ αὐτοῦ λαμβάνει, τὸ εἶναι ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τὸ λαμβάνειν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. ἄρα ἀπὸ ταύτης τῆς πρώτης μοίρας ἔχομεν παρὰ τοῦ ἁγίου Ἐπιφανίου, τὸ Πνεῦμα τὸ ἅγιον λαμβάνειν τὸ εἶναι παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

* ἴσως· ἐπὶ τούτου.

Ὁ ἘΦΕΣΟΥ. Ὑποσχόμενος δεῖξαι, ὅτι παρὰ τοῦ Υἱοῦ λαμβάνει τὸ Πνεῦμα τὸ εἶναι, τοῦτο ποιῆσαι οὐδαμῶς ἠδυνήθης, οὐδὲ προήγαγες τοῦτο ῥητῶς παρά τινι τῶν διδασκάλων κείμενον, ἀλλ' οὐδ' ἀναγκαίως ἐξ αὐτῶν συναγόμενον· ἀλλ' οὐδὲ εἰ ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἤδη καὶ παρ' αὐτῶν ἔχει τὸ εἶναι. τὸ γὰρ ἔκ τινος εἶναί τι πολλαχῶς λέγεται· καὶ οὐκ ἀναγκαῖον, πᾶν ὃ ἔκ τινος εἶναι λέγεται, καὶ παρ' αὐτοῦ τὸ εἶναι ἔχειν καὶ ἀναγκαίως αἴτιον αὐτὸ ἔχειν. ὃ δὲ ἐπήγαγες ῥητὸν παρὰ τοῦ ἁγίου Ἐπιφανίου, οὐ μόνον οὐ συνηγορεῖ τῷ σῷ λόγῳ, ἀλλὰ καὶ προδήλως ἐναντιοῦται. οὐ γὰρ εἶπεν ὁ μακάριος Ἐπιφάνιος, ὅτι παρὰ τοῦ Υἱοῦ τὸ εἶναι λαμβάνει τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἁπλῶς, ὅτι λαμβάνει· τοῦτο δὲ εἶπε παρὰ τοῦ εὐαγγελίου λαβὼν τὰς ἀφορμὰς, ἐν οἷς ὁ Κύριος εἶπεν, ὅτι παρ' ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.* δῆλον οὖν, ὅτι οὐ τὴν αὐτὴν διάνοιαν εἶχεν ὁ ἅγιος Ἐπιφάνιος, ἣν ὑμεῖς νοεῖτε καὶ λέγετε· εἰ γὰρ εἶχε ταύτην τὴν διάνοιαν, εἶπεν ἂν οὕτως, ὅτι οὐδεὶς οἶδε τὸν Πατέρα καὶ τὸν Υἱὸν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, παρ' ὧν ἐκπορεύεται, καὶ παρ' ὧν λαμβάνει· καὶ ἤγαγεν ἂν εἰς ταὐτὸν τὸ ἐκπορεύεσθαι τῷ λαμβάνειν· νῦν δὲ διαστέλλων τῇ ἀντωνυμίᾳ καὶ τῷ συνδέσμῳ, καὶ λέγων, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει, δηλοῖ ἄλλο τι νοεῖν τὸ ἐκπορεύεσθαι παρὰ τὸ λαμβάνειν· ὅτι τὸ μὲν ἐκπο-

* Ἰω. 16, 15.

ρεύεσθαι δηλοῖ τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος τὴν ἐκ τοῦ Πατρός· τὸ δὲ λαμβάνειν, τὴν συμφωνίαν καὶ ὁμόνοιαν τοῦ ἁγίου Πνεύματος πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν, καθ' ἣν ἀπαγγέλλει τοῖς μαθηταῖς τὸ Πνεῦμα τὸ ἅγιον, ἃ δεῖ μαθεῖν αὐτοὺς, παρ' αὐτοῦ τοῦ Υἱοῦ τὰς ἀφορμὰς λαμβάνειν. οὐκ ἄρα παρὰ τὸ ῥητὸν τοῦτο οὐδὲν ἀναγκαῖον συνῆξας πρὸς τὸ σὸν βούλημα· παρ' οὐδετέρου γὰρ τούτων φαίνεται, παρὰ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὸ εἶναι. ταῦτα συμμαρτυρεῖ μοι Χρυσόστομος καὶ ὁ μακάριος Κύριλλος. τούτων γὰρ ὁ μὲν ἐξηγούμενος τὸ παρὰ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὸ ἅγιον, λέγει· Λήψεται παρ' ἐμοῦ, τουτέστι παρὰ τῆς ἐμῆς γνώσεως, ἤτοι σύμφωνα καὶ συνῳδὰ τοῖς ἐμοῖς ἐρεῖ. ὁ δὲ Κύριλλος ἐν τοῖς Θησαυροῖς φησιν· Οὐ γάρ τοι φύσεως ἐδήλου διαφορὰν ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς, λέγων ὁ Υἱός· Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν, ἀλλ' ὅτι λόγοις κεχρήσεται τοῖς ἑαυτοῦ διὰ τὸ τῆς οὐσίας ταὐτὸν, καὶ εἰς ἅπαν ὁμοφυὲς, ἰσουργόν τε καὶ ἰσοσθενές. εἰ τοίνυν περὶ λόγων εἴρηται καὶ νενόηται τοῖς ἁγίοις τὸ ἐκ τοῦ Υἱοῦ λαμβάνειν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἀναγγέλλειν τοῖς ἀποστόλοις, οὐκ ἄρα παρὰ τῆς φωνῆς ταύτης ἔχομεν ἐννοεῖν, ὅτι ἐκ τοῦ Υἱοῦ λαμβάνει τὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

Ὁ ἸΩΑΝΝΗΣ. Συνήκαμεν τὰ εἰρημένα σοι, πάτερ αἰδεσιμώτατε, δι' ὧν ἠβουλήθης ἀποκλεῖσαι τὴν ἐμὴν διάνοιαν ἀπὸ τῆς σημασίας τοῦ ἁγίου Ἐπιφανίου. ἀλλὰ νῦν βούλομαι ἐνστῆναι καὶ δεῖξαι, ὅτι τοῦτο βούλονται τὰ ῥήματα τοῦ ἁγίου Ἐπιφανίου, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λαμβάνει τὸ εἶναι παρὰ τοῦ Υἱοῦ· εἶναι γὰρ ἓν πρᾶγμα ἀφ' ἑτέρου, κατ' οὐδένα ἄλλον τρόπον νοεῖσθαι δύναται, εἰ μὴ ὅτι λαμβάνει τὸ εἶναι, καθὼς ἐστὶν ἐξ αὐτοῦ. ἡμεῖς δὲ λέγομεν καὶ ὁ μακάριος Διονύσιος ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ περὶ θείων ὀνομάτων, ὅτι τὰ κτίσματα παρὰ τοῦ Θεοῦ. νῦν οὖν ἐρωτῶ σε, ἡνίκα τὰ κτίσματα παρὰ τοῦ Θεοῦ λέγομεν εἶναι, εἰ τὰ κτίσματα παρὰ τοῦ Θεοῦ τὸ εἶναι λαμβάνει;

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο οὕτω νοοῦμεν· πλὴν ὅτι εἴ τι ἔκ τινός ἐστιν, οὐκ ἤδη καὶ παρ' αὐτοῦ τὸ εἶναι ἔχει.

Ὁ ἸΩΑΝΝΗΣ. Συγχωρεῖς, ὅτι τὰ κτίσματα παρὰ τοῦ Θεοῦ τὸ εἶναι ἔχει;

Ὁ ΕΦΕΣΟΥ. Συγχωρῶ· κατὰ τοῦτο λέγονται κτίσματα, καθ' ὃ τὴν αἰτίαν ἔχουσι παρὰ τοῦ Θεοῦ.

Ὁ ΙΩΑΝΝΗΣ. Ἐπειδὴ τὰ κτίσματα λαμβάνουσι διαφόρως τὸ εἶναι παρὰ τοῦ Θεοῦ, διὰ τοῦτο λέγονται καὶ διαφόρως παρὰ τῆς οὐσίας τοῦ Θεοῦ· ἀλλ' ἐν τῷ ῥητῷ τοῦ Ἐπιφανίου εὑρίσκεται, ὅτι ἐστὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ· τὸ δὲ Ἐστὶν ἐπιφέρει τὸ εἶναι. τὸ γὰρ Ἐστὶν ἢ ἐπιφέρει τὸ εἶναι ἢ ἄλλο. οὐδὲ γαρ ἐστιν ἕτερον, τὸ εἶναι παρὰ τοῦ Υἱοῦ ἢ ἄλλο τι εἶναι. οὐκ ἔστιν νῦν ῥητέον, τὸ Πνεῦμα τὸ εἶναι μὴ ἔχειν παρὰ τοῦ Υἱοῦ. ὥστε συνάγεται ἀναγκαίως, τὸ αὐτὸ εἶναι ἔχειν παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὃ ἔχει καὶ παρὰ τοῦ Πατρός· καὶ γὰρ τοῦτο δηλοῦται ἡνίκα λέγει· Ἐστί.

Ὁ ΕΦΕΣΟΥ. Πληρωθήτω τοῦτο, καὶ τότε συγχωρήσομεν.

Ὁ ΙΩΑΝΝΗΣ. Τοιοῦτόν ἐστι τὸ ῥητόν.

Ὁ ΕΦΕΣΟΥ. Τοῦτο τὸ βιβλίον ἐστὶ διεφθαρμένον πρὸ πολλῶν χρόνων· ὅμως δυνάμεθα θεραπεῦσαι. ἀναγνωσθήτω οὖν ἵνα ἀκούσωμεν. λέγομεν γάρ, ὅτι νοεῖται ἐξ ἀμφοῖν, οὐ μὴν κεῖται καὶ Ἐστίν.

Ὁ ΙΩΑΝΝΗΣ. Οὕτω φησίν· Οὐδὲ τὸ Πνεῦμά τις οἶδεν εἰ μὴ ὁ Πατὴρ καὶ ὁ Υἱός, ἀφ' οὗ λαμβάνει, καὶ ἀφ' οὗ ἐκπορεύεται· ὥστε ἀνατρέχειν τὴν ἐκπόρευσιν πρὸς τὸν Πατέρα, τὸ δὲ λαμβάνειν πρὸς τὸν Υἱόν. εἶτα ἐφεξῆς βουλόμενος ἀποδεῖξαι, τί τὸ λαμβάνειν, καὶ τί τὸ ἐκπορεύεσθαι, ἐπάγει οὕτως· Οὔτε τὸν Πατέρα καὶ τὸν Υἱόν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀληθῶς δοξάζον, τὸ διδάσκον πάντα, ὅπερ ἀπὸ τοῦ Πατρός ἐστι καὶ τοῦ Υἱοῦ. καὶ ἰδέ, ὅπερ εἴρηκε πρότερον ἀναφέρων, ταῦτα νῦν λέγει, ὅτι παρὰ τοῦ Υἱοῦ ἐστιν. ἐπειδὴ δὲ ἐπὶ τῶν θείων ἕν ἐστι τὸ εἶναι καὶ ἐστί, δηλοῦται δὲ τὸ εἶναι διὰ τοῦ ἐστίν, ἄρα ἐστὶν ἐκ τοῦ Υἱοῦ, καὶ ἔχει τὸ εἶναι ὥσπερ καὶ ἀπὸ τοῦ Πατρός. καὶ γὰρ ἄλλως ἐδέησεν ἂν εἰπεῖν· Τὸ Πνεῦμα τὸ ἅγιον ἔχει τὸ εἶναι παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καθὼς καὶ τὰ κτίσματα. ὅτι δὲ αὕτη ἐστὶν ἡ διάνοια, οὕτω λέγει ἐν τῷ αὐτῷ Ἀγκυρωτῷ· Τὸ Πνεῦμα τὸ ἅγιον ἀεὶ οὐ γεννώμενον, οὐ ποιηθέν, οὐ συνάδελφον, οὐ πάππος, ἀλλ' ἀπὸ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. λοιπὸν οὐ δυνάμεθα ἐννοεῖν, ὅτι ἐκ τοῦ Υἱοῦ οὐκ ἔχει τὸ εἶναι.

Ὁ ΕΦΕΣΟΥ. Λέγει ἡ σὴ αἰδεσιμότης, ὅτι ἐπειδὴ λέγεται τὸ

πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἔχει καὶ ἐξ αὐτῶν τὸ εἶναι. λοιπὸν οὕτω νοεῖς ἐξ ἀνάγκης, ὅτι ὅταν λέγηται ἐκ τοῦ πατρὸς, ἔστιν ἐκ τῆς ὑποστάσεως αὐτοῦ· καὶ ὅταν λέγηται ἐκ τοῦ υἱοῦ, ἔστιν ἐκ τῆς ὑποστάσεως αὐτοῦ· καὶ ὅταν λέγηται ἐξ ἀμφοῖν, ἔστιν ἐκ τῆς ὑποστάσεως αὐτῶν· ἀπόκριναι.

Ὁ ἸΩΑΝΝΗΣ. Πρὸς ταῦτα ἀποκρίνομαι· ἡνίκα λέγομεν τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ πατρὸς, νοοῦμεν ἐκεῖνο παρὰ τοῦ πατρὸς, ὅ ἐστι πρόσωπον ἐπὶ τῶν θείων τοῦτο· καὶ ἡνίκα λέγομεν ἐκ τοῦ υἱοῦ, τουτέστιν ἐκ τῆς τούτου ὑποστάσεως· ἡνίκα δὲ ἐξ ἀμφοῖν οὕτω λέγομεν, ὥστε τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἀπὸ μιᾶς ἀρχῆς· ἐπειδὴ ἡ ἐκπόρευσις τοῦ ἁγίου πνεύματος κοινοποιεῖται παρὰ τοῦ πατρὸς καὶ ἐπὶ τὸν υἱόν ἐστιν.

Ὁ ἘΦΕΣΟΥ. Εἰ τό· Ἐκ τοῦ πατρὸς, νοεῖται ἐκ τῆς ὑποστάσεως αὐτοῦ, καὶ τό· Ἐκ τοῦ υἱοῦ, ἐκ τῆς ὑποστάσεως αὐτοῦ· ὅταν ἀκούῃς καὶ ἐξ ἀμφοῖν, τί ἄλλο νοεῖς, ἢ ὅτι ἐκ τῶν ὑποστάσεων ἀμφοτέρων; ὅμως κείσθω ἐν τῷ παρόντι, ὅταν ἀκούσωμεν, ἐκ τοῦ πατρὸς, νοοῦμεν ἐκ τῆς ὑποστάσεως αὐτοῦ, καὶ τοῦτο ἐξ ἀνάγκης, ὅτι ἐκ τοῦ πατρός. δοκιμαζέσθω γὰρ καὶ παρ᾽ ἀμφοτέρων ὅπερ ἐστὶν ὁμολογούμενον, ὅτι καὶ ἐκ τοῦ πατρός. ὅταν ἀκούσωμεν ἐκ τοῦ υἱοῦ, ἐξ ἀνάγκης νοεῖν ἐστι, ὅτι καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ. ἢ ἐνδέχεται τοῦτο καὶ ἄλλως νοεῖν ἡμᾶς;

Ὁ ἸΩΑΝΝΗΣ. Ἡμεῖς συγχωροῦμεν, ὅτι ὁσάκις λέγομεν εἶναι παρὰ τοῦ πατρὸς, λέγομεν ἐκ τῆς ὑποστάσεως αὐτοῦ· καὶ ὁσάκις ἐκ τοῦ υἱοῦ, νοοῦμεν ἐκ τῆς ὑποστάσεως αὐτοῦ· ἐπειδὴ ἡ αὐτή ἐστιν οὐσία πατρὸς καὶ υἱοῦ, ἔστι δὲ τὸ προβάλλειν τοῦ πατρὸς, ἔστι καὶ τοῦ υἱοῦ, ὡς ἀφ᾽ ἑνὸς τὸ Πνεῦμα τὸ ἅγιον προβάλλεσθαι.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο ἐξετάσωμεν, ὅταν ἐξ ἀμφοῖν λέγηται, εἰ ἔστι καὶ ἐκ τῶν ὑποστάσεων αὐτῶν.

Ὁ ἸΩΑΝΝΗΣ. Κατὰ τὸ παρὸν οὐκ ὀφείλομεν ἐξετάζειν εἴτε παρ᾽ ἀμφοῖν, εἴτε παρὰ τοῦ πατρὸς, εἴτε παρὰ τοῦ υἱοῦ· ἀλλὰ τὸ, εἰ τὸ λεγόμενον ἔκ τινος εἶναι, ἔχει καὶ τὴν οὐσίαν ἐκείνου.

Ὁ ἘΦΕΣΟΥ. Ἔδωκας ἡμῖν καὶ τοῦτο, τὸ Πνεῦμα τὸ ἅγιον, ὅταν λέγηται ἐκ τοῦ πατρὸς εἶναι, ὅτι ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἐστιν. ἴδωμεν οὖν τὸ ἑπόμενον ἐκ τῆς σῆς συγκαταβάσεως ταύτης. ὁ μέγας Βασίλειος ἐν τοῖς πρὸς Εὐνόμιον ἀντιῤῥητικοῖς περὶ τῆς ἐκ

τοῦ πατρὸς προόδου τοῦ ἁγίου πνεύματος τὸν λόγον ποιούμενος, τοιάδε φησί· Γεννᾷ ὁ Θεὸς, οὐχ ὡς ἄνθρωπος, γεννᾷ δὲ ἀληθῶς· καὶ τὸ γεγεννημένον ἐξ αὐτοῦ ἐκπέμπει πνεῦμα διὰ στόματος, οὐχ οἷον τὸ ἀνθρώπινον, ἐπεὶ μηδὲ στόμα Θεοῦ σωματικῶς ἐννοοῦμεν· ἐξ αὐτοῦ δὲ τὸ πνεῦμα, καὶ οὐχ ἑτέρωθεν. Εἰ τοίνυν τὸ πνεῦμα ἐξ αὐτοῦ ἀκούοντες νοοῦμεν καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἤδη καθαρῶς ὁ μέγας Βασίλειος ἀπεφήνατο, ἐκ μόνης τῆς ὑποστάσεως τοῦ πατρὸς, καὶ οὐκ ἐξ ἄλλης τινὸς ὑποστάσεως εἶναι τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐν οἷς λέγεις, ὅτι ὁ μέγας Βασίλειος φανερῶς διεσάφησε, τὸ πνεῦμα ἐκ τοῦ πατρὸς μόνον εἶναι καὶ οὐχ ἑτέρωθεν, τὸ ἐναντίον φαίνεται οὗ προήγαγες· ἐπειδήπερ ὁ μέγας Βασίλειος ἐν τῷ τρίτῳ τῶν ἀντιῤῥητικῶν κατ' Εὐνομίου λέγει, ὅτι τὸ εἶναι τὸ πνεῦμα λαμβάνει ἐκ τοῦ υἱοῦ· καὶ ἐστὶν ἐν βίβλῳ ἀρχαιοτάτῃ. λέγει γὰρ, ὅτι γεννᾷ ὁ πατὴρ, οὐχ ὡς ἄνθρωπος, καὶ ἐκπέμπει πνεῦμα διὰ στόματος. παρὰ τῷ Θεῷ στόμα οὐκ ἔστιν, ἀλλ' εἰκονικῶς λαμβάνεται ταῦτα, καὶ ἡμεῖς συγχωροῦμεν, καὶ παρὰ τῇ θείᾳ γραφῇ ὁ Λόγος στόμα λέγεται τοῦ Θεοῦ· Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ·* τοῦτον γὰρ τὸν τρόπον ᾑρετίσατο ἡ γραφὴ ὁμιλεῖν, πρὸς ὃν ἡμεῖς τηροῦμεν, οὐχ ὅτι γε εὑρίσκονται τὰ τοιαῦτα σωματικῶς· ὥστε τὰ ῥήματα ποιοῦσι πρὸς τὸ προκείμενον ὄντα καὶ αὐτὰ ταῦτα τοῦ μεγάλου Βασιλείου. πρῶτον οὖν ἐξετάσωμεν τὰ εἰρημένα, καὶ τούτῳ τῷ τρόπῳ ἀναγνωσθήσονται καὶ τὰ λοιπά.

* Ψαλμ. 32, 6.

Μετὰ ταῦτα ἀνέγνω ὁ φρὰ Ἀνδρέας* τὸ ῥητὸν Βασιλείου καὶ Ἐπιφανίου.

* ὁ Ῥόδου.

Ὁ ἘΦΕΣΟΥ. Πρὸς τοῦτο ἀπολογησόμεθα μετὰ ταῦτα· νῦν δὲ ὃ προεθέμεθα, καθαρῶς ἄχρι τέλους ἐξετάσωμεν, ἐρωτῶμεν οὖν τὴν σὴν αἰδεσιμότητα· ὁ μέγας Βασίλειος λέγει, ὅτι γεννᾷ ὁ πατὴρ ἐξ αὐτοῦ, καὶ ἐκπέμπει πνεῦμα διὰ στόματος αὐτοῦ, οὐχ οἷον τὸ ἀνθρώπινον· ἐξ αὐτοῦ ὡς ἀληθῶς καὶ οὐχ ἑτέρωθεν. τί δηλοῦν βούλεται, ὅτι γεννᾷ ὁ πατὴρ ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἢ ἐκ τῆς οὐσίας αὐτοῦ; ὅτι ἐκπέμπει πνεῦμα ἐκ τῆς οὐσίας αὐτοῦ, ἢ ἐκ τῆς ὑποστάσεως αὐτοῦ; καὶ τί νοεῖν ἐνταῦθα τό· Ἐξ αὐτοῦ, βούλεται; ἀπόκριναι.

Ὁ ἸΩΑΝΝΗΣ. Ἡ αἰδεσιμότης σου οὐκ ἀπεκρίθη πρὸς τὸ προκείμενον τό· Ἐκ τοῦ υἱοῦ, ῥητὸν τοῦ ἁγίου Ἐπιφανίου· ὅτι ἡνίκα λέγεται, τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, ἕπεται ὥστε ἔχειν καὶ τὸ εἶναι παρὰ τοῦ υἱοῦ. διὰ τοῦτο ἀπολογήθητι, καὶ τότε καὶ ἡμεῖς ἀπολογησόμεθα πρὸς τὰ προτεινόμενα παρ' ὑμῶν. πρὸς τούτοις ὁ μέγας Βασίλειος τρανότερον ταῦτα διαμαρτυρεῖ λέγων· Τὸ πνεῦμα ἐκ τοῦ Υἱοῦ ἔχει καὶ λαμβάνει. τίνα τρόπον νοεῖτε τὸ εἰρημένον, εἴπατε· καὶ τότε περαιτέρω προβησόμεθα.

Ὁ ἘΦΕΣΟΥ. Εἰ ἀπέδειξας καὶ τοῦτο ἐκ τοῦ ἁγίου Ἐπιφανίου, ὅτι παρὰ τοῦ υἱοῦ ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, ἐλύσαμεν ἂν τὸ παρὰ σοῦ εἰρημένον, ἐπειδὴ πρᾳέθου ἀποδεῖξαι, οὔπω δὲ ἀπέδειξας. οὐδὲ γὰρ λέγει ῥητῶς, ὅτι παρὰ τοῦ υἱοῦ ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ὅτι παρ' ἀμφοῖν ἐστι, τουτέστι παρὰ πατρὸς καὶ υἱοῦ. νοεῖς; ἠρωτήσαμεν εἰ τὸ ἐκ τοῦ πατρὸς ἀκούειν, ἐξ ἀνάγκης καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ· διὰ τοῦτο προήγαγες τὸ ῥητὸν Ἐπιφανίου. μεταθέντες δὲ τὸν λόγον ἐπὶ τὸν μέγαν Βασίλειον, ἠρωτήσαμεν, εἰ καὶ τό· Ἐξ αὐτοῦ, οὕτω νοεῖς. ἀποκρίθητι οὖν πῶς νοεῖς, ἵνα ἐκ τῶν ὁμοίων σαφῆ τὰ ὅμοια γένηται. εἰ δὲ ἔχεις ἕτερον ῥητὸν τὰ ἐναντία λέγον, μετὰ ταῦτα δηλαδὴ ἐξετασθήσεται. πάλιν οὖν ἐρωτῶμεν εἰ τό· Ἐκ τοῦ πατρὸς, οὕτω νοεῖς, ὡς ἐκ τῆς ὑποστάσεως αὐτοῦ.

Ὁ ἸΩΑΝΝΗΣ. Τοῦτο πολλάκις εἶπον, καὶ πάλιν λέγω, ὅτι οὕτω νοοῦμεν.

Ὁ ἘΦΕΣΟΥ. Κατὰ τὸ συγκεχωρηκὸς τῆς σῆς αἰδεσιμότητος, ὁ μέγας Βασίλειος ἐξ αὐτοῦ τοῦ πατρὸς λέγων καὶ οὐχ ἑτέρωθεν, ἀπεφήνατο ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ πατρὸς καὶ οὐχ ἑτέρωθεν, ἤγουν ἐξ ἄλλης τινὸς ὑποστάσεως· τοῦτο δὲ ταυτόν ἐστι τῷ, ἐκ μόνου τοῦ πατρὸς εἶναι τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ἸΩΑΝΝΗΣ. Ὅτι ταῦτα ὁ μέγας Βασίλειος ἔλεγε, τὸν λόγον ἐποίει πρὸς Εὐνόμιον· ἐκεῖνος γὰρ ἔλεγε τὸ πνεῦμα τὸ ἅγιον κτίσμα εἶναι. καὶ διὰ τοῦτο εἶπεν, ἐξ αὐτοῦ καὶ οὐχ ἑτέρωθεν, δηλῶν τό· Τῆς φύσεως αὐτοῦ. ὥστε βουλόμενος δεῖξαι τὸ ἐκ τοῦ πατρὸς, εἶπεν· Οὐχ ἑτέρωθεν. ἀλλὰ μεταγάγωμεν τὸν λόγον ἐπὶ τὰ πρότερον εἰρημένα. ἐπειδήπερ ὁ Ἐπιφάνιος λέγει, τὸ πνεῦμα εἶναι ἐκ τοῦ υἱοῦ, ἐρωτῶμεν εἰ τὸ Λαμβάνειν ταυτόν ἐστι τῷ· Ἐκ τοῦ

πατρὸς εἶναι, ἢ οὔ. ἀλλ' ἐπειδὴ οὐκ ἔχει χώραν ὅ, τιπερ λαμβάνει τὸ πνεῦμα, ἕτερον Ἐστὶ λαμβάνειν, τοῦτο ἀπὸ τῆς κοινωνίας τοῦ πατρὸς λαμβάνει· καὶ τοῦτο ἀπέδειξα διὰ δύο ῥητῶν, ὧν τὸ πρῶτόν ἐστιν οὕτως· Ἀεί ἐστιν οὐ γεννηθὲν, οὐ ποιηθὲν, οὐκ ἀδελφὸν, ἀλλ' ἀπὸ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὥστε τὸ εἶναι παρὰ τοῦ πατρός ἐστι ταὐτὸν τῷ λαμβάνειν αὐτὴν τὴν ὕπαρξιν· λαμβάνει δὲ τὸ εἶναι ἐκ τοῦ υἱοῦ. τὸ δὲ δεύτερον τοῦ μεγάλου Βασιλείου τὸ λαμβάνειν τὸ εἶναι ἐκ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Πάλιν ὑπέθου ὡς ὁμολογούμενον, ὅτι τὸ πνεῦμα τὸ ἅγιον λαμβάνει τὸ εἶναι ἐκ τοῦ υἱοῦ, ὅπερ οὔτε ὁ μέγας Ἐπιφάνιος, οὔτε ἡμεῖς συνεχωρήσαμεν, οὔτε σὺ ἠδυνήθης καθαρῶς ἀποδεῖξαι. ἀλλὰ μᾶλλον ἐκ τῶν τοῦ μεγάλου Βασιλείου τοὐναντίον δείκνυμεν. πάλιν ἐπανέλθωμεν εἰς τὸν μέγαν Βασίλειον· ἔδοξας γὰρ ἐναντίον εἰπεῖν τοῖς προειρημένοις, ὅτι ὁ μέγας Βασίλειος τῷ Εὐνομίῳ μαχόμενος κτίσμα λέγοντι τὸ πνεῦμα τὸ ἅγιον, ἐξ αὐτοῦ τοῦ πατρὸς εἶπε, τουτέστιν ἐκ τῆς οὐσίας καὶ φύσεως αὐτοῦ, οὐχ ὡς ἓν τῶν κτισμάτων ἑτέρωθεν, ἢ ἐξ ἄλλης οὐσίας. οὕτω ταῦτα λέγεις, ἢ ὡς τὸ πρότερον;

Ὁ ΝΙΚΑΙΑΣ. Τό· Ἐξ αὐτοῦ, εἶπες πρότερον τὴν πατρικὴν ὑπόστασιν, ὕστερον τὴν οὐσίαν.

Ὁ ἸΩΑΝΝΗΣ. Τὸ εἶναι καὶ ἡ οὐσία τοῦ πατρὸς ταὐτόν ἐστι. διὰ τοῦτο ἡνίκα λέγομεν ὅτι ἐκ τοῦ πατρὸς, τοῦτο λέγομεν ὅτι ἐστὶ καὶ ἐκ τῆς οὐσίας αὐτοῦ, ἐπειδὴ ἡ πρόθεσις αὕτη ἡ Ἀπὸ σημαίνει ἀπό τινος ἀρχῆς ὁμουσιώδους πρόοδον, τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἔστιν ἐξ ἑαυτοῦ, ἀλλ' ἔστιν ἔκ τινος. ὅτε λέγομεν ὅτι ἐστὶ παρὰ τοῦ υἱοῦ, δῆλον ὅτι παρ' ἄλλου. εἰ τοίνυν τὸ εἶναι οὐκ ἔστιν ἐξ ἑαυτοῦ, ἀλλ' ἔστιν ἐξ ἑτέρου, ἴδωμεν πόθεν ἐστί. καὶ τοῦτο διασαφεῖ ὁ Βασίλειος, οὗ τὰ ῥήματα οὐκ ἔστιν ἀρνήσασθαι· Λαμβάνει τὸ εἶναι ἐξ αὐτοῦ· καὶ ὁ Ἐπιφάνιος· Ἀπὸ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· ὥστε τὸ εἶναι ἔχει παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. εἰ δὲ ἔχει παρ' ἐκείνων· ἄρα καὶ λαμβάνει. ἐν τούτοις ἐδράσθησαν οἱ πατέρες λαβόντες τὸ ῥητὸν παρὰ τοῦ εὐαγγελίου, τό· Ἐκ τοῦ ἐμοῦ λήψεται.* ταῦτα ἀκριβῶς ἐξετασθήσεται ὕστερον. * Ἰω. 16, 15.

Ὁ ἘΦΕΣΟΥ. Πάλιν δὲ, ἵνα τὸ τοῦ μεγάλου Βασιλείου καθαρῶς ἐκκαλυφθῇ, ταὐτὸν ἐπὶ τῶν θείων νομίζεις οὐσίαν καὶ ὑπόστασιν

ἤτοι πρόσωπον; καὶ ὅταν ἀκούσωμεν ἐκ τοῦ πατρὸς, καὶ τῆς ὑποστάσεως, ὡς ταυτοῦ οὐσίας καὶ ὑποστάσεως, ἢ διαφέρουσιν ἀλλήλων οὐσία τε καὶ ὑπόστασις κατὰ τοὺς διδασκάλους;

Ὁ ἸΩΑΝΝΗΣ. Ὑμεῖς ἐρωτᾶτε, ἐν τοῖς θείοις προσώποις ἐάνπερ ᾖ ταυτὸν ἡ οὐσία καὶ τὸ πρόσωπον, ἤτοι ὑπόστασις. ἡμεῖς δὲ λέγομεν, ὅτι ἡ οὐσία καὶ τὸ πρόσωπον ἡ ὑπόστασίς εἰσι ταυτὸν κατὰ τὸ πρᾶγμα, καὶ διαφέρουσι κατὰ τὸν τρόπον τῆς ἡμετέρας νοήσεως, οὕτως ὥστε ὑφίστασθαι τὸ πρόσωπον ἀπὸ τῆς οὐσίας καὶ τῶν ἰδιωμάτων. νῦν οὖν ἐπειδὴ διαστέλλονται κατ' ἐπίνοιαν ἢ κατὰ λόγον, αὕτη ἡ οὐσία κοινοῦται τοῖς προσώποις, ἀλλὰ τὰ ἰδιώματα κατ' οὐδένα τρόπον κοινωνοῦσι· καὶ τοῦτό ἐστιν ἀπὸ τῆς δυνάμεως τῆς ἀναφορᾶς. τοῦτο καὶ ὑμεῖς ἔχετε, καὶ μάλιστα ἐν τῷ ῥητῷ τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐν τῷ εἰς τὰ φῶτα λόγῳ· Τὸ γὰρ ἴδιον ἑκάστου, ἀκοινώνητόν ἐστιν· ἄλλως γὰρ οὐκ ἂν ἦν ἰδίωμα, εἰ μετέπιπτε καὶ μετεφέρετο πρὸς ἕτερον. τοίνυν ἵνα διασταλῶσι τὰ πρόσωπα, ἀνάγκη ἐστὶ τὰς ὑποστατικὰς ἰδιότητας μένειν ἀκοινωνήτους. καὶ διὰ τοῦτό φασιν οἱ διδάσκαλοι· Οὐδέν ἐστιν εἰ μὴ ἡ τῆς ἀρχῆς σχέσις· καὶ ἐν ταύτῃ τῇ σχέσει δύο θεωροῦνται, ἀφ' οὗ τι, καὶ πρὸς ὅ, τι. καὶ διὰ τοῦτο ταῦτα τὰ δύο θεωροῦνται, ὁ πατὴρ καὶ ὁ υἱὸς, ἐπειδὴ ὁ πατὴρ ἀρχὴ, καὶ ὁ υἱὸς ἐκ τῆς ἀρχῆς. ἀλλ' οὐ κοινωνοῦσιν ἀλλήλοις, κατὰ δὲ τὰ λοιπὰ κοινωνοῦσιν ἀλλήλοις. οὕτω γάρ ἐνόησεν ὁ Ἐπιφάνιος περὶ τῆς ἀρχικῆς σχέσεως τῆς ὑφιστώσης τὰ πρόσωπα· καὶ πρὸς τοῦτο οὐχ
*Ἴσ. ἢ ἀφ' οὗ τι. ἁρμόζει ἕτερον ἀφ' οὗ τι * καὶ πρὸς ὅ, τι. ἐπειδὴ τοίνυν ἐν τοῖς θείοις πλὴν τῶν ὑποστατικῶν ἰδιοτήτων καὶ προσωπικῶν τἄλλα πάντα κοινωνοῦσιν ἀλλήλοις, ἡνίκα λέγομεν ὅτι ἐστί τι ἔκ τινος, ἕπεται νοεῖν, ὅτι καὶ ἐξ ἐκείνου τὸ εἶναι λαμβάνει. ἰδοὺ διεσάφησα, καὶ παρακαλῶ ἵνα εἴπητε ἡμῖν καὶ περὶ τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου.

Ὁ ἸΩΑΝΝΗΣ. Ὅπως διαφέρουσιν ἀλλήλων οὐσία τε καὶ ὑπόστασις ἐπὶ τῶν θείων, οὐ τοῦ παρόντος καιροῦ λέγειν. ἴσως γὰρ οὐδὲ διαφερόμεθα περὶ τοῦτο τὸ μέρος ἀλλήλων. ὅτι δὲ ἁπλῶς διαφέρουσιν οὐσία καὶ ὑπόστασις, δῆλον, ὃν τρόπον διαφέρει τοῦ κοινοῦ τὸ ἴδιον, καθὼς καὶ ὁ μέγας Βασίλειος λέγει πρὸς τὸν ἀδελφὸν Γρηγόριον γράφων· Καθ' ὃν τρόπον διαφέρει οὐσία ἀνθρώπου τῷ κοινῷ λόγῳ εἰπεῖν, καὶ πρόσωπον καὶ ὑπόστασις. τοῦτο οἶμαι

καὶ ὑμῖν συνδοκεῖ. πάλιν οὖν ἐπανερχώμεθα πρὸς τὸ πρῶτον εἰρημένον, ὅτι ὁ μέγας Βασίλειος λέγων· Γεννᾷ ὁ Θεὸς ἐξ αὐτοῦ ἀληθῶς, καὶ ἐκπέμπει πνεῦμα διὰ στόματος αὐτοῦ τί δηλοῦν βούλεται, τὸ Ἐκ τῆς οὐσίας αὐτοῦ, ἢ τὸ Ἐκ τῆς ὑποστάσεως αὐτοῦ;

Ὁ ἸΩΑΝΝΗΣ. Ἐγὼ εἶπον, ὅτι ἡνίκα λέγει· Ὁ υἱὸς γεννᾶται παρὰ τοῦ πατρὸς, ταὐτόν ἐστιν, ὅτι ὁ υἱὸς γεννᾶται ἀπὸ τῆς οὐσίας τοῦ πατρός· ὥστε τὸ πρόσωπον εἶναι τὸ προάγον, ἢ τὸ γεννῶν· ἡ δὲ ἀρχὴ δι' ἧς γεννᾷ, ἐστὶν αὐτὴ ἡ κοινωνοῦσα τοῖς ἄλλοις. ὁ πατήρ ἐστιν ἀρχὴ ἡ γεννῶσα· ὁ πατὴρ ἐπιφέρει ὑποκείμενον, ἡ δὲ θεία οὐσία, ἥτις ἐστὶ πραγματικῶς ταὐτὸν τῷ πατρὶ, οὐκ ἔστιν ἐκείνη ἡ γεννῶσα, ἐπειδὴ οὐ σημαίνεται ὡς ὑποκείμενον, αἱ δὲ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων, ἡ δὲ ἀρχή ἐστι τῶν ἰδιωμάτων, ὡς πᾶσα ἡ φιλοσοφία λέγει· ἡ δὲ οὐσία ἐστὶν ἀρχὴ, δι' ἧς γεννᾷ. διὰ τοῦτο ἐν τοῖς ἀνθρώποις ἐστὶν ὁ γεννῶν ὁ δεῖνα ἄνθρωπος, τουτέστι τὸ πρόσωπον τὸ ὑποκείμενον καὶ ὑφιστάμενον, καὶ ἡ οὐσία αἰτία αὕτη ἐστὶν, ἐπειδὴ αἱ ἐνέργειαι λέγονται τῶν ὑποκειμένων. ἐν τῷ ἀνθρώπῳ ἐστὶν ἡ ἀνθρωπότης, αὕτη ἡ ἀνθρωπότης λέγεται εἶναι ἀρχὴ δι' ἧς ὁ ἄνθρωπος γεννᾷ· καὶ ἄνθρωπος διὰ τοῦτο οὐ κοινωνεῖ τῷ υἱῷ, ἐπειδὴ ὁ υἱὸς οὐ γεννᾷ, ἀλλ' ἡ φύσις κοινωνεῖ τούτῳ τῷ υἱῷ ἐν τῷ αὐτῷ εἴδει καὶ ἐν τῇ αὐτῇ φύσει· τοῦτο οὖν τὸ κοινωνούμενόν ἐστι φύσις, τὸ δὲ ἐνεργοῦν ἐστιν ὑπόστασις. νῦν οὖν ἐπὶ τῶν θείων λέγομεν κατὰ τρόπον τῆς ἡμετέρας ἐννοίας, ὅτι τὸ πρόσωπον τοῦ πατρὸς σημαίνεται ὡς ὑποκείμενον· ὥστε τὸ πρόσωπόν ἐστι τὸ γεννῶν. ἡ δὲ φύσις ἡ θεία ἐστὶν ἀρχὴ δι' ἧς ὁ πατὴρ γεννᾷ τὸν υἱόν. οὕτως ὁ πατὴρ γεννᾷ τὸν υἱὸν, καὶ οὐ κοινωνεῖ τῷ προσώπῳ ἀλλὰ τῇ φύσει, ἀλλ' ἡ οὐσία ἤτοι ἡ φύσις κοινωνεῖται τῷ υἱῷ. καὶ ἐπειδὴ ἡ φύσις ἐστὶν ἡ αὐτὴ τῷ ἀριθμῷ, διὰ τοῦτο οὐ δύναται ῥηθῆναι εἶναί τι κοινὸν κατὰ τὸν τρόπον τὸν εὑρισκόμενον ἐν τῇ ἀνθρωπότητι, ἀλλ' ἔχει τὸν λόγον τοῦ κοινοῦ, ἐφ' ὅσον ἐστὶ κοινωνητή. αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν ὁ υἱὸς λέγεται γεννᾶσθαι παρὰ τοῦ πατρὸς ὡς ἀπὸ ἀρχῆς· ἔστι δὲ ἀπὸ τῆς οὐσίας τῆς θείας, ἤτοι τοῦ πατρὸς, ἱσταμένης τῆς πραγματικῆς ταυτότητος μεθ' ἑκάστου προσώπου, κατὰ πάντας τοὺς διδασκάλους οὕτω Γραϊκοὺς καὶ Λατίνους, μόνη ἡ ἀναφορὰ ἡ πληθύνουσα τὰ πρόσωπα ἐπὶ τῶν θείων προόδων, ἥτις λέγεται ἀρχική· πρὸς ἣν μόνα δύο ἀνήκει,* καὶ ὅστις ἀπ' ἄλλου

* Λείπει ἀφ' οὗ ἄλλος.

ἐστί· νῦν οὖν λέγει, τὸ πνεῦμα ἀφ' ἑτέρου. ἐπειδὴ τοίνυν αἱ σχέσεις
* ἔστιν ἀφ' οὗ ἕτ. αἱ πληθύνουσαι τὰ πρόσωπά εἰσιν αὗται, καθὼς ὁ πατὴρ, ὅς ἐστιν *
ἕτερος, καὶ ὁ υἱὸς ὅς ἐστιν ἀφ' ἑτέρου, οὐδεὶς ἄλλος λόγος ἐστὶ διαστολῆς ἢ διακρίσεως ἐπὶ τῶν θείων εἰ μὴ διὰ τοῦτο, εἰ πρόσωπόν τί ἐστιν ἀφ' ἑτέρου· ἕπεται ἐξ ἀνάγκης κατὰ τοὺς διδασκάλους τῶν τε Γραϊκῶν καὶ Λατίνων, ὅτι τὸ τοιοῦτον πρόσωπον λέγεται λαμβάνειν καὶ εἶναι τῷ εἶναι ἀφ' ἑτέρου. αὕτη ἐστὶν ἡ διάνοια τοῦ μεγάλου Ἐπιφανίου καὶ Βασιλείου, καθὸ λέγει τὸ πνεῦμα λαμβάνειν τὸ εἶναι ἐκ τοῦ υἱοῦ, ὃ ἐπὶ τῶν θείων ταὐτόν ἐστι τῷ ἐκπορεύεσθαι. νῦν ἵσταται ὁ πρῶτος λόγος, ἡνίκα ἐλέγομεν εἶναι ἀφ' ἑτέρου, ἀλλ' ἀποδέδεικται. ἐπεὶ δὲ ἀπὸ τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου τοῦ προκομισθέντος παρ' ὑμῶν ἐν τῇ προλαβούσῃ, ἐφαίνετο μεγάλην ὑμᾶς ἐνέγκαι τῷ λόγῳ ἰσχὺν, διὰ τοῦτο ἔδοξε καλὸν ἀναγνωσθῆναι ἐνώπιον πάντων, ἵνα γνωσθῇ ἅπαν τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου. νῦν δὲ ἐροῦμεν λατινικῶς κατὰ τὴν διάνοιαν τοῦ αὐτοῦ κεφαλαίου. Ἐν τούτῳ τῷ κεφαλαίῳ ἐπείγεται ὁ μέγας Βασίλειος δεῖξαι τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ πατρὸς καὶ οὐχ ἑτέρωθεν, ἤγουν οὐκ ἐξ ἑτέρας οὐσίας. λέγει γοῦν μετ' ὀλίγα πρὸς αὐτὸν τὸν Εὐνόμιον· Ἀλλὰ σὺ ὁμοίως τοῖς ἀπίστοις σπεύδων ἐπὶ τὴν βλασφημίαν, ἐπειδὴ ἡ ἐκπόρευσις τοῦ πνεύματος ἐκ τοῦ θεοῦ γέννησις οὐκ ἐκλήθη, διὰ τοῦτο οὔτε τοῦ στόματος τοῦ θεοῦ εἶναι πιστεύεις τὸ
* καὶ καταφρονῶν τῶν ἀνθρωπίνων παραδειγμάτων ἀνατρ. πνεῦμα, ἀλλ' ἔργον χειρῶν θεοῦ· καὶ * παραδείγμασιν ἀνθρωπίνοις ἀφορῶν ἀνατρέπεις τὰ ἐξ αὐτῶν συνιστάμενα θεῖα δόγματα, δέον ἀκούειν τῶν θείων ῥημάτων σὺν φόβῳ, καὶ πᾶν τὸ λεγόμενον προσδέχεσθαι μετ' εὐσεβείας, καὶ οὐκ ἀνοητότατα κατὰ τῆς εὐσεβείας ἐπιχειρεῖν. γεννᾷ θεὸς οὐχ ὡς ἄνθρωπος, γεννᾷ δὲ ἀληθῶς. καὶ τὸ γεγεννημένον ἐξ αὐτοῦ ἀναγγέλλει ῥῆμα ἢ λόγον οὐκ ἀνθρώπινον· ἐκπέμπει δὲ Λόγον ἀληθῶς ἐξ αὐτοῦ, καὶ ἐκπέμπει πνεῦμα διὰ στόματος, οὐκ ἀνθρωπίνως, ἐπειδὴ οὐδὲ τὸ τοῦ θεοῦ στόμα ἀνθρώπινόν ἐστιν· ἐξ αὐτοῦ γὰρ τὸ πνεῦμα καὶ οὐχ ἑτέρωθεν. Νῦν οὖν ὁρᾶτε, ὅτι ἐπειδήπερ ἐκεῖνοι ἐπῆγον λέγοντες τὸ πνεῦμα κτίσμα, διὰ τοῦτο ἀντεπιχειρῶν ὁ μέγας Βασίλειος δείκνυσιν εἶναι ἐκ τῆς οὐσίας τοῦ θεοῦ, καὶ οὐχ ἑτέρωθεν. καὶ πάλιν λέγει· Ἐργάζεται θεὸς χερσὶν οὐκ ἀνθρωπίναις· ἐργάζεται δὲ οὐκ ἐξ ἑαυτοῦ προάγων τὰ κτίσματα, ἀλλ' ἐνεργῶν ὑφίστασθαι ποιεῖ, καθὼς ὁ χερσὶν ἐργα-

ζόμενος ἄνθρωπος οὐκ ἐξ ἑαυτοῦ προάγει τὸ ἔργον. καὶ * Μηδὲ κινῆς τῶν θείων τοὺς λόγους· υἱὸς πνεῦμα, οὐ κτίσμα. οὔτε περὶ τοῦ υἱοῦ ἐρώτα, διατί οὐ λέγεται πνεῦμα· μήτε περὶ τοῦ πνεύματος, διατί οὐκ ἔστιν υἱός, μηδὲ κτίσμα τὸν υἱὸν, ἢ τὸ πνεῦμα βλασφήμει. ὁ υἱὸς τοῦ θεοῦ καρπὸς, ἅγιος ἐξ ἁγίου, ἀΐδιος ἐξ ἀϊδίου, τοῦ ἁγίου πνεύματος χορηγὸς πρὸς ὑπόστασιν καὶ μόρφωσιν τοῦ κτίσματος. Μέχρι τοῦδε ἔχομεν φανερῶς, ὅτι τό· Οὐχ ἑτέρωθεν, οὕτω νοεῖται, ὥστε μὴ ἐξ ἑτέρας οὐσίας. δεύτερον, ὅτι τὸ πνεῦμά ἐστι καρπὸς ἅγιος ἐξ ἁγίου, ἀΐδιος ἐξ ἀϊδίου. νῦν οὖν ἀπὸ τούτου φαίνεται, ὅτι εἰ ἔστι τοῦ ἁγίου πνεύματος χορηγὸς, τουτέστι δοτὴρ ἢ παροχεὺς, ἕπεται τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐξ αὐτοῦ εἶναι. καὶ φησιν ὁ ἅγιος Ἀθανάσιος κατὰ Ἀρειανῶν ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τοῦ υἱοῦ λέγων· Αὐτὸς τὸ πνεῦμα δίδωσι καὶ ὅσα ἔχει τὸ πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχει. νῦν δὲ σαφέστερόν ἐστιν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἔχει τὸ εἶναι παρὰ τοῦ υἱοῦ. εἰ γὰρ ὅσα ἔχει τὸ πνεῦμα, ἔχει παρὰ τοῦ υἱοῦ, ἄρα ἔχει καὶ τὸ εἶναι παρ' αὐτοῦ. καὶ τοῦτο συμπεραίνει ὁ Ἀθανάσιος, ὅτι αὐτὸς δίδωσι τὸ πνεῦμα, καὶ ἔστι παροχεύς. ὥστε ἀπὸ ταύτης τῆς κεφαλῆς ἔχομεν, τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ υἱοῦ. ἄρα ἕπεται, τὸ πνεῦμα ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ. οὐδ' ἂν τολμήσαιμι τοσούτους διδασκάλους ἀντιβλέψαι.

* μὴ μετακίνει τῶν θείων λογίων τοὺς ὅρους· υἱός ἐστι υἱος, πνεῦμα πνεῦμα οὐ κτίσμα.

Ἀνέγνω ὁ φρὰ Ἀνδρέας τὴν χρῆσιν τοῦ ἁγίου Ἐπιφανίου εἰς τό· Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν, * καὶ τὰ ἑξῆς. καὶ εὐθὺς ὁ Ἐφέσου εἶπεν. * Ἰω. 16, 14.

Ὁ ἘΦΕΣΟΥ. Ἄκουσον ἀρχιεπίσκοπε· βλέπετε πατέρες, ὅτι τὸ Ἐστὶν οὐ πρόσκειται ὃ μετελάμβανεν ὁ πατὴρ οὗτος εἰς τὸ ἔχειν τὸ εἶναι, ἔλεγε γάρ· Ἐπειδὴ παρὰ πατρὸς καὶ υἱοῦ ἐστιν· ἀλλὰ μὴν οὐ κεῖται τὸ Ἐστὶν, ἀλλὰ μόνον ἁπλῶς κεῖται· Παρὰ πατρὸς καὶ υἱοῦ. δυνάμεθα οὖν νοεῖν κατὰ τὴν θεολογίαν τῶν πατέρων, ὅτι οὕτω τὸ πνεῦμα ὡς μὲν παρὰ τοῦ πατρὸς, ἐκπορευόμενον, τουτέστι τὴν ὕπαρξιν ἔχον· παρὰ δὲ τοῦ υἱοῦ διδόμενον, καὶ λαμβανόμενον ὑπὸ τῶν εἰς αὐτὸν πιστευόντων. καὶ οὕτως οὐδὲν ἡμῖν προσίσταται τὸ προκείμενον ῥητὸν, οὐδὲ συνάγει τὸ παρ' ὑμῶν προτεθέν.

Ὁ ἸΩΑΝΝΗΣ. Ὅτι οὐ κεῖται τὸ Ἐστὶν ἡνίκα λέγεται ἀπὸ

τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τοῦτο ἔθος ἐστὶ πολλῶν διδασκάλων, οἳ τιθέασι τὰ προκείμενα ὀνόματα, παραλείπουσι δὲ τὸ ῥῆμα, ὃ ἀναγκαίως δεῖ νοεῖσθαι· καθ' ὃν τρόπον οἱ διδάσκαλοί φασι περὶ τῆς διαστολῆς καὶ διακρίσεως, ἀφ' οὗ τι, καὶ πρὸς ὅ, τι. εἶτα καὶ μικρὸν ἀνωτέρω λέγει, ὅτι τὸν υἱὸν καλεῖ, ὃς ἐξ αὐτοῦ ἐστι, τὸ δὲ πνεῦμα, τὸ παρ' ἀμφοτέρων. λείπεται νοεῖσθαι τὸ Ἐστίν. ἐν δὲ τῷ δευτέρῳ ῥητῷ· Τὸ δὲ πνεῦμα ἐκ πατρὸς καὶ υἱοῦ. νῦν δὲ ἐν ταύταις ταῖς δύο προθέσεσίν ἐστι τὸ Ἐστὶν, ὡς ἀποδείξω. ἐπειδὴ αἱ προθέσεις ἐπιφέρουσιν ἰδιότητα τὴν ἀπὸ τῆς ἀρχῆς. καὶ καθὼς οὐκ ἔστιν ἡ ἐκπόρευσις πρὸς ἀπόβλεψιν τοῦ ὅρου τοῦ ἀφ' οὗ, οὕτω καὶ ἐνταῦθα· ἐπειδὴ ἡ σχέσις προσεπιφέρει τὸν ὅρον τὸν ἀφ' οὗ ἐξ ἀνάγκης καὶ τὸν ἐξ οὗ. ἀλλ' ὁ τρόπος τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματός ἐστιν, αὐτὸ τὸ ὑποκείμενον λαμβάνειν τὸ εἶναι διὰ τῆς ἐκπορεύσεως.

Ὁ ἘΦΕΣΟΥ. Ὅταν δῶμεν τοῦτο κατὰ συγχώρησιν ἐπὶ τῆς προκειμένης θεολογίας νοεῖσθαι τὸ Ἐστὶ, καὶ μὴ προσκείμενον· καίτοι γε δύναται καὶ ἄλλως νοεῖσθαι κατὰ τὸν τρόπον ὃν εἴπομεν· ὅμως οὐκ ἐξ ἀνάγκης τό· Ἐκ τοῦ πατρὸς, ἀκούοντες, ἢ καὶ ἐκ τοῦ Υἱοῦ, τὴν πατρικὴν νοοῦμεν ὑπόστασιν, ἀλλὰ δυνάμεθα νοεῖν οὐ τὴν διάκρισιν, καθ' ἣν ἔχει τὸ εἶναι ἐκ τοῦ πατρὸς ὁ υἱὸς, ἢ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τὴν ἕνωσιν μᾶλλον, καθ' ἣν ὁμοφυῶς ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, καὶ τὸ πνεῦμα πρὸς τὸν υἱὸν καὶ τὸν πατέρα. καὶ τοῦτο παρὰ τοῖς διδασκάλοις εὑρίσκομεν τό· Ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τῆς οὐσίας αὐτῶν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ὁμοφυές ἐστι καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον. καὶ τοῦτο φαίνεται ἐκ τοῦ ἁγίου Κυρίλλου συνάγοντος, ὥσπερ τι συμπέρασμα, τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα τὸ ἅγιον. ἵνα δὲ πρὸς τὸ προκείμενον ἔλθωμεν, καὶ μὴ ἀτελὲς αὐτὸ καταλείψωμεν, λέγομεν πρὸς τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου, ἐπειδὴ οὔπω καθαρῶς καὶ σαφῶς ἀπεκρίνασθε· εἰ μὲν ἐκ τοῦ πατρὸς εἶπεν, ὡς ἐκ τῆς ὑποστάσεως αὐτοῦ, καὶ τοῦτο νοεῖται τό· Οὐχ' ἑτέρωθεν πρὸς ἄλλην ὑπόστασιν ἀναφέρεται, καὶ δῆλον ὅτι λέγει μὴ εἶναι ἐξ ἑτέρας τινὸς ὑποστάσεως, ἀλλ' ἐκ τῆς τοῦ πατρὸς μόνης. εἰ δὲ πρὸς τὴν οὐσίαν λέγει, ἥτις ἐστὶ κοινὴ τῶν τριῶν προσώπων, ἐξ αὐτοῦ λέγει καὶ οὐχ ἑτέρω-

θεν, ἐκ τῆς αὐτῆς φύσεως καὶ οὐκ ἔκ τινος· τὸ γὰρ ἐκπορεύεσθαι ἐκ τοῦ πατρὸς, ὡμολόγηται παρὰ τῇ γραφῇ. καὶ ὁ μέγας Ἐπιφάνιος λέγων ἐξ ἀμφοῖν ἐκ πατρὸς καὶ υἱοῦ, οὐκ ἐξ ἀνάγκης βούλεται δηλοῦν ἐκ τῶν αὐτῶν ὑποστάσεων, ἀλλ' ἐκ τῆς οὐσίας αὐτῶν. οὐκ ἄρα ἐπὶ τῶν θείων τὸ ἐκ τῆς οὐσίας αὐτῶν λεγόμενον, ἤδη καὶ ἐκ τῆς ὑποστάσεως αὐτῶν ἐξ ἀνάγκης, ἀλλὰ δύναται λέγεσθαί τι καὶ εἶναι καὶ ἐκ τῆς οὐσίας αὐτῶν ὡς ὁμοούσιον, ὥσπερ εἴρηται.

Ὁ ΙΩΑΝΝΗΣ. Ἔχω δύο ἀπὸ τούτου· τὸ πρῶτον, ὅτι εἰ καὶ νοεῖται τὸ Ἐστὶ ῥῆμα ἐν τοῖς προκομισθεῖσιν, οὐ μέντοι ἕπεται· εἰ ἔχει τὸ εἶναι, ἔστι καὶ ἐκ τῆς ὑποστάσεως· καὶ φαίνεται ἐναντίον τοῖς πρότερον παρὰ σοῦ εἰρημένοις. ἐπειδὴ ποιεῖς μέγα θεμέλιον τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου, λέγομεν· ὁ Βασίλειος οὐχ οὕτως ἐξηγήσατο, ἐπειδὴ περιέβαλλεν ἂν ἑαυτὸν ἀντιφάσει. εἰ γὰρ λέγει· Ἐκ πατρὸς καὶ οὐχ ἑτέρωθεν, ἐν ἄλλοις δὲ λέγει· Ἐκ τοῦ υἱοῦ, περιέπιπτεν ἂν ἀντιφάσει. ὀφείλομεν οὖν ἰδεῖν τὸ προκείμενον, κἀντεῦθεν εἰσόμεθα τὸ ἑπόμενον.

Τούτων οὕτω λαληθέντων ἐλύθη ἡ σύνοδος, τῇ πέμπτῃ ταμιεύσαντες τὴν συνέλευσιν. τῆς πέμπτης τοίνυν ἐλθούσης, καὶ πάλιν ἡμῶν συνελθόντων, παρόντος καὶ τοῦ βασιλέως ἡμῶν, καὶ τοῦ πατριάρχου ἀπέχοντος, ἀσθενὴς γὰρ ἦν, ὁ Λατῖνος καὶ αὖθις τὴν ἔναρξιν ἐποιήσατο, καὶ φησὶ μετὰ παῤῥησίας πολλῆς.

Μαρτίου μηνὸς ἡμέρᾳ πέμπτῃ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΙΘ.

Ὁ ΙΩΑΝΝΗΣ. Παρελείψαμεν ἐν τῇ προλαβούσῃ τὸ ῥητὸν τοῦ Βασιλείου τὸ προκομισθὲν παρ' ὑμῶν, πατέρες αἰδεσιμώτατοι· ἀφ' οὗ ῥητοῦ εἴπατε τὴν ἔννοιαν τοῦ ἁγίου Βασιλείου, ὅτι τὸ πνεῦμα τὸ ἅγιόν ἐστιν ἀπὸ τοῦ στόματος αὐτοῦ τοῦ πατρὸς καὶ οὐχ ἑτέρωθεν, τουτέστιν, ἀπ' οὐδενὸς ἑτέρου προσώπου, καθὼς ὑμεῖς ἐξηγήσθητε. ἐγὼ δὲ ἀπεκρινάμην, ὅτι τό· Οὐχ ἑτέρωθεν, οὕτω νοεῖται, τουτέστιν, ἀπὸ οὐδεμιᾶς οὐσίας, ἢ τῆς τοῦ θεοῦ οὐσίας. ὁ δὲ λόγος, ὅτι ὁ Βασίλειος ἐν τῷ κατ' Εὐνομίου λέγων, ὅτι τὸ πνεῦμα τὸ ἅγιον

ἔχει τὸ εἶναι ἐκ τοῦ υἱοῦ, οὐκ ἠδύνατο λέγειν τὸ πνεῦμα ἀπ' οὐδενὸς ἑτέρου προσώπου χωρὶς ἀντιφάσεως. καὶ διὰ τοῦτο αὐτὸς ἐζήτησα, ἵνα θεωρηθῇ τὸ πρωτότυπον τοῦ αὐτοῦ Βασιλείου, ὥστε τὴν ἀλήθειαν πᾶσι γνωσθῆναι περὶ τῆς τοῦ Βασιλείου διανοίας, ἐπειδὴ οἱ τοιοῦτοι διδάσκαλοι θεμέλιοί εἰσι τῆς ἡμετέρας πίστεως. εἴδομεν δὲ ἡμεῖς τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου καὶ μετὰ δύο ἑρμηνέων, καὶ ἐπειρασάμεθα τὸ ῥητὸν μεταγαγεῖν εἰς τὴν ἡμετέραν φωνὴν χωρὶς προσθήκης ἢ ἐλλείψεως. ἔχομεν τοίνυν τὸν Βασίλειον πιστότατον μάρτυρα καὶ ἀρχαιότατον, ἔχομεν καὶ τὴν ἑρμηνείαν. καὶ διὰ τοῦτο ἐπ' ἀκροάσει τῶν αἰδεσίμων τούτων πατέρων ἐρῶ πρῶτον τὸ λατινικὸν, κἀντεῦθεν ἀναγνωσθήσεται καὶ τὸ ῥητὸν ἐν τῷ πρωτοτύπῳ βιβλίῳ· εἰ δὲ θέλετε, ἀναγνωσθήτω τὸ ἑλληνικὸν πρότερον τοῦ μεγάλου Βασιλείου, ὅτι καὶ ἄνευ τοῦ καλεῖσθαι υἱὸν τὸ πνεῦμα καὶ πῶς τὰ ἀνθρώπινα παραδείγματα. Ὅτι ὁ μέγας Βασίλειος βούλεται, τὸ πνεῦμα τὸ ἅγιον ἔχειν τὸ εἶναι ἐκ τοῦ υἱοῦ. νῦν δὲ ὁ Βασίλειος ἐν τῷ ἑπομένῳ δευτέρῳ κεφαλαίῳ οὕτω φησίν· ἐπειδή ἐστι κεφάλαιον λίαν ἀξιόλογον, καὶ πάνυ ποιεῖ πρὸς τὸ προκείμενον, πέπεισμαι, ὅτι σὺ εἶδες τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου, καὶ σὺ τοῦτο παρήγαγες· καὶ διὰ τοῦτο ἡ ῥῆσις ἀκουσθήτω, ἐπειδή ἐστι πρὸς τὸ αὐτὸ ἐν τῷ κεφαλαίῳ τῷ ἐπιγραφομένῳ· Εἰ μή τις λέγει ἐκ τοῦ θεοῦ τὸ πνεῦμα, οὐδὲ τὸν Λόγον.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο ὃ λέγεις, ἐστὶν ἐξ ἑτέρου. μὴ σύναπτε οὖν τὰ ῥητὰ, ἀλλὰ λέγε αὐτὰ ὡς ἔχει. τοῦτο γὰρ ἐποίησας καὶ εἰς τὰ τοῦ ἁγίου Ἐπιφανίου. τοῦτο οὖν ποιεῖ τὴν διάνοιαν ταράττεσθαι. διὰ τοῦτο ἐξετασθήτωσαν τὰ εἰρημένα παρὰ σοῦ. τὸ συναγόμενόν ἐστιν ἐκ τῆς σῆς ἐξηγήσεως τοῦ παρ' ἡμῶν προειρημένου ῥητοῦ, καὶ τῶν ἄλλων ὧν εἶπες, ὅτι ὅταν ὁ μέγας Βασίλειος λέγει· Ἐξ αὐτοῦ τοῦ πατρὸς τὸ πνεῦμα, καὶ οὐχ ἑτέρωθεν, οὐ λέγει, ἰδίως ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς, ἵνα ᾖ τὸ Ἑτέρωθεν ἐξ ἑτέρας τινὸς ὑποστάσεως, ἀλλ' ἁπλῶς ὅτι ἐκ τοῦ πατρὸς, τουτέστιν ὅτι ἐκ τῆς φύσεως τοῦ πατρὸς, ἵνα ᾖ τό· Οὐχ ἑτέρωθεν, οὐκ ἔξωθεν, οὐδὲ ἐξ ἑτέρας τινὸς οὐσίας ἢ φύσεως, τουτέστιν ὡς ἓν τῶν κτισμάτων, ὅπερ Εὐνόμιος ἔλεγε. ταύτην τὴν ἐξήγησιν ἡμεῖς ἀκούοντες, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἢ ἐκ τοῦ υἱοῦ, οὐκ ἀναγκαζόμεθα νοεῖν, ὅτι ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς ἢ

ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ ἢ ἐκ τῶν ὑποστάσεων ἀμφοτέρων· ἀλλὰ δυνάμεθα νοεῖν ἐκ πατρὸς καὶ υἱοῦ ἀκούοντες, ὅτι ἐκ τῆς οὐσίας αὐτῶν, τουτέστιν ὁμοούσιον αὐτοῖς καὶ οὐκ ἐξ ἄλλης τινὸς οὐσίας ὡς ἓν τῶν κτισμάτων· τοῦτο γὰρ καὶ οἱ θεολόγοι πολλάκις συλλογιζόμενοι καὶ ἀποδεικνῦντες φαίνονται. εἰ δὲ ἦν ἀναγκαῖον ἀκούοντας ἡμᾶς· Ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, νοεῖν ἐκ τῆς ὑποστάσεως αὐτῶν, οὐκ ἂν οἱ ἅγιοι συνελογίζοντο τοῦτο καὶ ἀπεδείκνυον.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀπὸ τῶν σῶν ῥημάτων δύο τινὰ συνῆξα· τὸ πρῶτον, ὅτι ἐπειδήπερ οὐκ εἴρηται ἐν τῷ ῥητῷ τοῦ μεγάλου Βασιλείου, τὸ πνεῦμα εἶναι ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, διὰ τοῦτο οὐκ ἀναγκάζῃ καὶ αὐτὸς τοῦτο λέγειν. δεύτερον, ὅτι ὁ νοῦς τοῦ Βασιλείου ἦν οὗτος, ὅτι τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἦν ἀλλοτρίας φύσεως ἢ τῆς τοῦ πατρός. καὶ ὅτι οὐ νοεῖται τὸ πνεῦμα εἶναι ἀπὸ τῆς οὐσίας τοῦ πατρός τε καὶ τοῦ υἱοῦ. ὥστε κατὰ σὲ ἡ οὐσία ἐστὶν ἐκείνη ἡ προάγουσα τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ἘΦΕΣΟΥ. Βούλομαι εἰπεῖν ὀλίγον τι, καὶ πάλιν ἵνα λέγῃς αὐτός. ὁ σκοπὸς τοῦ μεγάλου Βασιλείου, ἐπειδὴ ἠγωνίζετο κατὰ τῶν αἱρετικῶν, τῶν λεγόντων, τὸ πνεῦμα τὸ ἅγιον ἀλλότριον τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐκ ἦν δεῖξαι, πόθεν ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο γὰρ ὡμολόγηται καὶ τοῖς αἱρετικοῖς, ὅτι ἐκ τοῦ θεοῦ τὴν αἰτίαν ἔχει, ἐπειδὴ καὶ πάντα ἐκ τοῦ θεοῦ. ἀλλ᾽ οὐδ᾽ ἐκ τίνος ὑποστάσεως ἔχει τὴν αἰτίαν τὸ πνεῦμα· καὶ τοῦτο γὰρ ὡμολόγηται παρὰ τοῦ εὐαγγελίου, ὅτι τὸ πνεῦμα παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἀλλ᾽ ὁ σκοπὸς ἦν δεῖξαι, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ θεοῦ ὄν, οὐχ ὡς ἓν τῶν κτισμάτων ἐστίν, ἀλλ᾽ ἐκ τῆς οὐσίας αὐτοῦ προϊόν, ὥσπερ καὶ ὁ υἱός. διὰ τοῦτο ὅταν λέγῃ ἐξ αὐτοῦ τὸ πνεῦμα, τοῦτο λέγει· Ἐκ τῆς οὐσίας αὐτοῦ καὶ οὐκ ἔξωθεν.

Ὁ ἸΩΑΝΝΗΣ. Λέγεις ὅτι ὁ σκοπὸς τοῦ Βασιλείου ἦν ἀποδεῖξαι, ὅτι τὸ πνεῦμα τῆς αὐτῆς ἦν οὐσίας τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ οὐκ ἄλλης, καθὼς ἔλεγον οἱ αἱρετικοί. δεύτερον, ὅτι οὐκ ἦν χρεία τῷ Βασιλείῳ ἀποδεῖξαι τὴν αἰτίαν τοῦ πνεύματος, πότερον ἂν ὁ πατὴρ ἦν ἢ ὁ υἱός. τρίτον, ὅτι ὁ σκοπὸς τοῦ Βασιλείου ἦν, ὡς τὸ πνεῦμα εἴη τῆς τοῦ πατρὸς οὐσίας καὶ οὐχ ἑτέρας. πρὸς μὲν οὖν τὸ πρῶτον λέγομεν, ὅτι σύμφωνοι ἀρκούντως ἐσμὲν ὅτι ἦν

ὁ σκοπὸς τῷ Βασιλείῳ ἀποδεῖξαι τὸ πνεῦμα εἶναι τῆς τοῦ πατρὸς οὐσίας καὶ οὐχ ἑτέρωθεν. ἐν τούτοις συμφωνοῦμεν, ὅθεν οὐδὲν λέγω. πρὸς δὲ τὸ δεύτερον, οἷον ὅτι οὐκ ἦν ὁ σκοπὸς ἀποδεῖξαι, πότερον ὁ πατὴρ καὶ ὁ υἱὸς εἴη αἰτία τοῦ πνεύματος, ἀντιλέγω· ὅτι ἀπὸ τούτου τοῦ λόγου ἐναντίον ἔσεται τῷ ἐν τῇ προλαβούσῃ εἰρημένῳ σοι· καὶ γὰρ ἐν τῇ προλαβούσῃ εἶπες, οὐχ ἑτέρωθεν, δηλονότι ἐξ ἑτέρας ὑποστάσεως· νῦν δὲ τὸ πρόσωπον λέγεις τοῦτο ἐκ τοῦ προσώπου ἐκείνου οὐκ ἔστι. μᾶλλον ἀποδείκνυται δεύτερον, ὅτι αὐτὸς ἐν τῷ αὐτῷ κεφαλαίῳ φησὶν, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τοῦ στόματος τοῦ θεοῦ. νῦν οὖν ἐρωτῶ σε, πότερον ἐννοεῖς ἐκ τοῦ στόματος εἶναι τοῦ θεοῦ, δηλονότι τοῦ πατρὸς ἢ ἐκ τοῦ στόματος δηλονότι τοῦ υἱοῦ; καθ᾽ ὃν ἂν τρόπον ἀποκριθῇς, χρεία ἐστὶν εἶναι περὶ τὴν αἰτίαν τοῦ πνεύματος. πρὸς δὲ τὸ τρίτον, καὶ ἡμεῖς ὁμολογοῦμεν τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἐπειδὴ ἡ αὐτή ἐστι τῷ ἀριθμῷ ἡ τοῦ πατρὸς οὐσία καὶ τοῦ υἱοῦ· οὐ γάρ ἐστι κτιστὸν ἢ φανταστὸν, ὥστε ὂν ἐκ τοῦ πατρὸς μὴ εἶναι καὶ ἐκ τοῦ υἱοῦ, καθ᾽ ὃ λαμβάνει παρὰ τοῦ πατρὸς, ὅ ἐστι τοῦ πατρὸς, τὴν οὐσίαν δηλονότι. λεγέτω ἡ αἰδεσιμότης σου καὶ ἀποκρίθητι πρὸς τὸ δεύτερον καὶ τρίτον, πρὸς γὰρ τὸ πρῶτον συμφωνοῦμεν.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ τὴν σὴν ἐξήγησιν παραδεξάμενος οὐκ εἶναι ἐναντίαν ἐμαυτῷ, ἀλλ᾽ εἶπον ἐναντία σοι οὕτω ταῖς ἐναντιολογίαις ἀντιπίπτοντι ἐνώπιον τῶν παρόντων ἀκροατῶν, χθὲς γὰρ ἐρωτηθεὶς παρ᾽ ἐμοῦ, ὅτι τό· Ἐξ αὐτοῦ τοῦ πατρὸς, ἀκούων νοεῖς ἐξ ἀνάγκης, ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ πατρὸς εἴπες οὕτως. ἐπὶ τούτῳ παρήγαγον τὸ τοῦ ἁγίου Βασιλείου ῥητόν. καὶ ἐπειδὴ αὐτὸς λέγει, ἐξ αὐτοῦ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα καὶ οὐχ ἑτέρωθεν, ἠνάγκασά σε κατὰ τὴν σὴν ὁμολογίαν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς μόνης ὁμολογῆσαι, καὶ οὐχ ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας τινὸς ὑποστάσεως. ἃ γοῦν εἶπες χθὲς, ἀκόλουθα ἦσαν ταῖς σαῖς ὁμολογίαις. μετὰ ταῦτα δὲ μεταβαλλόμενος, καὶ πρὸς ἑτέραν χωρήσας ἐξήγησιν τοῦ ῥητοῦ, ὅτι τό. Ἐξ αὐτοῦ τοῦ πατρὸς, οὐκ ἀναγκάζει νοεῖν ἡμᾶς ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἀλλὰ δυνάμεθα νοεῖν ἐξ αὐτοῦ τοῦ πατρὸς, ἤγουν ἐκ τῆς φύσεως αὐτοῦ, καὶ ὡς ὁμοούσιον αὐτῷ καὶ οὐχ ἑτέρωθεν, μετήγαγες ἡμᾶς εἰς τὸ παραδέξασθαι ταύτην τὴν σὴν ἐξήγησιν. ἀκολουθοῦντες οὖν τῇ σῇ διανοίᾳ

εἴπομεν καὶ ἐκ τῶν εἰρημένων παρὰ σοῦ συνάγομεν τὰ ἀναγκαίως ἑπόμενα, ἀλλ' οὐχ ἑαυτοῖς περιπίπτοντες καὶ ἐναντιούμενοι. συνάγεται τοίνυν ἀπὸ τῆς σῆς ἐξηγήσεως ταύτης, ὅτι ἐκ τοῦ πατρὸς ἀκούοντες τὸ πνεῦμα καὶ τοῦ υἱοῦ, καὶ ἐξ ἀμφοτέρων οὐκ ἀναγκαζόμεθα νοεῖν καὶ ἐκ τῶν ὑποστάσεων αὐτῶν, ἀλλ' ἁπλῶς ἐκ τῆς αὐτῶν οὐσίας ὡς ὁμοούσιον αὐτοῖς. καθ' ὃν τρόπον καὶ ἡμεῖς ἐκ τῆς οὐσίας ἀλλήλων καὶ ἐξ ἀλλήλων δυνάμεθα λέγεσθαι διὰ τὸ ταὐτὸν τῆς οὐσίας, ἀλλ' οὐκ ἐκ τῶν ὑποστάσεων αὐτῶν. καὶ παρὰ τῇ θείᾳ γραφῇ φησιν ὁ Ἰσαὰκ περὶ τοῦ Ἡσαῦ πρὸς τὸν Ἰακώβ· Ἀδελφός σού ἐστι καὶ ἐκ τῆς φύσεώς σού ἐστι * δῆλον δὲ, ὅτι ὁ ἀδελφὸς οὐκ ἔστιν ἐκ τῆς αὐτοῦ ὑποστάσεως ἀλλ' ἐκ τῆς φύσεως ὡς ὁμοφυὴς αὐτῷ καὶ ὁμοούσιος.

* Τὰ ῥήματα ταῦτα οὐχ εὑρέθη.

Ὁ ΙΩΑΝΝΗΣ. Ἃ εἶπον ἐν τῇ ἑτέρᾳ συνελεύσει, διασαφῶν πῶς ἂν εἴη τὸ πνεῦμα ἀπό τε τῆς οὐσίας καὶ τῆς ὑποστάσεως, ἅπας ὁ σύλλογος τῶν αἰδεσιμωτάτων τούτων πατέρων ἀρκούντως καὶ ἀναπεπταμένως συνῆκε· καὶ ὅτι τὰ τοιαῦτα νοεῖ τὸ πνεῦμα πᾶσι γέγονε γνώριμον, δηλονότι οὐκ ἐξ ἑτέρου προσώπου. καὶ διὰ τοῦτο ἐπὶ τῷ μὴ καταναλίσκειν τὸν καιρὸν ἐν τοῖς περιττοῖς, μόνον πρὸς τὴν ἀρχικὴν στιγμὴν ἐρωτῶ. ἐπειδὴ ἴσως παρέξει τὸ πνεῦμα τὸ ἅγιον ὁμόνοιαν μεταξὺ ἡμῶν. καὶ πρότερον ἃ εἶπες λαβὼν ἀπὸ τῶν ῥητῶν ἡμῖν ἀρκούντως ἀρέσκει, ὅτι καὶ ἀληθές ἐστι τὸ παρὰ σοῦ ἀρτίως εἰρημένον, ὅτι ὁ Βασίλειος ἐν τῷδε τῷ κεφαλαίῳ εἶπεν· Οὐχ ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας οὐσίας. ἐπειδὴ εἰ οὗτος ἦν ὁ σκοπὸς τοῦ μεγάλου Βασιλείου, καθὼς εἶπες, ἐν οὐδενὶ ἂν ἐναντιοῦτο τοῖς παρ' ἐμοῦ εἰρημένοις. καὶ διὰ τοῦτο ἐλθὲ ἐν τῷ τρίτῳ, ἐπειδὴ ἐν τῷ δευτέρῳ συνεφωνήσαμεν.

Ὁ ΕΦΕΣΟΥ. Σήμερον ἐν τῷ δευτέρῳ ἐκείνῳ ἁπτόμενος τοῦ ῥητοῦ ἐν τῷ κεφαλαίῳ ἐκείνῳ, τοῦ Ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας οὐσίας, ἀλλ' ἐκ τῆς τοῦ πατρός.

Ὁ ΙΩΑΝΝΗΣ. Ἔστω, τοῦτο ὁμολογῶ καὶ δέχομαι.

Ὁ ΕΦΕΣΟΥ. Εἶπας, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας τοῦ πατρὸς λεγόμενον, νοεῖν ἡμᾶς ἀναγκάζει καὶ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ τὸ αὐτὸ εἶναι πνεῦμα ἅγιον. ἐπειδὴ ἡ αὐτή ἐστι καὶ μία τῷ ἀριθμῷ οὐσία πατρὸς καὶ υἱοῦ. λέγεις οὖν, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν αἰτία τοῦ ἁγίου πνεύματος.

Ὁ ἸΩΑΝΝΗΣ. Οὐ λέγω οὕτως· πολλάκις ἐπανέλαβον.

Ὁ ἘΦΕΣΟΥ. Ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, νοεῖν ὀφείλομεν τὴν αἰτίαν, ὅτι καὶ ἐκ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ἸΩΑΝΝΗΣ. Οὐ λέγομεν οὕτως.

Ὁ ἘΦΕΣΟΥ. Ὅταν ἀκούσωμεν ἐκ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας, νοεῖν ὀφείλομεν τὴν αἰτίαν ἐξ ἀνάγκης;

Ὁ ἸΩΑΝΝΗΣ. Ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τότε ἀναγκαίως ἀναγκαζόμεθα νοεῖν ὡς ἀπ' αἰτίας· λέγω δὲ ταὐτὸν τὴν αἰτίαν, ἣν οἱ ἡμέτεροι διδάσκαλοι οὐ χρῶνται, ἀλλὰ τῇ τῆς ἀρχῆς φωνῇ. ἐπειδὴ ἐν τῷ χωρίῳ τούτῳ λέγει· Τὸ πνεῦμά ἐστιν ἐκ τοῦ στόματος τοῦ πατρός· ἔστι δὲ ὁ σκοπὸς περὶ τῆς αἰτίας τοῦ πνεύματος, διὰ τοῦτο ἠρώτησα, ἐκ τοῦ στόματος, τουτέστι τοῦ πατρὸς νοεῖν ὀφείλομεν, ἢ τοῦ υἱοῦ; ἐπειδὴ ὅ, τι ἂν εἴπωμεν, νοεῖν ὀφείλομεν. καὶ γὰρ ἀρκούντως ἐσαφηνίσθη ἐν τῷ εὐαγγελίῳ, ὅτι τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ πατρὸς ἐκπορεύεται, δηλαδὴ καὶ παρὰ τῆς αὐτοῦ οὐσίας. ἐκπορευόμενον δὲ ἐκ τοῦ πατρός, λαμβάνει καὶ τὸ εἶναι καθ' ἣν ἐγένετο διασάφησιν. καὶ καθ' ὃν τρόπον λαμβάνει παρὰ τοῦ πατρός, τουτέστι τὴν οὐσίαν αὐτοῦ, ὅ ἐστι ταὐτὸν τῷ παρὰ τοῦ υἱοῦ * τοῦτον τὸν τρόπον λαμβάνει καὶ παρὰ τοῦ υἱοῦ· ἐπειδὴ ἡ οὐσία μία ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. τὸ δὲ παράδειγμα τοῦ Ἰσαὰκ καὶ τοῦ Ἠσαῦ οὐκ ἔστι πρὸς τὸ προκείμενον.

* ἴσ. πατρός.

Ὁ ἘΦΕΣΟΥ. Τὰ μὲν τοῦ μεγάλου Βασιλείου κατὰ τὸ παρὸν καὶ τὰ τοῦ εὐαγγελίου ἐάσω. σὺ δέ μοι πρὸς τὸ ἐρωτηθὲν ἀπόκριναι σαφῶς οὕτω καὶ καθαρῶς. ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, νοεῖν ὀφείλομεν ὅτι καὶ ἐκ τῆς ὑποστάσεώς ἐστιν αὐτῶν;

Ὁ ἸΩΑΝΝΗΣ. Τοῦτό ἐστιν ὅπερ εἴρηκα καὶ ἐν τῇ προλαβούσῃ συνελεύσει, ὅτι αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων, καθὼς πᾶσα φιλοσοφία βοᾷ ἐπὶ τῶν ἀνθρωπίνων. ἐρωτῶ δέ, εἰ τοῦτό ἐστιν ἀληθές, αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων;

Ὁ ἘΦΕΣΟΥ. Οὐ λέγω, ὅτι αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων. ἀποκρίθητι οὖν, εἶτα ἀποκριθήσῃ * καὶ πρὸς τοῦτο.

* ἴσ. ἀποκριθήσομαι.

Ὁ ἸΩΑΝΝΗΣ. Λοιπὸν ὁ Ἰσαὰκ ἐν τῷ παρόντι κόσμῳ ἕν τι ἦν ὑποκείμενον, μία ὑπόθεσις. καὶ ἐν τῇ προλαβούσῃ εἴπομεν, ὅτι ἐπὶ τῶν θείων οὐκ ἔστιν ἡ γεννῶσα ἢ πνέουσα οὐσία, ἀλλ' εἰσὶν αἱ ὑποστάσεις αἱ γεννῶσαι καὶ πνέουσαι· ὥστε ἕπεται, τὴν αἰτίαν αὐτοῦ, τοῦ πατρὸς εἶναι ὑπόστασιν, καὶ οὐκ οὐσίαν. ἐπειδὴ δὲ ἡ τοῦ πατρὸς ὑπόστασις ἡ γεννῶσα τὸν υἱὸν μεταδίδωσι τῷ υἱῷ, αὕτη ἐστὶν ἡ αἰτία δι' ἣν διδάσκαλοί φασιν, ὅτι ὁ υἱός ἐστιν ἀπὸ τῆς οὐσίας τοῦ πατρὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, ἐπὶ τῷ σώζεσθαι τὴν διάκρισιν τῶν προσώπων, ἐπειδὴ τὰ πρόσωπα ἓν εἰσιν· οὐ γάρ ἐστιν ἀντίθεσις ἀναφορική. ἔχετε τὸν νοῦν, τίνα τρόπον ἔχει τὸ πνεῦμα τὸ εἶναι ἐκ τῆς τοῦ πατρὸς οὐσίας καὶ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ οὐ δύναμαι συνάψαι τὰ παρὰ σοῦ εἰρημένα· δοκοῦσι γάρ μοι ἐναντία ἀλλήλοις εἶναι. ποτὲ μὲν γὰρ λέγεις ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, ἥτις μία καὶ ἡ αὐτή ἐστι τῷ ἀριθμῷ· νῦν δὲ αὖθις μεταβαλλόμενος λέγεις ἀκολούθως τοῖς διδασκάλοις, ὅτι ἡ οὐσία οὐκ ἔστιν αἰτία τῶν ὑποστάσεων καθ' αὐτήν.

Ὁ ῬΟΔΟΥ. Ὃ λέγει ὁ αἰδέσιμος πατὴρ, καλῶς καὶ θαυμασίως λέγει, καὶ σὺ, πάτερ αἰδεσιμώτατε, καλῶς ἀποκρίνῃ. ἀλλ' ἔστι τὸ γεννῶν τὴν ἀμφιβολίαν ὁμωνυμία, ὡς ἐμοὶ δοκεῖ. ἐν τῇ κοινῇ θεολογίᾳ τῶν διδασκάλων Γραικῶν τε καὶ Λατίνων διαφέρει λέγειν, θείαν οὐσίαν, καὶ οὐσίαν πατρὸς καὶ υἱοῦ. μὴ οὖν νομίζετε τοῦτο πράγματι διαφέρειν, ἀλλὰ μόνον ἐπινοίᾳ καὶ λόγῳ. ἐπειδὴ τοίνυν ἀκούομεν τῶν διδασκάλων τοῦτο προφερόντων τὸ ῥῆμα, τὴν θείαν οὐσίαν νοοῦμεν κοινόν τι τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· ἡνίκα δὲ λέγομεν τὴν οὐσίαν τοῦ πατρὸς, νοοῦμεν τὸ τοῦ πατρὸς πρόσωπον.

Ὁ ἘΦΕΣΟΥ. Ἔστιν ὅτε, πλὴν οὐκ ἐξ ἀνάγκης, οὐδὲ ἀεί.

Ὁ ΒΑΣΙΛ. Οὐδὲν δύνανται οἱ ἡμέτεροι ἀπολογεῖσθαι τοῖς δυσὶ, καὶ ταῦτα μαχομένοις ἀλλήλοις.

Ὁ ἸΩΑΝΝΗΣ. Πρὸς διασάφησιν τοῦ παραδείγματος ἀρκοῦντως εἶπον· ἐρῶ δὲ πάλιν ὀλίγα τινὰ, ὅτι ἐπὶ τῶν ἀνθρωπίνων τὸ ὑποκείμενον οὐσία ἐστὶν ἡ μεταδιδοῦσα τῆς ἐν αὐτῇ οὐσίας καὶ φύσεως, ὡς ἐπὶ τοῦ Ἰσαάκ ἐστι. νῦν οὖν ἡ φύσις, ἡ ἀνθρωπότης

ἡ οὖσα ἐν τῷ Ἰσαὰκ, οὐκ ἔστιν ἡ γεννῶσα, ἀλλ' ἡ φύσις τοῦ Ἰσαάκ ἐστιν ἀρχὴ δι' ἧς προάγει τὸν Ἰακὼβ, καὶ ἔστι τὸ κοινωνούμενον, ἐπειδὴ ἡ φύσις τοῦ Ἰσαὰκ ἡ οὖσά ἐστιν ἡ μεταδιδομένη τῷ Ἰακώβ. νῦν οὖν λέγει, ὅτι ὁ Ἰακώβ ἐστιν ἀπὸ τῆς φύσεως τοῦ Ἰσαάκ. τίνα οὖν τρόπον ὀφείλει νοεῖσθαι ἡ πρόθεσις αὕτη· Ἐκ τοῦ Ἰακώβ; * οὐ δύναται νοεῖν, τουτέστιν ἐκ τοῦ Ἰσαὰκ ὡς ἐξ ὑποκειμένου ἐνεργοῦντος, ἐπειδὴ αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων ὑποστάσεων, καὶ ἀπὸ τῆς φύσεως τοῦ Ἰσαὰκ ὡς ἐξ ἀρχῆς δίδονται τῷ Ἰακώβ. εἰ δυνατὸν, ὥστε τὴν οὐσίαν τοῦ Ἰακὼβ καὶ τοῦ Ἰσαὰκ μὴ εἶναι διακεκριμένας, ἀλλ' εἶναι μίαν τῷ παραδείγματι. ἐπεὶ οὖν ἡ γέννησις ἐπὶ τῶν θείων ἄπορος τελεῖ, διὰ τοῦτό φαμεν τὸ τοῦ πατρὸς ὄνομά ἐστιν ὑποστάσει ὑφιστῶν. τοῦτο οὖν τὸ ὑποκείμενόν ἐστι τὸ γεννῶν· ἐπειδὴ τὸ γεννᾶν ἐστιν ἐνέργεια γνωριστικὴ καὶ μόνῳ τῷ ὑποκειμένῳ γνωρίζεται. νῦν οὖν ἡ οὐσία τοῦ πατρός ἐστιν ἀρχὴ δι' ἧς γεννᾷ ὁ πατὴρ, καὶ ἔστι τὸ διδόμενον τῷ υἱῷ καὶ τὸ κοινούμενον τῷ υἱῷ διὰ γεννήσεως, καὶ ἔστι τὸ λαμβανόμενον παρὰ τοῦ υἱοῦ καὶ τὸ κοινωνούμενον παρ' αὐτοῦ, καθὼς καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἡ φύσις τοῦ Ἰσαὰκ καὶ ἀνθρωπότης αὐτοῦ. ἔστιν οὖν ὁ Ἰακὼβ λαμβάνων ἀπὸ τοῦ ὑποκειμένου τοῦ γεννῶντος· ἀλλ' ἡ διαφορά ἐστι διὰ τὴν ὑπεροχήν. ἡ φύσις αὕτη ἐστὶ μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ ἔν τε πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. καὶ οὕτως ἐν οὐδενὶ ἄλλῳ διακρίνονται, εἰ μὴ ὅτι ὁ πατήρ ἐστι πατὴρ, καὶ ὁ υἱὸς υἱός. καὶ λέγομεν ὅτι σοφία ἐν τῷ θεῷ καὶ ἀγαθότης καὶ δύναμις, ταῦτα κοινωνοῦνται ἐπειδή εἰσι τὰ αὐτά. ἐπειδὴ δὲ ἡ οὐσία ἐστὶν ὄνομα ἐξ ἀφαιρέσεως, καὶ οὐκ ἔστιν ὑποκείμενον, διὰ τοῦτο οὐκ ἔστι δυνατὸν ἐφαρμόζειν ἐκεῖσε τὴν ἐνέργειαν τῆς γεννήσεως. ἐπειδὴ μία ἐστὶ τῷ ἀριθμῷ, εἰ ἐγέννα, ἐδίκησεν ἂν εἶναι διάκρισιν ἐπὶ τῶν θείων· καὶ γὰρ οὐκ ἂν ἐγέννησεν ἑαυτὴν, ὡς ἀδύνατον, ἀλλ' ἦν ἂν χρεία γεννῆσαι ἄλλο τι. νῦν οὖν συμπεραίνουσι πάντες, ὅτι ἐπὶ τῶν θείων ἡ οὐσία οὐ γεννᾷ. ἐπειδὴ τὸ αὐτὸ πολλάκις εἶπον, καὶ πάλιν λέγω, ὅτι ὁσάκις ἂν ἀκούωμεν τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ πατρὸς, νοοῦμεν ὡς ἐξ ὑποκειμένου, ὁμοίως καὶ ἐκ τοῦ υἱοῦ, ὡς ἐξ ὑποκειμένου. νῦν οὖν ἐπὶ τῷ τυχεῖν τῆς ἀληθείας ἴωμεν ἐπ' αὐτὸ τὸ ῥητὸν, ἐπειδὴ οὐκ ἔστιν ἄλλος σκοπὸς, ἢ ἵνα ἐξετάσωμεν τὴν ἀλήθειαν.

* Ἴσ. ἐκ τῆς φύσεως τοῦ Ἰσαάκ.

Ὁ ΈΦΕΣΟΥ. Συνήγαγον ἐκ τῶν σῶν λόγων, ὡς νομίζω, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἥτις ἐστὶν ἡ αὐτὴ καὶ μία τῷ ἀριθμῷ, ἐστιν ἀρχὴ τοῦ ἁγίου πνεύματος· τούτῳ γὰρ τῷ ὀνόματι χαίρειν ἔοικας μᾶλλον· ἐπειδὴ ὁ πατὴρ καὶ ὁ υἱὸς προβάλλουσι τὸ πνεῦμα κατὰ τὴν κοινὴν οὐσίαν καὶ φύσιν. ἐπειδὴ οὖν ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἀκούων ὡς ἐξ αἰτίου νοεῖς, ἐξ ἀνάγκης ἄρα οὐκ ἀληθές ἐστι νοεῖν ἡμᾶς, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν ἀρχὴ καὶ αἰτία;

Ὁ ΊΩΑΝΝΗΣ. Ἐγὼ δηλῶ τὸ ὄνομα τῆς ἀρχῆς.

Ὁ ΈΦΕΣΟΥ. Ὁπωσδήποτε τὴν οὐσίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λέγεις ἀρχὴν καὶ αἰτίαν;

Ὁ ΊΩΑΝΝΗΣ. Ναί.

Ὁ ΈΦΕΣΟΥ. Λείπεται τοίνυν τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος εἶναι αἰτιατὴν, ὡς ἐξ ἀρχῆς οὖσαν τῆς κοινῆς πατρὸς καὶ υἱοῦ.

Ὁ ΊΩΑΝΝΗΣ. Ἐξ ἀρχῆς κοινῆς τῆς μεταδιδομένης παρά τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.

Ὁ ΈΦΕΣΟΥ. Λέγω, ὅτι ἡ κοινὴ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν αἰτία τοῦ ἁγίου πνεύματος.

Ὁ ΊΩΑΝΝΗΣ. Ἀρχὴ τοῦ πνεύματος, ὡς δι' ἧς.

Ὁ ΈΦΕΣΟΥ. Ὥστε τί ἄλλο λείπεται, ἢ τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος εἶναι αἰτιατήν;

Ὁ ΊΩΑΝΝΗΣ. Οὐχ ἕπεται.

Ὁ ΈΦΕΣΟΥ. Πῶς οὐχ ἕπεται;

Ὁ ΊΩΑΝΝΗΣ. Αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν οὐχ ἕπεται· ὅτι τὸ προαχθὲν πρᾶγμα ἐπὶ τῶν ἀνθρωπίνων οὐ προάγεται, εἰ μὴ ὑπὸ τοῦ ἐνεργοῦντος ὑποκειμένου, καὶ οὐ λέγεται ὅτι τὸ ὑποκείμενον τοῦτο προήχθη ἀπὸ τῆς ἐμῆς φύσεως· οὐκ ἔρρωται ἡ ἀκολούθησις αὕτη. ἡ ἀνθρωπότης κατὰ τοὺς ἡμετέρους λόγους ἐστὶν ὄνομα ἐξ ἀφαιρέσεως, καὶ ἐν τῇ ἑαυτοῦ σημασίᾳ οὐ σημαίνει ὑποκείμενον. νῦν δὲ λέγω, ὅτι τὸ ὄνομα τοῦτο τοῦ Ἰσαὰκ ἢ τοῦ ἀνθρώπου σημαίνει αὐτὸ τὸ ὑφιστάμενον· τοῦτο τὸ ὑποκείμενον προάγει ἐκεῖνο διὰ τῆς ἀνθρωπότητος· ἄρα τοῦτο τὸ ὑποκείμενον προάγει ἀπὸ τῆς ἀνθρωπότητος.

Ὁ ΈΦΕΣΟΥ. Οὕτω λέγομεν καὶ ἐπὶ τῶν θείων;

Ὁ ΊΩΑΝΝΗΣ. Οὕτως.

Ὁ ἘΦΕΣΟΥ. Νῦν οὖν οὐχ ἔσεται τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς οὐσίας, καὶ ὅτι οὐ πνεῖται, οὐ γεννᾶται ἐκ τῆς οὐσίας τοῦ πατρὸς, καὶ οὐκ ἔστιν ἢ πνευστὸν ἢ ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ υἱοῦ;

Ὁ ἸΩΑΝΝΗΣ. Ἐγὼ εἶπον ὑμῖν ἐν τῇ προλαβούσῃ τελευταίᾳ συνόδῳ, ὅτι ἡ τελευταία ἀνάλυσις τῶν ἁγίων πατέρων τῶν ἐν ταῖς οἰκουμενικαῖς συνόδοις ἦν ἀεὶ πρὸς τὰς μαρτυρίας τῶν ἁγίων πατέρων, οὕτως, ὥστε ἐν παντὶ ὅρῳ τῆς πίστεως, ὅταν ἠθέλησαν τιθέναι ὅρον, προήγαγον τὰς μαρτυρίας τῶν πατέρων, καὶ πάντες ἐφησύχαζον. οὕτω καὶ αὐτὸς ὑπενόουν ποιῆσαι, καὶ διὰ τοῦτο πρὸ τοῦ με ἀγαγεῖν λόγους ἢ μαρτυρίας ἀπὸ τῶν ῥητῶν τῶν ἁγίων, ὑμεῖς προηγάγετε ἐκ τοῦ ἐναντίου τὴν χρῆσιν τοῦ Βασιλείου τὴν ἤδη ῥηθεῖσαν. τοίνυν περὶ τῆς διασαφήσεως τοῦ ῥητοῦ τοῦ προκομισθέντος παρ' ἐμοῦ ἅλις· καὶ γὰρ πάντες νοοῦσιν.

Ὁ ἘΦΕΣΟΥ. Οὔπω συνεπεράναμεν ἐκεῖνα.

Ὁ ἸΩΑΝΝΗΣ· Ἐπειδὴ δὲ ἐγὼ χαριζόμενός σοι συνεθέμην γενέσθαι τὴν ἐξέτασιν, ἄξιον καὶ σοι χαρίσασθαι, ἵνα ἴδωμεν τὰς μαρτυρίας, καὶ τότε εὕρωμεν καὶ τὸ συναγόμενον.

Ὁ ἘΦΕΣΟΥ. Τὸ ῥητὸν θεωρηθήσεται μετὰ μικρόν. νῦν οὐκ οἴδαμεν τὸ συναγόμενον ἐκ τῶν παρὰ σοῦ εἰρημένων. εἶπας ὅτι ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων τὸ ὑποκείμενον ἐκ τοῦδε τοῦ ὑποκειμένου γίνεται, οἷον ἐκ τοῦδε τοῦ ἀνθρώπου προάγεται ἄνθρωπος κατά γε τὴν κοινὴν φύσιν· καὶ οὐ λέγεται ὁ ἄνθρωπος ἔκ γε τῆς ἀνθρωπότητος, ἀλλ' ἐκ τοῦδε τοῦ ἀνθρώπου κατὰ τὴν κοινὴν τῆς ἀνθρωπότητος φύσιν. ἆρα οὖν καὶ ἐπὶ τῶν θείων οὕτως ὀφείλει λέγεσθαι τὸ θεῖον πρόσωπον, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρωπίνων. οὐκ ἄρα ὀφείλει λέγεσθαι, ἐκ τῆς κοινῆς οὐσίας πρόεισί τι τῶν προσώπων, ἐπειδὴ ἡ κοινὴ οὐσία οὐκ ἔστιν ἓν ὑποκείμενον καὶ καθ' αὑτὸ ὑφιστάμενον, ἐξ οὗ προάγεται ἕτερον. ὅταν ἄρα ἀκούσωμεν, ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐκ ὀφείλομεν νοεῖν τὴν αἰτίαν· οὔτε γὰρ τῆς οὐσίας ἴδιον τὸ γεννᾶν ἢ προβάλλειν, οὔτε ἐπὶ τῶν ἀνθρωπίνων οὕτως εἴωθε λέγεσθαι.

Ὁ ἸΩΑΝΝΗΣ. Βούλομαι ἀποδεῖξαι ἀναγκαίως, ὅτι ἡνίκα λέγομέν τι ἔκ τινος, νοεῖται ἐκ τοῦ προσώπου· καὶ τοῦτο ἀποδείκνυμι ἀπὸ τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου, τοῦ προκομισθέντος ἐν

τῇ προλαβούσῃ συνελεύσει. λέγει οὖν ἐν τῷ τρίτῳ κατ' Εὐνομίου· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι τρίτον καὶ τῇ τάξει ἐστὶ τὸ πνεῦμα, τρίτον καὶ τῇ φύσει εἶναι; τῷ γὰρ ἀξιώματι δεύτερον τοῦ υἱοῦ, ἐξ αὐτοῦ τὸ εἶναι ἔχον, καὶ τὰ λοιπά. Ἐνταῦθα οὖν φησιν ὁ Βασίλειος, ὅτι τὸ πνεῦμα τὸ εἶναι ἔχει ἐξ αὐτοῦ, καὶ αὐτοῦ ἐστιν ἐξημμένον ὡς ἐξ αἰτίας. νῦν οὖν κατὰ τὴν προλαβοῦσαν πρότασιν, λαμβάνειν ἐστὶ τὸ εἶναι, καθὼς καὶ πάντες οἱ διδάσκαλοι κατὰ τὸν Βασίλειον κρατοῦσι. τὸ πνεῦμα τὸ ἅγιον ἔχει τὸ εἶναι καὶ λαμβάνει ἐκ τοῦ υἱοῦ, καὶ ἐξῆπται τούτου ὡς ἐξ αἰτίας. ὥστε ἀναγκαίως ἕπεται, εἰ λαμβάνει τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ, ἐκπορεύεσθαι καὶ ἐξ αὐτοῦ. πόσου δὲ ἀξιώματος γέγονεν ὁ Βασίλειος ἐπὶ τῆς ὕλης τοῦ ἁγίου πνεύματος, πάντες οἱ πατέρες οἱ ἐν Χαλκηδόνι συνελθόντες, ἐν τῷ προσφωνήματι τῷ πρὸς Μαρκιανὸν οὕτω φασὶ περὶ τούτου. * Οὗτος ὁ μέγας Βασίλειος διάκονος τῆς χάριτος· οὗτος ἐσάφησε καὶ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν οὕτω παρέδωκε μετὰ τῶν αὐτοῦ ἱερέων ἕλκων καὶ τὴν ἐκείνων ἔννοιαν δι' ὑπογραφῆς τῆς ἐν Χαλκηδόνι συνόδου. Εἰ τοίνυν πάντες οἱ πατέρες δεδώκασι τοσαύτην ἄδειαν τῷ Βασιλείῳ ἐπὶ τῆς ὕλης τοῦ ἁγίου πνεύματος, καὶ οὗτος οὕτω σαφῶς λέγει ἐν τούτῳ τῷ χωρίῳ, ἀναγκαῖον φαίνεται, καθ' ὃν τρόπον οἱ πατέρες πάντες, οὕτω καὶ ἡ ἐκκλησία πᾶσα, καὶ πάντες ἡμεῖς περιπλέκεσθαι ὀφείλομεν τὰ συγγράμματα τοῦ μεγάλου Βασιλείου. ἴδε ἀρχαιότατον βιβλίον· καὶ εἰ βούλεσθε ἀναγνωσθῆναι, ἀναγνωσθήτω.

* Οὕτως ὁ μέγας Βασίλειος ὁ τῆς χάριτος ὑπηρέτης τὴν τοῦ ἁγίου πνεύματος ἀκριβῆ διδασκαλίαν παρέδωκε, ταῖς ὑπογραφαῖς τῶν συμποιμένων ἀπαιτήσας τὴν συγκατάθεσιν.

Ὁ ἘΦΕΣΟΥ. Ἐξετάσομεν τὸ τοῦ μεγάλου Βασιλείου ῥητὸν ἐν καιρῷ τῷ προσήκοντι, συμπεράναντες πρότερον τὰ παρὰ σοῦ εἰρημένα.

Ὁ ἸΩΑΝΝΗΣ. Εἰπὲ πρὸς ταῦτα, ἐπειδὴ τοῦτό ἐστι τὸ κατάργοῦν πάντα.

Ὁ ἘΦΕΣΟΥ. Ὅτι τὴν κοινὴν οὐσίαν πατρὸς καὶ υἱοῦ, ἥτις ἐστὶ μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ, λέγεις αἰτίαν καὶ ἀρχὴν τοῦ ἁγίου πνεύματος, καθ' ἣν πρόεισιν ἐξ αὐτοῦ τὸ πνεῦμα. φαίνεται τοίνυν ἐκ τούτων, τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος αἰτιατὴν εἶναι, κἀντεῦθεν δύο οὐσίας ἐν τῇ ἁγίᾳ τριάδι συνάγεσθαι, καὶ ἀντικειμένας ἀλλήλαις κατὰ τὸ αἴτιον καὶ αἰτιατόν. τοῦτο δὲ πόρρω τῆς τοῦ Χριστιανῶν θεολογίας καὶ παντελῶς ἀλλότριον, καὶ παρ'

οὐδενὸς τῶν διδασκάλων οὐδέποτε εἰρημένον. ἡ γὰρ οὐσία, φασὶν, οὔτε γεννᾷ οὔτε προβάλλει. ἀλλ' οὐδὲ κατὰ τὴν κοινὴν οὐσίαν ἢ ὁ πατὴρ γεννᾷ ἢ προβάλλει, ἢ ὁ υἱὸς, ὡς ὑμεῖς λέγετε, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ οὐσίαν, ἢ τὸ ἴδιον καὶ ὑποστατικὸν ἰδίωμα. ταῦτα μὲν ἐκ τῶν σῶν λόγων οὕτω συνήχθησαν· καὶ ὥρα ἤδη ἐπανορθώσασθαι, τὰ εἰρημένα ἢ ἐν ἄλλοις, ἢ κατὰ τὸ παρόν. νῦν οὖν πρὸς τὴν ἐξέτασιν χωρήσωμεν, εἰ δοκεῖ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀναγνωσθήτω οὖν τὸ βιβλίον. Βούλομαί σοι διασαφῆσαι τοῦτο, ἐπειδὴ καλῶς οὐ συνῆκας τὸν ἐμὸν λόγον. ἡ οὐσία ἐνίοτε λαμβάνεται ὑπὲρ τοῦ ἐκτιθεμένου διὰ τὸν τοῦ πράγματος λόγον, καθὸ λέγομεν ὁ ὅρος σημαίνει τὸ τί ἦν εἶναι τοῦ πράγματος, καὶ τοῦτό ἐστιν ὀντότης ἡ οὐσία ἡ φύσις· καὶ ἐν τῷ ἰδίῳ σημαινομένῳ οὐδέποτε συνδηλοῖ ὑποκείμενον, ἀλλ' ἀεὶ σημαίνει τὸ εἶδος ἐκεῖνο ἢ τὴν οὐσίαν ἢ τὴν φύσιν. ἑτέρῳ τρόπῳ λαμβάνεται ἡ οὐσία ἀντὶ ὑποκειμένου. καὶ περὶ τούτου ἔχετε ἰδεῖν Ἀριστοτέλην ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ, ποσαχῶς λέγεται ἡ οὐσία· καὶ οἱ ἡμέτεροι οὕτω διαστέλλουσιν. ὥστε κατὰ τὸν δεύτερον τρόπον λαμβάνεται ἡ οὐσία ἀντὶ ὑποκειμένου, ὅπερ ὑφίσταται τοῖς ἀνωτέρω εἴδεσιν ἐν τῇ γραμμῇ τῆς οὐσίας ἤτοι τῇ κατηγορικῇ, ὡς τίθεται ὁ Πορφύριος· οἷον Σωκράτης, Πλάτων, ταῦτά εἰσιν ὑποκείμενα. αὕτη ἡ οὐσία ἡ οὕτως οὖσα ὑποκείμενον, ἐνίοτε καλεῖται ὑπόστασις, ἐνίοτε δὲ καλεῖται ὕπαρξις, ἐνίοτε καλεῖται πρᾶγμα τῆς φύσεως· ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ φύσει παρὰ ταῦτα καλεῖται πρόσωπον, ἐπειδὴ τὸ πρόσωπόν ἐστι νοερᾶς φύσεως ἀκοινώνητος ὕπαρξις, οὕτως ὥστε ἐν τῷ εἴδει τῷ νοερῷ τὸ ὑποκείμενον καὶ ἡ οὐσία ὕπαρξις καλεῖται καὶ πρόσωπον. τούτου οὖν οὕτω διασαφηνισθέντος, οἱ διδάσκαλοι οὕτω Γραικοὶ ὡς καὶ Λατῖνοι βουλόμενοι ἐνίστασθαι κατὰ Ἀρείου καὶ Μακεδονίου, ὧν ὁ πρῶτος εἶπε τὸν υἱὸν κτίσμα, καὶ μὴ ἀπὸ τῆς οὐσίας τοῦ πατρός· ὁ δὲ ὅτι τὸ πνεῦμα οὐκ ἔστιν ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, οὕτως ἔλαβον τὴν οὐσίαν ὡς ὕπαρξιν. εἰ τοίνυν ἡμεῖς λάβωμεν τὴν οὐσίαν ὡς ὕπαρξιν, ἐπειδὴ πατήρ ἐστιν οὐσία ἐκ νοερᾶς φύσεως, οὕτως ἔτι δύναται ῥηθῆναι ὕπαρξις ἥδε ἡ οὐσία πράγματος ὑποκειμένου· εἰ τοίνυν λαμβάνεται οὕτως, ὅτι τὸ γεννᾶν ἐφαρμόζει τῷ προσώπῳ τοῦ πατρὸς, ὅσον εἰ ἐλέγομεν Ἥδε ἡ οὐσία ἐφαρμόζει τῇδε τῇ οὐσίᾳ, ἔσεται ὅτι ἡ οὐσία ἐστὶν ἡ

αὐτὴ τῷ πατρὶ καὶ τῇ πατρότητι, καὶ κατ' οὐδένα τρόπον κοινωνεῖται· ὅθεν ἐπειδὴ αἱ ἰδιότητες οὐκ εἰσὶ κοινωνηταί, οἱ ἡμέτεροι διδάσκαλοι οἱ Λατῖνοι οὐ χρῶνται τούτῳ τῷ ὅρῳ τῷ Οὐσία ἀντὶ τοῦ προσώπου τοῦ πατρός, ἀλλ' ἀντὶ τῆς φύσεως τοῦ πατρός, καθὼς ἐπὶ τοῦ ὅρου τοῦ ἀνθρώπου λαμβάνεται ἡ οὐσία. ὅθεν ἡνίκα λέγομεν κατὰ τοὺς ἡμετέρους, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, λαμβάνομεν τὴν οὐσίαν ἀντὶ τῆς φύσεως τῆς οὔσης ἐν τῷ πατρί. λέγω οὕτως, ἡ οὐσία λαμβάνεται ὡς ὑποκείμενον, ὡς καὶ τὸ πρόσωπον ἐπὶ τῶν θείων, καὶ τότε καὶ ταὐτὸν ὡς ὑπόστασις. ὅταν λέγωμεν τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ πατρός, οὐδέποτε οἱ διδάσκαλοι λαμβάνουσι τὴν οὐσίαν ἀντὶ τοῦ ὑποκειμένου, ἐπειδὴ τὸ πρόσωπον οὐ κοινοῦται, ἀλλ' οὐδὲ ἡ ὕπαρξις τοῦ ὑποκειμένου. λέγω ὅτι ἡ οὐσία ἑτέρῳ τρόπῳ λαμβάνεται, καὶ οὗτος καθ' ὃν λέγομεν ὁ ὅρος δηλονότι σημαίνει οὐσίαν πράγματος, καὶ αὕτη ἐστὶ τὸ καλούμενον ὀντότης, φύσις, οὐσία. ὅταν δὲ οἱ ἡμέτεροι λέγωσιν, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἢ τοῦ υἱοῦ, οὐ λαμβάνουσι τὴν οὐσίαν ἀντὶ τῆς ὑπάρξεως τοῦ πατρός, ἀλλ' ἀντὶ τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως· καὶ ἐκείνη ἡ οὐσία ἐστὶν ἐν τῷ πατρί, καὶ ἔστιν ἐν αὐτῇ* ὥσπερ ὁ πατήρ. καὶ τὸ ὄνομα τοῦ πατρὸς λέγει τὴν οὐσίαν καὶ τὴν σχέσιν, καθ' ἣν αὕτη ἡ ὕπαρξις, ἢ τόδε τὸ ὑποκείμενον διακρίνεται τοῦ ἑτέρου. αὕτη τοίνυν ἡ κοινὴ οὐσία ἥτις ἐστὶν ἐν τῷ πατρί, ἐκείνη ἐστὶν αἰτία ἡ κοινουμένη διὰ τῆς γεννήσεως καὶ αὕτη ἐστὶν ἀρχοειδής. ὁ πατὴρ γεννᾷ καὶ προβάλλει τὸν υἱόν, ἀλλ' αὕτη ἡ οὐσία οὐ κοινωνεῖται τῷ υἱῷ· ἐν τούτῳ ἐστὶν ἡ ἀπάτη. καὶ γὰρ ἡνίκα λέγομεν, ἡ οὐσία τοῦ πατρὸς κοινωνεῖται τῷ υἱῷ, οὐ νοοῦμεν τοῦτο ἀληθὲς καθὸ ὁ πατὴρ τὸν υἱὸν γεννᾷ, ὅτι τότε εἵπετο ἂν καὶ τὸν υἱὸν γεννᾶν. διὰ τοῦτο λέγομεν, τὸ εἶναι οὐ κοινωνεῖται, διότι εἵπετο ἂν καὶ τὸν υἱὸν γεννᾶν. αὕτη ἡ οὐσία ἀπολελυμένως οὕτως, τοῦ γεννᾶν ἡ δύναμις, ἐστὶν ἀρχὴ δι' ἧς, καὶ ἔστι τὸ κοινωνούμενον καὶ δίδοται παρὰ τοῦ πατρὸς τῷ υἱῷ αὐτοῦ, ἀλλ' οὐ κατὰ τὸ ἀπολελυμένον. νῦν οὖν ἐν τῇ γεννήσει τοῦ πατρὸς κατὰ ἀπόβλεψιν τοῦ υἱοῦ πάντα κοινωνοῦνται· ἐπειδὴ αὕτη οὐ κοινοῦται εἶναι τῇ ἀρχῇ*, οὐ μάχεται τῇ υἱότητι. λοιπὸν κοινωνεῖ κατ' αὐτὴν τὴν οὐσίαν ὁ πατὴρ διὰ τῆς γεννήσεως, ἥτις ἐστὶν ἀρχὴ δι' ἧς κοινωνεῖ

* Ἴσως ἐν αὐτῷ.

* Ἴσως τὴν ἀρχήν.

ὁ σκοπὸς τῷ Βασιλείῳ ἀποδεῖξαι τὸ πνεῦμα εἶναι τῆς τοῦ πατρὸς οὐσίας καὶ οὐχ ἑτέρωθεν. ἐν τούτοις συμφωνοῦμεν, ὅθεν οὐδὲν λέγω. πρὸς δὲ τὸ δεύτερον, οἷον ὅτι οὐκ ἦν ὁ σκοπὸς ἀποδεῖξαι, πότερον ὁ πατὴρ καὶ ὁ υἱὸς εἴη αἰτία τοῦ πνεύματος, ἀντιλέγω· ὅτι ἀπὸ τούτου τοῦ λόγου ἐναντίον ἔσται τῷ ἐν τῇ προλαβούσῃ εἰρημένῳ σοι· καὶ γὰρ ἐν τῇ προλαβούσῃ εἶπες, οὐχ ἑτέρωθεν, δηλονότι ἐξ ἑτέρας ὑποστάσεως· νῦν δὲ τὸ πρόσωπον λέγεις τοῦτο ἐκ τοῦ προσώπου ἐκείνου οὐκ ἔστι. μᾶλλον ἀποδείκνυται δεύτερον, ὅτι αὐτὸς ἐν τῷ αὐτῷ κεφαλαίῳ φησὶν, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τοῦ στόματος τοῦ θεοῦ. νῦν οὖν ἐρωτῶ σε, πότερον ἐννοεῖς ἐκ τοῦ στόματος εἶναι τοῦ θεοῦ, δηλονότι τοῦ πατρὸς ἢ ἐκ τοῦ στόματος δηλονότι τοῦ υἱοῦ; καθ' ὃν ἂν τρόπον ἀποκριθῇς, χρεία ἐστὶν εἶναι περὶ τὴν αἰτίαν τοῦ πνεύματος. πρὸς δὲ τὸ τρίτον, καὶ ἡμεῖς ὁμολογοῦμεν τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἐπειδὴ ἡ αὐτή ἐστι τῷ ἀριθμῷ ἡ τοῦ πατρὸς οὐσία καὶ τοῦ υἱοῦ· οὐ γάρ ἐστι κτιστὸν ἢ φανταστὸν, ὥστε ὂν ἐκ τοῦ πατρὸς μὴ εἶναι καὶ ἐκ τοῦ υἱοῦ, καθ' ὃ λαμβάνει παρὰ τοῦ πατρὸς, ὅ ἐστι τοῦ πατρὸς, τὴν οὐσίαν δηλονότι. λεγέτω ἡ αἰδεσιμότης σου καὶ ἀποκρίθητι πρὸς τὸ δεύτερον καὶ τρίτον, πρὸς γὰρ τὸ πρῶτον συμφωνοῦμεν.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ τὴν σὴν ἐξήγησιν παραδεξάμενος οὐκ εἶναι ἐναντίαν ἐμαυτῷ, ἀλλ' εἶπον ἐναντία σοι οὕτω ταῖς ἐναντιολογίαις ἀντιπίπτοντι ἐνώπιον τῶν παρόντων ἀκροατῶν, χθὲς γὰρ ἐρωτηθεὶς παρ' ἐμοῦ, ὅτι τό· Ἐξ αὐτοῦ τοῦ πατρὸς, ἀκούων νοεῖς ἐξ ἀνάγκης, ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ πατρὸς εἶπες οὕτως. ἐπὶ τούτῳ παρήγαγον τὸ τοῦ ἁγίου Βασιλείου ῥητόν. καὶ ἐπειδὴ αὐτὸς λέγει, ἐξ αὐτοῦ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα καὶ οὐχ ἑτέρωθεν, ἠνάγκασά σε κατὰ τὴν σὴν ὁμολογίαν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς μόνης ὁμολογῆσαι, καὶ οὐχ ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας τινὸς ὑποστάσεως. ἃ γοῦν εἶπες χθὲς, ἀκόλουθα ἦσαν ταῖς σαῖς ὁμολογίαις. μετὰ ταῦτα δὲ μεταβαλλόμενος, καὶ πρὸς ἑτέραν χωρήσας ἐξήγησιν τοῦ ῥητοῦ, ὅτι τό. Ἐξ αὐτοῦ τοῦ πατρὸς, οὐκ ἀναγκάζει νοεῖν ἡμᾶς ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἀλλὰ δυνάμεθα νοεῖν ἐξ αὐτοῦ τοῦ πατρὸς, ἤγουν ἐκ τῆς φύσεως αὐτοῦ, καὶ ὡς ὁμοούσιον αὐτῷ καὶ οὐχ ἑτέρωθεν, μετήγαγες ἡμᾶς εἰς τὸ παραδέξασθαι ταύτην τὴν σὴν ἐξήγησιν. ἀκολουθοῦντες οὖν τῇ σῇ διανοίᾳ

εἴπομεν καὶ ἐκ τῶν εἰρημένων παρὰ σοῦ συνάγομεν τὰ ἀναγκαίως ἑπόμενα, ἀλλ' οὐχ ἑαυτοῖς περιπίπτοντες καὶ ἐναντιούμενοι. συνάγεται τοίνυν ἀπὸ τῆς σῆς ἐξηγήσεως ταύτης, ὅτι ἐκ τοῦ πατρὸς ἀκούοντες τὸ πνεῦμα καὶ τοῦ υἱοῦ, καὶ ἐξ ἀμφοτέρων οὐκ ἀναγκαζόμεθα νοεῖν καὶ ἐκ τῶν ὑποστάσεων αὐτῶν, ἀλλ' ἁπλῶς ἐκ τῆς αὐτῶν οὐσίας ὡς ὁμοούσιον αὐτοῖς. καθ' ὃν τρόπον καὶ ἡμεῖς ἐκ τῆς οὐσίας ἀλλήλων καὶ ἐξ ἀλλήλων δυνάμεθα λέγεσθαι διὰ τὸ ταὐτὸν τῆς οὐσίας, ἀλλ' οὐκ ἐκ τῶν ὑποστάσεων αὐτῶν. καὶ παρὰ τῇ θείᾳ γραφῇ φησιν ὁ Ἰσαὰκ περὶ τοῦ Ἠσαῦ πρὸς τὸν Ἰακώβ· Ἀδελφός σού ἐστι καὶ ἐκ τῆς φύσεώς σού ἐστι * δῆλον δὲ, ὅτι ὁ ἀδελφὸς οὐκ ἔστιν ἐκ τῆς αὐτοῦ ὑποστάσεως ἀλλ' ἐκ τῆς φύσεως ὡς ὁμοφυὴς αὐτῷ καὶ ὁμοούσιος.

* Τὰ ῥήματα ταῦτα οὐχ εὑρίθη.

Ὁ ΙΩΑΝΝΗΣ. Ἃ εἶπον ἐν τῇ ἑτέρᾳ συνελεύσει, διασαφῶν πῶς ἂν εἴη τὸ πνεῦμα ἀπό τε τῆς οὐσίας καὶ τῆς ὑποστάσεως, ἅπας ὁ σύλλογος τῶν αἰδεσιμωτάτων τούτων πατέρων ἀρκούντως καὶ ἀνεπισταμένως συνῆκε· καὶ ὅτι τὰ τοιαῦτα νοεῖ τὸ πνεῦμα πᾶσι γέγονε γνώριμον, δηλονότι οὐκ ἐξ ἑτέρου προσώπου. καὶ διὰ τοῦτο ἵνα τῷ μὴ καταναλίσκειν τὸν καιρὸν ἐν τοῖς περιττοῖς, μόνον πρὸς τὴν ἀρχικὴν στιγμὴν ἐρωτῶ. ἐπειδὴ ἴσως παρέξει τὸ πνεῦμα τὸ ἅγιον ὁμόνοιαν μεταξὺ ἡμῶν. καὶ πρότερον ἃ εἶπες λαβὼν ἀπὸ τῶν ῥητῶν ἡμῖν ἀρκούντως ἀρέσκει, ὅτι καὶ ἀληθές ἐστι τὸ παρὰ σοῦ ἀρτίως εἰρημένον, ὅτι ὁ Βασίλειος ἐν τῷδε τῷ κεφαλαίῳ εἶπεν· Οὐχ ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας οὐσίας. ἐπειδὴ εἰ οὗτος ἦν ὁ σκοπὸς τοῦ μεγάλου Βασιλείου, καθὼς εἶπες, ἐν οὐδενὶ ἂν ἠναντιοῦτο τοῖς παρ' ἐμοῦ εἰρημένοις. καὶ διὰ τοῦτο ἦλθε ἐν τῷ τρίτῳ, ἐπειδὴ ἐν τῷ δευτέρῳ συνεφωνήσαμεν.

Ὁ ἘΦΕΣΟΥ. Σήμερον ἐν τῷ δευτέρῳ ἐκείνῳ ἁπτόμενος τοῦ ῥητοῦ ἐν τῷ κεφαλαίῳ ἐκείνῳ, τοῦ Ἑτέρωθεν, τουτέστιν, οὐκ ἐξ ἑτέρας οὐσίας, ἀλλ' ἐκ τῆς τοῦ πατρός.

Ὁ ἸΩΑΝΝΗΣ. Ἔστω, τοῦτο ὁμολογῶ καὶ δέχομαι.

Ὁ ἘΦΕΣΟΥ. Εἶπας, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας τοῦ πατρὸς λεγόμενον, νοεῖν ἡμᾶς ἀναγκάζει καὶ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ τὸ αὐτὸ εἶναι πνεῦμα ἅγιον. ἐπειδὴ ἡ αὐτή ἐστι καὶ μία τῷ ἀριθμῷ οὐσία πατρὸς καὶ υἱοῦ. λέγεις οὖν, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν αἰτία τοῦ ἁγίου πνεύματος.

Ὁ ἸΩΑΝΝΗΣ. Οὐ λέγω οὕτως· ποιήσωμεν ἐπανάληψιν.

Ὁ ἘΦΕΣΟΥ. Ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, νοεῖν ὀφείλομεν τὴν αἰτίαν, ὅτι καὶ ἐκ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ἸΩΑΝΝΗΣ. Οὐ λέγομεν οὕτως.

Ὁ ἘΦΕΣΟΥ. Ὅταν ἀκούσωμεν ἐκ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας, νοεῖν ὀφείλομεν τὴν αἰτίαν ἐξ ἀνάγκης;

Ὁ ἸΩΑΝΝΗΣ. Ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τότε ἀναγκαίως ἀναγκαζόμεθα νοεῖν ὡς ἀπ᾽ αἰτίας· λέγω δὲ ταὐτὸν τὴν αἰτίαν, ἣν οἱ ἡμέτεροι διδάσκαλοι οὐ χρῶνται, ἀλλὰ τῇ τῆς ἀρχῆς φωνῇ. ἐπειδὴ ἐν τῷ χωρίῳ τούτῳ λέγει· Τὸ πνεῦμά ἐστιν ἐκ τοῦ στόματος τοῦ πατρὸς· ἔστι δὲ ὁ σκοπὸς περὶ τῆς αἰτίας τοῦ πνεύματος, διὰ τοῦτο ἠρώτησα, ἐκ τοῦ στόματος, τουτέστι τοῦ πατρὸς νοεῖν ὀφείλομεν, ἢ τοῦ υἱοῦ; ἐπειδὴ ὅ, τι ἂν εἴπωμεν, νοεῖν ὀφείλομεν. καὶ γὰρ ἀρκούντως ἐσαφηνίσθη ἐν τῷ εὐαγγελίῳ, ὅτι τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ πατρὸς ἐκπορεύεται, δηλαδὴ καὶ παρὰ τῆς αὐτοῦ οὐσίας. ἐκπορευόμενον δὲ ἐκ τοῦ πατρὸς, λαμβάνει καὶ τὸ εἶναι καθ᾽ ἣν ἐγένετο διασάφησιν. καὶ καθ᾽ ὃν τρόπον λαμβάνει παρὰ τοῦ πατρὸς, τουτέστι τὴν οὐσίαν αὐτοῦ, ὅ ἐστι ταὐτὸν τῷ παρὰ τοῦ
* ἴσ. πατρός. υἱοῦ * τοῦτον τὸν τρόπον λαμβάνει καὶ παρὰ τοῦ υἱοῦ· ἐπειδὴ ἡ οὐσία μία ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. τὸ δὲ παράδειγμα τοῦ Ἰσαὰκ καὶ τοῦ Ἠσαῦ οὐκ ἔστι πρὸς τὸ προκείμενον.

Ὁ ἘΦΕΣΟΥ. Τὰ μὲν τοῦ μεγάλου Βασιλείου κατὰ τὸ παρὸν καὶ τὰ τοῦ εὐαγγελίου ἐάσω. σὺ δέ μοι πρὸς τὸ ἐρωτηθὲν ἀπόκριναι σαφῶς οὕτω καὶ καθαρῶς. ὅταν ἀκούσωμεν τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, νοεῖν ὀφείλομεν ὅτι καὶ ἐκ τῆς ὑποστάσεώς ἐστιν αὐτῶν;

Ὁ ἸΩΑΝΝΗΣ. Τοῦτό ἐστιν ὅπερ εἴρηκα καὶ ἐν τῇ προλαβούσῃ συνελεύσει, ὅτι αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων, καθὼς πᾶσα φιλοσοφία βοᾷ ἐπὶ τῶν ἀνθρωπίνων. ἐρωτῶ δὲ, εἰ τοῦτό ἐστιν ἀληθὲς, αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων;

Ὁ ἘΦΕΣΟΥ. Οὐ λέγω, ὅτι αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων.
* ἴσ. ἀποκριθήσομαι. ἀποκρίθητι οὖν, εἶτα ἀποκριθήσῃ * καὶ πρὸς τοῦτο.

Ὁ ἸΩΑΝΝΗΣ. Λοιπὸν ὁ Ἰσαὰκ ἐν τῷ παρόντι κόσμῳ ἕν τι ἦν ὑποκείμενον, μία ὑπόθεσις. καὶ ἐν τῇ προλαβούσῃ εἴπομεν, ὅτι ἐπὶ τῶν θείων οὐκ ἔστιν ἡ γεννῶσα ἢ πνέουσα οὐσία, ἀλλ' εἰσὶν αἱ ὑποστάσεις αἱ γεννῶσαι καὶ πνέουσαι· ὥστε ἕπεται, τὴν αἰτίαν αὐτοῦ, τοῦ πατρὸς εἶναι ὑπόστασιν, καὶ οὐκ οὐσίαν. ἐπειδὴ δὲ ἡ τοῦ πατρὸς ὑπόστασις ἡ γεννῶσα τὸν υἱὸν μεταδίδωσι τῷ υἱῷ, αὕτη ἐστὶν ἡ αἰτία δι' ἣν διδάσκαλοί φασιν, ὅτι ὁ υἱός ἐστιν ἀπὸ τῆς οὐσίας τοῦ πατρὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, ἐπὶ τῷ σώζεσθαι τὴν διάκρισιν τῶν προσώπων, ἐπειδὴ τὰ πρόσωπα ἕν εἰσιν· οὐ γάρ ἐστιν ἀντίθεσις ἀναφορική. ἔχετε τὸν νοῦν, τίνα τρόπον ἔχει τὸ πνεῦμα τὸ εἶναι ἐκ τῆς τοῦ πατρὸς οὐσίας καὶ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ οὐ δύναμαι συνάψαι τὰ παρὰ σοῦ εἰρημένα· δοκοῦσι γάρ μοι ἐναντία ἀλλήλοις εἶναι. ποτὲ μὲν γὰρ λέγεις ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, ἥτις μία καὶ ἡ αὐτή ἐστι τῷ ἀριθμῷ· νῦν δὲ αὖθις μεταβαλλόμενος λέγεις ἀκολούθως τοῖς διδασκάλοις, ὅτι ἡ οὐσία οὐκ ἔστιν αἰτία τῶν ὑποστάσεων καθ' αὑτήν.

Ὁ ῬΟΔΟΥ. Ὁ λέγει ὁ αἰδέσιμος πατὴρ, καλῶς καὶ θαυμασίως λέγει, καὶ σὺ, πάτερ αἰδεσιμώτατε, καλῶς ἀποκρίνῃ. ἀλλ' ἔστι τὸ γεννῶν τὴν ἀμφιβολίαν ὁμωνυμία, ὡς ἐμοὶ δοκεῖ. ἐν τῇ κοινῇ θεολογίᾳ τῶν διδασκάλων Γραικῶν τε καὶ Λατίνων διαφέρει λέγειν, θείαν οὐσίαν, καὶ οὐσίαν πατρὸς καὶ υἱοῦ. μὴ οὖν νομίζετε τοῦτο πράγματι διαφέρειν, ἀλλὰ μόνον ἐπινοίᾳ καὶ λόγῳ. ἐπειδὴ τοίνυν ἀκούομεν τῶν διδασκάλων τοῦτο προφερόντων τὸ ῥῆμα, τὴν θείαν οὐσίαν νοοῦμεν κοινόν τι τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· ἡνίκα δὲ λέγομεν τὴν οὐσίαν τοῦ πατρὸς, νοοῦμεν τὸ τοῦ πατρὸς πρόσωπον.

Ὁ ἘΦΕΣΟΥ. Ἔστιν ὅτε, πλὴν οὐκ ἐξ ἀνάγκης, οὐδὲ ἀεί.

Ὁ ΒΑΣΙΛ. Οὐδὲν δύνανται οἱ ἡμέτεροι ἀπολογεῖσθαι τοῖς δυσὶ, καὶ ταῦτα μαχομένοις ἀλλήλοις.

Ὁ ἸΩΑΝΝΗΣ. Πρὸς διασάφησιν τοῦ παραδείγματος ἀρκούντως εἶπον· ἐρῶ δὲ πάλιν ὀλίγα τινὰ, ὅτι ἐπὶ τῶν ἀνθρωπίνων τὸ ὑποκείμενον οὐσία ἐστὶν ἡ μεταδιδοῦσα τῆς ἐν αὐτῇ οὐσίας καὶ φύσεως, ὡς ἐπὶ τοῦ Ἰσαάκ ἐστι. νῦν οὖν ἡ φύσις, ἡ ἀνθρωπότης

ἡ οὖσα ἐν τῷ Ἰσαὰκ, οὐκ ἔστιν ἡ γεννῶσα, ἀλλ' ἡ φύσις τοῦ Ἰσαάκ ἐστιν ἀρχὴ δι' ἧς προάγει τὸν Ἰακὼβ, καὶ ἔστι τὸ κοινωνούμενον, ἐπειδὴ ἡ φύσις τοῦ Ἰσαὰκ ἡ οὖσά ἐστιν ἡ μεταδιδομένη τῷ Ἰακώβ. νῦν οὖν λέγει, ὅτι ὁ Ἰακὼβ ἐστιν ἀπὸ τῆς φύσεως τοῦ Ἰσαάκ. τίνα οὖν τρόπον ὀφείλει νοεῖσθαι ἡ πρόθεσις αὕτη· Ἐκ τοῦ Ἰακώβ;* οὐ δύναται νοεῖν, τουτέστιν ἐκ τοῦ Ἰσαὰκ ὡς ἐξ ὑποκειμένου ἐνεργοῦντος, ἐπειδὴ αἱ ἐνέργειαί εἰσι τῶν ὑποκειμένων ὑποστάσεων, καὶ ἀπὸ τῆς φύσεως τοῦ Ἰσαὰκ ὡς ἐξ ἀρχῆς δίδονται τῷ Ἰακώβ. εἰ δυνατὸν, ὥστε τὴν οὐσίαν τοῦ Ἰακὼβ καὶ τοῦ Ἰσαὰκ μὴ εἶναι διακεκριμένας, ἀλλ' εἶναι μίαν τῷ παραδείγματι. ἐπεὶ οὖν ἡ γέννησις ἐπὶ τῶν θείων ἄπορος τελεῖ, διὰ τοῦτό φαμεν τὸ τοῦ πατρὸς ὄνομά ἐστιν ὑποστάσει ὑφιστᾶν. τοῦτο οὖν τὸ ὑποκείμενόν ἐστι τὸ γεννᾶν· ἐπειδὴ τὸ γεννᾶν ἐστιν ἐνέργεια γνωριστικὴ καὶ μόνῳ τῷ ὑποκειμένῳ γνωρίζεται. νῦν οὖν ἡ οὐσία τοῦ πατρός ἐστιν ἀρχὴ δι' ἧς γεννᾷ ὁ πατὴρ, καὶ ἔστι τὸ διδόμενον τῷ υἱῷ καὶ τὸ κοινούμενον τῷ υἱῷ διὰ γεννήσεως, καὶ ἔστι τὸ λαμβανόμενον παρὰ τοῦ υἱοῦ καὶ τὸ κοινωνούμενον παρ' αὐτοῦ, καθὼς καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἡ φύσις τοῦ Ἰσαὰκ καὶ ἀνθρωπότης αὐτοῦ. ἔστιν οὖν ὁ Ἰακὼβ λαμβάνων ἀπὸ τοῦ ὑποκειμένου τοῦ γεννῶντος· ἀλλ' ἡ διαφορά ἐστι διὰ τὴν ὑπεροχήν. ἡ φύσις αὕτη ἐστὶ μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ ἔν τε πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. καὶ οὕτως ἐν οὐδενὶ ἄλλῳ διακρίνονται, εἰ μὴ ὅτι ὁ πατήρ ἐστι πατὴρ, καὶ ὁ υἱὸς υἱός. καὶ λέγομεν ὅτι σοφία ἐν τῷ θεῷ καὶ ἀγαθότης καὶ δύναμις, ταῦτα κοινωνοῦνται ἐπειδή εἰσι τὰ αὐτά. ἐπειδὴ δὲ ἡ οὐσία ἐστὶν ὄνομα ἐξ ἀφαιρέσεως, καὶ οὐκ ἔστιν ὑποκείμενον, διὰ τοῦτο οὐκ ἔστι δυνατὸν ἐφαρμόζειν ἐκεῖσε τὴν ἐνέργειαν τῆς γεννήσεως. ἐπειδὴ μία ἐστὶ τῷ ἀριθμῷ, εἰ ἐγέννα, ἔδειξεν ἂν εἶναι διάκρισιν ἐπὶ τῶν θείων· καὶ γὰρ οὐκ ἂν ἐγέννησεν ἑαυτὴν, ὡς ἀδύνατον, ἀλλ' ἦν ἂν χρεία γεννῆσαι ἄλλο τι. νῦν οὖν συμπεραίνουσι πάντες, ὅτι ἐπὶ τῶν θείων ἡ οὐσία οὐ γεννᾷ. ἐπειδὴ τὸ αὐτὸ πολλάκις εἶπον, καὶ πάλιν λέγω, ὅτι ὁσάκις ἂν ἀκούωμεν τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ πατρὸς, νοοῦμεν ὡς ἐξ ὑποκειμένου, ὁμοίως καὶ ἐκ τοῦ υἱοῦ, ὡς ἐξ ὑποκειμένου. νῦν οὖν ἐπὶ τῷ τυχεῖν τῆς ἀληθείας ἴωμεν ἐπ' αὐτὸ τὸ ῥητὸν, ἐπειδὴ οὐκ ἔστιν ἄλλος σκοπὸς, ἢ ἵνα ἐξετάσωμεν τὴν ἀλήθειαν.

* ἴσ. ἐκ τῆς φύσεως τοῦ Ἰσαάκ.

Ὁ ἘΦΕΣΟΥ. Συνήγαγον ἐκ τῶν σῶν λόγων, ὡς νομίζω, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἥτις ἐστὶν ἡ αὐτὴ καὶ μία τῷ ἀριθμῷ, ἔστιν ἀρχὴ τοῦ ἁγίου πνεύματος· τούτῳ γὰρ τῷ ὀνόματι χαίρειν ἔοικας μᾶλλον· ἐπειδὴ ὁ πατὴρ καὶ ὁ υἱὸς προβάλλουσι τὸ πνεῦμα κατὰ τὴν κοινὴν οὐσίαν καὶ φύσιν. ἐπειδὴ οὖν ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἀκούων ὡς ἐξ αἰτίου νοεῖς, ἐξ ἀνάγκης ἄρα οὐκ ἀληθές ἐστι νοεῖν ἡμᾶς, ὅτι ἡ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν ἀρχὴ καὶ αἰτία;

Ὁ ἸΩΑΝΝΗΣ. Ἐγὼ δηλῶν τὸ ὄνομα τῆς ἀρχῆς.

Ὁ ἘΦΕΣΟΥ. Ὁπωσδήποτε τὴν οὐσίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λέγεις ἀρχὴν καὶ αἰτίαν;

Ὁ ἸΩΑΝΝΗΣ. Ναί.

Ὁ ἘΦΕΣΟΥ. Λείπεται τοίνυν τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος εἶναι αἰτιατὴν, ὡς ἐξ ἀρχῆς οὖσαν τῆς κοινῆς πατρὸς καὶ υἱοῦ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐξ ἀρχῆς κοινῆς τῆς μεταδιδομένης παρά τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Λέγω, ὅτι ἡ κοινὴ οὐσία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν αἰτία τοῦ ἁγίου πνεύματος.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀρχὴ τοῦ πνεύματος, ὡς δι' ἧς.

Ὁ ἘΦΕΣΟΥ. Ὥστε τί ἄλλο λείπεται, ἢ τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος εἶναι αἰτιατήν;

Ὁ ἸΩΑΝΝΗΣ. Οὐχ ἕπεται.

Ὁ ἘΦΕΣΟΥ. Πῶς οὐχ ἕπεται;

Ὁ ἸΩΑΝΝΗΣ. Αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν οὐχ ἕπεται· ὅτι τὸ προαχθὲν πρᾶγμα ἐπὶ τῶν ἀνθρωπίνων οὐ προάγεται, εἰ μὴ ὑπὸ τοῦ ἐνεργοῦντος ὑποκειμένου, καὶ οὐ λέγεται ὅτι τὸ ὑποκείμενον τοῦτο προήχθη ἀπὸ τῆς ἐμῆς φύσεως· οὐκ ἔῤῥωται ἡ ἀκολούθησις αὕτη. ἡ ἀνθρωπότης κατὰ τοὺς ἡμετέρους λόγους ἐστὶν ὄνομα ἐξ ἀφαιρέσεως, καὶ ἐν τῇ ἑαυτοῦ σημασίᾳ οὐ σημαίνει ὑποκείμενον. νῦν δὲ λέγω, ὅτι τὸ ὄνομα τοῦτο τοῦ Ἰσαὰκ ἢ τοῦ ἀνθρώπου σημαίνει αὐτὸ τὸ ὑφιστάμενον· τοῦτο τὸ ὑποκείμενον προάγει ἐκεῖνο διὰ τῆς ἀνθρωπότητος· ἄρα τοῦτο τὸ ὑποκείμενον προάγει ἀπὸ τῆς ἀνθρωπότητος.

Ὁ ἘΦΕΣΟΥ. Οὕτω λέγομεν καὶ ἐπὶ τῶν θείων;

Ὁ ἸΩΑΝΝΗΣ. Οὕτως.

Ὁ ἘΦΕΣΟΥ. Νῦν οὖν οὐχ ἔσεται τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς οὐσίας, καὶ ὅτι οὐ πνεῖται, οὐ γεννᾶται ἐκ τῆς οὐσίας τοῦ πατρὸς, καὶ οὐκ ἔστιν ἢ πνευστὸν ἢ ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ υἱοῦ;

Ὁ ἸΩΑΝΝΗΣ. Ἐγὼ εἶπον ὑμῖν ἐν τῇ προλαβούσῃ τελευταίᾳ συνόδῳ, ὅτι ἡ τελευταία ἀνάλυσις τῶν ἁγίων πατέρων τῶν ἐν ταῖς οἰκουμενικαῖς συνόδοις ἦν ἀεὶ πρὸς τὰς μαρτυρίας τῶν ἁγίων πατέρων, οὕτως, ὥστε ἐν παντὶ ὅρῳ τῆς πίστεως, ὅταν ἠθέλησαν τιθέναι ὅρον, προήγαγον τὰς μαρτυρίας τῶν πατέρων, καὶ πάντες ἡσύχαζον. οὕτω καὶ αὐτὸς ὑπισχνοῦμαι ποιῆσαι, καὶ διὰ τοῦτο πρὸ τοῦ με ἀγαγεῖν λόγους ἢ μαρτυρίας ἀπὸ τῶν ῥητῶν τῶν ἁγίων, ὑμεῖς προηγάγετε ἐκ τοῦ ἐναντίου τὴν χρῆσιν τοῦ Βασιλείου τὴν ἤδη ῥηθεῖσαν. τοίνυν περὶ τῆς διασαφήσεως τοῦ ῥητοῦ τοῦ προκομισθέντος παρ' ἐμοῦ ἅλις· καὶ γὰρ πάντες νοοῦσιν.

Ὁ ἘΦΕΣΟΥ. Οὔπω συνεπεράναμεν ἐκεῖνα.

Ὁ ἸΩΑΝΝΗΣ· Ἐπειδὴ δὲ ἐγὼ χαριζόμενός σοι συνεθέμην γενέσθαι τὴν ἐξέτασιν, ἄξιον καί σοι χαρίσασθαι, ἵνα ἴδωμεν τὰς μαρτυρίας, καὶ τότε εὕρωμεν καὶ τὸ συναγόμενον.

Ὁ ἘΦΕΣΟΥ. Τὸ ῥητὸν θεωρηθήσεται μετὰ μικρόν. νῦν οὐκ οἴδαμεν τὸ συναγόμενον ἐκ τῶν παρὰ σοῦ εἰρημένων. εἶπας ὅτι ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων τὸ ὑποκείμενον ἐκ τοῦδε τοῦ ὑποκειμένου γίνεται, οἷον ἐκ τοῦδε τοῦ ἀνθρώπου προάγεται ἄνθρωπος κατά γε τὴν κοινὴν φύσιν· καὶ οὐ λέγεται ὁ ἄνθρωπος ἔκ γε τῆς ἀνθρωπότητος, ἀλλ' ἐκ τοῦδε τοῦ ἀνθρώπου κατὰ τὴν κοινὴν τῆς ἀνθρωπότητος φύσιν. ἆρα οὖν καὶ ἐπὶ τῶν θείων οὕτως ὀφείλει λέγεσθαι τὸ θεῖον πρόσωπον, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρωπίνων. οὐκ ἄρα ὀφείλει λέγεσθαι, ἐκ τῆς κοινῆς οὐσίας πρόεισί τι τῶν προσώπων, ἐπειδὴ ἡ κοινὴ οὐσία οὐκ ἔστιν ἓν ὑποκείμενον καὶ καθ' αὑτὸ ὑφιστάμενον, ἐξ οὗ προάγεται ἕτερον. ὅταν ἄρα ἀκούσωμεν, ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐκ ὀφείλομεν νοεῖν τὴν αἰτίαν· οὔτε γὰρ τῆς οὐσίας ἴδιον τὸ γεννᾶν ἢ προβάλλειν, οὔτε ἐπὶ τῶν ἀνθρωπίνων οὕτως εἴωθε λέγεσθαι.

Ὁ ἸΩΑΝΝΗΣ. Βούλομαι ἀποδεῖξαι ἀναγκαίως, ὅτι ἡνίκα λέγομέν τι ἔκ τινος, νοεῖται ἐκ τοῦ προσώπου· καὶ τοῦτο ἀποδείκνυμι ἀπὸ τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου, τοῦ προκομισθέντος ἐν

τῇ προλαβούσῃ συνελεύσει. λέγει οὖν ἐν τῷ τρίτῳ κατ' Εὐνομίου· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι τρίτον καὶ τῇ τάξει ἐστὶ τὸ πνεῦμα, τρίτον καὶ τῇ φύσει εἶναι; τῷ γὰρ ἀξιώματι δεύτερον τοῦ υἱοῦ, ἐξ αὐτοῦ τὸ εἶναι ἔχον, καὶ τὰ λοιπά. Ἐνταῦθα οὖν φησιν ὁ Βασίλειος, ὅτι τὸ πνεῦμα τὸ εἶναι ἔχει ἐξ αὐτοῦ, καὶ αὐτοῦ ἐστιν ἐξημμένον ὡς ἐξ αἰτίας. νῦν οὖν κατὰ τὴν προλαβοῦσαν πρότασιν, λαμβάνειν ἐστὶ τὸ εἶναι, καθὼς καὶ πάντες οἱ διδάσκαλοι κατὰ τὸν Βασίλειον κρατοῦσι. τὸ πνεῦμα τὸ ἅγιον ἔχει τὸ εἶναι καὶ λαμβάνει ἐκ τοῦ υἱοῦ, καὶ ἐξῆπται τούτου ὡς ἐξ αἰτίας. ὥστε ἀναγκαίως ἕπεται, εἰ λαμβάνει τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ, ἐκπορεύεσθαι καὶ ἐξ αὐτοῦ. πόσου δὲ ἀξιώματος γέγονεν ὁ Βασίλειος ἐπὶ τῆς ὕλης τοῦ ἁγίου πνεύματος, πάντες οἱ πατέρες οἱ ἐν Χαλκηδόνι συνελθόντες, ἐν τῷ προσφωνήματι τῷ πρὸς Μαρκιανὸν οὕτω φασὶ περὶ τούτου. * Οὗτος ὁ μέγας Βασίλειος διάκονος τῆς χάριτος· οὗτος ἐσάφησε καὶ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν οὕτω παρέδωκε μετὰ τῶν αὐτοῦ ἱερέων ἕλκων καὶ τὴν ἐκείνων ἔννοιαν δι' ὑπογραφῆς τῆς ἐν Χαλκηδόνι συνόδου. Εἰ τοίνυν πάντες οἱ πατέρες δεδώκασι τοσαύτην ἄδειαν τῷ Βασιλείῳ ἐπὶ τῆς ὕλης τοῦ ἁγίου πνεύματος, καὶ οὗτος οὕτω σαφῶς λέγει ἐν τούτῳ τῷ χωρίῳ, ἀναγκαῖον φαίνεται, καθ' ὃν τρόπον οἱ πατέρες πάντες, οὕτω καὶ ἡ ἐκκλησία πᾶσα, καὶ πάντες ἡμεῖς περιπλέκεσθαι ὀφείλομεν τὰ συγγράμματα τοῦ μεγάλου Βασιλείου. ἰδὲ ἀρχαιότατον βιβλίον· καὶ εἰ βούλεσθε ἀναγνωσθῆναι, ἀναγνωσθήτω.

* Οὕτως ὁ μέγας Βασίλειος ὁ τῆς χάριτος ὑπηρέτης τὴν τοῦ ἁγίου πνεύματος ἀκριβῆ διδασκαλίαν παρέδωκε, ταῖς ὑπογραφαῖς τῶν συμποιμένων ἀπαιτήσας τὴν συγκατάθεσιν.

Ὁ ἘΦΕΣΟΥ. Ἐξετάσομεν τὸ τοῦ μεγάλου Βασιλείου ῥητὸν ἐν καιρῷ τῷ προσήκοντι, συμπεράναντες πρότερον τὰ παρὰ σοῦ εἰρημένα.

Ὁ ἸΩΑΝΝΗΣ. Εἰπὲ πρὸς ταῦτα, ἐπειδὴ τοῦτό ἐστι τὸ καταρρχοῦν πάντα.

Ὁ ἘΦΕΣΟΥ. Ὅτι τὴν κοινὴν οὐσίαν πατρὸς καὶ υἱοῦ, ἥτις ἐστὶ μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ, λέγεις αἰτίαν καὶ ἀρχὴν τοῦ ἁγίου πνεύματος, καθ' ἣν πρόεισιν ἐξ αὐτοῦ τὸ πνεῦμα. φαίνεται τοίνυν ἐκ τούτων, τὴν οὐσίαν τοῦ ἁγίου πνεύματος αἰτιατὴν εἶναι, κἀντεῦθεν δύο οὐσίας ἐν τῇ ἁγίᾳ τριάδι συνάγεσθαι, καὶ ἀντικειμένας ἀλλήλαις κατὰ τὸ αἴτιον καὶ αἰτιατόν. τοῦτο δὲ πόρρω τῆς τοῦ Χριστιανῶν θεολογίας καὶ παντελῶς ἀλλότριον, καὶ παρ'

οὐδενὸς τῶν διδασκάλων οὐδέποτε εἰρημένον. ἡ γὰρ οὐσία, φασὶν, οὔτε γεννᾷ οὔτε προβάλλει. ἀλλ' οὐδὲ κατὰ τὴν κοινὴν οὐσίαν ἢ ὁ πατὴρ γεννᾷ ἢ προβάλλει, ἢ ὁ υἱὸς, ὡς ὑμεῖς λέγετε, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ οὐσίαν, ἢ τὸ ἴδιον καὶ ὑποστατικὸν ἰδίωμα. ταῦτα μὲν ἐκ τῶν σῶν λόγων οὕτω συνήχθησαν· καὶ ὥρα ἤδη ἐπανορθώσασθαι, τὰ εἰρημένα ἢ ἐν ἄλλοις, ἢ κατὰ τὸ παρόν. νῦν οὖν πρὸς τὴν ἐξέτασιν χωρήσωμεν, εἰ δοκεῖ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀναγνωσθήτω οὖν τὸ βιβλίον. βούλομαί σοι διασαφῆσαι τοῦτο, ἐπειδὴ καλῶς οὐ συνῆκας τὸν ἐμὸν λόγον. ἡ οὐσία ἐνίοτε λαμβάνεται ὑπὲρ τοῦ ἐκτιθεμένου διὰ τὸν τοῦ πράγματος λόγον, καθὸ λέγομεν ὁ ὅρος σημαίνει τὸ τί ἦν εἶναι τοῦ πράγματος, καὶ τοῦτό ἐστιν ὀντότης ἡ οὐσία ἡ φύσις· καὶ ἐν τῷ ἰδίῳ σημαινομένῳ οὐδέποτε συνδηλοῖ ὑποκείμενον, ἀλλ' ἀεὶ σημαίνει τὸ εἶδος ἐκεῖνο ἢ τὴν οὐσίαν ἢ τὴν φύσιν. ἑτέρῳ τρόπῳ λαμβάνεται ἡ οὐσία ἀντὶ ὑποκειμένου. καὶ περὶ τούτου ἔχετε ἰδεῖν Ἀριστοτέλην ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ, ποσαχῶς λέγεται ἡ οὐσία· καὶ οἱ ἡμέτεροι οὕτω διαστέλλουσιν. ὥστε κατὰ τὸν δεύτερον τρόπον λαμβάνεται ἡ οὐσία ἀντὶ ὑποκειμένου, ὅπερ ὑφίσταται τοῖς ἀνωτέροις εἴδεσιν ἐν τῇ γραμμῇ τῆς οὐσίας ἤτοι τῇ κατηγορικῇ, ὡς τίθεται ὁ Πορφύριος· οἷον Σωκράτης, Πλάτων, ταῦτά εἰσιν ὑποκείμενα. αὕτη ἡ οὐσία ἡ οὕτως οὖσα ὑποκείμενον, ἐνίοτε καλεῖται ὑπόστασις, ἐνίοτε δὲ καλεῖται ὕπαρξις, ἐνίοτε καλεῖται πρᾶγμα τῆς φύσεως· ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ φύσει παρὰ ταῦτα καλεῖται πρόσωπον, ἐπειδὴ τὸ πρόσωπόν ἐστι νοερὰ φύσις ἀκοινώνητος ὕπαρξις, οὕτως ὥστε ἐν τῷ εἴδει τῷ νοερῷ τὸ ὑποκείμενον καὶ ἡ οὐσία ὕπαρξις καλεῖται καὶ πρόσωπον. τούτου οὖν οὕτω διασαφηνισθέντος, οἱ διδάσκαλοι οὕτω Γραικοὶ ὡς καὶ Λατῖνοι βουλόμενοι ἐνίστασθαι κατὰ Ἀρείου καὶ Μακεδονίου, ὧν ὁ πρῶτος εἶπε τὸν υἱὸν κτίσμα, καὶ μὴ ἀπὸ τῆς οὐσίας τοῦ πατρός· ὁ δὲ ὅτι τὸ πνεῦμα οὐκ ἔστιν ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, οὕτως ἔλαβον τὴν οὐσίαν ὡς ὕπαρξιν. εἰ τοίνυν ἡμεῖς λάβωμεν τὴν οὐσίαν ὡς ὕπαρξιν, ἐπειδὴ πατήρ ἐστιν οὐσία ἐκ νοερᾶς φύσεως, οὕτως ἔτι δύναται ῥηθῆναι ὕπαρξις ἤδε ἡ οὐσία πράγματος ὑποκειμένου· εἰ τοίνυν λαμβάνεται οὕτως, ὅτι τὸ γεννᾶν ἐφαρμόζει τῷ προσώπῳ τοῦ πατρὸς, ὅσον εἰ ἐλέγομεν· Ἥδε ἡ οὐσία ἐφαρμόζει τῇδε τῇ οὐσίᾳ, ἔσεται ὅτι ἡ οὐσία ἐστὶν ἡ

αὐτὴ τῷ πατρὶ καὶ τῇ πατρότητι, καὶ κατ' οὐδένα τρόπον κοινωνεῖται· ὅθεν ἐπειδὴ αἱ ἰδιότητες οὐκ εἰσὶ κοινωνηταὶ, οἱ ἡμέτεροι διδάσκαλοι οἱ Λατῖνοι οὐ χρῶνται τούτῳ τῷ ὅρῳ τῷ Οὐσία ἀντὶ τοῦ προσώπου τοῦ πατρὸς, ἀλλ' ἀντὶ τῆς φύσεως τοῦ πατρὸς, καθὼς ἐπὶ τοῦ ὅρου τοῦ ἀνθρώπου λαμβάνεται ἡ οὐσία. ὅθεν ἡνίκα λέγομεν κατὰ τοὺς ἡμετέρους, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, λαμβάνομεν τὴν οὐσίαν ἀντὶ τῆς φύσεως τῆς οὔσης ἐν τῷ πατρί. λέγω οὕτως, ἡ οὐσία λαμβάνεται ὡς ὑποκείμενον, ὡς καὶ τὸ πρόσωπον ἐπὶ τῶν θείων, καὶ τότε καὶ ταὐτὸν ὡς ὑπόστασις. ὅταν λέγωμεν τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ πατρὸς, οὐδέποτε οἱ διδάσκαλοι λαμβάνουσι τὴν οὐσίαν ἀντὶ τοῦ ὑποκειμένου, ἐπειδὴ τὸ πρόσωπον οὐ κοινοῦται, ἀλλ' οὐδὲ ἡ ὕπαρξις τοῦ ὑποκειμένου. λέγω ὅτι ἡ οὐσία ἑτέρῳ τρόπῳ λαμβάνεται, καὶ οὗτος καθ' ὃν λέγομεν ὁ ὅρος δηλονότι σημαίνει οὐσίαν πράγματος, καὶ αὕτη ἐστὶ τὸ καλούμενον ὀντότης, φύσις, οὐσία. ὅταν δὲ οἱ ἡμέτεροι λέγωσιν, ὅτι τὸ πνεῦμά ἐστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἢ τοῦ υἱοῦ, οὐ λαμβάνουσι τὴν οὐσίαν ἀντὶ τῆς ὑπάρξεως τοῦ πατρὸς, ἀλλ' ἀντὶ τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως· καὶ ἐκείνη ἡ οὐσία ἐστὶν ἐν τῷ πατρὶ, καὶ ἔστιν ἐν αὐτῇ* ὥσπερ ὁ πατήρ. καὶ τὸ ὄνομα τοῦ πατρὸς λέγει τὴν οὐσίαν καὶ τὴν σχέσιν, καθ' ἣν αὕτη ἡ ὕπαρξις, ἢ τόδε τὸ ὑποκείμενον διακρίνεται τοῦ ἑτέρου. αὕτη τοίνυν ἡ κοινὴ οὐσία ἥτις ἐστὶν ἐν τῷ πατρὶ, ἐκείνη ἐστὶν αἰτία ἡ κοινουμένη διὰ τῆς γεννήσεως καὶ αὕτη ἐστὶν ἀρχοειδής. ὁ πατὴρ γεννᾷ καὶ προβάλλει τὸν υἱὸν, ἀλλ' αὕτη ἡ οὐσία οὐ κοινωνεῖται τῷ υἱῷ· ἐν τούτῳ ἐστὶν ἡ ἀπάτη. καὶ γὰρ ἡνίκα λέγομεν, ἡ οὐσία τοῦ πατρὸς κοινωνεῖται τῷ υἱῷ, οὐ νοοῦμεν τοῦτο ἀληθὲς καθὸ ὁ πατὴρ τὸν υἱὸν γεννᾷ, ὅτι τότε εἵπετο ἂν καὶ τὸν υἱὸν γεννᾶν. διὰ τοῦτο λέγομεν, τὸ εἶναι οὐ κοινωνεῖται, διότι εἵπετο ἐὰν καὶ τὸν υἱὸν γεννᾶν. αὕτη ἡ οὐσία ἀπολελυμένως οὕτως, τοῦ γεννᾶν ἡ δύναμις, ἐστὶν ἀρχὴ δι' ἧς, καὶ ἔστι τὸ κοινωνούμενον καὶ δίδοται παρὰ τοῦ πατρὸς τῷ υἱῷ αὐτοῦ, ἀλλ' οὐ κατὰ τὸ ἀπολελυμένον. νῦν οὖν ἐν τῇ γεννήσει τοῦ πατρὸς κατὰ ἀπόβλεψιν τοῦ υἱοῦ πάντα κοινωνοῦνται· ἐπειδὴ αὕτη οὐ κοινοῦται εἶναι τῇ ἀρχῇ*, οὐ μάχεται τῇ υἱότητι. λοιπὸν κοινωνεῖ κατ' αὐτὴν τὴν οὐσίαν ὁ πατὴρ διὰ τῆς γεννήσεως, ἥτις ἐστὶν ἀρχὴ δι' ἧς κοινωνεῖ

* Ἴσως ἐν αὐτῷ.

* Ἴσως τὴν ἀρχήν.

αὐτῷ τὸ εἶναι ἀρχὴν τοῦ ἁγίου πνεύματος. καὶ γὰρ τὸ εἶναι τὴν ἀρχὴν τοῦ ἁγίου πνεύματος ἐν τῷ πατρὶ, οὐκ ἀντίκειται τῇ σχέσει ἢ τῇ ἰδιότητι τοῦ υἱοῦ. αὕτη ἡ οὐσία οὐχ ἕπεται κατὰ τὸ κοινὸν εἶναι καὶ ἀπολελυμένον ἐστὶν ἀρχὴ δι' ἧς καὶ οὕτω κατὰ τὴν τοιαύτην θεωρίαν καλεῖται δύναμις προβλητικὴ καὶ κοινουμένη τῷ υἱῷ αὐτῷ. καὶ τούτῳ οὐχ ἕπεται εἶναι κατὰ τὴν αἰτίαν καὶ αἰτιατήν· οὕτω παραδεδώκασι πάντες οἱ διδάσκαλοι, καὶ διασαφοῦσιν ἐν ἐκείναις ταῖς διαλέξεσιν, ὁ υἱός ἐστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, ἢ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. τοῦτον τὸν τρόπον κάτεχε, καὶ ἐλευθερωθήσῃ καὶ ἀπαλλαγήσῃ φροντίδων. κατὰ τὸ παρὸν οὖν ἀποκρίθητι εἰς τὸ ῥητὸν, ἐν ἑτέρᾳ δὲ συνελεύσει ἐρῶ εἰς πλάτος.

ΙΟΥΛ. ΚΑΡΔ. Κύριε Ἐφέσου, ὁ κύριος ὁ προβεντζιάλιος ἀρκούντως διεσάφησε τὰ παρὰ τῆς σῆς αἰδεσιμότητος εἰρημένον.

Ὁ ΕΦΕΣΟΥ. Ἡμεῖς ὅταν ἀκούσωμεν ἐπὶ τῆς πρώτης συνόδου, λεγούσης ἐν τῷ οἰκείῳ συμβόλῳ ἐπὶ τῆς τοῦ υἱοῦ θεολογίας, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς, ἤτοι ἐκ τῆς οὐσίας τοῦ πατρὸς, οὐδὲν ἄλλο νοοῦμεν ἢ ἐκ τῆς ὑποστάσεως αὐτοῦ, τουτέστιν ἐκ τῆς οὐσίας μετὰ τῶν οἰκείων ἰδιωμάτων. ἀρέσκει σοι τοῦτο, ὅτι ὑπόστασις ἡ οὐσία καλεῖται, ἢ ἄλλο τι παρὰ ταῦτα λέγεις;

Ὁ ΙΩΑΝΝΗΣ. Ἤκουσας, ὅτι κατὰ δύο τρόπους τὸ ὄνομα τῆς οὐσίας νοοῦμεν· καθ' ἕνα μὲν, ὅταν τὴν κοινὴν φύσιν τῶν τριῶν προσώπων παραστῆσαι βουλώμεθα· καθ' ἕτερον δὲ, ὅταν τὴν οὐσίαν μετὰ τῶν προσόντων ἰδιωμάτων, ἤτοι τὴν ὑπόστασιν. ὅταν οὖν ἐν τῷ συμβόλῳ λέγηται τῆς ἁγίας συνόδου, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς, ἤτοι ἐκ τῆς οὐσίας τοῦ πατρὸς, κατὰ πᾶσαν ἀνάγκην νοεῖν ὀφείλομεν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς, εἰ ἔστι καὶ ἄλλο εἶδος οὐσίας παρὰ ταύτας τὰς δύο. λέγω, ὅτι οἱ διδάσκαλοι οὐ χρῶνται τῷ ὀνόματι τῆς οὐσίας ἐν ἄλλοις, εἰ μὴ ἐπὶ τοῖς δυσὶ τρόποις, ἀλλ' ὁ πρῶτος τρόπος ὃν προεθέμην, παρὰ τοῖς Λατίνοις οὐδέποτε προσεδέχθη, εἰ μὴ ἐπὶ τῷ ὀνόματι τῆς ὑποστάσεως ἢ τῆς οὐσίας, ὥστε μή τινας δύνασθαι διαβάλλειν ἡμᾶς, ὡς τρεῖς οὐσίας τεθέντας· καθ' ὃν τρόπον συνεπεράνθη ἐν τῇ πρώτῃ συνόδῳ, ὅπου διωρίσθη, τὸν υἱὸν ὁμοούσιον εἶναι τῷ πατρί· ὅπου φαμὲν, ὅτι ἐκείνη ἡ φύσις ἡ οὐσία κοινὴ τοῖς τρισὶ προσώποις, καθ' ἣν

λέγεται ὁ υἱὸς ὁμοούσιος τῷ πατρί· καὶ περὶ ταύτης νοοῦνται πᾶσαι αἱ προθέσεις, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, ὡς ἐξ ἀρχῆς δῆλον, οὐχ ὡς γεννώσης.

Ὁ ἘΦΕΣΟΥ. Εἴπας, ὅτι ἡ οὐσία καθ' ἣν ἐστιν ὁ πατὴρ καὶ ὁ υἱὸς, ἡ αὐτή ἐστι κοινὴ τοῖς τρισὶ προσώποις. ὅρα οὖν εἰ ἀληθές ἐστι λέγειν, ὅτι ἐκ τῆς κοινῆς οὐσίας τῶν τριῶν προσώπων πρόεισιν ὑποστατικῶς τὸ πνεῦμα τὸ ἅγιον. προεῖπας γὰρ πρότερον, ὅτι ἐκ τῆς κοινῆς οὐσίας πατρὸς καὶ υἱοῦ τὴν αἰτίαν ἔχει τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ἸΩΑΝΝΗΣ. Αὕτη ἡ πρόθεσις ἥτις παρὰ Γραικοῖς ἐστιν Ἐκ, ὡς ὅταν λέγητε Ἐκ τοῦ πατρὸς, ποιεῖτε ὑμεῖς διαφοράν τινα ἢ διάκρισιν μεταξὺ τῆς οὐσίας;

Ὁ ἘΦΕΣΟΥ. Ποιοῦμεν.

Ὁ ἸΩΑΝΝΗΣ. Τίς ἐστι; κατ' ἐπίνοιαν ἢ πραγματική;

Ὁ ἘΦΕΣΟΥ. Κατ' ἐπίνοιαν μὲν ἡμετέραν ἡ διάκρισις θεωρεῖται ἐν τοῖς προσώποις, οὐ πρὸς ἄλληλα, ἀλλὰ πραγματικῶς ἑκάστη ὑπόστασις.

Ὁ ΝΙΚΑΙΑΣ. Διακρίνεται ἐπινοίᾳ ἀλλήλων τὰ θεῖα πρόσωπα, πραγματικῶς δὲ ὑφίστανται διὰ τῶν ἰδιωμάτων.

Ὁ ἸΩΑΝΝΗΣ. Ταῦτα τὰ ἰδιώματά εἰσι ταὐτὰ τῷ προσώπῳ;

Ὁ ΝΙΚΑΙΑΣ. Κατὰ τὸ πρᾶγμα καὶ κατὰ τὸ ὑποκείμενον ταὐτά εἰσι, διακρίνονται δὲ ἀλλήλων κατὰ τὴν θεωρίαν.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐν τῷ πατρί ἐστιν ἡ πατρότης καὶ ἡ οὐσία οὖσα κοινὴ τοῖς προσώποις· τὸ πρόσωπον τοῦ πατρὸς οὐ διακρίνεται ἀπὸ τῆς πατρότητος, οὔτε ἀπὸ τῆς οὐσίας, εἰ μὴ κατ' ἐπίνοιαν· διακρίνεται δὲ τῶν ἄλλων προσώπων πραγματικῶς. ἐπειδὴ τοίνυν ἐν τῷ πατρί ἐστιν ἡ πατρότης καὶ ἡ οὐσία, καθ' ὃν τρόπον ἡμεῖς νοοῦμεν ἡνίκα ὁ πατὴρ γεννᾷ, τί ἐστι τὸ ὑποκείμενον; ἡ πατρότης, ἢ οὐσία, ἢ ἑκάτερον;

Ὁ ἘΦΕΣΟΥ. Τὸ κοινὸν ὑπάρχον τῷ πατρί ἐστιν ἡ οὐσία. τὸ γεννᾷν δὲ τὸν υἱὸν κατὰ τὴν αὐτὴν οὐσίαν· ἀλλὰ κατὰ τὸ ἑαυτοῦ ἰδίωμα, τὸ πατρικὸν δηλονότι· τοῦτο γάρ ἐστιν υἱοῦ, καὶ ἔστιν ἀρχὴ, οὐκ αὐτὴ κοινὴ τῶν τριῶν οὖσα.

Ὁ ἸΩΑΝΝΗΣ. Τὸ κοινωνούμενον τῷ υἱῷ ἐκεῖθεν, ἡ οὐσία, ὑπάρχει ἐν τῷ προσώπῳ τοῦ πατρὸς, ὡς εἴρηται· οὐκ ἔστιν εἰ μὴ αὕτη

οὐσία καὶ ἡ πατρότης. οὐ τοίνυν κοινωνεῖται ὡς ἰδιότης τὸ ὑποκείμενον· ἐπειδὴ τὸ ὑποκείμενον καὶ ἡ οὐσία ἕν εἰσιν, ἕπεται εἰ ὁ πατὴρ κοινωνεῖ τῷ υἱῷ, οὐ κοινωνεῖ εἰ μὴ κατὰ τὴν κοινὴν ταύτην οὐσίαν.

Ὁ ΕΦΕΣΟΥ. Τοῦτο μὲν οὕτως εἴπομεν, ὅτι ἡ κοινὴ οὐσία, ᾗ κοινωνεῖ ὁ πατὴρ τῷ υἱῷ, ἥτις μία ἐστὶ καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ, μερίζεται κατ' ἐπίνοιαν ἡμετέραν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, καὶ διὰ τοῦτο λέγεται παρ' ἡμῶν ἔστιν ὅτι καὶ ἡ οὐσία τοῦ πατρὸς, ἡ οὐσία τοῦ υἱοῦ, καὶ ἡ οὐσία τοῦ ἁγίου πνεύματος νοούντων ἡμῶν διὰ τοῦ ὀνόματος τὴν ἰδίαν ἑκάστου ὑπόστασιν. τί οὖν ἐστι τὸ συναγόμενον; ἐλθὲ πρὸς τὸ συμπέρασμα τάχιον.

Ὁ ΙΩΑΝΝΗΣ. Ἐκ τούτων συνάξω ἐναντίον τι ὧν κατὰ πάντα ὧν εἴρηκας, ὅτι ἤδη ἡ οὐσία μερίζεται ἐν τρισὶ προσώποις. ὥσπερ οὖν, ὅτι ἡ οὐσία τοῦ πατρὸς, ἥτις κοινωνεῖται τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, ἐκοινωνήθη ἂν κατ' ἐπίνοιαν καὶ οὐ κατὰ πρᾶγμα· τοῦτο δὲ ἀτοπώτατον, ἐπειδὴ λέγομεν ὅτι ἡ οὐσία μεταδίδοται πραγματικῶς, καὶ κοινωνεῖ ἡ οὐσία τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. ἐπειδὴ εἰ ἕκαστον πρόσωπον οὐκ ἔχει τὸ εἶναι εἰ μὴ δι' αἰτίας, ὥσπερ ἂν τὰ πρόσωπα κατ' ἐπίνοιαν εἶναι διῃρημένα.

Ὁ ΕΦΕΣΟΥ. Οὐκ εἶπον ὅτι τὰ πρόσωπα κατ' ἐπίνοιαν διῃρημένα εἰσὶν, ἀλλ' ὅτι συνεπινοεῖται τῇ οὐσίᾳ ἑκάστου τῶν προσώπων, διὰ τοῦτο διακρίνοντες ταῦτα, τὴν οὐσίαν αὐτὴν τῷ νῷ καταλαμβάνομεν. δι' οὗ τρόπου βουλόμεθα δεῖξαι τὴν ὑπόστασιν τοῦ υἱοῦ ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς, καὶ οὕτω συνιστῶμεν τὰ θεῖα πρόσωπα, οὐχ ὅτι καὶ αὐτὰ τὰ πρόσωπα κατ' ἐπίνοιαν διακρίνονται· τοῦτο γὰρ οὐδαμῶς εἴπομεν.

Ὁ ΙΩΑΝΝΗΣ. Οὐδὲ ἡμεῖς λέγομεν.

Ὁ ΝΙΚΑΙΑΣ. Ἐρωτῶμεν, πῶς νοεῖτε ὑμεῖς ὅταν λέγωμεν οὐσίαν, οὐσίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος;

Ὁ ΙΩΑΝΝΗΣ. Οὐκ εἶπον ὑμῖν, ὅτι οἱ ἡμέτεροι λαμβάνουσιν ἐπὶ τῶν θείων τὴν οὐσίαν ἀντὶ τῆς οὐσίας, ἀντὶ τῆς ὀντότητος, ἀντὶ τῆς ὑπάρξεως, ὡς εἶεν τρεῖς οὐσίαι; εἰ καὶ λέγομεν τρεῖς ὑποστάσεις, τρία πρόσωπα, πραγματικῶς διακεκριμένα ἀλλήλοις, ἀλλ' ἐνταῦθά εἰσιν ἕν, εἷς θεὸς, εἷς δημιουργός. τὸ πρόσωπον συνίσταται ἐκ τῆς θείας οὐσίας καὶ ἰδιότητος· καὶ διὰ τοῦτο οὐδὲν πλέον ἐστὶν ὅτι μὴ οὐσία καὶ ἰδιότης· καὶ ταῦτά εἰσιν ἓν κατὰ τὸ

πρᾶγμα ἡ οὐσία καὶ ἰδιότης, κατὰ δὲ τὴν ἰδιότητα τὰ πρόσωπα ἀλλήλων διακρίνονται πραγματικῶς, ἐπειδὴ εἰσὶ πρός τι, καὶ κατὰ τὴν οὐσίαν εἰσὶν ἓν καὶ εἷς Θεός.

'ΙΟΥΛ. ΚΑΡΔ. Τετάρτη ὥρα παρῆλθεν ἤδη, καὶ ἀρκούντως ἔχει τὰ εἰρημένα· κατὰ δὲ τὸ σάββατον πάλιν συνελευσόμεθα.

Μαρτίου μηνὸς ἑβδόμῃ, τῷ σαββάτῳ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ Κ.

'Ο ΕΦΕΣΟΥ. 'Εβουλόμεθα μὲν ἀκριβέστερον ἐξετάσαι τὰ πρότερον εἰρημένα, καὶ διὰ τέλους ἐπεξελθεῖν ἑκάστῳ τὰ ἐν αὐτῷ συμβαίνοντα. ἐπειδὴ δὲ δὶς ἤδη καὶ τρὶς προηνέγκατε χρῆσίν τινα τοῦ μεγάλου Βασιλείου, συνηγορεῖν δοκοῦσαν τῷ ὑμετέρῳ δόγματι, φέρε ταύτην ἐξετάσωμεν κατὰ τὸ παρὸν, εἰ καὶ ὑμῖν συνδοκεῖ, τὴν τῶν εἰρημένων ἀνάθεσιν εἰς τὸν ἐπιόντα καιρὸν ὑπερθέμενοι. ἀναγνωσθήτω τοίνυν ἡ χρῆσις αὕτη, εἰ βούλεσθε, ἵνα ἴδωμεν ἤπερ ὅ, τι ποτὲ βούλεται. Τοῦ μεγάλου Βασιλείου ἐκ τῶν κατ' Εὐνομίου ἀντιῤῥητικῶν·

Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; ἀξιώματι μὲν γὰρ δεύτερον τοῦ υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως τῆς αἰτίας ἐκείνης ἐξημμένον παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος. Τοῦτο τὸ βιβλίον εὑρίσκεται μὲν καὶ παρ' ἡμῖν νενοθευμένον οὕτω τε καὶ διεφθαρμένον εἰς τὴν ῥῆσιν ταύτην, ὡς ὑμεῖς προηνέγκατε. εἰσὶ γὰρ ἐν τῇ Κωνσταντινουπόλει τέσσαρα ἢ πέντε βιβλία τὸν ὅμοιον τρόπον ἔχοντα, τὰ δὲ ὑγιῆ καὶ ἀδιάφθορον ἔχοντα τὴν λέξιν καὶ τὴν διάνοιαν, ἐγγὺς τῶν χιλίων εἰσὶ, τῇ τε ἀρχαιότητι καὶ τῷ πλήθει τὸ πιστὸν ἔχοντα, καὶ τὴν ἀκολουθίαν ἀκριβῶς ἀποσώζοντα πρὸς τὴν τοῦ διδασκάλου ἔννοιαν. φαίνεται τοίνυν ὥσπερ τὸ ἅγιον σύμβολον ἔπαθε φανερῶς, οὕτω καὶ ἡ βίβλος αὕτη πέπονθε κρυφίως. χειρὶ παρὰ τῶν τὸ δόγμα φρονούντων καὶ προσθήκην ἐδέξατο, πολὺ μὲν τὸ ἐναντίον ἔχουσαν, πολὺ δὲ τὸ ἀσυνάρτητον πρὸς τὴν διάνοιαν τοῦ μεγάλου Βασιλείου. πρῶτον τεθεωρήκατε* τὴν παρ' ἡμῖν ἀρχαιοτάτην βίβλον,

* ἴσως· θεωρήσατε.

οὐδαμῶς ἔχουσαν τὴν προσθήκην ταύτην. ὅπως καὶ τὴν διάνοιαν καὶ τὴν ἀκολουθίαν ἐξετάσωμεν τῶν ῥημάτων πρὸς τὸν σκοπὸν τῶν ὑπ᾽ αὐτοῦ εἰρημένων.

Ὁ ἸΩΑΝΝΗΣ. Ἠκούσαμεν δύο τινὰ τῆς σῆς αἰδεσιμότητος λεγούσης· πρῶτον, ὅτι ἡδέως ἂν παρακολουθήσειε τῇ ὕλῃ ἐκείνῃ, ἧς ἡψάμεθα ἐν τῇ προλαβούσῃ συναθροίσει· δεύτερον, ὅτι διὰ τὴν ἡμετέραν ἀπαίτησιν συγκαταβαίνεις ἐρχόμενος πρὸς αὐτὴν τοῦ Βασιλείου τὴν ῥῆσιν, τἄλλα ταμιευόμενος ἐπὶ τῶν ἑφεξῆς. ἐπὶ τούτῳ πολὺ ἀρέσκομαι, ὥστε πρῶτον ὑμᾶς ἄρχεσθαι ἀπὸ τῶν μαρτυριῶν τῶν ἁγίων πατέρων· ἐπειδήπερ αἱ μαρτυρίαι ὅροι εἰσὶν, ἐφ᾽ οἷς καὶ ἡμεῖς ἱστάναι ὀφείλομεν. μετὰ δὲ τὰς μαρτυρίας ἔσομαι παρεσκευασμένος καὶ ἕτοιμος ἀπόκρισιν δοῦναι πρὸς τὰ ζητήματα ὑμῶν. δεύτερον, ὅτι ἡ βίβλος αὕτη ἡ ἡμετέρα πάσχει τινὰ διαβολὴν διὰ τὴν προσθήκην, καθὸ καὶ ἐν ἄλλοις ἐγένετο περὶ τῆς ἐν τῷ συμβόλῳ προσθήκης. πρὸς οὖν ταύτην τὴν τοῦ συμβόλου προσθήκην φαμὲν, ὅτι οὕτω λαμπρῶς, οὕτως ἀναπεπταμένως εἴρηται περὶ ταύτης παρὰ τοῦ αἰδεσιμωτάτου πατρὸς καὶ κυρίου μου ἐν ἄλλοις, ὥστε μηδένα ὑπολελεῖφθαι λόγον καθαρώτερον ἐκείνων τῶν ἀποδείξεων τυγχάνοντα, καθ᾽ ὃν τρόπον ἐν τούτῳ τῷ χωρίῳ εἴρηται. εἰ δὲ ἀμφισβήτησίς τις ἔσται παρ᾽ ὑμῶν ἢ ὑπολέλειπται, πληρωθείσης ταύτης τῆς ὕλης ἐσόμεθα παρεσκευασμένοι ἀποκριθῆναι. πρὸς δὲ τὸ τοῦ Βασιλείου ῥητὸν κατὰ τὸ παρὸν ἀποκρινόμενοί φαμεν, ὅτι ἡ βίβλος αὕτη ἐν τῷ χρόνῳ τῷ παρελθόντι ἀπὸ τῆς Κωνσταντινουπόλεως ὧδε μετηνέχθη· καὶ ὁ κύριος Νικόλαος Δεκούζα τὴν βίβλον ἔφερε. ἔστι δὲ ἡ βίβλος ἐν μεμβράναις, οὐκ ἐν βαμβακίνοις, οὕτως ὥστε κατὰ τὴν [illegible] τοσαύτης εἶναι τῆς ἀρχαιότητος, ὡς δοκεῖν πλειόνων εἶναι ἢ ἑξακοσίων ἐτῶν, καὶ οὕτω διὰ πολλῶν ἐτῶν πρὸ τοῦ σχίσματος τούτου καὶ τῆς δευτέρας διαιρέσεως. ἔστιν οὖν ἡ βίβλος αὕτη τοσοῦτον ἐστιγμένη, τοσοῦτον διωρθωμένη, τοσοῦτον ἄριστα τεταγμένη, ὥστε μηδεμίαν ἐν ταύτῃ ὑφορᾶσθαι φθορὰν. λέγω τοίνυν, ὅτι κακία τις καὶ φθορὰ οὐ δύναται προσαχθῆναι ταύτῃ τῇ βίβλῳ, πρῶτον, ὅτι οὐδὲν παρὰ Λατίνοις ἐθεωρήθη, πλὴν εἰ μὴ κατὰ τὸ παρόν. θεωρηθήτω τοίνυν αὕτη καὶ ἐξετασθήτω, εἰ ἔστιν ἐν ταύτῃ ξύσμα τι ἢ φθορὰ ἢ ἐπίθεσις χειρός. δεύτερον, ἐπειδήπερ ὁ λόγος ταυτὶ τῆς προ-

αὐθέντου περὶ ἧς λέγετε, οὐ φαίνεται δύνασθαι ἀπονεμηθῆναι Λατίνοις. ὁ δὲ λέγω, ὅτι μέχρι τῆς παρούσης, ἐὰν καὶ μετὰ συγγνώμης λέγοιμι, ἀπὸ τῶν ὑμετέρων ἀρχαιοτάτων συνόδων φαίνεται φανερὸν, ὅτι ἡ κακία αὕτη τοῦ διαφθείρειν τὰς βίβλους, καὶ ἀφαιρεῖν ἀπὸ τῶν βίβλων, ἅτινα ἐποίουν οἱ τῇ πίστει μαχόμενοι, ἐν ἐκείνοις τοῖς μέρεσιν ἐφωράθη. ἀναγινώσκεται γὰρ ἐν ἐκείνῃ τῇ ἐπιστολῇ, ἣν ὁ μακάριος Κύριλλος πρὸς Ἰωάννην Ἀντιοχείας ἔγραψεν, ἧς ἡ ἀρχή· Εὐφρανθήτωσαν οἱ οὐρανοὶ, ἐν τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ἥντινα καὶ προσεδέξατο πᾶσα ἡ ἐν Χαλκηδόνι σύνοδος, οὕτω φησί· Καὶ γὰρ εἴ τις τῶν εἰωθότων διαστρέφειν τὰ ὀρθὰ, τὰς ἐμὰς φωνὰς κατὰ ἀρέσκειαν μετατίθησι, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ἁγιότης, εἰδυῖα ὅτι καὶ πάντες οἱ αἱρετικοὶ ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ τὰ λοιπά. Ἔνθα καὶ τίθησι παράδειγμα περὶ τοῦ Ἀθανασίου, ἀποδεικνὺς ὅτι ἡ ἐπιστολὴ τοῦ Ἀθανασίου πρὸς Ἐπίκτητον ἐφθάρη. τοῦτο αὐτὸ καὶ ὁ μακάριος Κύριλλος γράφων πρὸς Ἀκάκιον ἐν τῇ ἐπιστολῇ, ἧς ἡ ἐπιγραφή· Ἀμοιβαία προσηγορία, ἐν τῷ τέλει αὐτῆς οὑτωσὶ διαλέγεται· Εἰ δὲ ὡς παρ' ἐμοῦ γραφέντα παρά τινων προφέρεται, ὅτι μετεμελήθην περὶ τούτων ἃ ἐν τῇ Ἐφεσίων ἐπράξαμεν, γελάσθητω καὶ τοῦτο· ἐσμὲν γὰρ διὰ τῆς τοῦ θεοῦ χάριτος καὶ λελυμένοι, ἀλλ' οὐδ' ἔξω τοῦ ὀρθοῦ λόγου ἀγόμεθα. Ἀφ' ὧν ῥηθέντων ἔχετε φανερῶς, ὡς ἀεὶ ὁ Κύριλλος ἦν τῆς αὐτῆς γνώμης καὶ ἐν τῇ τρίτῃ συνόδῳ, καὶ ἐν αὐτῇ τῇ ἐπιστολῇ εἰσάγει τινὰ Ἐμίσης ἐπίσκοπον, ὃς ἀνήνεγκε τῷ Κυρίλλῳ τὴν ἐπιστολὴν τοῦ Ἀθανασίου πρὸς Ἐπίκτητον διεφθαρμένην, καὶ ἠρώτα αὐτὸν τὸν Κύριλλον, εἰ ἦν τῆς αὐτῆς πίστεως κατὰ τὴν ἐπιστολὴν ἐκείνην τῷ Ἀθανασίῳ, ὁ δὲ μακάριος Κύριλλος οὕτως ἀπεκρίθη· Εἰ εἶχες τὴν ἐπιστολὴν τοῦ Ἀθανασίου πρὸς Ἐπίκτητον ἀκεραίαν καὶ οὐ διεφθαρμένην, τῆς αὐτῆς γνώμης εἰμὶ τῷ Ἀθανασίῳ. εἶδον αὐτὴν μετὰ τῆς ἐπιστολῆς ἣν ἐταμιεύσατο ὁ Κύριλλος, καὶ ἐφάνη ὅτι ἡ ἐπιστολὴ παντάπασιν ἦν ἀπᾴδουσα τῇ ἐπιστολῇ τοῦ Ἀθανασίου. καὶ ἐν πάσῃ τῇ ἀνατολῇ οὐδαμοῦ εὑρέθη ἡ ἐπιστολὴ τοῦ Ἀθανασίου ἀκεραία καὶ οὐ διεφθαρμένη, πλὴν τῆς οὔσης παρὰ τῷ Κυρίλλῳ, ἣν ὁ Ἐμίσης διεφθάρκατο κατὰ τὴν οὖσαν παρὰ

τῷ Κυρίλλῳ, καὶ ἔπεμψεν ἐκείνῳ διορθωμένον πρὸς Ἰωάννην Ἀντιοχείας. νῦν οὖν οὐ φαίνεται ἄλογον οὐδὲ ἀπεοικός, ὥστε μνησύσας τῆς διαφορᾶς ἢ τῆς διαστάσεως, τοὺς πρώτους ἐκείνους, καθὼς καὶ λογιστέον ἐστὶ τοῦτο, προσλαμβάνοντας τὴν αἰτίαν τῆς διαιρέσεως ἀπὸ τοῦ μέρους τούτου τῆς ἐκπορεύσεως, ὅπερ ἦν ὅμως ἐξ ἀρχῆς τῆς ἡμετέρας πίστεως μέχρι τοῦ τότε καιροῦ, ἐκεῖνο ἐσπουδακέναι, καὶ μεταβαλεῖν τὰ ἐν τῷ χωρίῳ τούτῳ τοῦ Βασιλείου. ὅθεν πιθανῶς πιστεύεται, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐταμιεύσατο τήνδε τὴν βίβλον ἐν αὐτῇ τῇ πόλει τῆς Κωνσταντινουπόλεως, ὥστε μὴ ταύτην εὑρεθῆναι παρὰ τῶν αἰτίων τῆς διαστάσεως· ὅθεν ἐκ τῶν εἰρημένων οὐδεὶς ἕπεται λόγος γεγονέναι τινὰ κακίαν ἢ διαφθορὰν ἐν ταύτῃ τῇ βίβλῳ. πρὸς τούτοις ἐπειδὴ καὶ ὑμεῖς καὶ ἡμεῖς συνήλθομεν ἐφ' ᾧ συνδιασκέψασθαι καὶ νοῆσαι τὴν ἀλήθειαν, ἐκ τῆς πρὸς ἀλλήλους ἀγάπης καὶ τῆς καλῆς διανοίας ὀφείλομεν ἀλλήλοις κοινωνεῖν τὰ βιβλία. ἐπειδὴ δὲ τὸ πρᾶγμά ἐστι μεγάλης ὁλκῆς, εἴ τις παρ' ὑμῖν ἔχει τὴν βίβλον τοῦ Βασιλείου ἀρχαιοτάτην, προκομισάτω, καὶ τότε σαφῶς σκεψόμεθα· δεύτερον θεωρηθήτωσαν τὰ ἀκόλουθα. συμπεραίνεται τοίνυν, ὡς ὁ Βασίλειος ἠβουλήθη καὶ τοῦτο ἐκ τῶν ἑπομένων ταύτης, ἃ κατὰ τὸ παρὸν οὐ λέγομεν διὰ τὴν μέμψιν.

Ὁ ἘΦΕΣΟΥ. Ὅτι μὲν καὶ ἡμῖν εὑρίσκεται τὸ βιβλίον τοῦτο παρηλλαγμένον, καὶ τὴν προσθήκην ταύτην ἔχον, ἣν ὑμεῖς προενέγκατε, καὶ ἡμεῖς ὡμολογήσαμεν πρότερον· καὶ διὰ τοῦτο οὐδὲν θαυμαστὸν, εἰ ἐξ ἐκείνων τῶν εὑρισκομένων βιβλίων ἐνταῦθα μετεκομίσθη. φαίνεται δὲ μᾶλλον ἐκ τούτων, ὅτι ἡμεῖς προενήγκαμεν τὴν προσθήκην ταύτην. εἰ γὰρ ἡμεῖς ἐποιήσαμεν, ἠδυνάμεθα ἂν ἀφανίσαι τὰ βιβλία, ὀλίγα ὄντα καὶ εὐαρίθμητα· ἀλλ' ἁπλότητι χρώμενοι, καὶ τῇ ἀληθείᾳ θαρροῦντες ἀφήκαμεν σώζεσθαι τὰς τὴν ἐναντίαν ἐχούσας βίβλους· ἐξ ὧν εἰκὸς μίαν εἶναι καὶ ταύτην ἐξενεχθεῖσαν ἐκεῖθεν ἐνταῦθα, γραφεῖσαν δὲ παρά τινων, οὓς εἰκὸς τὸ ὑμέτερον δόγμα φρονεῖν ἐν ἐκείνοις τοῖς μέρεσι· καὶ τοῦτο θαυμαστὸν οὐδὲν, ἐπεὶ καὶ ἐνταῦθα πολλοὺς εἰκὸς τὸ ἡμέτερον δόγμα φρονεῖν· ἐπειδὴ οὕτω φρονοῦσιν ὡς οἱ πατέρες αὐτῶν. Ὅτι δὲ πολλάκις ἐγένετο διαφθορὰ βιβλίων ἐν ἐκείνοις τοῖς μέρεσιν ὑπό τινων αἱρετικῶν καὶ καινότερα δόγματα εἰσαγόντων τῇ τοῦ θεοῦ ἐκκλη-

σία, καὶ τοῦτο ὁμολογοῦμεν, καὶ τὰς χρήσεις ταύτας ἃς αὐτὸς παρήγαγες. ἀλλὰ παρ' ἡμῖν γινώσκεις ὡς ἐγένετο κατ' ἀρχὰς ἐν τοῖς καιροῖς τοῦ πάπα Ζωσίμου προκομιδὴ τῶν ἐν Νικαίᾳ πατέρων πρὸς τὴν ἐν Καρθαγένῃ σύνοδον. ἔγραψε γὰρ ὁ πάπας Ζώσιμος πρὸς τὴν ἐν Καρθαγένῃ σύνοδον, ὅτι ἡ ἐν Νικαίᾳ σύνοδος ἐν τοῖς ἰδίοις κανόσιν ἔδωκε τὴν ἔκκλητον τῆς οἰκουμένης τῷ πάπᾳ τῆς Ῥώμης· ἀπέστειλε καὶ κανόνα διαγορεύοντα περὶ τούτου, ὡς δῆθεν τῆς ἐν Νικαίᾳ συνόδου. τοῦτον τὸν κανόνα μὴ γνωρίσαντες οἱ τῆς ἐν Καρθαγένῃ συνόδου, οὐκ ἐδέξαντο ῥᾳδίως, ἀλλ' εἶπον ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον ἔχομεν ἐν τοῖς κανόσι τῆς ἐν Νικαίᾳ συνόδου· καὶ διὰ τοῦτο ζητήσομεν τὰ αὐθεντικὰ, τουτέστι τὰ πρωτότυπα τῆς ἐν Νικαίᾳ συνόδου παρὰ τῶν τῆς ἀνατολῆς ἀρχιερέων, ἤτοι τοῦ Ἀλεξανδρείας Κυρίλλου, καὶ τοῦ τῆς Κωνσταντινουπόλεως μακαρίου Πρόκλου, ταῦτα τὰ αὐθεντικὰ ζητηθέντα δι' ἐπιστολῆς παρὰ τῶν εἰρημένων ἀρχιερέων, καὶ διαπεμφθέντα πρὸς αὐτῶν ἐν τῇ ἐν Καρθαγένῃ συνόδῳ, εὑρέθησαν οὐδαμῶς ἔχοντα τὸν κανόνα, ὃν ὁ πάπας προέφερε. καὶ διὰ τοῦτο ἔγραψαν αὐτῷ μὴ ζητεῖν αὐτῷ τὴν τοιαύτην ἔκκλητον, τὴν μὴ δεδομένην παρὰ τῆς οἰκουμενικῆς συνόδου. βλέπεις ὅτι ὁ πάπας ἐκεῖνος κανόνα προήγαγε μὴ ὄντα τῆς συνόδου ἐκείνης, καὶ ταῦτα πρὸς τὴν σύνοδον γράφων ὑπὲρ τοῦ τοιούτου μεγάλου πράγματος; θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ παρ' ἡμῖν ὀλίγοι τινὲς διέφθειραν τὰ βιβλία, βουλόμενοι συνιστᾶν τὸ ἑαυτῶν θέλημα ἢ τὴν καινοτομίαν τοῦ δόγματος. ὅμως ἐν τῇ χρήσει τοῦ μεγάλου Βασιλείου καὶ ἡ ἀρχαιότης καὶ τὸ πλῆθος τῶν παρ' ἡμῖν βιβλίων τὴν νίκην ἡμῖν δίδωσι, καὶ αὐτὸ τοῦτο τὸ ἐάσαι τὰς ὀλίγας καὶ διεφθαρμένας βίβλους, καὶ μηδαμῶς ἀφανίσαι ταύτας, καίτοι γε δυνατὸν ὂν διὰ τὴν ὀλιγότητα, φαίνεται ὅτι θαῤῥοῦντες τῇ ἀληθείᾳ καὶ ταῖς ἑτέραις φωναῖς τοῦ πατρὸς ἡμῶν Βασιλείου, ταύτας εἰάσαμεν οὕτω κεῖσθαι ἐν τοῖς βιβλίοις, ὡς ἔγραψαν ἐξ ἀρχῆς οἱ γράψαντες. οὐκ ἄρα τῶν παρ' ἡμῖν ἴδιον τὸ διαφθείρειν τὰς βίβλους.

Μετὰ τοῦτο ἀνεγνώσθη κατ' Εὐνομίου τρίτος λόγος τοῦ μεγάλου Βασιλείου ἐν ἡμετέρῳ βιβλίῳ, μεθ' ὃ ἐπήγαγε ταῦτα ὁ Ἐφέσου.

Ἐν τούτῳ τῷ μέρει πρῶτον αἰτιασάμενος τὸν Εὐνόμιον ὁ μέγας Βασίλειος, ὡς τολμηρόν τε καὶ καινοτόμον, καὶ ἀνατιθέντα τὰ μὴ

παρ' αὐτῶν εἰρημένα, μετὰ ταῦτα συγχωρεῖ καθ' ὑπόθεσιν, ὅτι εἰ τρίτον ἐστὶ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐκ ἐξ ἀνάγκης καὶ τρίτον τῇ φύσει φαίνεται· τοῦτο γὰρ ἐφεξῆς ἐπάγει. ἡ μὲν οὖν ἔνστασις οὕτως ἔχει· τὸν Εὐνόμιον ἀνατρέπει λέγοντα τὴν τῶν ἁγίων φυλάσσειν διδασκαλίαν, ἀτιμάζοντα δὲ τὴν τῶν ἁγίων διδασκαλίαν. τίνες δὲ οἱ ἅγιοι καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, οὔ φησιν. ἆρα γέγονεν οὕτω τολμηρὸς ἄνθρωπος τὰς τῶν θείων δογμάτων καινοτομίας εἰσηγούμενος; ἐν τούτοις ὁ μέγας Βασίλειος φαίνεται καθαρῶς μηδ' ὅλως παραδεχόμενος, μηδὲ τῶν ἁγίων διδασκαλίαν ἡγούμενος, τὸ τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. μετὰ δὲ ταῦτα τοῦτο συγχωρῶν καθ' ὑπόθεσιν, ἐπιφέρει κατὰ τὴν ἀντιπαράστασιν οὕτω· Τίς γὰρ ἀνάγκη, εἰ καὶ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ πνεῦμα τὸ ἅγιον, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; ἀξιώματι γὰρ δευτερεύειν τοῦ υἱοῦ, ὁ τῆς εὐσεβείας ἴσως παραδίδωσι λόγος· οὕτω γὰρ τὸ ἡμέτερον ἔχει βιβλίον, οὕτως ἀρχαιότατον ὡς ὑμεῖς βλέπετε. καὶ τοῦτο σύμφωνον τοῖς προειρημένοις ἐστίν. ἐπειδὴ γὰρ οὐδ' ὅλως κατεδέξατο τὸ τρίτον εἶναι τῷ ἀξιώματι καὶ τῇ τάξει τὸ πνεῦμα τὸ ἅγιον, οὐδὲ τῶν ἁγίων διδασκαλίαν ἐνόμισεν, ἀλλὰ καθ' ὑπόθεσιν τοῦτο δέδωκε, πῶς ἔμελλεν αἰτιολογεῖν καὶ λέγειν, ὅτι διὰ τοῦτο δεύτερόν ἐστι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ὅτι παρ' αὐτοῦ τὸ εἶναι ἔχει; οὗπερ οὐ παρεδέξατο πρότερον τὰς αἰτίας ἀποδιδόναι, τούτου πῶς ἔμελλε διδάσκαλος εἶναι; ἀνακόλουθος ἄρα ἐστὶν ἡ προσθήκη καὶ τοῖς πρότερον εἰρημένοις, καὶ τῷ τοῦ μεγάλου Βασιλείου σκοπῷ. τοῦτο δὲ μᾶλλον ἀκόλουθον, ὅπερ ἐν τῷ παρ' ἡμῖν βιβλίῳ κεῖται, ὅπερ μετὰ τῆς προσθήκης τοῦ Ἴσως, τοῦτο δίδωσι κατὰ συγχώρησιν· καὶ ἐφεξῆς ὑποκατιὼν, ἵν' ὅλως καὶ συγχωρήσωμεν, λέγει· καὶ ἔτι μετὰ τὸ τὰ παραδείγματα τῶν ἀγγέλων εἰπεῖν, οὕτως ἐν τῷ παρ' ἡμῖν βιβλίῳ λέγει· οὐκ οἶδα δὲ εἰ καὶ ἐν τῷ ὑμετέρῳ αὐτὸ κεῖται· καὶ ἐνταῦθα γὰρ μετὰ ἀμφιβολίας καὶ συγχωρήσεως φαίνεται, ὅτι εἰ καὶ τρίτον ὑπάρχει τῷ ἀξιώματι καὶ τῇ τάξει· οὕτω γὰρ ἐν τῷ βιβλίῳ κεῖται. πῶς οὖν ὁ μέγας Βασίλειος εἶπε ταῦτα, ὃς κατὰ συγχώρησιν δέδωκε τρίτον εἶναι τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον, καὶ τοῦ υἱοῦ δεύτερον; ἀφ' ἑαυτοῦ γὰρ τοῦτο. καθάπαξ ἐπηγόρευσε,

καὶ ἀλλότριον τῆς τῶν ἁγίων πατέρων διδασκαλίας ἡγήσατο. ὅτι δὲ ταύτην τὴν διάνοιαν οὐκ εἶχεν ὁ μέγας Βασίλειος, οὐδὲ ἐφρόνει τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ ἐξ αὐτοῦ λαμβάνειν τὸ εἶναι, μάρτυς ὑμῖν οὐκ ἄλλος, αὐτὸς ἑαυτοῦ, γράφων ἐν τῇ πρὸς τὸν ἀδελφὸν Γρηγόριον ἐπιστολῇ περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως ταῦτα. ἐκ τοῦ ῥηθησομένου ῥητοῦ καθαρῶς ἀναφανήσεται ἡ τοῦ μεγάλου Βασιλείου διάνοια, καὶ ἥντινα δόξαν εἶχε περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος. λέγει γὰρ οὕτως ἐν τῇ ῥηθείσῃ ἐπιστολῇ· Ἐπειδὴ τὸ πνεῦμα τὸ ἅγιον, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται, τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος ἔχει, τὸ μετὰ τὸν υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ ἐκ τοῦ πατρὸς ὑφεστάναι. ὁ δὲ υἱὸς ὁ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα δι' ἑαυτοῦ γνωρίζων καὶ μεθ' ἑαυτοῦ, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου πατρὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων ἔχει τὴν κοινωνίαν πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις γνωρίζεται. Ἐν τῷ ῥητῷ τούτῳ σαφῶς ὁ μέγας Βασίλειος ἐκ τοῦ πατρὸς μόνου δογματίζει εἶναι τὸ πνεῦμα τὸ ἅγιον. λέγει γὰρ οὕτως· Τὸ πνεῦμα τὸ ἅγιον τοῦ υἱοῦ μὲν ἤρτηται, τουτέστι μετὰ τὸν υἱὸν τέτακται, καὶ τούτου τὴν αἰτίαν ἀποδιδοὺς οὐκ εἶπεν, ἐξ αὐτοῦ ἐκπορεύεται, ἢ ἐξ αὐτοῦ τὸ εἶναι ἔχει, ὡς ἡ παρ' ὑμῶν χρῆσις βούλεται, ἀλλ' ὅτι σὺν αὐτῷ ἀδιαστάτως καταλαμβάνεται, ἐκ τοῦ πατρὸς προϊὸν δηλονότι. καὶ ἐφεξῆς ἐπάγει τῷ μαθηματικῷ σχήματι διαιρῶν τὸν λόγον· Τῆς δὲ τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται. βλέπεις ὅτι ἐνταῦθα τῷ πατρὶ δίδωσι καὶ τῇ αὐτοῦ αἰτίᾳ τὸ ἐξημμένον εἶναι τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἂν οὖν ἐν τῷ ῥητῷ τούτῳ ἐναντία εἶπεν ἂν ἑαυτῷ. ὁ γὰρ μερισμὸς οὐκ ἐᾷ τοῦτο καὶ τῷ υἱῷ δοθῆναι· δέδωκε γὰρ ἐκείνῳ γνωριστικὸν σημεῖον, τὸ σὺν αὐτῷ ἀδιαστάτως καταλαμβάνεσθαι. πάλιν ἐφεξῆς φησιν· Ὁ δὲ υἱὸς ὁ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, οὐκ εἶπεν· αὐτὸ προβάλλων, ἀλλὰ γνωρίζων τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τουτέστι, μεθ' ἑαυτοῦ φανερῶν. εἶτά φησι, μόνος

μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψαντα τὸν υἱὸν, οὐδεμίαν ἔχειν κοινωνίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων πρὸς τὸν πατέρα ἢ πρὸς τὸ πνεῦμα. οὐκ ἄρα οὐδεμίαν ἔχει πρὸς τὴν τοῦ πατρὸς προβολὴν κοινωνίαν, ἥτις ἰδίως τῷ πατρὶ ἀποδίδοται· ἀλλὰ τοῖς σημείοις, φησὶ, γνωρίζεται μόνοις τούτοις, καὶ οὐκ ἄλλοις, ὅτι μόνος μονογενῶς ἐξέλαμψεν ἐκ τοῦ ἀγεννήτου πατρὸς, ὅτι μεθ' ἑαυτοῦ καὶ δι' ἑαυτοῦ γνωρίζει τὸ πνεῦμα τὸ ἅγιον. εἰ τοίνυν μόνοις τούτοις γνωρίζεται καὶ οὐκ ἄλλοις, οὐκ ἄρα κοινωνεῖ τῇ ἐκπορεύσει τοῦ ἁγίου πνεύματος, ἥτις ἰδίως τῷ πατρὶ μόνῳ ἀποδίδοται.

Ὁ ἸΩΑΝΝΗΣ. Πολλὰ εἴρηται παρὰ σοῦ, πάτερ αἰδεσιμώτατε, ἅπερ ἴσως καὶ ἐλάττοσι λόγοις ἠδύναντο ἂν ῥηθῆναι. καὶ γὰρ εἰ θέλομεν ἐλθεῖν ἐπὶ τὴν τοῦ πράγματος ἀλήθειαν, ἐπειδὴ αὐτὴ ἡ ἀλήθεια ὀλίγοις ἀρκεῖται, οὐκ ἂν ὤφειλον οἱ ἡμέτεροι λόγοι ἄλλοι εἶναι, ἢ γνῶμαι καὶ μαρτυρίαι τῶν ἁγίων. οὕτω τοιγαροῦν ἀπολογούμενος διὰ βραχέων πρὸς ἃ εἴρηκας, πρὸς δύο, ἅπερ προήνεγκας τῆς χρήσεως οὑτωσὶ ἀποκρίνομαι. πρῶτον εἶπες, ὅτι ἡ προαχθεῖσα βίβλος αὕτη ἠδυνήθη διαφθαρῆναι μετὰ τοὺς χρόνους παρά τινος τῶν φρονούντων τὸ ἡμέτερον δόγμα. τοῦτο δὴ τὸν τρόπον τοῦτον ἀνατρέπεται· ἐπειδὴ τῷ καιρῷ ἐκείνῳ, ἐν ᾧ ἡ βίβλος αὕτη ἐγράφη, ὡς φανερῶς ὁρᾶται ἀπὸ τῆς ἐπισημότητος τῆς βίβλου ταύτης, κατ' ἐκεῖνον τὸν καιρὸν οὐδεμία ἦν διαφορὰ μεταξὺ Γραικῶν καὶ Λατίνων. δεύτερον, οὐ λέγεται τοῦτο παρ' ἐμοῦ, ὡς οἱ πατέρες οὗτοι κατὰ τὸν παρόντα καιρὸν, ἢ οἱ πρὸ αὐτῶν ὀλίγον γενόμενοι ὤφειλον διαφθεῖραι ταύτας τὰς βίβλους, ἀλλὰ λέγομεν περὶ τῶν ἀρχηγῶν τῆς διαστάσεως ταύτης. ἐπειδὴ γὰρ ἑώρων πάντες οἵ τε Γραικοὶ καὶ Λατῖνοι κρατοῦντες τὸ φρόνημα, καθὼς ἀποδειχθήσεται παρὰ πολλῶν μαρτυριῶν δι' ὑμετέρων βίβλων, οὐκ ἔσχον κρείττονα ὁδὸν τοῦ ἑαυτῶν τούτου δόγματος, ἢ τὸ διαφθεῖραι τὰς βίβλους ἐκείνας, τὰς κατὰ τὸν καιρὸν ἐκεῖνον εὑρισκομένας περὶ ταύτην τὴν ὕλην. πρὸς δὲ τὸ δεύτερον λέγω οὕτως. προεκόμισας τὸν Ζώσιμον πάπαν, ὃς ἔπεμψε κανόνας τινὰς τῆς ἐν Νικαίᾳ συνόδου πρὸς τὴν ἐν Καρθαγένῃ σύνοδον, βουλόμενος ἐπαγαγεῖν, ὡς ὁ Ζώσιμος ἔπεμψε κανόνας διεφθαρμένους, τεθεὶς κανόνας τινὰς περὶ τῆς ἐκκλήτου, ὃς οὐχ εὑρίσκεται ἐν τοῖς κανόσι τῆς ἐν Νικαίᾳ συνόδου. ὅτι δὲ διαφθορὰν

ταύτην ἐκεῖνος ὁ Ζώσιμος ἐποίησεν, οὐδεμίαν ἡμῖν ἀξιολόγου καὶ αὐθεντικοῦ μάρτυρος προεκόμισε μαρτυρίαν· ἐγὼ δὲ προεκόμισα δύο μάρτυρας ἀξιολόγους ἐν δυσὶν ἐπιστολαῖς τοῦ ἁγίου Κυρίλλου, ὧν τὴν ἑτέραν προσεδέξατο ἡ ἐν Καλχηδόνι ἅπασα σύνοδος. ὅθεν σεμνὸν ἂν εἴη, εἰ τοιαῦτά τινα ἐπαγαγεῖν βούλει, μὴ λέγειν παρὰ σεαυτοῦ, ἀλλὰ προφέρειν μαρτυρίας τῶν διδασκάλων. ὀφείλεις γὰρ λίαν καλῶς μεμνῆσθαι, ὅτι ὁ αἰδεσιμώτατος κύριος τῆς ἁγίας Σαβίνης ὁ ἐνταῦθα προεκόμισεν ὑμῖν ἀρχαιοτάτην καὶ αὐθεντικωτάτην ἐπιστολὴν Ἰουλίου πάπα, Λιβερίου πάπα. καὶ ὅπως ὁ μακάριος Ἀθανάσιος ἐν τῷ διωγμῷ ἐκείνῳ, ὃν ἠνέσχετο παρὰ τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἥτις ἐκείνου κατεψηφίσατο, γράφων πρὸς Φήλικα πάπαν, καὶ Μάρκον, καὶ πρὸς Ἰούλιον, καὶ Λιβέριον, ἐπειδὴ οἱ τέσσαρες ἐγένοντο κατὰ τὸν καιρὸν τοῦ Ἀθανασίου, ὁ αὐτὸς ἱκέτευσε τοὺς ἀρχιερεῖς τούτους, ὡς ἐπειδήπερ εἶχον τὰς πράξεις τῆς ἐν Νικαίᾳ συνόδου ἀκεραίας ἐν τῇ αὐλῇ τῇ Ῥωμαϊκῇ, ταύτας πρὸς αὐτὸν ἀποστείλωσιν, ἐπειδὴ ἐν πάσῃ τῇ ἑῴᾳ παρὰ τῶν Ἀρειανῶν τῶν ἐπικειμένων ἐφθάρησαν. τότε ἀντέγραψαν οἱ ἀρχιερεῖς ἐκεῖνοι τῷ Ἀθανασίῳ, ὡς εἶχον ἐν τῷ πατριαρχείῳ τῷ Ῥωμαϊκῷ τὰς πράξεις κατὰ τὸ ἀκέραιον ῥωμαϊκῶς καὶ ἑλληνικῶς, μετὰ σφραγίδων καὶ ὑπογραφῶν τῶν γενομένων ἐν Νικαίᾳ πατέρων· καὶ ὅτι τὰς πράξεις καὶ τοὺς κανόνας ἐτήρουν μετὰ μεγάλης αἰδοῦς· καὶ ὡς οὐκ ἐβούλοντο πέμψαι τὰ πρωτότυπα· καὶ ὡς ἔμελλον πέμψειν τινὰ κεφάλαια τὰ τότε ὄντα ἀναγκαῖα ἐκείνῳ. διὰ τοῦτο, ἐπειδὴ ἐξεκάλεσεν ὁ Ἀθανάσιος τὴν ἐν Ἀντιοχείᾳ σύνοδον εἰς τὸν Ῥωμαϊκὸν θρόνον, οἱ αἱρετικοὶ ἀντέφερον ἐκείνῳ, ὡς οὐκ ἐδύνατο εἰς τὴν Ῥωμαϊκὴν ἐκκλησίαν ἐκκαλέσαι τὴν ἀπόφασιν τῆς ἐν Ἀντιοχείᾳ συνόδου. καὶ ὥστε δύνασθαι ἀποδεῖξαι διὰ τῶν κανόνων τῶν ἐν Νικαίᾳ, ὅτι δυνάμει * ἀρίστας ἐκείνας ἐκάλεσε, πέμπει ὁ Λιβέριος τῷ Ἀθανασίῳ τῆς ἐν Νικαίᾳ συνόδου κανόνας, οἵτινες ἠριθμήθησαν ἐν φεβρουαρίῳ· ἐν οἷς ἐστι κανών, ὡς ἡ ἔκκλητος ἦν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ· καὶ τοῦτο ὑπεραπελογήσατο τοῦ Ἀθανασίου. καὶ διὰ τοῦτο Ἰούλιος πάπας ἀποκρινόμενος τοῖς ἐν Ἀντιοχείᾳ ποιήσασι τὴν σύνοδον, λίαν δριμέως ἐπιλαμβάνεται ἐκείνων διὰ τὴν [illegible] θρασύτητα, ὡς ἐτόλμησαν συνανέσαι * χωρὶς συναινέσεως τῆς ἀποστολικῆς καθέδρας, δεικνύων αὐτοῖς ἀπὸ τῆς ἐν Νικαίᾳ συνόδου, ὡς οὐδεμία ἔσται ποτὲ ἐστη-

* ἴσ. ἀρίστη ἐκείνην ἐξεκάλεσε.

* ἴσ. συνελθεῖν.

ριγμένη καὶ βεβαία σύνοδος, ἡ μὲν στηριχθεῖσα τῇ αὐθεντίᾳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας. τίνα οὖν τρόπον λέγεις, ὡς ὁ Ζώσιμος ἔφθειρε κανόνα, καὶ ἔπεμψε μὲν πρότερον ὄντα ἐν τοῖς τῆς ἐν Νικαίᾳ συνόδου κανόσι; λέγω οὖν, ὡς οἱ ἐν Καρθαγένῃ ᾔδεσαν τοὺς κανόνας διεφθαρμένους εἶναι κατὰ πᾶσαν τὴν ἀνατολήν· καὶ εἰ ἐπέμφθησαν, πάντως ἐπέμφθησαν ἀπὸ τῆς ἀνατολῆς. ἐπεὶ τοιαῦται τῶν ἁγίων πατέρων καὶ οὕτως ἐναργέσταται μαρτυρίαι, καὶ δυνάμεθα δεῖξαι τὰς βίβλους, ἃς ἔχομεν παρ' ἡμῖν. Τούτῳ τῷ ἀξιώματι ἀπὸ τῶν ῥημάτων, ἃ προήγαγες ἐξηγούμενος τὰ εἰρημένα τῷ Βασιλείῳ οὐκ ἔστι θαυμαστὸν, εἰ πολλὰ φαίνονται ἄτοπα ἐκείνων, ἃ εἶπες· ἐπειδὴ ἵδρυσας τὴν σὴν ἐξήγησιν ἐπὶ τῷ διεφθαρμένῳ ῥητῷ. καὶ ἐπειδὴ ἐν τῇ φιλοσοφίᾳ εὑρίσκεται, ὅτι μικρὰ πλάνη ἐν ταῖς διαλέξεσι μεγάλην βλάβην ἐμποιεῖ, πολλὰ καὶ αὐτὸς τὰ ἄτοπα ἐκ διεφθαρμένων ἀρχῶν συνήγαγες. εἰς σύνεσιν οὖν τῆς ἀληθείας καλόν ἐστιν ἡμᾶς συσφίγξαι εἰς δύο. πρῶτον εἶπες, ὅτι ἐξήρτηται τοῦ υἱοῦ, ἀλλ' ὅμως ὁ υἱὸς οὐκ ἔστιν αἰτία τοῦ ἁγίου πνεύματος, ἀλλ' ὁ πατήρ. δεύτερον ἔδοξας εἰρηκέναι, ὅτι οὐ φαίνεται τὸ πνεῦμα τὸ ἅγιον τοιαύτην ἔχον φύσιν καὶ τάξιν πρὸς τὸν υἱὸν, οἵαν ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα. διὰ τοῦτο ἐρῶ ἀναγκαῖά τινα. ἐρωτῶ σε, τίνα διαφορὰν ποιεῖς τοῦ ἐξηρτῆσθαι, καὶ τοῦ ἔχειν αἰτίαν τοῦ εἶναι· καὶ τίνα διαφορὰν νοεῖς τοῦ εἶναί τι αἰτίαν τινὸς, καὶ τοῦ ἐξῆφθαι ἑτέρου. ἐπειδὴ παρ' ἡμῖν τὸ ἀποτέλεσμα ἤρτηται, καὶ τὸ ἐξηρτημένον φαίνεται κατ' αἰτίαν ἐξηρτῆσθαι. νῦν οὖν ἐπὶ τῶν θείων οὐ τίθεται ἀποτέλεσμα, ἐπειδὴ οὐδ' ἔχομεν τοῦτο ἡμεῖς οἱ Λατῖνοι, οὐδ' εὕρομεν τοὺς ἡμετέρους διδασκάλους οὕτω ποτὲ εἰρηκότας. λέγομεν οὖν τὸν υἱὸν ἀρχὴν ἐξ ἀρχῆς, καθὼς καὶ θεὸν ἐκ θεοῦ, ἐφ' ὅσον ὁ πατήρ ἐστιν ἀρχή. κατὰ τὸν τρόπον τῆς ὁμιλίας τοῦ μεγάλου Βασιλείου, οὐ μόνον ἐν τῷ προκομισθέντι βιβλίῳ ἀλλὰ καὶ ἐν ἄλλοις χωρίοις, ὡς ἀποδέδεικται, ὁ αὐτὸς ἀποδείκνυσιν, ὅτι τοῦτον τὸν τρόπον ἔχει τὸ πνεῦμα πρὸς τὸν υἱὸν καὶ ἐξήρτηται τούτου, καθ' ὃν καὶ ὁ υἱὸς πρὸς τὸν πατέρα, καὶ ὁ υἱὸς ἐξήρτηται τοῦ πατρός· διασάφησον τὴν διάνοιαν, τί ποτ' ἂν εἴη τό Ἐξηρτῆσθαί τινος, καὶ τό Οὐ ἐξήρτηται τὸ εἶναι ἐκείνου.

Ὁ ἘΦΕΣΟΥ. Πρὸς μὲν τὰ πρῶτα τῶν παρὰ σοῦ εἰρημένων, ὅτι τὴν μαρτυρίαν περὶ τοῦ Ζωσίμου πάνυ οὐ παρηγάγομεν, τοῦτο

εἰπεῖν βούλομαι· τὴν μαρτυρίαν ταύτην οὐ παράγομεν, οὐχ ὡς οὐκ ἔχοντες ἢ μὴ δυνάμενοι παραγαγεῖν· ἔχομεν γὰρ καὶ ῥᾳδίως παραγαγεῖν ἐξ αὐτῶν τῶν παρ' ὑμῖν εὑρισκομένων βιβλίων· ἡμεῖς γὰρ ἐνταῦθα ὀλίγας βίβλους ἠνέγκαμεν· ἀλλ' εὑρίσκεται ἡ βίβλος ἀπὸ τῆς Κωνσταντινουπόλεως, καὶ ἐγνωρίσαμεν ὅτι γνώριμά εἰσι καὶ ὑμῖν τὰ παρ' ἡμῶν λεγόμενα.

Ὁ ἸΩΑΝΝΗΣ. Ποῖόν ἐστι τὸ βιβλίον;

Ὁ ἘΦΕΣΟΥ. Τὸ βιβλίον τῶν κανόνων τῶν συνόδων.

Ὁ ἸΩΑΝΝΗΣ. Οὐδέποτε εὑρεθήσεται παρὰ τοῖς Λατίνοις τὸν Ζώσιμον πάπαν πεποιηκέναι τὴν φθορὰν ταύτην. ἀλλὰ τοῦτο ἐάσωμεν· δεῖται γὰρ ἐξετάσεως.

Ὁ ἘΦΕΣΟΥ. Στέργομεν τοῦτο, διὰ τὸ μὴ εἶναι τοῦ παρόντος καιροῦ τὸ ζήτημα τοῦτο.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀπολόγησαι λοιπὸν εἰς τὰ ἕτερα, εἰ βούλει.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς πρὸς τοῦτο λέγομεν, ὅτι ὁ μέγας Βασίλειος ἐξηγούμενος ἑαυτὸν τί τὸ Ἠρτῆσθαι βούλεται, λέγει, ὅτι ἐξήρτηται τοῦ υἱοῦ, τουτέστιν, αὐτῷ συντέτακται, καὶ σὺν αὐτῷ ἀδιαστάτως καταλαμβάνεται. τὰ συναριθμούμενα οὐ δύναται κατὰ ταὐτὸν μιᾷ καὶ τῇ αὐτῇ φωνῇ συναριθμηθῆναι, ἀλλ' ἀνάγκη καὶ ἐν τῇ ἀριθμήσει προτετάχθαι τοῦ ἑτέρου τὸ ἕτερον. εἰ τοίνυν καὶ τὸ πνεῦμα τὸ ἅγιον συντέτακται τῷ υἱῷ, τουτέστι σὺν αὐτῷ, τοῦτο γὰρ ἀδύνατον ἄλλως ἔχειν, ἀλλ' οὐχ ὡς ἐξ αὐτοῦ τὴν αἰτίαν ἔχον, τοῦτο γὰρ οὐδαμῶς ἐπήγαγεν· ἀλλ' ἤρτηται φησὶν αὐτοῦ, τουτέστι, συντέτακται, καὶ ὡς σὺν αὐτῷ ἀδιαστάτως καταλαμβανόμενον. τοῦτό φησιν ὁ μέγας Βασίλειος. σὺ δὲ πόθεν νοεῖς, ὅτι τὸ ἠρτημένον τινὸς κατὰ πᾶσαν ἀνάγκην καὶ ἐξ αὐτοῦ τὴν αἰτίαν ἔχει; πρὸς γὰρ τὸ ῥητὸν τοῦτο ἡμεῖς οὐ δεόμεθα ἄλλου τινὸς ἐξηγητοῦ, πλὴν αὐτοῦ τοῦ ἐπαγαγόντος τὴν αἰτίαν τοῦ ἠρτῆσθαι, ὅτι σὺν αὐτῷ ἀδιαστάτως καταλαμβάνεται.

Ὁ ἸΩΑΝΝΗΣ. Λοιπὸν τὸ Ἐξηρτῆσθαι κατὰ τὸν σκοπὸν τοῦ Βασιλείου καὶ κατὰ τὴν ἐξήγησιν τὴν αὐτοῦ οὐδὲν ἄλλο ἐστὶ, πλὴν ὅτι τὸ πνεῦμα τέτακται πρὸς τὸν υἱόν. τίς ἐστιν οὖν ἡ τάξις τοῦ πνεύματος πρὸς τὸν υἱόν; ἐρωτῶ, εἴπερ ἡ τάξις ἐστὶ προκαταρκτικὴ ἢ προκάταρξις.

Ὁ ἘΦΕΣΟΥ. Οὐ λέγω ὅτι τέτακται πρὸς τὸν υἱόν, ἀλλ' ὅτι

τέτακται μετὰ τὸν υἱόν. καὶ ἐν τῇ συναριθμήσει τῆς τάξεως σωζομένης, ἀνάγκη ἀριθμεῖσθαι μετὰ τὸν πατέρα τὸν υἱόν, καὶ μετὰ τὸν υἱὸν τὸ πνεῦμα.

Ὁ ἸΩΑΝΝΗΣ. Ὥστε ἡ τάξις αὕτη οὐδέν ἐστιν; ἀλλ' ἡ τάξις κατὰ τὴν ἀρίθμησιν τῆς φωνῆς ἐστι ἀπὸ τοῦ μέρους τοῦ πράγματος, ὑπεξαιρομένης τῆς φωνῆς τῆς ἡμετέρας δι' ἧς ἀριθμοῦμεν, οὐδεμία θεωρεῖται τάξις;

Ὁ ἘΦΕΣΟΥ. Ἔστι μὲν ἀνάγκη καὶ κατά τι τετάχθαι τὰ θεῖα πρόσωπα· οὐδὲ γὰρ ἂν ἄλλως ἀριθμηθείη, μὴ τάξεώς τινος σωζομένης. ἔστι δὲ καὶ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἣν ἐνταῦθά φησιν ὁ μέγας Βασίλειος, ὅτι ὁ υἱὸς μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, μετ' αὐτὸν ὀφείλει ἀριθμεῖσθαι, ὡς μονογενὴς δηλονότι πρὸς τὸν πατέρα. καὶ κατὰ τοῦτο τρίτον ὀφείλει ἀριθμεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μὴ προταττόμενον τοῦ υἱοῦ, καὶ ἀναφερόμενον πρὸς τὸν πατέρα ἀμέσως, δόξῃ καὶ αὐτὸ υἱὸς εἶναι. διὰ τοῦτο ὅτι προσεχῶς ἀριθμεῖται τῷ υἱῷ μετὰ τὸν πατέρα, τρίτον συναριθμεῖται τὸ πνεῦμα τὸ ἅγιον. καὶ αὕτη ἐστὶν ἐν τοῖς θείοις προσώποις ἡ τάξις, ἄλλην δὲ παρὰ τῶν θεολόγων οὐδεμίαν λαβόντες ἔχομεν.

Ὁ ἸΩΑΝΝΗΣ. Λέγεις ὅτι ἀπὸ τοῦ σκοποῦ τοῦ θείου Βασιλείου αὕτη ἐστὶ τάξις φύσεως, δηλονότι τοῦ ἁγίου πνεύματος πρὸς τὸν υἱόν. δεῖ τοιγαροῦν νοεῖν τὴν τάξιν ταύτην τῆς φύσεως μεταξὺ τοῦ υἱοῦ καὶ πατρός. ἆρά ἐστιν ἄλλη τάξις πλὴν τῆς τάξεως τῆς φύσεως; καὶ γὰρ ἡ τάξις ἐκείνη τοῦ ἁγίου πνεύματος πρὸς τὸν υἱὸν κατά σε ἐπὶ τῷ ἠρτῆσθαι οὐκ ἐπιφέρει τὴν αἰτίαν κατὰ σε. ἐπειδὴ δὲ μεταξὺ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λέγεται εἶναι τάξις φύσεως, καὶ οὐδὲν πλέον ἀφαιρεῖται ἢ προστίθεται ἐν τῷ ὀνόματι, ἔσται ὥστε καὶ τὴν τάξιν τοῦ ὀνόματος τὴν μεταξὺ πατρὸς καὶ υἱοῦ μηδὲν ἄλλο σημαίνειν, ἢ τὴν ἐξάρτησιν. ἐπειδὴ λέγοντες μεταξὺ πατρὸς καὶ υἱοῦ τάξιν εἶναι φύσεως, νοοῦμεν τὸν υἱὸν ἐξηρτῆσθαι τοῦ πατρὸς, καὶ τὸν πατέρα αἴτιον τοῦ υἱοῦ, οὕτω μὴ προστιθεὶς μεταξὺ τῆς τάξεως τὸν υἱὸν, ἀλλὰ μόνον λέγων τάξιν φύσεως ὅτι ἐστὶ τάξις καὶ φύσεως, ἕπεται τὸ πνεῦμα τὸ ἅγιον ἐξηρτῆσθαι τοῦ υἱοῦ, καὶ τὸν υἱὸν αἴτιον τοῦ ἁγίου πνεύματος κατὰ τὴν διάνοιαν τοῦ αὐτοῦ Βασιλείου. νῦν κατασκευάζω ταῦτα διὰ μαρτύρων δύο· πρῶτον, ὁ

Βασίλειος μετὰ τὰ προκομισθέντα ἐν τῇ προλαβούσῃ ῥήσει τὰ ἐν ταύτῃ τῇ βίβλῳ ἡμῶν, συνάπτων τὴν ἑαυτοῦ διάνοιαν δι' ὅλου, οὕτως ἄρχεται λέγειν· παραδοὺς τὴν αἰτίαν τοῦ κεφαλαίου, διατί τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ τριάδι τρίτον ὑπάρχον τάξει καὶ ἀξιώματι, ἐστὶ δεύτερον τοῦ υἱοῦ, ἀλλ' ὅμως ἐστὶν ἐν τῇ αὐτῇ καὶ μιᾷ οὐσίᾳ μετ' αὐτοῦ, οὕτως ἀποδείκνυσιν ἀποδοὺς τὴν αἰτίαν· Καθὼς γὰρ ὁ υἱὸς τάξει μὲν δεύτερος τοῦ πατρὸς, ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ ἔχομεν τὴν πρόοδον καὶ τὴν προσαγωγὴν πρὸς τὸν πατέρα, τῇ φύσει δὲ οὐκ ἔστι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕτω καὶ τὸ πνεῦμα, εἰ τῇ τάξει καὶ τῷ ἀξιώματι ὑποβέβηκε τὸν υἱὸν, οὐκ εἰκὸς ἀλλοτρίας εἶναι φύσεως. Νῦν οὖν ἐν τούτῳ τῷ κεφαλαίῳ βουλόμενος ἀποδεῖξαι ὃ πρῶτον εἶπεν, ἀποδείκνυσι διὰ τούτου· ὅτι οἵα ἐστὶν ἡ τάξις τοῦ υἱοῦ πρὸς τὸν πατέρα, τοιαύτη ἐστὶ καὶ τοῦ πνεύματος πρὸς τὸν υἱόν· ὁ πατὴρ ἀρχὴ καὶ αἰτία τοῦ υἱοῦ ἐν μιᾷ φύσει. καὶ εἰσάγει διὰ παραδειγμάτων ἐνταῦθα ἀηττήτων κατὰ τοῦ Εὐνομίου. καὶ αὕτη ἐστὶν ἡ ἀληθὴς διάνοια παντὸς τοῦ κεφαλαίου. λέγει γὰρ, ὅτι πάντες οἱ ἄγγελοί εἰσι μιᾶς φύσεως, ἐπειδὴ πάντες εἰσὶ νοερᾶς φύσεως, ἀλλ' ὅμως τίθησιν ὁ αὐτὸς τάξιν καὶ ἀξίωμα, προκομίζων πολλὰ κείμενα καὶ ῥητὰ τῆς γραφῆς, δι' ὧν ἀποδείκνυσι, τινὰς μὲν εἶναι ἀρχὰς, τινὰς κυριότητας, τινὰς δὲ ἐξουσίας καὶ προτέρας καὶ ὑστέρας. εἶτα συμπεραίνει, ὅτι οἱ πάντες ἔχουσιν ἐν ἑαυτοῖς τάξιν· οὐ μέντοι γε ἕπεται, τινα ἄγγελλον ἑτέρας εἶναι φύσεως· ἐπειδὴ οὕτω ταχθέντες ἀεὶ διαμένουσιν ἐν αὐτῇ τῇ νοερᾷ φύσει.

Ὁ ἘΦΕΣΟΥ. Ἔστι μὲν φυσικὴ τάξις μεταξὺ πατρὸς καὶ υἱοῦ, καθὸ ἐκ τοῦ πατρός ὁ υἱὸς ἔχει τὸ εἶναι, καὶ προσεχῶς πρὸς αὐτὸν ἀναφέρεται· καὶ αὕτη ἡ τάξις μόνη τρίτον ἀναγκάζει ἀριθμεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον. καὶ διὰ τοῦτο ὁ μέγας Βασίλειος ἐπὶ πατρὸς καὶ υἱοῦ τὸ Ἠρτῆσθαι οὐδαμῶς ἔθηκεν· οὐδὲ λέγει, ὅτι ἤρτηται τοῦ πατρὸς ὁ υἱὸς, ἀλλ' ὅτι δεύτερος αὐτοῦ ἐστι, καθὸ ἔχει ἐξ αὐτοῦ τὸ εἶναι. τοῦ δὲ υἱοῦ λέγει τὸ πνεῦμα τὸ ἅγιον ἠρτῆσθαι, τουτέστι, συνῆφθαι αὐτῷ καὶ συντετάχθαι, ὡς σὺν αὐτῷ ἀδιαστάτως ἠρτῆσθαι. καὶ ταύτην ἀποδίδωσι τὴν αἰτίαν τοῦ, τρίτον ἀριθμεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ὁ υἱὸς ἐξ ἀνάγκης προεπινοεῖται τοῦ ἁγίου πνεύματος, διὰ τὸ πρὸς τὸν πατέρα προσεχῶς

ἀναφέρεσθαι· εἰ δὲ καὶ τὴν αὐτὴν τάξιν ἐγίνωσκε μεταξὺ υἱοῦ καὶ πνεύματος, ἣν μεταξὺ πατρὸς καὶ υἱοῦ καὶ οὕτω δεύτερον ἔλεγε τοῦ υἱοῦ τὸ πνεῦμα, ὥσπερ τὸν υἱὸν τοῦ πατρὸς, οὐκ ἂν τὸν Εὐνόμιον ἤλαυνε, καὶ καινοτόμον ἐκάλει τῆς τῶν ἁγίων διδασκαλίας, λέγοντα, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. τοῦτο γὰρ δῆλον, ὡς οὐδαμῶς καταδέχεται ὡς ἀξιώματι δεύτερον τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ καθ' ὑπόθεσιν τίθησιν.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐνταῦθά ἐστιν ὁμωνυμία, καὶ χρεία ἐστὶν ἡμᾶς ἰέναι ἐπὶ τὸν ὅρον, ὅτι μεταξὺ τοῦ πνεύματος καὶ τοῦ υἱοῦ ἐστι τάξις φύσεως, καὶ ὅτι ἡ ἐξάρτησις ἐκείνη ἐστὶ τάξις φύσεως· ἐνταῦθα ἡμᾶς δεῖ σκέψασθαι ἀκριβῶς, τί νοεῖς τὴν τάξιν τῆς φύσεως· ὅτι ἡμεῖς ἀπεδείξαμεν ἀπὸ τῆς ἡμετέρας βίβλου, ὅτι τὴν αὐτὴν ἀπεδείξαμεν ἔχειν τάξιν τὸν υἱὸν πρὸς τὸν πατέρα, καὶ τὸ πνεῦμα πρὸς τὸν υἱόν. βούλομαι εἰπεῖν, ὥστε ἀκοῦσαι καὶ τὸν γαληνότατον βασιλέα. πάντες οἱ διδάσκαλοι καὶ οἱ θεολόγοι ἀεὶ * πειρῶνται τοὺς ὅρους ἀπὸ τῆς ἰδίας αὐτῶν σημασίας· καὶ καθ' ὃν τρόπον οἱ προηγησάμενοι τῶν φιλοσόφων ἐχρήσαντο ἐν τῇ ἰδίᾳ αὐτῶν σημασίᾳ, οὕτω καὶ οἱ διδάσκαλοι καὶ οἱ θεολόγοι χρῶνται τοῖς ὅροις, καθὼς εἰσι βέβαιοι κεῖσθαι τούτους περὶ τὴν ἑκάστου σημασίαν. ἄλλον γὰρ τρόπον ἀπώλετο ἂν πᾶσα ἐπιστήμη, εἰ ἦμεν ἀεὶ ἐν ὁμωνυμίᾳ τῶν ὅρων. νῦν οὖν ὁ ὑμέτερος Ἀριστοτέλης, ὃν ἀναγκαζόμενος προκομίζω, ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά· ἔστι δὲ ἐν τῷ κεφαλαίῳ, ὃ καλεῖται· Περὶ τοῦ ποσαχῶς ἡ φύσις· ἵνα ἡ γαληνότης σου γνῷ, οὗ ἡ ἀρχὴ περὶ φύσεως, φησὶν, ὅτι ὁ πρῶτος τρόπος τοῦ λαμβάνειν τὴν φύσιν ἐστὶ γένεσις τῶν γεννωμένων, οὕτως ὥστε τὴν γένεσιν καλεῖσθαι φύσιν κατὰ τὸν πρῶτον τρόπον· δεύτερος τρόπος τοῦ λαμβάνειν τὴν φύσιν ἐστὶν ἡ ἀρχὴ ἐκείνη, ἀφ' ἧς εἰσι τὰ γεννώμενα, καὶ τοῦτον τὸν τρόπον ἐπιλαμβάνων ἐπιφέρει τὴν τάξιν τῆς πρωτογονίας, καθὼς τὰ γεννώμενά εἰσιν ἀπὸ τῆς οὐσίας ἐκείνης. καὶ ἀπὸ ταύτης τῆς σημασίας ληφθείσης ἀπὸ τοῦ κεφαλαίου ἐκείνου, οὕτως οἱ διδάσκαλοι Γραϊκοὶ καὶ Λατῖνοι, ὁ Βασίλειος, ὁ Ἀθανάσιος, ὡς ἀποδείξομεν, καὶ ὁ μακάριος Αὐγουστῖνος, καὶ πάντες φασὶν ὅτι ἡ τάξις τῆς πρωτογονίας ἑνὸς προσώπου ἀφ' ἑτέρου, ἐστὶ τάξις φύσεως. καὶ πρὸς τοῦτον τὸν λόγον ὁ Βασίλειος καὶ πάντες κατεγίνοντο ἂν περὶ

* δηλονότι πειρῶνται ἀποδιδόναι.

ὁμώνυμα, οὕτως ὥστε τὴν τάξιν τῆς προόδου οὐδὲν ἕτερον εἶναι, ἢ πρόσωπον ἕτερον ἐξ ἑτέρου, καὶ λαμβάνειν τὴν φύσιν ἀφ' οὗ ἐστι, καθὼς ἐν τῷ δευτέρῳ τρόπῳ· καὶ οὕτω πάντες οἱ διδάσκαλοι κρατοῦσι τοῦ κόσμου. εἰ τοίνυν ἐστὶ τάξις φύσεως τοῦ ἁγίου πνεύματος πρὸς τὸν υἱὸν, ἄρα ἀναγκαίως ἕπεται τὸ πνεῦμα ἔχειν τὸ εἶναι ἐκ τοῦ υἱοῦ, καὶ λαμβάνειν τὴν φύσιν· καὶ τοῦτό φησιν ὁ μέγας Βασίλειος, συγκρίνων ἐν τῷ προκομισθέντι ῥητῷ. ἐνταῦθά ἐστιν ἡ ἀκμὴ τῆς ὑποθέσεως.

Ὁ ἘΦΕΣΟΥ. Πρὸ τοῦ διαλαβεῖν τὰ περὶ τῆς τάξεως, πρῶτον ἐξετάσωμεν τὴν παροῦσαν χρῆσιν τοῦ μεγάλου Βασιλείου· εἰπὲ οὖν ἡμῖν· λέγεις εἶναι δόξαν τοῦ μεγάλου Βασιλείου τὸ, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ἸΩΑΝΝΗΣ. Ναὶ, οὕτως ἐστὶ τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, καθ' ὃν τρόπον ἐστὶν ὁ υἱὸς δεύτερος τοῦ πατρός.

Ὁ ἘΦΕΣΟΥ. Αὐτὸ δὴ τοῦτο καὶ ὁ Εὐνόμιος ἔλεγεν, ὅτι τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ἸΩΑΝΝΗΣ. Οὕτως ἔλεγε καὶ ὁ Εὐνόμιος παρειληφέναι παρὰ τῶν θείων γραφῶν· καὶ ἀπὸ τούτου ἐβούλετο δεῖξαι ὡς τὸ πνεῦμα καὶ τρίτον τῇ φύσει. καὶ οὐκ ἐλέγχεται ὁ Εὐνόμιος παρὰ τοῦ Βασιλείου λέγων τὸ πνεῦμα τὸ ἅγιον τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, ἐπειδὴ ἐν τούτῳ συμφωνεῖ τῷ Βασιλείῳ ὁ Εὐνόμιος, ἀλλ' ἐπιχειρεῖ κατ' ἐκείνου, ὡς οὐχ ἕπεται, εἰ τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει, τρίτον εἶναι καὶ τῇ φύσει.

Ὁ ἘΦΕΣΟΥ. Ἠλήθευεν ἄρα ὁ Εὐνόμιος τῷ λέγειν, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ἸΩΑΝΝΗΣ. Ναί.

Ὁ ἘΦΕΣΟΥ. Καὶ συμφωνεῖ τοῖς πράγμασι καὶ τῷ μεγάλῳ Βασιλείῳ; ἐπειδὴ ἡ δόξα αὐτοῦ τίς ἦν ἴδωμεν. ἴδωμεν οὖν, εἰ οὕτω φησὶν ὥσπερ σὺ λέγεις, ὡς λέγει τὸ σὸν βιβλίον. προσποιεῖται, φησιν, ὁ Εὐνόμιος φυλάττειν τὴν τῶν ἁγίων διδασκαλίαν. οὐ λέγει τοῦτο τὸ σὸν βιβλίον;

Ὁ ἸΩΑΝΝΗΣ. Τοῦτο λέγει, προσποιεῖται φυλάσσειν τὴν τῶν ἁγίων διδασκαλίαν. λέγει γὰρ ὁ Βασίλειος, ὅτι ὁ Εὐνόμιος λέγει ἀπὸ τῆς γραφῆς τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, καὶ διὰ τοῦτο τρίτον καὶ τῇ φύσει.

Ὁ ἘΦΕΣΟΥ. Οὐ λέγει οὕτως, ἀλλὰ λέγει, προσποιεῖται φυλάσσειν τὴν τάξιν τῶν πατέρων, οἵτινες λέγουσι τρίτον εἶναι τῷ ἀξιώματι καὶ τῇ τάξει.

Ὁ ἸΩΑΝΝΗΣ. Ἡ προσποίησις ἐκείνη ἀναφέρεται πρὸς τὴν ἐπανάληψιν ἢ τὴν συναγωγὴν, ἣν ἐποίει ὁ Εὐνόμιος. καὶ γὰρ οἱ ἅγιοι λέγοντες τὸ πνεῦμα τὸ ἅγιον τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐχ οὕτω συνῆγον εἶναι καὶ τῇ φύσει. καὶ διὰ τοῦτο ἐν τῷ τοιούτῳ, ἐπειδή εἰσιν ἐκεῖσε τὰ ῥήματα τοῦ Εὐνομίου ἑνικῶς ἢ μοναδικῶς, ταύτην τὴν συναγωγὴν, περὶ ἧς διαλέγεται φάσκων, φύσει δὲ χρῆσθαι τρίτῃ, οὔτε παρὰ τούτων, οὔτε ἐκ τῶν εἰρημένων κατὰ τὴν ἀκολουθίαν δυνάμεθα συλλογίσασθαι, κατὰ τῆς προσποιήσεως τῆς συναγωγῆς ταύτης ἐφαίνετο ὁ Βασίλειος. καὶ εἰ οὐκ ἦν τὸ πνεῦμα τὸ ἅγιον τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι ἐπήγαγεν ἂν καὶ κατὰ τούτου ἐν τοῖς εἰρημένοις ὀνόμασι, καθὼς ἐπήγαγε καὶ περὶ τῆς τάξεως τῆς τρίτης φύσεως. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἐναργέστατα διὰ τῶν ἐφεξῆς παραδειγμάτων ἐν τούτῳ συνάγεται.

Ὁ ἘΦΕΣΟΥ. Εἰ δόξα τῶν ἁγίων ἦν καὶ αὐτοῦ τοῦ μεγάλου Βασιλείου ὅτι τὸ πνεῦμα τὸ ἅγιον τρίτον ἐστὶ τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐκ ἂν ἔλεγε περὶ τοῦ Εὐνομίου, ὅτι προσποιεῖται φυλάσσειν τὴν τῶν ἁγίων διδασκαλίαν, ἀλλ' ἐμαρτύρησεν αὐτῷ, ὅτι φυλάσσει τὴν τῶν ἁγίων διδασκαλίαν, ἐξ αὐτῆς δὲ ἄλλο τι συνάγει παρὰ τὴν ἑαυτῶν ῥῆσιν· οἷον ὅτι ἐκεῖνοι εἶπον τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, οὗτος δὲ συνάγει, ὅτι καὶ τῇ φύσει τρίτον. νῦν δὲ ὁ μέγας Βασίλειος οὐ μαρτυρεῖ τῷ Εὐνομίῳ ὡς ἀληθεύοντι, ἀλλὰ λέγει, ὅτι φυλάσσειν τὴν τῶν ἁγίων προσποιεῖται διδασκαλίαν, οὐ φυλάσσει δὲ πάντως. διὸ καὶ ἐφεξῆς ἐπάγει πρὸς τὸν λόγον καὶ τὴν οἴησιν ἐνιστάμενος, ὅτι τοὺς ταύτην αὐτῷ τὴν τάξιν παραδεδωκότας σιωπᾷ. καὶ μετὰ ταῦτα· Τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, σιωπᾷ. βλέπεις, ὅτι ἀρνεῖται τοῦτο εἶναι δόξαν τῶν ἁγίων καὶ ἑαυτοῦ. καὶ μετὰ ταῦτα λέγει· Ἆρα γέγονεν ἄνθρωπος οὕτω τολμηρὸς καὶ καινοτόμος; καινοτόμον αὐτὸν λέγει καὶ τολμηρὸν, ὡς λέγοντα παρὰ τὴν τῶν ἁγίων διδασκαλίαν, ὃ μηδαμῶς οἱ ἅγιοι εἶπον· οὐδεὶς γὰρ ἂν εἶπε τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει· καὶ τοῦτό φησιν ἐνιστάμενος

κατὰ τοῦ Εὐνομίου. εἰ δὲ μὴ, δεῖξον αὐτὸς, ὡς τῶν ἁγίων ἐστὶ δόξα τὸ, εἶναι τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον· ἡμεῖς γὰρ ἐδείξαμεν τὸν Βασίλειον οὐ συμβαίνοντα κατὰ τοῦτο τῷ Εὐνομίῳ, ἀλλὰ μᾶλλον ἀνατρέποντα τὴν ἐκείνου δόξαν τε καὶ φωνήν. ἆρα οὐκ ἔχει ταῦτα καὶ τὸ παρ' ὑμῖν βιβλίον;

Ὁ ἸΩΑΝΝΗΣ. Περὶ μὲν τοῦ ῥητοῦ σκεψόμεθα· ἐπεὶ δὲ λέγεις, ὅτι οὐκ ἔστι γνώμη τοῦ Βασιλείου τὸ, τρίτον εἶναι τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον, προφέρω σοι μαρτυρίαν ἀξιολογωτάτην, δηλονότι τὸν μέγαν Ἀθανάσιον, οὗτινος τὴν αὐτὴν πίστιν καὶ τὰ αὐτὰ, πάτερ αἰδέσιμε, φησὶν ὁ Κύριλλος κρατεῖν. οὗτος ἐν τῷ διαλόγῳ ἐκείνῳ διαλεγόμενος ἐν τῇ ἐν Νικαίᾳ συνόδῳ κατὰ Ἀρείου, οὕτω φησὶν ἐν τούτοις, καὶ οὕτως ἔχομεν ἐν * τῇ ἐπιστολῇ. Εἰ τοίνυν ἐκ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας οὐκ ἔστιν, τίνος χάριν ὁ υἱὸς ἐν τῇ παραδόσει τοῦ ἁγιασμοῦ ὀνομάζει ἐκεῖνο, ὅπου φησί· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος;* Καὶ ἀπὸ τούτου ὁ Ἀθανάσιος, ἐπειδὴ ἐν τῷ ἁγίῳ συμβόλῳ τίθεται τρία πρόσωπα, συμπεραίνει, ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ εἶναι τὸ πνεῦμα, καὶ ὅτι ἐστὶν ἀναγκαῖον ἔχειν τὴν οὐσίαν παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἐν τῇ πρώτῃ ἐπιστολῇ τῇ πρὸς Σεραπίωνα οὕτω φησὶν, θεμελιῶν τὴν ἑαυτοῦ γνώμην ἐπὶ τῷ ἀξιώματι τῆς γραφῆς οὕτω λέγει· Τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνει κατὰ τὴν τοῦ κυρίου φωνήν· Παρὰ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.* περὶ δὲ τοῦ υἱοῦ λέγει· Ἐν τῷ ὀνόματι τοῦ πατρὸς ἦλθον· * περὶ δὲ τοῦ Παρακλήτου· Τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου.* εἰ τοίνυν τοιαύτην τάξιν καὶ φύσιν ἔχει τὸ πνεῦμα πρὸς τὸν υἱὸν, οἵαν ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, πῶς ὁ κτίσμα τοῦτο λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ υἱοῦ ἐξ ἀνάγκης φρονήσει; Νῦν οὖν ἀηττήτως συμπεραίνεται διὰ τῆς μαρτυρίας ταύτης, ὅτι οἵαν τάξιν ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, τοιαύτην ἔχει καὶ πρὸς τὸν υἱὸν τὸ πνεῦμα. ἀπὸ τούτων συμπεραίνεται, ὅτι ἀπὸ μὲν τοῦ πρώτου ῥητοῦ τὸ, τρίτον πρόσωπον εἶναι τὸ πνεῦμα· ἀπὸ δὲ τοῦ δευτέρου, τὴν αὐτὴν ἔχειν τάξιν τὸ πνεῦμα πρὸς τὸν πατέρα· καὶ ἀπὸ τούτου φαίνεται, πῶς λαμβάνει τὸ πνεῦμα τὸ εἶναι παρὰ τοῦ υἱοῦ. διασαφήσατε οὖν, κατὰ τίνα τρόπον λαμβάνει τὸ πνεῦμα τὸ

* Ἴσ. καὶ ἐν τῇ ἐπιστολῇ.

* Ματθ. 28, 19. 20.

* Ἰω. 16, 15.

* Ἰω. 5, 43.

* Ἰω. 14, 26.

εἶναι ἐκ τοῦ υἱοῦ. καὶ οὐ δεῖ φανερῶς ἀντιλέγειν τῷ μεγάλῳ Ἀθανασίῳ. ἐν οὖν τῇ ἐφεξῆς συναθροίσει ἀποδείξομεν φανερῶς ἀπ' αὐτοῦ τοῦ Βασιλείου.

Τούτων οὕτως εἰρημένων ἐλύθη ἡ σύνοδος, τῇ τρίτῃ ταμιεύσαντες γενέσθαι αὐτήν. τῆς τρίτης οὖν ἐλθούσης, καὶ τῆς τάξεως συνήθως γενομένης, ἤρξατο ἡ διάλεξις.

Μαρτίου μηνὸς δεκάτῃ, ἡμέρᾳ τρίτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΚΑ.

Ὁ ἘΦΕΣΟΥ. Ἐν τῇ προλαβούσῃ συνελεύσει, πατέρες αἰδεσιμώτατοι, τὸ τοῦ μεγάλου πατρὸς Βασιλείου ῥητὸν ἐξετάσαι προθέμενοι, καὶ τὴν ἐν ταῖς βίβλοις διαφορὰν αὐτοῦ κατιδεῖν, ἠρωτήσαμεν τὴν ὑμετέραν ἀγάπην, εἰ νομίζετε δόξαν εἶναι τοῦ μεγάλου Βασιλείου, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. καὶ πρὸς τοῦτο καταθεμένους ὑμᾶς εὑράντες, ἐπηρωτήσαμεν αὖθις, εἰ καὶ τῶν ἁγίων ἐστὶ δόξα τοῦτό τε καὶ διδασκαλία, καθάπερ ἔλεγεν ὁ Εὐνόμιος. ἐπεὶ δὲ τοῦτο μάλα προθύμως ὡμολογήσατε, παρηγάγομεν ὑμῖν τὸν μέγαν Βασίλειον τἀναντία λέγοντα προφανῶς, ὡς καὶ ἐν τῷ ὑμετέρῳ βιβλίῳ κεῖται· Προσποιεῖται γάρ, φησι, τὴν τῶν ἁγίων διδασκαλίαν, οὐ φυλάσσει δὲ πάντως, καὶ τοὺς ταύτην αὐτῷ παραδεδωκότας σιωπᾷ. καὶ ἐφεξῆς ἐπάγει καταφορικῶς τε καὶ ἐπιπληκτικῶς· Τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, εἰπεῖν οὐκ ἔχει. ἆρα γέγονεν οὕτω τολμηρὸς ἄνθρωπος, τὰς περὶ τῶν θείων δογμάτων καινοτομίας εἰσηγούμενος; εἰ τοίνυν ὁ υἱὸς τῇ τάξει καὶ τῷ ἀξιώματι δεύτερος τοῦ πατρὸς, ὅτι ἀπ' ἐκείνου, τὸ πνεῦμα δὲ τὸ ἅγιον οὐδαμῶς λέγειν καταδέχεται τάξει καὶ ἀξιώματι δεύτερον τοῦ υἱοῦ, οὐκ ἄρα τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ κατ' αἰτίαν. οὕτω μὲν οὖν τὴν ἐναντιολογίαν ὁρῶντες ἐν τοῖς παρ' ὑμῶν λεγομένοις, κἀκ τούτου νόθον εἶναι τὴν προσθήκην ἐκείνην συλλογιζόμενοι· οὐ γὰρ ἂν ἀπεδίδου τὴν αἰτίαν τοῦ δεύτερον εἶναι τὸ πνεῦμα τὸ ἅγιον ὁ μηδ' ὅλως τοῦτο καταδεχόμενος· τοῦτο μὲν παρεδράμετε, δεῖξαι δὲ παρὰ τοῖς ἁγίοις εἰρημένον προέθεσθε τὸ, τρίτον εἶναι τῇ τάξει

καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. καὶ δὲ προχειρισάμενοι δύο ῥητὰ τοῦ ἁγίου Ἀθανασίου, τὸ μὲν ἁπλῶς λέγον, ὅτι τρίτον τῇ τάξει τὸ πνεῦμα τὸ ἅγιον· τὸ δὲ, ὅτι τοιαύτην φύσιν καὶ τάξιν ἔχει τὸ πνεῦμα πρὸς τὸν υἱὸν, οἵαν ὁ υἱὸς πρὸς τὸν πατέρα· ἐκ τούτων οὖν ὅτι τρίτον ἐστὶ τῷ ἀξιώματι, δεδειγμένον ἔχειν ᾠήθητε. πρὸς μὲν οὖν τὸ πρῶτον ἐκεῖνό φαμεν, ὅτι τρίτον εἶναι κατὰ τὴν τάξιν τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ θείᾳ τριάδι, ὡς ἐν παραδόσει τοῦ βαπτίσματος ὁ σωτὴρ ἡμῶν εἴρηκε,* καὶ ἡμεῖς συνομολογοῦμεν· * Ματθ. 28, 19. 20.
ὅτι δὲ καὶ τῷ ἀξιώματι τρίτον, θαυμάζειν ἔπεισι, πῶς ὡς εἰρημένον λαμβάνετε τὸ μηδαμῶς εἰρημένον. τοῦτο δὲ καὶ ἐν τοῖς ἄλλοις ποιεῖτε· καὶ ὅταν μὲν ἀκούσητε, πνεῦμα παρὰ πατρὸς καὶ υἱοῦ, τὸ Ἐστὶ προστίθετε, καὶ ἔχειν τὸ εἶναι· ὅταν δὲ ὅτι παρὰ υἱοῦ λαμβάνει, λαμβάνειν τὸ εἶναι λέγετε. τοῦτο δέ ἐστι τὸ τὰ ζητούμενα λαμβάνειν, ὡς ὁμολογούμενα, ὅπερ ἐστὶν ἀποδείξεως εἶδος τὸ χείριστον. ταῦτα μὲν πρὸς τὸ πρῶτον. πρὸς δὲ τὸ δεύτερον ἐκεῖνό φαμεν, ὅτι τὸν σκοπὸν τοῦ μεγάλου Ἀθανασίου ἐν οἷς λέγει τούτοις θεωρητέον ἐστὶ καὶ πρὸς οὓς τὸν λόγον ποιεῖται. χρὴ γὰρ τὸν τοῖς θείοις λόγοις ἐντυγχάνοντα, καθώς φησιν ὁ μέγας Κύριλλος ἐν τοῖς πρακτικοῖς τῆς τρίτης συνόδου, καὶ τὰ πρόσωπα καὶ τὸν χρόνον διαιρεῖν, καὶ τὴν αἰτίαν δι' ἣν ἕκαστον εἴρηται λογίζεσθαι· οὕτω γὰρ ἑκάστῳ ῥητῷ τὴν πρέπουσαν αἰτίαν τις ἀποδοῦναι τῇ τοῦ πνεύματος δυνήσεται χάριτι, καὶ τὰ ἑξῆς. φαίνεται τοίνυν ὁ ἀοίδιμος Ἀθανάσιος πρὸς τοὺς μαχομένους τῷ ἁγίῳ πνεύματι διαμαχόμενος τοιαῦτα γράφων, οἳ τὸν μὲν υἱὸν συνέταττον τῷ πατρὶ, καὶ τῆς αὐτῆς δόξης καὶ οὐσίας διωμολόγουν, τὸ δὲ πνεῦμα τὸ ἅγιον ὑποβιβάζοντες, οὐ συναριθμεῖσθαι τούτοις ἑπομένως, ἀλλ' ὑπαριθμεῖσθαι, καὶ ξένης τινὸς εἶναι καὶ κτιστῆς φύσεως ἔλεγον· πρὸς τούτους τοίνυν ἀποτεινόμενος ὁ γεννάδας, καὶ τὸ τοῦ πνεύματος συμφυὲς καὶ ὁμότιμον δεῖξαι θέλων πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν, ἀπό τε τοῦ συντετάχθαι τούτοις, καὶ τῆς αὐτῆς εἶναι θελήσεώς τε καὶ ἐνεργείας· ἐκ τούτων γὰρ ἀεὶ οἱ διδάσκαλοι καὶ τὸ ταὐτὸν τῆς φύσεως ἀπεδείκνυον, τοιάδε φησὶν ἐν τῇ ἐπιστολῇ τῇ πρώτῃ πρὸς Σεραπίωνα τὸν ἐπίσκοπον· Ὁ μὲν υἱὸς παρὰ τοῦ πατρὸς ἀποστέλλεται· οὕτω γάρ, φησιν, ὁ θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ ἀπέστειλε τὸν μονογενῆ· * ὁ δὲ υἱὸς * Ἰω. 3, 16.

τὸ πνεῦμα ἀποστέλλει· ἐὰν γάρ, φησιν, ἐγὼ ἀπέλθω, ἀποστελῶ
* Ἰω. 16, 7. τὸν Παράκλητον. * καὶ ὁ μὲν υἱὸς τὸν πατέρα δοξάζει λέγων· Πάτερ,
* Ἰω. 17, 4. ἐγώ σε ἐδόξασα· * τὸ δὲ πνεῦμα δοξάζει τὸν υἱὸν· ἐκεῖνος γάρ,
* Ἰω. 16, 14. φησιν, ἐμὲ δοξάσει. * καὶ ὁ μὲν υἱός φησιν· Ἃ ἤκουσα παρὰ τοῦ
* Ἰω. 8, 26. πατρὸς, ταῦτα λαλῶ εἰς τὸν κόσμον· * τὸ δὲ πνεῦμα ἐκ τοῦ υἱοῦ
* Ἰω. 16, 15. λαμβάνει. ἐκ τοῦ ἐμοῦ γὰρ λήψεται, καὶ ἀναγγελεῖ, φησιν, ὑμῖν. *
καὶ ὁ μὲν υἱὸς ἐν τῷ ὀνόματι τοῦ πατρὸς ἦλθε· τὸ δὲ πνεῦμα τὸ
* Ἰω. 14, 26. ἅγιόν, φησιν ὁ υἱὸς, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου. * τοιαύτην
δὲ φύσιν καὶ τάξιν ἔχοντος τοῦ πνεύματος πρὸς τὸν υἱὸν, οἵαν ὁ υἱὸς πρὸς τὸν πατέρα, πῶς ὁ κτίσμα τοῦτο λέγων, οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ υἱοῦ ἐξ ἀνάγκης φρονήσει; Ἐν τούτοις οὐ τὴν διάκρισιν ὁ διδάσκαλος φαίνεται παραστῆσαι θέλων, οὐδ᾽ ὅθεν ἔχει τὴν αἰτίαν τῶν προσώπων ἑκάτερον τοῦ εἶναι, ἀλλὰ τὴν ἕνωσιν μᾶλλον καὶ συμφυΐαν ἐκ τῆς ταυτότητος τοῦ θελήματος καὶ τῆς ἀναλογίας τῶν ἔργων ἐκφαινομένην. ἀμέλει οὐκ εἶπεν· Ὁ μὲν υἱὸς παρὰ τοῦ πατρὸς ἔχει τὸ εἶναι, τὸ δὲ πνεῦμα παρὰ τοῦ υἱοῦ· οὐδ᾽ ὅτι ὁ μὲν πατὴρ γεννᾷ τὸν υἱὸν, ὁ δὲ υἱὸς τὸ πνεῦμα προβάλλει. ταῦτα γὰρ ἂν εἶπεν, εἰ κατὰ τὴν ὑμετέραν ἔλεγε δόξαν· νῦν δὲ ταῦτα παραλιπὼν παντελῶς, τὴν εὐδοκίαν τοῦ πατρὸς, ἐφ᾽ οἷς ὁ υἱὸς ποιεῖ, προστίθησι· καὶ τὴν τοῦ υἱοῦ πάλιν, ἐφ᾽ οἷς ποιεῖ τὸ πνεῦμα τὸ ἅγιον. καὶ ὁ μὲν υἱός, φησι, παρὰ τοῦ πατρὸς ἀποστέλλεται· ὁ δὲ υἱὸς τὸ πνεῦμα ἀποστέλλει, τὴν εὐδοκίαν τοῦ πατρὸς ἀποστολὴν εἶναι νόμισον, φησιν ὁ θεολόγος Γρηγόριος· καὶ τὴν εὐδοκίαν οὖν τοῦ υἱοῦ νόμισον ἀποστολὴν εἶναι τοῦ πνεύματος. καὶ ὁ μὲν υἱὸς τὸν πατέρα δοξάζει, τὸ δὲ πνεῦμα δοξάζει τὸν υἱόν· ἐν τούτοις ἡ ἀναλογία τῶν ἔργων, καὶ ἡ τοῦ θελήματος ταυτότης ἐκφαίνεται. ἐπειδὴ γὰρ ὁ υἱὸς ἐφανερώθη τῷ κόσμῳ προεγνωσμένου τοῦ πατρὸς ἤδη, μετὰ δὲ ταῦτα πάλιν ἐγνώσθη τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μὴ ἀντίθεοί τινες εἶναι δόξωσιν ὁ υἱὸς καὶ τὸ πνεῦμα, δοξάζει μὲν ὁ υἱὸς τὸν πατέρα, τὸ δὲ πνεῦμα τὸν υἱὸν, καὶ ἃ παρέλιπεν ἐκεῖνος, ἀποκαλύπτει τοῖς μαθηταῖς. καὶ ὁ μὲν υἱός φησιν· Ἃ ἤκουσα παρὰ τοῦ πατρὸς, ταῦτα λαλῶ εἰς τὸν κόσμον· τὸ δὲ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνει· Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Σημείωσαι, πάτερ, ἐνταῦθα, ὅτι λόγον λαμβάνει ἐνταῦθα τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἀναγγέλλει τοῖς μαθηταῖς· καθάπερ ὁ υἱὸς, ἃ ἤκουσε

παρὰ τοῦ πατρὸς, ταῦτα λαλεῖ εἰς τὸν κόσμον. οὐκ ἄρα τὸ εἶναι λαμβάνει, καθάπερ αὐτὸς ἔλεγες· καὶ ὁ μὲν υἱὸς ἐν τῷ ὀνόματι τοῦ πατρὸς ἦλθε, τὸ δὲ πνεῦμα τὸ ἅγιόν, φησιν ὁ υἱὸς, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου· διὰ τούτων ἁπάντων, ὥσπερ εἶπον, ἡ ταυτότης τοῦ θελήματος καὶ ἡ ἀναλογία τῶν ἔργων φαίνεται, ἐκ τούτων δὲ καὶ ἡ τῆς οὐσίας ταυτότης συνάγεται ἐξ ἀνάγκης. τοιαύτην οὖν, φησι, τάξιν καὶ φύσιν ἔχει τὸ πνεῦμα τὸ ἅγιον πρὸς τὸν υἱὸν, οἵαν ὁ υἱὸς πρὸς τὸν πατέρα· τουτέστιν, οὕτω συντέτακται καὶ συμφυές ἐστι τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ ὁ υἱὸς τῷ πατρί. πῶς οὖν ὁ λέγων κτίσμα τὸ πνεῦμα τὸ ἅγιον, οὐ καὶ περὶ τοῦ υἱοῦ τὸ αὐτὸ φρονήσει ἐξ ἀνάγκης; εἰ γὰρ συντέτακται τὸ πνεῦμα τὸ ἅγιον τῷ υἱῷ καθάπερ ὁ υἱὸς τῷ πατρὶ, καὶ τῆς αὐτῆς ἐστι φύσεως, ὡς ἐκ τῆς ταυτότητος τοῦ θελήματος καὶ τῆς ἀναλογίας τῶν ἔργων δείκνυται, πῶς ἂν εἴη κτίσμα τὸ πνεῦμα τὸ ἅγιον; αὕτη μὲν ἡ τοῦ ἁγίου διάνοια, καὶ πρὸς τὸν σκοπὸν τοῦτον εἴρηκεν ἅπερ εἴρηκεν, οὐ τὴν διάκρισιν παραστῆσαι θέλων, ἀλλὰ τὴν ἕνωσιν καὶ τὴν ταυτότητα τῆς οὐσίας. καὶ οὕτως οὐ κατ' ἐλπίδας ὑμῖν τὸ ῥητὸν ἀπέβη, οὐδὲ τῇ ὑμετέρᾳ δόξῃ συνηγορεῖ. Ὅτι δὲ ὁ μέγας πατὴρ Ἀθανάσιος οὐ τὴν αὐτὴν εἶχε γνώμην περὶ τῆς τοῦ πνεύματος ἐκπορεύσεως, οὐδὲ τὸν υἱὸν αἴτιον ἐφρόνει τοῦ ἁγίου πνεύματος, οὐδὲ διὰ τοῦτο τὴν τάξιν εἴρηκε ταύτην, δῆλον ἐν οἷς ἀλλαχοῦ φησι, τὴν διάκρισιν τῶν θείων προσώπων παραδιδοὺς, μόνον πηγὴν τῆς θεότητος τὸν πατέρα καλῶν, καθάπερ καὶ μόνον ἀγέννητον. τοῦτο δὲ ταὐτόν ἐστι λέγειν τῷ λέγειν αὐτὸν μόνον γεννήτορα, μόνον προβολέα. οὐκ ἄρα καὶ τὸν υἱὸν αἴτιον ἐφρόνει τοῦ ἁγίου πνεύματος, ὁ μόνον πηγὴν θεότητος τὸν πατέρα λέγων. ἔχει δὲ τὸ ῥητὸν οὕτως ἐν τῷ λόγῳ, ὃς ἐπιγραφὴν ἔχει· Περὶ τῆς ἀϊδίου ὑπάρξεως υἱοῦ τε καὶ πνεύματος, οὕτω φησί· Χωριζόμεθα δὲ καὶ τῶν ἰουδαϊζόντων, καὶ τῶν τὸν χριστιανισμὸν παραφθειρόντων, οἳ τὸν ἐκ θεοῦ θεὸν ἀρνούμενοι, ἕνα θεὸν παραπλησίως Ἰουδαίοις λέγουσιν· οὐχ ὅτι μόνος ἀγέννητος, καὶ μόνος πηγὴ θεότητος ὁ πατὴρ, διὰ τοῦτο ἔφασκον αὐτὸν θεὸν, ἀλλ' ὡς ἄγονον υἱοῦ, καὶ ἄκαρπον ζῶντος Λόγου. Εἰ τοίνυν μόνος πηγὴ θεότητος ὁ πατὴρ, καθάπερ καὶ μόνος ἀγέννητος, τουτέστι μόνος γεννήτωρ τοῦ υἱοῦ, καὶ μόνος προβολεὺς τοῦ ἁγίου πνεύματος, οὐκ ἄρα δόξα τοῦ

μεγάλου Ἀθανασίου ὑπῆρχε, τὸ αἴτιον εἶναι τοῦ πνεύματος τὸν υἱὸν, καὶ ἐκ τοῦ υἱοῦ τὸ εἶναι ἔχειν τὸ πνεῦμα. ταῦτα πρὸς τὰ τότε σοι εἰρημένα κατὰ τὸ παρὸν εἴπομεν.

Ὁ ἸΩΑΝΝΗΣ. Ὁ τρόπος οὗτος, πάτερ αἰδεσιμώτατε, τοῦ ἀνιχνεύειν τὴν ἀλήθειαν, ἣν πάντες νοεῖν ἐφίενται, μεθ' οὕτω διεξοδικωτέρων λόγων καὶ προκομίσεων μᾶλλον ἐμποδίζει τῇ ἀληθείᾳ, ἢ διασαφεῖ. ἀλλ' οὐδ' οὗτος ἦν ὁ σκοπὸς ἐξ ἀρχῆς τῆς ἡμετέρας συνδιασκέψεως· ἀλλ' ἵν' ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα, διδομένης βραχείας ἀπολογίας καὶ λύσεως, οὕτω χωρῶμεν ἐφ' ἕτερα. πάντες γὰρ οὗτοι οἱ παρεστῶτες πατέρες ἤδη κεκμηκότες τῇ ἀκροάσει ἑνὸς στόματος μιᾶς ὥρας, πρὸς ἀπολογίαν δύο ῥητῶν τελευταῖον ῥηθέντων, πιστεύω μικρὸν αὐτοὺς νενοηκέναι πρὸς τὴν ἀπολογίαν τῶν δύο ῥητῶν, πλὴν τούτου, ὅτι ἐπιθηκάς μοι, ὡς εἴωθα παραφέρειν τὰ ῥητὰ, ὡς ἡνίκα σὺ πρόσεστι τὸ Ἐστὶ τῷ· Πνεῦμα παρὰ πατρὸς καὶ υἱοῦ, προστίθημι. ἔτι ἐπειδὴ τὴν δευτέραν χρῆσιν τοῦ μεγάλου Ἀθανασίου, ἐν ᾗ ἔλεγε καὶ λέγει, ἐνταῦθα γάρ ἐστι τὸ ῥητὸν, ὅτι οἵαν τάξιν καὶ φύσιν ἔχει τὸ πνεῦμα τὸ ἅγιον πρὸς τὸν υἱὸν, τὴν αὐτὴν ἔχει καὶ ὁ υἱὸς πρὸς τὸν πατέρα, οὐδέποτε ἐξέθου τὴν ῥῆσιν ἐν τῇ ἰδίᾳ προθέσει, οὐδέποτε καλῶς ἀποκριθήσεται, ὁ μὴ καλῶς ἐκθέμενος. εἶτα εἰσῆλθες εἰς τὴν ὕλην τῆς χρονικῆς ἀποστολῆς τῶν προσώπων, ἀφ' ἧς χρονικῆς ἀποστολῆς ἀναγκαίως ἐν τῷ παρόντι συμπερανθήσεται, ὅτι εἰ τὸ πνεῦμα τὸ ἅγιον πρόεισι χρονικῶς παρὰ τοῦ υἱοῦ, ὅτι καὶ ἀϊδίως πρόεισιν ἐξ αὐτοῦ. διὸ οὐκ ἔδει εἰσαγαγεῖν τοῦτο εἰς τὴν παροῦσαν ὕλην ἐν τῷ παρόντι μὴ ποιοῦσαν πρὸς τὸ προκείμενον· ὅμως ἐν τῷ παρόντι ἀποκριθησόμεθα. ἀλλ' ἓν μόνον βούλομαι γνῶναι, εἰ οὕτως εἴρηκας· εἶπες ὅτι ὁ υἱὸς ἀκούει παρὰ τοῦ πατρὸς λόγους λαμβάνων, καὶ ἀκούων παρὰ πατρός. ἐπειδὴ ἡ ἀκρόασίς ἐστι κατὰ ἀπόβλεψιν ῥήματος, καὶ τοῦτο δῆλον ἐν τῷ εὐαγγελίῳ. οὕτως ἀκούει καὶ τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ υἱοῦ, καὶ οὕτως κατ' ἐκείνην τὴν ἀκρόασιν λαμβάνει λόγους παρὰ τοῦ υἱοῦ· τοῦτο δὲ καὶ ἄλλοτε συγκεχώρηκας· ἀλλ' ὅτι οὐκ ἐκ τούτου ἕπεται τὸ πνεῦμα λαμβάνειν τὸ εἶναι ἐκ τοῦ υἱοῦ· ἔστιν οὖν ἀληθὲς, ὃ νῦν ἐξεθέμην περὶ τοῦ ἀκούειν;

Ὁ ἘΦΕΣΟΥ. Οὕτως εἶπον, καὶ οὕτω λέγει ὁ διδάσκαλος ἐν τῷ ῥητῷ τούτῳ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀπὸ τούτου, τοῦ Θεοῦ συγχωροῦντος, καὶ ἀπὸ ταύτης τῆς ῥήσεως ἀποδειχθήσεται διὰ ῥητῶν μεγάλων ἁγίων καὶ διδασκάλων ἡμετέρων καὶ ὑμετέρων, τὸ πνεῦμα τὸ ἅγιον λαμβάνειν τὸ ἀΐδιον εἶναι ἐκ τοῦ υἱοῦ. νῦν οὖν ἀπολογοῦμαι πρὸς τὰ παρὰ σοῦ εἰρημένα. πρῶτον εἶπες, ὅτι ἐν τῇ προλαβούσῃ συναθροίσει, ἡνίκα ἠρώτησας, εἰ τοῦτο γνώμη ἦν τοῦ Βασιλείου, ὅτι τὸ πνεῦμα τὸ ἅγιόν ἐστι τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει, ὅτι αὐτὸς ἀπεκρίθην, οὕτως εἶναι, καὶ τοιαύτην γεγονέναι τὴν γνώμην τοῦ Βασιλείου. πρὸς τοῦτο λέγω πάλιν, ὅτι οὗτός ἐστιν ὁ σκοπὸς τοῦ Βασιλείου καὶ γνώμη ἀληθεστάτη, ὅτι τὸ πνεῦμα τὸ ἅγιόν ἐστι τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει, ἐπειδὴ οἱ ὑμέτεροι διδάσκαλοι τοῦτό φασιν διαῤῥήδην καὶ φανερῶς. δεύτερον ἠρώτησας, εἰ αὕτη ἦν ἡ γνώμη τῶν ἁγίων πατέρων· καὶ αὐτὸς ἀπεκρίθην, ὅτι οὕτως· ἐν τούτῳ ἠθέλησας ἐπαγαγεῖν τἀναντία καθὼς καὶ νῦν. ἐνίοτε ἐπανελάβου λέγων, ὅτι ὁ Εὐνόμιος κατὰ τὰ ῥήματα τοῦ Βασιλείου καταφρονῶν τῆς δόξης τῶν πολλῶν, εἰ ἐδόξαζεν τὸ πνεῦμα τὸ ἅγιον, προσεποιεῖτο τὴν διδασκαλίαν φυλάττειν, καὶ τοὺς τοῦτο λέγοντας παρεσιώπα. εἶτα προσελάβου τὰ μετὰ ταῦτα τοῦ ῥητοῦ ῥήματα τὰ λέγοντα περὶ τούτου, ὅπου ὁ Βασίλειός φησιν, ὅτι τοὺς εἰρηκότας τὸ πνεῦμα τὸ ἅγιον τρίτον εἶναι τῇ τάξει, οὐκ ἠδυνήθη εἰπεῖν· εἶτα συμπεραίνει· Ἆρα οὕτω γέγονεν ἄνθρωπος τολμηρὸς, τὰς τῶν θείων δογμάτων καινοτομίας εἰσηγούμενος; ἀπὸ τούτου ἐπεχείρησας ἐπαγαγεῖν ἐναντιώματα, ἐπειδήπερ εἶπεν ὁ Βασίλειος, ὅτι οὐκ ἠδυνήθη εἰπεῖν τοὺς εἰρηκότας τοῦτο ἁγίους, ὅθεν εἵπετο κατὰ σὲ, ὅτι οἱ ἅγιοι διδάσκαλοι οὐκ ἐγένοντο ταύτης τῆς γνώμης, ἧς τοὐναντίον ἐγὼ εἶπον. ἠθέλησα δὲ ἐπαναλαβεῖν τὰ τοιαῦτα, καὶ ἐκθέσθαι τὰ τοῦ Βασιλείου ῥήματα, ἵνα καὶ οἱ παρόντες ἴδωσι σαφέστερον τὴν διάλυσιν. ἐπειδὴ δὲ ἡμεῖς ἔχομεν τοῦ μεγάλου Βασιλείου βιβλίον, ὃ ἡγούμεθα πιστὸν εἶναι καὶ ἀληθέστατον, ἄτι τὸ ἕτερον τοῦτο, τὸ προκομισθησόμενον, ὅπερ ἐστὶν ἀρχαιότατον, τὸ αὐτό φησιν ὃ λέγει καὶ τὸ ἡμέτερον, ὡς εἴρηται ἡμῖν, καὶ καθὼς ἀνηνέχθη ἡμῖν παρὰ τῶν ἀναγνωσάντων τὸ βιβλίον ἐκεῖνο.

Προηνέχθη δὲ τὸ βιβλίον τοῦ Μιτυλήνης.

Ὁ ἘΦΕΣΟΥ. Τῆς αὐτῆς χειρός ἐστι τὸ προκομισθὲν βιβλίον, ἧς ἦν καὶ τὸ ἕτερον.

Ὁ ἸΩΑΝΝΗΣ. Πρὸς μὲν οὖν τὸ πρῶτον τρία τινὰ ποιῆσαι βούλομαι. πρῶτον βούλομαι ἀποδεῖξαι δι' ἑτέρας μαρτυρίας τοῦ Βασιλείου νῦν ἐν τῷ τόπῳ, ὅπου αὐτὸς λέγει τὸ πνεῦμα λαμβάνειν ἀπὸ τοῦ υἱοῦ. δεύτερον βούλομαι ἀποδεῖξαι, εἰ ὁ Βασίλειος ἔλεγεν οὕτω καθὼς κεῖται ἐν τῷ σῷ βιβλίῳ, τοῦτο ἂν ἦν μέγιστον μῶμον περιτιθέναι τῷ Βασιλείῳ· καὶ ὅτι ὑπὲρ τῆς τιμῆς καὶ δόξης οὕτω μεγάλου διδασκάλου, καὶ οὕτω περιφανοῦς ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, τοῦ ἐσχηκότος οὕτω μεγάλην δόξαν ἐν τῇ ἐν Χαλκηδόνι συνόδῳ, οὐ δύναται νοῦς ἀληθοῦς Χριστιανοῦ καταδέξασθαι ὁ παρὰ σοῦ εἴρηται. τρίτον ἀποδείξω ἀπὸ τῶν προηγουμένων καὶ ἀπὸ τῶν ἑπομένων, τὴν αὐτὴν γνώμην εἶναι τοῦ Βασιλείου, καθὼς ἐν τῷ ἡμετέρῳ βιβλίῳ κεῖται, καὶ οὐκ ἐξελεύσομαι ἀπὸ τῆς ὕλης τούτων τῶν κεφαλαίων· καὶ οὐκ ἀμφιβάλλω, ὅτι τὸ πνεῦμα τὸ ἅγιον δώσει ἡμῖν μὴ ἐργάζεσθαι παρὰ τὸ καθῆκον, ἐπειδὴ περὶ τούτου πράττεται, καὶ ὅτι ποιήσει μεγάλην χάριν ἡμῖν καὶ ὑμῖν δι' ἡμᾶς. ἐπειδὴ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον, οὗπερ ἐπλήσθη ὁ Βασίλειος, ἐν οὕτω μεγάλῃ ὕλῃ τῆς τοιαύτης ὑποθέσεως καθὼς ἐστιν αὕτη, οὐκ ἐποίησεν ἐκεῖνον γράψαι ἐν ἑνὶ χωρίῳ ἐναντία, καὶ ἐν ἑτέρῳ ἐναντία· ἐπειδὴ οἱ διδάσκαλοι ἐν τῇ ὕλῃ τῆς πίστεως ἑαυτοῖς οὐδέποτε γεγόνασιν ἐναντίοι. Ἐν τῇ προλαβούσῃ, τουτέστιν ἐν τῇ κυριακῇ, ἣν ἐν τῇ οἰκίᾳ τοῦ αἰδεσιμωτάτου κυρίου τῆς ἁγίας Σαβίνης, ὄντος καὶ τοῦ ἀδελφοῦ Ἀμβροσίου τοῦ ὧδε παρόντος, ὅστις ἔχει μέγα δῶρον τοῦ ἑρμηνεύειν. προσήχθη οὖν βίβλος ἑλληνικὴ λίαν ἀρχαιοτάτη, ἐν μεμβράνοις πεποιημένη, ἣν προήγαγέ τις πεπαιδευμένος ἑρμηνεὺς τῶν ἑλληνικῶν, Λεονάρδος ὁ Ἀρετῖνος, ταύτης τῆς πόλεως καγκελλάριος. ἐν ὅσῳ οὖν εἶχε τὴν βίβλον ἀνὰ χεῖρας, καὶ ἐζητοῦμεν περὶ μιᾶς ἐπιστολῆς, συνήντησεν ὁμιλία τις τοῦ μακαρίου Βασιλείου περὶ τοῦ ἁγίου πνεύματος. εὐθὺς οὖν εἶπον τῷ αἰδεσίμῳ τῷδε πατρὶ ἀναγνῶναί μοι πᾶσαν τὴν ὁμιλίαν, ἐπειδὴ ὁμολογουμένως ποιήσει θαῦμα τὸ πνεῦμα τὸ ἅγιον. καὶ γὰρ εἰ ὁ Βασίλειος ὁ πλήρης πνεύματος ὤφειλεν ἐστηριγμένον τι εἰπεῖν περὶ τῆς πίστεως τοῦ ἁγίου πνεύματος, ὤφειλεν ἐν ταύτῃ τῇ ὁμιλίᾳ τιθέναι. ἤκουσα πᾶσαν ἐξ ἀρχῆς μέχρι τέλους· καὶ ἡνίκα ἐγενόμην ἐν τῷ τέλει, μεγάλας χάριτας ὡμολόγησα τῷ ἁγίῳ πνεύματι· φησὶ γὰρ ἐν τούτοις τοῖς ῥήμασιν οὕτως· Ἕνα μὲν πατέρα, ἕνα δὲ υἱόν, ἓν πνεῦμα ἅγιον κατὰ

τὴν θείαν παράδοσιν δεῖ ὁμολογεῖν, εἶτα ἐπάγει· * Οὔτε δύο πατέρας λέγειν, οὔτε δύο υἱοὺς, ἐπειδὴ τὸ πνεῦμα οὔτε υἱός ἐστιν, οὔτε ὀνομάζεται· οὐδὲ γὰρ ἀπὸ τοῦ πνεύματός τινα λαμβάνομεν, καθ' ὃν τρόπον ἀπὸ τοῦ υἱοῦ τὸ πνεῦμα· ἀλλ' αὐτοῦ προσερχομένου ἡμῖν καὶ ἁγιάζοντος δεχόμεθα τῆς θειότητος τὴν κοινωνίαν, καὶ τῆς υἱότητος τὴν συγκλήρωσιν, καὶ τῆς αἰωνίου κληρονομίας τὸν ἀῤῥαβῶνα, καὶ τὰς ἀπαρχὰς τῶν αἰωνίων ἀγαθῶν. ταῦτά εἰσιν ἃ παρὰ τοῦ πνεύματος λαμβάνομεν, καὶ ταῦτά εἰσιν ἅτινα ἐκτίσθησαν ἐν ἡμῖν, καὶ τὰ αἰτιατὰ παρὰ τοῦ ἁγίου πνεύματος. Νῦν οὖν φησιν ὁ θεῖος Βασίλειος, οὐ κατὰ τοῦτον τὸν τρόπον τὸ πνεῦμα λαμβάνειν παρὰ τοῦ υἱοῦ, ὃν ἡμεῖς λαμβάνομεν παρὰ τοῦ πνεύματος. ἀναγκαίως γὰρ ἕπεται τὸ, θεῖον εἶναι ὃ τὸ πνεῦμα λαμβάνει· ἐπειδὴ πᾶν ἢ θεῖόν ἐστιν ἢ κτιστόν. τοῦτο δὲ τὸ εἶναι ἡμεῖς λαμβάνομεν παρὰ τοῦ ἁγίου πνεύματος· οὐ τοῦτον δὲ τὸν τρόπον λαμβάνει τὸ πνεῦμα, οὐδὲ ταῦτα τὰ κτιστά· ἄρα ἕπεται τὸ, θεῖόν τι λαμβάνειν. Οὕτω γινομένης ταύτης τῆς παραθέσεως, ὁ αὐτὸς ἀποκλείει καὶ ἀποτρέπεται τῶν πονηρευομένων τὴν δόξαν, ὅτι τὸ λαμβάνειν τὸ εἶναι γίνεται αἰτία τῶν κτιστῶν. αὕτη οὖν ἐστιν ἡ τοῦ μεγάλου Βασιλείου γνώμη· ἕνα μὲν πατέρα, ἕνα δὲ υἱὸν, ἓν δὲ πνεῦμα κατὰ τὴν θείαν παράδοσιν. Ἴωμεν οὖν ἐπὶ τὸ δεύτερον μέρος. ἐγὼ εἶπον, ὅτι εἰ ἐκτεθήσεται τὸ κείμενον κατὰ τὸν τρόπον ἐκεῖνον τοῦ αἰδεσιμωτάτου πατρὸς τοῦ Ἐφέσου, μέγας ἐπιτίθεται μῶμος ἐν τούτῳ τῷ μέρει τῷ Βασιλείῳ. τοῦτο οὖν βουλόμεθα δεῖξαι φανερῶς ἀπό τε τοῦ ἡμετέρου βιβλίου καὶ τοῦ ὑμετέρου. καὶ διὰ τοῦτο ποιήσομαι τὸν παρόντα λόγον, ἐπὶ τῷ δεῖξαι τὴν διαφορὰν τὴν οὖσαν μεταξὺ τῆς ἐμῆς καὶ σῆς διανοίας, ἵνα πάντες οἱ ἡμέτεροι ἀκριβέστερον νοήσωσιν. ἐρῶ οὖν καὶ τὸ ἓν καὶ τὸ ἕτερον. τὸ μὲν οὖν ἡμετέρον κείμενον οὕτω λέγει· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, τρίτον εἶναι καὶ τῇ φύσει αὐτό; ἐπὶ τούτῳ τὸ ὑμέτερον κείμενον· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει δεύτερόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον, δεύτερον εἶναι καὶ τῇ φύσει αὐτό; νῦν οὖν, πατέρες, ἐπὶ τούτῳ τῷ χωρίῳ σκέψασθε, ὅτι τὸ ἡμέτερον· Τρίτον ἐστὶ τὸ πνεῦμα, λέγει· τὸ δὲ ὑμέτερον· Δεύτερον.

* ἰστέον, ὅτι ἐνταῦθα ὑπονοεῖται λέγομεν, ἢ πιστεύομεν.

Ὁ ΕΦΕΣΟΥ. Οὕτω λέγει καὶ τὸ ἡμέτερον· τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι τρίτον, τρίτον εἶναι καὶ τῇ φύσει αὐτό;

Ὁ ΙΩΑΝΝΗΣ. Δεύτερον ἕπεται οὕτω τὸ ἡμέτερον κείμενον· ἀξιώματι γὰρ δεύτερον τοῦ υἱοῦ, ἐξ αὐτοῦ τὸ εἶναι ἔχον, καὶ ἐξ αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως τῆς αἰτίας ταύτης ἐξημμένον, ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος· φύσει δὲ χρῆσθαι τρίτῃ, οὔτε παρὰ τῶν ἁγίων διδασκόμεθα, οὔτε ἐκ τῶν εἰρημένων δυνάμεθα συλλογίσασθαι κατὰ τὴν ἀκολουθίαν. νῦν οὖν τὸ ὑμέτερον κείμενον οὕτω λέγει· Τῷ μὲν γὰρ ἀξιώματι δεύτερον τοῦ υἱοῦ, ἴσως ὁ τῆς ἀληθείας παραδίδωσι λόγος· ὅπου φαίνεται ἡ ἀμφισβήτησις τοῦ μεγάλου πατρὸς Βασιλείου, ἡνίκα λέγει τὸ Ἴσως. εἶτα παραλείπει τὸ εἰρημένον, καὶ ἔρχεται ἐπὶ τοῦτο· Φύσει δὲ χρῆσθαι τρίτῃ, οὔτε παρὰ τῶν ἁγίων διδασκόμεθα, οὔτε ἐκ τῶν εἰρημένων δυνάμεθα συλλογίσασθαι, καὶ πρὶν ἂν εἰς τὴν ἀπόδειξιν ἔλθωμεν τοῦ αὐτοῦ πατρὸς Βασιλείου, ἐπειδὴ ἀντιτίθησιν αὐτὸς τὴν ἀπόδειξιν· καὶ γὰρ λέγει· Ὡς γὰρ ὁ υἱὸς δεύτερος τοῦ πατρὸς τῇ τάξει, ὅτι ἐξ αὐτοῦ· καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία, ἐπειδὴ πατὴρ, καὶ δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν θεὸν καὶ πατέρα· τῇ φύσει δὲ οὐκ ἔτι δεύτερος, ἐπειδὴ ἡ θεότης ἐν ἑκατέρῳ μία ἐστίν. ἐν τούτοις συμβαίνομεν μέχρι τοῦδε· αὕτη οὖν ἡ αἰτία, ὅτι ὡς ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα, οὕτως ἔχει καὶ τὸ πνεῦμα πρὸς τὸν υἱὸν κατὰ τὴν τάξιν· οὕτω δηλονότι εἰ καὶ τὸ πνεῦμα τὸ ἅγιον τάξει καὶ ἀξιώματι ὑποβέβηκε τὸν υἱὸν, οὐκ ἔτ' ἂν εἰκότως ἀλλοτρίας λογισθήσεται φύσεως. ἐν τούτῳ οὖν φανερῶς κεῖται, ὅτι ὁ Βασίλειος ἐπάγει, ὅτι καθ' ὃν τρόπον ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα τῇ τάξει καὶ τῷ ἀξιώματι, οὕτω δηλονότι καὶ τὸ πνεῦμα πρὸς τὸν υἱόν· πρὸς μὲν οὖν τὰ εἰρημένα περὶ τοῦ υἱοῦ συμφωνοῦμεν, ἀλλ' ἐκεῖ ὅπου δῆλόν ἐστιν, ἐκεῖ διαφερόμεθα. τὸ ὑμέτερον βιβλίον λέγει, ὅτι εἰ καὶ ὑποτέτακται τῷ υἱῷ, ἵν' ὅλως συγχωρήσωμεν, οὐχ ὅμως ἕπεται καὶ ἀλλοτρίας εἶναι φύσεως· ἐνταῦθά φησιν, ὅτι ὑποτέτακται, καὶ αὕτη ἡ ὑμετέρα φθορὰ ἀποκλείει τὸ ἀξίωμα, ἐπειδὴ τὸ πνεῦμα τῷ ἀξιώματι καὶ τῇ τάξει ὑποβέβηκε τὸν υἱόν. τὸ δὲ ἡμέτερον λέγει· εἰ καὶ ὑποβέβηκεν, ὡς μὲν ὁ υἱὸς τάξει δεύτερος τοῦ πατρὸς, ὅτι ἀπ' ἐκείνου· καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία· καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν θεὸν

καὶ πατέρα, φύσει δὲ οὐκ ἔτι δεύτερος, ἐπειδὴ ἐν ἑκατέρῳ ἡ θεότης μία. ἐν μὲν οὖν τῷ πρώτῳ, ἔνθα φησίν· Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος, λέγω οὕτως· ὅτι τὸ μόριον τοῦτο τό· Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος, μέγαν μῶμον ἐπάγει τῷ Βασιλείῳ· καὶ γὰρ ἀεὶ δι' οὗ τι ἀποδείκνυται, ὀφείλει εἶναι γνωριμώτερον τοῦ ἀποδεικνυμένου· καὶ γὰρ διὰ τῶν ἀγνώστων οὐδεὶς ἂν δυνηθείη τι φανερῶσαι, ἀλλ' ὀφείλομεν διὰ τῶν γνωριμωτέρων δεικνύναι τὰ ἧττον γνώριμα· αὕτη ἡ τάξις πάντων τῶν σοφῶν ἀνδρῶν, καὶ εἰ οὐδέποτε οἱ σοφοὶ εἰρήκασι τοῦτο, ὁ λόγος ὁ φυσικὸς οὕτω διδάσκει. νῦν οὖν ἐν τούτῳ τῷ κεφαλαίῳ ὁ αὐτὸς βούλεται ἀνατρέψαι τὴν ἀκολουθίαν, ἣν ἐπῆγεν ὁ Εὐνόμιος οὕτως, ὅτι εἰ καὶ τῷ ἀξιώματι εἴη τρίτον, καθὼς εἶχε παρὰ τῶν ἁγίων γραφῶν, ὅμως οὐκ ἂν εἵπετο τρίτον εἶναι τῇ φύσει. καὶ ἐν πάσῃ τῇ προχωρήσει τοῦδε τοῦ κεφαλαίου ὁ αὐτὸς βούλεται ἐπάξαι ἀπὸ τῶν γραφῶν διὰ παραδείγματος τῶν ἀγγέλων, ὅτι τινές εἰσι πρῶτοι, καὶ δεύτεροι, καὶ τρίτοι τῇ τάξει καὶ τῷ ἀξιώματι, ἀλλ' ὅμως οὐχ ἕπεται τρίτους εἶναι καὶ τῇ φύσει· καὶ τοῦτο λαμβάνει ὑπὲρ μεγάλου θεμελίου αὐτοῦ. νῦν οὖν εἰ εἶπεν· Ὁ τῆς εὐσεβείας ἴσως παραδίδωσι λόγος, ἐφαίνετό μοι θαυμαστῶς ἀμφιβάλλειν περὶ τούτου. ὅπερ ὤφειλεν ἐκεῖνος ὁμολογεῖν ἐπὶ τῷ ἀνατρέψαι τὸν Εὐνόμιον· ὅπερ ἄτοπον λέγειν περὶ τοῦ τοιούτου διδασκάλου. δεύτερον, ἐπειδὴ οὗτος ἔσχε μαρτυρίαν ἀξίαν παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου, λεγόντων τῶν πατέρων τῆς συνόδου· Οὗτος τὴν διδασκαλίαν ἀκριβέστερον παραδέδωκε. νῦν οὖν εἴπερ ἠμφίβαλλεν ὁ Βασίλειος, λέγων τό· Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος, πῶς ἠδυνήθη ἀπὸ ταύτης τῆς ἀμφιβολίας τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν ἀκριβέστερον παραδοῦναι; ἀπὸ τούτων τῶν δύο κεφαλαίων καὶ μάλιστα τοῦ πρώτου, κατ' οὐδένα τρόπον δύναται τίθεσθαι χωρὶς μώμου τὸ μόριον ἐκεῖνο· καὶ διὰ τοῦτο ὡς φθείρουσα τὸν νοῦν ἡ μερὶς αὕτη ὤφειλε ξεσθῆναι καὶ ἀπαλειφθῆναι ἀπὸ τῶν βιβλίων ἁπάντων. τρίτον, ὅτι ἐν ταύτῃ τῇ ὁμιλίᾳ τοῦ ἁγίου πνεύματος ὁ αὐτὸς φανερῶς φησι καὶ ἀποκεκαλυμμένως, ὅτι τὸ πνεῦμα λαμβάνει παρὰ τοῦ υἱοῦ χωρίς τινος ἀμφιβολίας ἢ δισταγμοῦ. μᾶλλον ἀπὸ πολλῶν ῥητῶν ὁ αὐτὸς ἀποδείκνυσιν, ὅτι τὸ πνεῦμα λαμβάνει παρὰ τοῦ υἱοῦ, καὶ οὐδὲν κτιστὸν, καθὼς καὶ ἡμεῖς

λαμβάνομεν, ἀλλὰ τὸ θεῖον εἶναι, ὡς ἤδη εἴρηται· ἐπειδὴ οὐδὲν ἄλλο δύναται λαμβάνειν τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ ἐν αὐτῇ τῇ τριάδι τῶν προσώπων. ἐπειδὴ πᾶν ὅπερ ἔλαβε, καὶ λαμβάνει, καὶ λήψεται, αἰωνίως ἔχει, ἐπειδὴ ἡ ἀκρόασις τοῦ υἱοῦ παρὰ τοῦ πατρὸς ταυτόν ἐστι καὶ γνῶσις· καὶ ἡ γνῶσις ἐπὶ τῶν θείων ταυτόν ἐστι τῷ εἶναι· καὶ τὸ ἀκούειν παρὰ τοῦ πατρὸς, κατὰ τὴν ἐξήγησιν τῶν Λατίνων καὶ τῶν Γραϊκῶν, οὐκ ἔστιν ἄλλο ἢ λαμβάνειν τὴν οὐσίαν καὶ τὴν γνῶσιν παρὰ τοῦ πατρὸς, καθὼς προκομίσω ἐπὶ τῶν ἑπομένων. καὶ οὕτως ἀκοῦον τὸ πνεῦμα λαμβάνει παρὰ τοῦ υἱοῦ, καὶ ἡ ἀκρόασίς ἐστι γνῶσις καὶ εἶναι καὶ οὐσία θεία· ἃ πάντα λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ. πῶς οὖν φανταστὸν, ὅτι ἐν τῇ περὶ τοῦ ἁγίου πνεύματος ὁμιλίᾳ, καὶ ἣν ἐποιήσατο ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς αὐτοῦ, ἐκεῖνον εἰρηκέναι χωρὶς ἀμφισβητήσεως, ὅτι λαμβάνει, καὶ ἐν ἑτέρῳ τόπῳ, τὸ πνεῦμα τὸ ἅγιον αὐτὸ, οὗ ἦν πεπλησμένος, πεποιηκέναι ἐκεῖνον γράψαι τοιαύτην μεγάλην ἀτοπίαν· Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος; καὶ γὰρ τὸν λόγον τῆς ἀληθείας ἐπὶ ταῖς θείαις γραφαῖς πρῶτον συνέθεντο οἱ ἅγιοι ἄνδρες, ἀφ' ὧν καθαρῶς συνῆψεν ὁ Βασίλειος κατὰ τοῦ Εὐνομίου. Νῦν οὖν πρὸς τὸ τρίτον καὶ τελευταῖον μόριον ἔρχομαι· αὕτη ἡ τρίτη μερὶς, ἐν ᾗ τίθεται· Τὸ πνεῦμα εἰ καὶ τῷ ἀξιώματι καὶ τῇ τάξει, καὶ τὰ ἑξῆς, ἀντιφάσκει ἐκείνῃ τῇ πρώτῃ θέσει· ἐπειδὴ ἐκεῖσε περὶ τοῦ ἀξιώματος λέγει. Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος, ἐνταῦθα ἀπολελυμένως φησίν· Εἰ καὶ τῷ ἀξιώματι καὶ τῇ τάξει ὑποβέβηκεν. ὅθεν ἐκεῖνοι οἱ σφαλεροί φασι τὸν Βασίλειον τοῦτο εἰρηκέναι, ὡς συνάγεσθαι ἀλλοτρίας εἶναι φύσεως. οὕτως οὖν ἀπὸ τοῦ κεφαλαίου καὶ τοῦ ῥητοῦ, ἀφ' οὗ λαμβάνει παρὰ τοῦ υἱοῦ, καὶ οὐδὲν ὅτι μὴ τὸ εἶναι καὶ τὴν αἰτίαν καὶ τὴν θείαν φύσιν, καὶ ἀπὸ τοῦ ἄλλου κεφαλαίου ἀποκεκαλυμμένως καὶ φανερῶς φαίνεται, ὅτι αὕτη ἡ προσθήκη περιτίθησι μέγαν μῶμον τῷ Βασιλείῳ· ὅτι εἰ τὸ λαμβάνειν τὸ εἶναι, ἐστι ταυτὸν τῷ ἐκπορεύεσθαι, καὶ ἀπὸ τούτων τῶν μαρτυριῶν λαμβάνει τὸ εἶναι τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, σαφὲς καὶ δῆλόν ἐστιν, ὅτι καὶ ἐξ αὐτοῦ ἐκπορεύεται· νῦν οὖν ἥκω πρὸς τὴν τάξιν τῆς σαφοῦς μαρτυρίας τοῦ Βασιλείου, ἀφ' ἧς ἀποδείξω ταύτην γεγονέναι τὴν γνῶσιν· οὕτως ἄρχεται· Μόλις ποτὲ κορεσθεὶς τῶν εἰς τὸν μονογενῆ βλασφημιῶν·

καὶ περὶ ἐκείνου καὶ περὶ τῆς ἑαυτοῦ θελήσεως ἁπάσης διαλέγεται. καὶ πρόσεχε τίνα τρόπον σαφῶς καταφέρεται τοῦ Εὐνομίου, λέγων, ὅτι ἐν τῷδε τῷ συγγράμματι οὐ κατὰ τὴν ἀκολουθίαν τὴν ἑαυτοῦ θέλησιν ἐκτίθεται. εἶτα τίθησι τὰ ῥήματα τοῦ Εὐνομίου· γράφει γὰρ οὕτως· Ἐπειδήπερ ἀρκεῖ ἡμῖν περὶ τοῦ υἱοῦ εἰποῦσιν, ἑπόμενον καὶ περὶ τοῦ Παρακλήτου εἰπεῖν, καὶ οὐκ ἀκολουθεῖν ταῖς τῶν πολλῶν ἀνεξετάστοις γνώμαις, ἀλλὰ τῶν ἁγίων φυλάσσειν τὴν διδασκαλίαν ἐν πᾶσιν, ἀφ' ὧν τρίτον αὐτὸ τῇ τάξει καὶ τῷ ἀξιώματι λαβόντες, τρίτον εἶναι καὶ τῇ φύσει πεπιστεύκαμεν. Ταῦτά εἰσι τοῦ Εὐνομίου τὰ ῥήματα. ἐν τῷ τέλει δὲ βουλόμενος ἄρξασθαι· Τίς οὖν ἀνάγκη· καὶ γὰρ εἶπε καταφρονῶν τῆς τῶν πολλῶν δόξης, ἣν δοξάζουσι, καὶ αὗταί εἰσιν αἱ ἀνεξέταστοι τῶν πολλῶν γνῶμαι, ἐπειδὴ ὡμολόγουν τὸ πνεῦμα θεὸν ἄνευ πολλῶν λόγων, καὶ οὗτος ὁ ἀλαζὼν καὶ ὑπερήφανος Εὐνόμιος φαίνεται μὴ θέλων, ἀλλὰ τῶν ἁγίων προσποιεῖται τὴν διδασκαλίαν φυλάττειν, φησὶν ὁ Βασίλειος, οὐκ ἐκλέγων, τίνες οἱ διδάσκαλοι οἱ τοῦτο εἰπόντες· οὐδὲ ἐξετίθει τὰς βίβλους ἐκείνας, ἐν αἷς ἦσαν κείμεναι αἱ χρήσεις τῶν ἁγίων, αἱ λέγουσαι τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι, καὶ ἐξ ἐκείνων πιστεύειν κατὰ ἀκολουθίαν, ὡς εἴη τρίτον καὶ τῇ φύσει. νῦν οὖν ὁ Βασίλειος βούλεται εἰπεῖν, ὅτι τὰς τοιαύτας χρήσεις τῶν ἁγίων πατέρων οὐ συνέβη εὑρηκέναι, τὰς λεγούσας, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι, ἀφ' ὧν ἂν ἠδυνήθη συνάξαι ὡς εἴη τρίτον καὶ τῇ φύσει. καὶ κατὰ τοῦτο ἐπιπλήττει ἐκεῖνον, ὅσον κατὰ τὴν ἀκολουθίαν, ἐπειδὴ ὁ αὐτὸς κατωτέρω τίθησι πολλὰ ῥητὰ τῆς γραφῆς, ἐν οἷς φαίνεται τό τε ἀξίωμα καὶ ἡ τάξις, καὶ τὸ δεύτερον καὶ τὸ πρῶτον. καὶ διὰ τοῦτο συμπεραίνει ὁ Βασίλειος μετὰ τὸ τιθέναι τὰς χρήσεις ἐπὶ παραδείγματος τῶν ἀγγέλων, τῶν ἀστέρων, τῶν μονῶν τῶν οὐσῶν ἐν τῇ αἰωνίᾳ ζωῇ, οὕτως ὁμολογεῖ τὸ πνεῦμα τὸ ἅγιον, ὅτι εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει ὑποβέβηκε τὸν υἱὸν, ἀλλ' οὐ τῇ φύσει. ἐλάβομεν γὰρ τρίτον ἀπὸ τοῦ πατρὸς ἀριθμεῖσθαι αὐτὸ, τοῦ κυρίου ἐν τῇ παραδόσει τοῦ ἁγιασμοῦ λέγοντος ἐν οἷς λέγει· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος*. εἴς τινα δὲ τρίτην φύσιν ἐκβάλλεσθαι οὐκ ἐμάθομεν, οὐδέ ποτε ἠκούσαμεν. εἶτα ἀποδείκνυσι μεγίστῳ ἐπι-

* Ματθ. 28, 19.

χειρήματι· ἡνίκα γὰρ δύο πράγματα λέγονται, θεότης καὶ κτίσις, κυριότης καὶ δουλεία, ἁγιασμὸς καὶ ἁγιαζόμενον. καὶ κατωτέρω φησίν· Ἐν τίνι οὖν μέρει τὸ πνεῦμα θήσομεν; ἐν ἁγιαζομένῳ; μὴ γένοιτο· αὐτὸ γὰρ ὁ ἁγιασμός. ἀνόσιον τοίνυν συναριθμεῖν τῇ κτίσει τὸ τῆς θείας τριάδος ἐπιγεγραμμένον τῷ ἀριθμῷ· ὅθεν φαίνεται ὅτι οὐ δύναται ἀριθμεῖσθαι τῇ κτίσει, ἐπειδὴ πᾶν πρᾶγμα ἢ θεότης ἐστὶν ἢ κτίσμα· ἀλλὰ τίθησιν αὐτὸ ἐν τῇ θεότητι, καὶ ἐν ἐκείνῃ τῇ θεότητί φησιν αὐτὸ τρίτον εἶναι καὶ τῷ ἀξιώματι καὶ τῇ τάξει. λέγει τὴν ἀρχὴν καὶ τὴν αἰτίαν ἐν τῇ προόδῳ, καὶ οὕτως ἐνταῦθα κατ' αὐτὸν ἀποδείκνυσι, λέγων, εἰς ταύτην τὴν κτιστὴν
* ἴσ. μὴ ἐκβάλλεσθαι. φύσιν * ἐκβάλλεσθαι, ἐπειδὴ κυρίως οὐ λέγονται, εἰ μὴ ἐξ αὐτῶν ἐχόντων ἀρχὴν καὶ αἰτίαν. εἰ τοίνυν ἐστὶ τρίτον, ἄρα ἕπεται ἀναγκαίως, ὥστε τὸν υἱὸν αὐτὸν εἶναι αἰτίαν, καὶ ἀρχὴν τοῦ ἁγίου πνεύματος. καὶ τοῦτο οὐ δυνατὸν, ὅτι μὴ διὰ κοινωνίαν τῆς θείας φύσεως· ἐπειδὴ ὡς ἄλλοτε εἶπον, αὕτη ἐστὶν ἡ τάξις, ὅτι τίς ἐστιν ἀπό τινος ἐπὶ τῶν θείων προσώπων, καὶ ἀπὸ τούτων λαμβάνει τὴν οὐσίαν, καὶ τὸ εἶναι, καὶ τὴν τάξιν. νῦν οὖν τὸ λαμβάνειν ταὐτόν ἐστι τῷ ἐκπορεύεσθαι, ὡς ἤδη ὑπετέθη, καὶ ἀπεδείξαμεν ἀληθῶς καὶ λαμπρῶς. ἄρα εἰ λαμβάνει ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα, ἀληθὲς ὅτι καὶ ἐξ αὐτοῦ ἐκπορεύεται. εἰσὶ δὲ καὶ ἄλλαι μαρτυρίαι ἀληθεῖς τοῦ Βασιλείου, ἀφ' ὧν ἀποδείξω ὅτι τὸ πνεῦμα ἔχει παρὰ τοῦ υἱοῦ τὸ εἶναι καὶ τὸ ἐκπορεύεσθαι, ἐν αἷς ὄψεσθε φωτὸς καθαρώτερον, ὅτι τὸ ποιῆσαν ἐκεῖνον λαλῆσαι ἐν ἄλλαις μαρτυρίαις
* Ἴσ. λαλῆσαι κατ' αὐτοῦ. ὑπὲρ τῆς ἀληθείας, κατ' οὐδένα τρόπον ἐποίησε * λαλῆσαι. ἴωμεν οὖν ἐφ' ἕτερον μέρος. νῦν οὖν ἦλθες ἐπὶ τὴν χρῆσιν τοῦ μεγάλου Ἀθανασίου καὶ πρὸς ταύτην μόνην· καὶ γὰρ εἰ ἐξέθου τὴν χρῆσιν καλῶς, ἄμεινον ἂν ταύτην καὶ συνῆκας. λέγει ὁ Ἀθανάσιος τῆς φωνῆς καὶ τῆς ἀπολογίας τὴν ἀνασκευὴν ἣν ἐποίησεν ἐν ἐκείνῳ τῷ διαλόγῳ· ἔχομεν τὸ κατὰ τοῦ Ἀρείου κείμενον· οὕτως εἶπεν· Εἰ οὐκ ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, τίνος χάριν ὁ υἱὸς τοῦ θεοῦ αὐτὸ συνηρίθμησεν ἐν τῷ συμβόλῳ τοῦ ἁγιασμοῦ· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη; Θέλει οὖν εἰπεῖν, ἵνα καὶ σαφέστατα πάντες συνῶσιν, ὅτι εἰ τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἔστιν ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, κατ' οὐδένα τρόπον ἂν συνηριθμήθη ἐν τῷ τοῦ ἁγιασμοῦ συμβόλῳ. οἴδατε γὰρ ὑμεῖς, ὦ

κύριοι Γραικοὶ, ὅτι τὸ λεγόμενον παρὰ τοῖς Γραικοῖς, σύμβολον, τοῦτο σύνθημα παρὰ Λατίνοις. καὶ τοῦτο λέγει ὁ μακαριώτατος Κλήμης πάπας ὁ μετὰ τὸν Πέτρον, γράφων τῷ μακαρίῳ Ἰακώβῳ· οἱ ἀπόστολοι, φησὶ, συνελθόντες ἐποίησαν σύμβολον. τίθησι καὶ ταύτην τὴν ἑρμηνείαν· Σύνθημα μὲν εἴρηται, ὅτι ἐποίησαν συνθήκην τινὰ, δεῖγμα δὲ ὅτι διὰ τούτου δείκνυται τὸ πιστευόμενον καὶ ἐπειδὴ διὰ τοῦ βαπτίσματος χαρακτηρίζεται ὁ Χριστιανὸς ἀπὸ τοῦ μὴ Χριστιανοῦ, καλεῖ ὁ Ἀθανάσιος σύμβολον ἁγιασμοῦ. νῦν οὖν λέγει, ὅτι εἰ οὐκ ἦν τὸ πνεῦμα ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ, οὐκ ἂν ἐτίθετο ἐν τῷ συμβόλῳ. ἄλλοτε εἶπον ὑμῖν σαφὲς εἶναι, οὕτω τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ υἱοῦ ἔχειν τὸ εἶναι, καθὼς λαμβάνει τὸ εἶναι ὁ υἱὸς ἐκ τῆς οὐσίας τοῦ πατρός. νῦν οὖν λέγει· Εἰ τὸ εἶναι οὐκ εἶχε παρὰ τοῦ υἱοῦ, οὐκ ἂν συνηριθμεῖτο. ὅτε οὖν σὺ ἀπεκρίνω πρὸς ἐμὲ, ἔλεγες οὕτως, ὅτι αὐτὸς εἴωθα συνάγειν τὰς μαρτυρίας ἔνθεν κἀκεῖθεν, καθὼς ἐποίησα ἐν τῇ προλαβούσῃ, ἐπειδὴ προήγαγον τοῦ μακαρίου Ἐπιφανίου τινὰς χρήσεις, ἐν αἷς τὸ Ἐστὶ μὴ πρόσκειται· βούλομαι νῦν ἀναστρέψαι ἐπὶ ταύτας· εἰ οὖν συννοεῖται τὸ Ἐστὶν ἐν τοῖς προκομισθεῖσι παρ' ἐμοῦ, ἐγὼ οὐκ ἔθηκα, ἀλλ' ὁ Ἀμβρόσιος ἔθηκε λέγων, ὅτι ἐξ ἀνάγκης τοῦτο νοεῖται· οὕτω φησὶν ἡ πρώτη χρῆσις· Υἱὸν καλεῖ, ὅτι οὗτος ἐξ αὐτοῦ· τὸ δὲ πνεῦμα τὸ ἅγιον, τὸ μόνον ἐξ ἀμφοτέρων. νῦν οὖν ἐρωτῶ πάλιν, εἴπερ ἐν ταύταις ταῖς δυσὶ προτάσεσιν ἀναγκαίως νοεῖται τὸ Ἐστὶ, καὶ καθὼς εἶδον ἐκ πολλῶν ἑρμηνειῶν τοῦ Ἀμβροσίου, οὗτος φαίνεται τρόπος τῶν διδασκάλων τῶν Γραικῶν ὅτι ἐν ταῖς προτάσεσιν, ἐν αἷς ἀναγκαίως νοεῖται τὸ ῥῆμα, οὐκ εἰώθασι προφέρειν. καὶ τοῦτο φαίνεται καὶ ἐν ταῖς χρήσεσι τοῦ μεγάλου Βασιλείου λέγων ἐν ταύτῃ, τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐ τίθεται τὸ Ἐστὶ, νοεῖται δὲ ἀναγκαίως. ἡ δευτέρα μαρτυρία ἦν αὕτη· Οὔτε τὸν υἱόν τις ἔγνω, εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἀληθῶς δοξάζον, τὸ ἐκδιδάσκον πάντα, τὸ ἐκ πατρὸς καὶ υἱοῦ· οὐ τίθεται τὸ Ἐστὶν, ἀλλ' ὅμως νοεῖται. νῦν οὖν ὅσον πρὸς τοῦτο, παρακαλῶ μὴ χρῶ λόγοις ἠθικοῖς εἰς τὸ ἑξῆς, ἢ ῥήμασιν ἐνίοτε σημαίνουσιν ἤθη, ὅτι τὰ τοιαῦτα ῥήματα οὐ ποιοῦσιν ἐστηριγμένον, καὶ εἰς τὸ ἑξῆς συμφωνήσομεν· ὅταν ἀναγκαίως νοῶνται τὰ ῥήματα. μὴ ἔλεγχέ με οὖν περὶ ταύτης. πρὸς δὲ τὴν δευτέραν ῥῆσιν Ἀθανασίου ἤδη

διὰ βραχέων ἐρῶ, ὅτι ἐξ ἀνάγκης ἕπεται, τὸ πνεῦμα δεύτερον τοῦ υἱοῦ τῷ ἀξιώματι καὶ τῇ τάξει εἶναι, εἰ σημειοῖς καλῶς τὰ ῥήματα τοῦ Ἀθανασίου, καὶ σταθμίζεις φυσικῶς· ὅτι τοιαύτην ἔχει φύσιν καὶ τάξιν τὸ πνεῦμα πρὸς τὸν υἱὸν, οἵαν ὁ υἱὸς πρὸς τὸν πατέρα. νῦν οὖν εἰ λέγει τις κτίσμα τὸ πνεῦμα, ἕξει ἐξ ἀνάγκης εἰπεῖν ταὐτὸ καὶ περὶ τοῦ υἱοῦ διὰ τὴν ὁμοιότητα τῆς τάξεως. νῦν ἡ τάξις τῆς φύσεώς ἐστιν ἐκ τοῦ θάλλοντος τὸ θάλλον, καὶ ἐπιφέρει ἓν πρόσωπον ἐξ ἑτέρου· καὶ οὗτός ἐστι κοινὸς τρόπος τῶν τε φιλοσόφων καὶ τῶν θεολόγων, καθὼς ἄλλοτε διεσάφησα τὴν τάξιν τῆς φύσεως. ἀλλ' οὐκ ἔστιν ἐπὶ τῆς θεολογίας βιάζεσθαι τοὺς ὅρους ἔξω τῶν ἑαυτῶν σημαινομένων, καθὼς οἱ διδάσκαλοι χρῶνται· εἰ τοίνυν ἡ τάξις τῆς φύσεώς ἐστι τάξις προόδου, δι' ἧς λαμβάνει τὴν φύσιν ἕτερον ἐξ ἑτέρου, ἥτις φύσις ἐστὶν ἀρχὴ δι' ἧς, ὥσπερ καὶ ὁ Δαμασκηνὸς τίθησιν, ἕπεται ὅτι ἡ γέννησίς ἐστι τάξις φύσεως, οὐχ ὡς τοῦ γεννῶντος, ἀλλ' ᾗ τὸ γεννῶν γεννᾷ· καὶ ἡ ἀρχὴ δι' ἧς, ἐστιν ἀρχὴ ἡ μεταδιδομένη.

Ὁ ΈΦΕΣΟΥ. Μὴ μετάβαλλε τὰς λέξεις· οὐκ ἔστι ταὐτὸν τὸ λέγειν τάξιν καὶ φύσιν, καὶ λέγειν * τάξεως φύσιν.

* Ἴσ. φύσεως τάξιν.

Ὁ ἸΩΑΝΝΗΣ. Λέγω εἰ ἔστι τάξις κατὰ τὴν φύσιν, καὶ ἔστι τάξις φύσεως· ὅτι τὸ εἶναι τάξιν κατὰ τὴν φύσιν, ἐστὶ τάξιν φύσεως εἶναι, τουτέστιν, ἐν τῷ προσώπῳ ἀφ' οὗ ἐστιν ἕτερον, εἰ ἔχει τὴν ἀναφορὰν τῆς ἀρχῆς, καὶ εἰ οὕτω κοινωνεῖ αὐτῷ ταύτην τὴν φύσιν. καὶ οὕτως ἕπεται τὸ πνεῦμα τὸ ἅγιον καὶ τάξει καὶ φύσει δεύτερον εἶναι τοῦ υἱοῦ, καὶ λαμβάνειν τὸ εἶναι παρ' αὐτοῦ, καὶ ἑπομένως ἐκπορεύεσθαι ἐξ αὐτοῦ. περὶ δὲ τῆς ἀποστολῆς τῆς χρονικῆς, ἐπειδὴ ἑτέρα ἐστὶν ὕλη, ἐν ἄλλοις ἀποκριθήσομαι.

Ὁ ΒΑΣΙΛ. Ὑμεῖς οἴδατε, ὅπως περιέστη ἵνα διαλεγώμεθα ἐν ὀλίγοις, νῦν δὲ ἐῤῥήθησαν ἀφ' ὑμῶν πολλὰ καὶ τοσαῦτα, ὅσα οὐ δυνήσονται οἱ ἡμέτεροι ἀπολογήσασθαι ἕως ἑσπέρας.

Ταῦτα τοῦ βασιλέως εἰπόντος ἐλύθη ἡ σύνοδος, τῷ σαββάτῳ ὁρίσαντες γενέσθαι αὐτήν. τοῦ σαββάτου τοίνυν ἐλθόντος, καὶ τῆς τάξεως γενομένης, ἤρξατο ὁ Ἐφέσου.

Μαρτίου τετάρτη καὶ δεκάτη τῷ σαββάτῳ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΚΒ.

Ὁ ΈΦΕΣΟΥ. Ἐὰν ἐθελήσωμεν ἅπασι τοῖς παρ' ὑμῶν εἰρημένοις ἀντεπεξάγειν τὸν ἡμέτερον λόγον κατὰ συνέχειαν, εἰς τοσοῦτον ἡμῖν ἐκταθήσεται μῆκος, ὡς μηδ' ἂν ἐξαρκέσαι πρὸς τοῦτο τὸν χρόνον ἅπαντα τῆς συνελεύσεως ταύτης. ἐπεὶ δὲ τὸ μακρηγορεῖν πολλάκις ἡμῖν ἄκαρπον κατεφάνη, φέρε κατὰ μέρος ἀπολαβόντες τῶν εἰρημένων ἕκαστον, ὡς ἂν ἐπέλθῃ τῇ μνήμῃ, διὰ βραχέων ὡς οἷόν τε δοκιμάσωμεν, ἐρωτῶντες, καὶ λόγον λαμβάνοντες, καὶ αὐτοὶ διδόντες ἡνίκα δεήσει. τὸ πρῶτον τοίνυν τῶν παρὰ σοῦ προενεχθέντων ῥητῶν τοῦ ἁγίου Ἀθανασίου, πάτερ αἰδέσιμε, μὴ νενοηκέναι ἡμᾶς ἔφης, ἐπειδήπερ οὐκ ἐξεθέμεθα τοῦτο καθὼς ἔχει.

Ὁ ἸΩΑΝΝΗΣ. Ἵνα προβαίνῃ ἡ διάλεξις κατὰ τὴν τάξιν τῶν προκομιζομένων ῥητῶν, δέον ἐστὶν ἵνα εἴπῃς πρότερον τὸ ῥητὸν τοῦ ἁγίου Βασιλείου· τὸ γὰρ ῥητὸν τοῦ Ἀθανασίου μετὰ τοῦτο προεκομίσθη.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλ' ἐν τῇ προτέρᾳ συνελεύσει πρότερον ἀνεγνώσθη καὶ ἐσαφηνίσθη τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου. διὸ χρὴ πρότερον ἐκεῖνο ἐξετάσαι, καὶ λαβεῖν παρὰ σοῦ σαφήνειαν ἐφ' οἷς εἶπας, καὶ μετὰ τοῦτο πάλιν καὶ πρὸς τὸ τοῦ Βασιλείου χωρήσομεν.

Ὁ ἸΩΑΝΝΗΣ. Ἵνα προβαίνωμεν κατὰ τάξιν, ἐπειδὴ μὴ οὔσης τάξεως μεταξὺ ἡμῶν, εἴη ἂν σύγχυσις, ἀναλαμβάνω τὸ πρῶτον ὃ εἶπας ἐν τῇ προλαβούσῃ συνελεύσει. πρῶτον αὐτὸς ἠρώτησάς με, εἰ ἐδόξαζον τὸν μέγαν Βασίλειον ταύτην ἐσχηκέναι τὴν δόξαν, ὡς τῶν ἁγίων τῶν πρὸ ἐκείνου οὕτω πεφρονηκότων, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον· ἅτινα τελευταῖον αὐτὸς προεκόμισας ἀποκρινόμενος κατὰ τὴν τάξιν. ἑπομένως δὲ μετέβης πρὸς τὰ ῥητὰ τοῦ Ἀθανασίου. ἐγὼ δὲ βουλόμενος ἀποκριθῆναι κατὰ τὴν τάξιν, ἐποιησάμην τὴν ἀπόκρισιν πρὸς τὸ σὸν ἐρώτημα, καὶ ἐκόμισα καὶ τὸ ῥητὸν πρῶτον τῆς ὁμολογίας ἐκείνης· εἶτα ἐπήγαγον, ὅτι εἰ προσέκειτο τῷ ῥητῷ τοῦ ἁγίου Βασιλείου, ὅπερ αὐτὸς προεκόμισας, συνέβη ἂν τὸν Βασίλειον ἀμφιβολίαν ἐσχηκέναι περὶ

τοῦ πράγματος ἐκείνου, ὅπερ ἔδει εἶναι ἰσχυρότερον· οὐκ ἠδύνατο οὖν χώραν ἐσχηκέναι τὸ παρ' ὑμῶν προκομισθέν. τρίτον ἀπέδειξα ἔκ τε τῶν προηγουμένων καὶ τῶν ἑπομένων, κατὰ τὴν πρὸς σοῦ προχειρισθεῖσαν τάξιν. τέταρτον ἦλθον καὶ ἐπὶ τὰ ῥητὰ τοῦ μεγάλου Ἀθανασίου. καλὸν οὖν τηρῆσαι τὴν τάξιν· ἄλλως γὰρ ἂν εἴη ἀταξία, καὶ ἔσται μεταξὺ ἡμῶν σύγχυσις. ἐπειδὴ δὲ ὁ γαληνότατος κύριος ὁ βασιλεὺς ἐζήτησε τοῦτο, καὶ ἤρεσε καὶ τῷ μακαριωτάτῳ δεσπότῃ ἡμῶν καὶ πᾶσιν ἡμῖν, ἵν' ἀπὸ κεφαλαίου εἰς κεφάλαιον, καὶ ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα μεταβαίνοντες τὴν τάξιν τηρήσωμεν τῆς διαλέξεως, καλὸν ἂν εἴη καὶ τὴν σὴν αἰδεσιμότητα πρὸς τὰ πρῶτα ἀπολογήσασθαι.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ μὲν ἐβουλόμην πρὸς τὴν παρ' ἐμοῦ γενομένην τάξιν καὶ σήμερον τὸν λόγον ποιήσασθαι, πρῶτον μὲν συστῆσαι τὸ παρὰ σοῦ προκομισθὲν ῥητὸν τοῦ μεγάλου Ἀθανασίου, ὅτι πρὸς τὴν ἐμὴν διάνοιαν ἀφορᾷ μᾶλλον ἢ τὴν παρὰ σοῦ εἰρημένην. ἐπειδὴ δὲ αὐτὸς τῇ παρὰ σοῦ γενομένῃ τάξει καὶ ἡμᾶς ἀξιοῖς ἕπεσθαι, πληρώσομεν καὶ ἐν τούτῳ τὸ σὸν θέλημα, καὶ τὰ παρὰ σοῦ εἰρημένα πρότερον πρὸς τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου διασαφήσομεν. λέγομεν οὖν ὅτι διὰ τριῶν τινων ἠβουλήθης συστῆσαι τὸ παρ' ὑμῖν βιβλίον ὡς ὑγιῶς ἔχον, ὅπερ ὡς νενοθευμένον καὶ διεφθαρμένον παρ' ἡμῶν ἐξηλέγχθη. καὶ τὸ μὲν πρῶτον τῶν παρὰ σοῦ εἰρημένων ἦν ἐπὶ τούτῳ τῷ μέρει, ὅτιπερ ὁ μέγας Βασίλειος ἐν ἑτέρῳ τινὶ λόγῳ, ὃν περὶ τοῦ ἁγίου πνεύματος ἔγραψε, φαίνεται ταύτην τὴν δόξαν ἔχειν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ υἱοῦ ἔχει τὸ εἶναι. δεύτερον εἶπας πρὸς τὴν τοῦ βιβλίου σύστασιν, ὅτι ἡ παρὰ τῷ ἡμετέρῳ βιβλίῳ κειμένη ἀμφιβολία, τουτέστιν ἡ προσθήκη τὸ Ἴσως ἀναξία φαίνεται τῆς τοῦ μεγάλου φωνῆς τε καὶ διανοίας, καὶ μῶμόν τινα ἐπάγει τῷ θαυμαστῷ ἐκείνῳ διδασκάλῳ, εἰ περὶ τῶν θείων δογμάτων οὕτως ἠμφίβαλλε, καὶ μὴ καθαρῶς καὶ θαῤῥούντως ἀπεφαίνετο. τρίτον τῶν παρὰ σοῦ εἰρημένων, ὅτι ἐκ τῶν προηγουμένων φαίνεται τὸ παρ' ὑμῖν βιβλίον ὑγιῶς ἔχον καὶ δόξαν εἶναι καὶ γνώμην τοῦ μεγάλου Βασιλείου τοῦτο τὸ, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. πρὸς μὲν οὖν τὸ πρῶτον, ἀναγνωσθείσης τῆς χρήσεως, τὰ δοκοῦντα ἡμῖν ἐροῦμεν.

Ἀνεγνώσθη τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου οὕτως ἔχον· Εἰ καὶ

μὲν οὖν πατέρα, ἕνα δὲ υἱὸν, ἓν δὲ καὶ πνεῦμα ἅγιον κατὰ τὴν θείαν παράδοσιν ὁμολογητέον· καὶ οὔτε δύο πατέρας, οὔτε δύο υἱοὺς, διόπερ τὸ πνεῦμα τὸ ἅγιον υἱὸς οὐκ ἔστιν, οὐδὲ ὀνομάζεται. Καὶ τούτου ἀναγνωσθέντος εἶπεν ὁ Ἐφέσου.

Ἐν τούτοις οὐ μόνον οὐ κεῖται, ὅτι τὸ πνεῦμα λαμβάνει τὸ εἶναι παρὰ τοῦ υἱοῦ, ἀλλ' οὐδ' ὅτι τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνει, νοεῖν ἐξ ἀνάγκης ἐστί. δυνάμεθα γὰρ νοεῖν ἐκ τῶν εἰρημένων, ὅτι οὐ λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα λαμβάνομεν, καὶ αὕτη ἡ διάνοια σύμφωνός ἐστι τῇ διανοίᾳ τῇ ἐμῇ, καὶ τῇ διανοίᾳ τῶν εἰρημένων καὶ τῷ σκοπῷ τοῦ διδασκάλου, καθὼς ἡμεῖς ἀποδείξομεν. καὶ γὰρ οἱ μαχόμενοι τῷ ἁγίῳ πνεύματι πρὸς τοὺς ὀρθοδόξους ἔλεγον, τοιαύτῃ τινὶ διαιρέσει χρώμενοι· εἰ μὲν παρὰ τοῦ πατρὸς ἐγεννήθη τὸ πνεῦμα, ἰδοὺ δύο υἱοὶ, τουτέστιν ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· εἰ δὲ παρὰ τοῦ υἱοῦ, ἰδοὺ δύο πατέρες, ὁ πατὴρ δηλονότι καὶ ὁ υἱός. πρὸς τούτους οὖν ἀπαντῶν ὁ μέγας Βασίλειος, ἕνα πατέρα, φησὶν, ὁμολογητέον καὶ ἕνα υἱὸν, καὶ ἓν πνεῦμα ἅγιον κατὰ τὴν θείαν παράδοσιν. τὸ γὰρ πνεῦμα τὸ ἅγιον εἰ καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, ἀλλ' οὐχ ὡς υἱὸς, οὐδὲ ἐξ αὐτοῦ ἐγεννήθη. καὶ διὰ τοῦτο οὔτε δύο πατέρας, οὔτε δύο υἱοὺς λέγομεν. τὸ γὰρ πνεῦμά, φησιν, οὐκ ἔστιν υἱὸς, οὐδὲ ὀνομάζεται, καὶ δῆλον, ὅτι παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα λαμβάνομεν, τουτέστι, τὸ τῆς υἱοθεσίας πνεῦμα. τοῦ κατὰ φύσιν γὰρ υἱοῦ ἐστιν ἴδιον τὸ υἱοθετεῖν ἡμᾶς διὰ τοῦ πνεύματος. καὶ τοῦτο παραστῆσαι βουλόμενος ὁ μακάριος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ τοιάδε φησίν· Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον· Ἀββᾶ ὁ πατήρ· * εἰ τοίνυν παρὰ τοῦ υἱοῦ λαμβάνοντες τὸ τῆς υἱοθεσίας πνεῦμα υἱοθετούμεθα τῷ πατρὶ δι' αὐτοῦ, παρὰ δὲ τοῦ πνεύματος οὐχ ἕτερά τινα λαμβάνομεν παρ' αὐτὸ τὸ πνεῦμα, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἕτερον ὂν αὐτοῦ τοῦ υἱοῦ, οὐκ ἄρα τὸ πνεῦμα υἱὸς, ὥσπερ οὐδὲ ὀνομάζεται παρὰ τῇ γραφῇ. πρὸς ταύτην τὴν διάνοιαν εἶπεν ὁ μέγας Βασίλειος ὅπερ ἐνταῦθα κεῖται, ὅτι τὸ πνεῦμα υἱὸς οὐκ ἔστιν, οὐδὲ ὀνομάζεται, ἐπεὶ οὐ λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, ἕτερα δηλονότι τοῦ πνεύματος, καὶ καθ' αὑτὰ ὑφεστῶτα, ὥσπερ λαμβάνομεν τὸ

* Γαλ. 4, 6.

πνεῦμα τὸ ἅγιον παρὰ τοῦ υἱοῦ, ἕτερον ὂν αὐτοῦ κατ' ἰδίαν ὑπόστασιν, ἀλλ' αὐτὸ τὸ πνεῦμα προσιὸν ἡμῖν καὶ ἁγιάζον ὑποδεχόμεθα, καὶ ἐνεργοῦν ἐν ἡμῖν τὰ αὐτοῦ χαρίσματα, καθώς φησιν ὁ ἀπόστολος, ὅτι πάντα ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. σὺ δὲ πόθεν ἔχεις ἐντεῦθεν λαβὼν, ὅτι τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνει τὸ εἶναι; τοῦτο γὰρ οὐδαμῶς ἐκ τῆς τῶν εἰρημένων ἀκολουθίας φαίνεται.

Ὁ ἸΩΑΝΝΗΣ. Μακρὰν ἐποιήσω ὁμιλίαν, πάτερ αἰδεσιμώτατε, περὶ τὴν ἐξήγησιν τοῦ ῥητοῦ, ἀλλὰ περὶ τὸ καίριον τοῦ ῥητοῦ οὐδενὸς ἥψω, πλὴν εἰ μὴ περὶ τὸ τέλος, ἡνίκα εἴρηκας, πόθεν ἔχω λαβὼν τὴν ἐξήγησιν ταύτην. τὸ ῥητὸν τοίνυν φησίν· ἕνα πατέρα ὁμολογητέον, καὶ ἕνα υἱὸν, καὶ ἓν πνεῦμα ἅγιον· καὶ οὐκ εἶναι δύο πατέρας, ἢ δύο υἱούς· καὶ ὅτι τὸ πνεῦμα οὐκ ἔστιν υἱὸς οὔτε ὀνομάζεται. ἐν ἐκείνῃ τῇ ὁμιλίᾳ ἀπολελυμένως οὐ διαλέγεται ὁ μέγας Βασίλειος, ἀλλὰ διωρισμένως. διὰ τοῦτο μετὰ ταῦτα λέγει οὕτως· Οὐδὲ γάρ τινα παρὰ τοῦ πνεύματος λαμβάνομεν, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα. ποιεῖται οὖν ἐκεῖσε μίαν παράθεσιν, ἡ δὲ παράθεσις ἐκείνη ἐστὶν αὕτη, ὅτι ἡμεῖς οὐ λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, ὥσπερ τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Οὐ δοκεῖ ἡμῖν οὕτως.

Ὁ ἸΩΑΝΝΗΣ. Καὶ παραδείγματος χάριν· οὐδὲ λαμβάνει τις τῶν ὑποδεεστέρων παρὰ τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως, ὃν τρόπον λαμβάνει τις τῶν λογάδων παρὰ τοῦ ἄκρου ἀρχιερέως· καὶ ἔστιν ἀδύνατον κατὰ τὸν τῆς παραθέσεως ἐκεῖνον τρόπον τό· Τις τῶν λογάδων, εἶναι πτώσεως αἰτιατικῆς· καὶ διὰ τοῦτο ἀναγκαίως δεῖ εἶναι εὐθεῖαν τὸ πνεῦμα, ἐν τῷ· Ὥσπερ τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο εἶχεν ἂν οὕτως, εἴπερ προσέκειτο, ὥσπερ λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ. νῦν δὲ οὐ κεῖται τοῦτο, ὅτι λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, ὥσπερ λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ· καὶ διὰ τοῦτο οὐκ ἔστιν ἁρμοδία ἡ παράθεσις πρὸς τὴν λῆψιν, ἣν λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, πρὸς τὴν λῆψιν, ἣν λαμβάνομεν ἡμεῖς. καὶ ὅλως ἀνακόλουθόν ἐστι τὸ, λαμβάνειν ἡμᾶς τοιαύτην λῆψιν, οἵαν λαμβάνει τὸ πνεῦμα τὸ ἅγιον. ἔστι δὲ τοῦτο πρὸς τὸν σκοπὸν τοῦ Βασιλείου ἀνακόλουθον· βού-

λεται γὰρ ἀποδεῖξαι, ὅτι τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἔστιν υἱὸς, οὐδὲ ὀνομάζεται. σύναψον οὖν πρὸς τὸν σκοπὸν τοῦτον τὴν διάνοιαν ὧν λέγει· ἡμεῖς γὰρ αὐτὴν ἀκριβῶς συνήψαμεν δι' ὧν εἴπομεν· οὕτω γὰρ εἴπομεν, ὅτι διὰ τοῦτο οὐκ ἔστιν υἱὸς, οὐδὲ ὀνομάζεται τὸ πνεῦμα τὸ ἅγιον, διότι λαμβάνομεν αὐτὸ παρὰ τοῦ υἱοῦ. ὡς ἕτερον ὂν αὐτοῦ δηλονότι· παρ' αὐτοῦ δὲ τοῦ πνεύματος οὐ λαμβάνομέν τινα ἕτερα παρ' αὐτὸ τὸ πνεῦμα, ὥσπερ τὸ πνεῦμα ἕτερον τοῦ υἱοῦ· βλέπε οὖν ἀκολουθίαν τοῦ λόγου· ἀλλ' αὐτὸ τὸ πνεῦμα προσιὸν ἡμῖν καὶ ἁγιάζον ὑποδεχόμεθα, καὶ ἐνεργοῦν ἐν ἡμῖν τὰ αὐτοῦ χαρίσματα, τὴν κοινωνίαν τῆς θεότητος, τὴν υἱοθεσίαν, καὶ τἄλλα. τοῦτό ἐστιν ἀκόλουθον πρὸς τὸν σκοπὸν τοῦ διδασκάλου καὶ τὴν διάνοιαν.

Ὁ ἸΩΑΝΝΗΣ. Λέγεις, ὅτι οὐ λαμβάνομέν τινα ἕτερα ὄντα παρ' αὐτὸ τὸ πνεῦμα.

Ὁ ἘΦΕΣΟΥ. Ἕτερα λέγω, ὥσπερ ἐστὶ τὸ πνεῦμα ἕτερον τοῦ υἱοῦ.

Ὁ ἸΩΑΝΝΗΣ. Κατὰ τούτου βούλομαι εἰπεῖν, ἐπεί ἐστιν ἀδύνατον, καὶ κατὰ πάσης χωροῦν ἱερᾶς γραφῆς.

Ὁ ἘΦΕΣΟΥ. Πῶς ἐστιν ἀδύνατον, ἐπειδὴ αὐτὸς ὁ διδάσκαλος λέγει τοῦτο;

Ὁ ἸΩΑΝΝΗΣ. Ἐρωτῶ σε, εἰ τὰ χαρίσματα τοῦ πνεύματός εἰσιν ἕτερα παρ' ἃ δίδωσιν ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ἘΦΕΣΟΥ. Οὐκ εἰσὶν ἕτερα, ὥσπερ ὁ υἱὸς καὶ τὸ πνεῦμα, καθ' αὑτὰ ὑφεστῶτα, ὥσπερ ὑφέστηκε τὸ πνεῦμα τὸ ἅγιον κατ' ἰδίαν ὑπόστασιν.

Ὁ ἸΩΑΝΝΗΣ. Οὐκ ἐρωτῶ, εἰ τὰ χαρίσματα τοῦ πνεύματός εἰσι τοιαῦτα ἕτερα.

Ὁ ἘΦΕΣΟΥ. Ἕτερά εἰσιν, ἀλλ' οὐ καθ' αὑτὰ ὑφεστῶτα.

Ὁ ΝΙΚΑΙΑΣ. Παρὰ τοῦ πνεύματος εἰ καὶ λαμβάνομεν τὰ χαρίσματα, ἀλλ' οὐκ εἰσὶν ὑφεστῶτα.

Ὁ ἸΩΑΝΝΗΣ. Ἕτερα παρ' αὐτὸ τὸ πνεῦμα ἔλεγες πρότερον κατὰ τὸν τρόπον, καθ' ὃν ἕτερον τοῦ υἱοῦ τὸ πνεῦμα.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο δυνάμεθα παραστῆσαι καὶ ἐξ ἑτέρας φωνῆς τοῦ Βασιλείου.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐρωτῶ σε, πάτερ αἰδεσιμώτατε, τὸ χορηγού-

μενον τοῦτο πνεῦμα παρὰ τοῦ υἱοῦ, κτίστης ἐστὶν ἢ κτίσμα; δύο γάρ εἰσιν ἐν τῷ παντὶ, κτίστης καὶ κτίσματα· καὶ ἔστι κτίστης τὸ πνεῦμα τὸ ἅγιον, αἱ ἐνέργειαι δὲ αὐτοῦ εἰσι κτίσματα. ἆρα κτίσμα ἐστὶ τοῦτο πνεῦμα τὸ ἅγιον, ὃ ἐξέχεεν ὁ Θεὸς πλουσίως εἰς ἡμᾶς διὰ Ἰησοῦ Χριστοῦ; Ὁ δὲ Ἐφέσου ἐσιώπα. καὶ πάλιν ὁ Ἰωάννης.

Ὁ ΙΩΑΝΝΗΣ. Δεύτερον ἐρωτῶ σε, πότερον τὰ χαρίσματα δίδονται μετ' αὐτοῦ τοῦ πνεύματος, καὶ μετὰ τοῦ προσώπου καὶ τῆς ὑποστάσεως αὐτοῦ τοῦ πνεύματος, ἢ οὔ; τρίτον, εἰ ταῦτά εἰσι τὰ χαρίσματα, ἅπερ λαμβάνονται παρὰ τοῦ ἁγίου πνεύματος;

Ὁ ΕΦΕΣΟΥ. Ὁ δὲ Ἐφέσου μηδὲν ἔχων ἀποκριθῆναι, ἐσιώπα ἐπιπολύ. καὶ ὁ βασιλεὺς φοβηθεὶς, μήποτε εἰς ἄλλο δόγμα ὁ λόγος ἐμπέσῃ, καὶ εἰς μέσον ἄκοντας περὶ κτιστοῦ καὶ ἀκτίστου ἡ ἐξέτασις φέρῃ ἡμᾶς, ὥρισεν ἵνα παύσωνται περὶ τούτου διαλέγεσθαι, ἀλλ' οἱ Λατῖνοι καὶ ἔτι τοῦτο ἐζήτουν αὐτούς. ὁ δὲ βασιλεὺς τὸν λόγον ἐπισχὼν ἔφη.

Ὁ ΒΑΣΙΛ. Ταῦτα οὐ ποιοῦσι πρὸς τὸ προκείμενον· προκείμενον δὲ λέγω τὸ καθόλου ζήτημα· καὶ οὐδὲν ἵσταται τὸ πᾶν εἰς τὸ κεφάλαιον τοῦτο. ἡμεῖς περὶ μιᾶς ὑποθέσεως ἐστήσαμεν λέγειν, καὶ οὐ περὶ ἑτέρας, ἥτις ἡμῖν προξενῆσαι μέλλει φιλονεικίας.

Ὁ ΙΩΑΝΝΗΣ. Ἄριστόν ἐστιν, ἐπειδὴ προετέθη, ἵνα διασαφηνισθῇ.

Ὁ ΕΦΕΣΟΥ. Τὸ ῥητὸν τοῦτο παρέχει ἡμῖν ἀμφιβολίαν, ἐπειδὴ ἄλλως μὲν νοεῖται παρ' ἡμῖν, ἑτέρως δὲ παρ' ὑμῖν· ἐκ δὲ τῶν ἀμφιβόλων οὐδὲν ἀναγκαῖον συνάγεται, οὐδ' ἄρα ἐκ τούτων ἀναγκαίως ἔχετε δεῖξαι τὸ ὑμέτερον βούλημα. ἐπεὶ οὖν δύναται κατὰ τὸν ὑμέτερον λόγον νοηθῆναι, ὅτι οὐ λαμβάνομεν ἕτερα παρὰ τοῦ πνεύματος, ὥσπερ λαμβάνει καὶ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα· τοῦτο δὲ καὶ πρὸς τὴν ἀκολουθίαν τῶν εἰρημένων ἐναντίον ἐστὶ, καὶ οὐδαμῶς εἰσάγει τὸν υἱὸν αἴτιον τοῦ ἁγίου πνεύματος, καταλείψαντες τοῦτο τὸ ῥητὸν ἐφ' ἕτερον μεταβῶμεν.

Ὁ ΙΩΑΝΝΗΣ. Ὁ μακάριος Κύριλλος ἐν τῇ ἐπιστολῇ, ἧς ἡ ἀρχή· Τοῦ σωτῆρος ἡμῶν ἐναργῶς λέγοντος, παραδίδωσιν ἡμῖν διδασκαλίαν, ὅτι οὐ μόνον ὀφείλομεν ἀφορᾶν πρὸς τὴν χρῆσιν ἀλλὰ καὶ τὴν διάνοιαν ἐκζητεῖν. νῦν οὖν κατὰ τοῦτον τὸν λόγον, εἴπερ

ἠθέλομεν μαρτυρίας ζητεῖν ἢ κομίζειν, εἶτα μὴ ἀνίχνευον τὸν νοῦν τῶν μαρτυριῶν, τότε ἂν ἐποιοῦμεν ἐξ ὀρθοῦ κατὰ τοῦ κανόνος τοῦ Κυρίλλου. νῦν οὖν ἑπόμενος τῷ κανόνι λέγω οὕτως· ὅτι ἡ χρῆσις αὕτη οὐδεμίαν ἔχει παρ' ἡμῖν ἀμφισβήτησιν, ἀλλ' ἔστι καθαρωτέρα τοῦ ἡλίου· ἀλλὰ τῷ βουλομένῳ ἀποδιδόναι ἐξήγησιν διεστραμμένην, ποιεῖ ὁμολογουμένως ἀμφιβολίαν· ὑμεῖς ἀποδώκατε ἔννοιαν παντάπασι διεστραμμένην, λέγοντες· ὥσπερ ἡμεῖς παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα λαμβάνομεν. οὐδὲ γάρ τινα παρὰ τοῦ πνεύματος λαμβάνομεν. αὕτη ἐστὶ διεστραμμένη ἐξήγησις, καὶ περιβέβληται ἀντιφάσει· καὶ πρῶτον, ὅτι κατὰ τὸν αὐτὸν τρόπον ὃν λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, τὸν αὐτὸν τρόπον καὶ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα * λαμβάνει. ἐπειδὴ λαμβάνοντες τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, λαμβάνομεν καὶ τὰ χαρίσματα τοῦ πνεύματος· καὶ λαμβάνοντες τὰ χαρίσματα, λαμβάνομεν τὸ πνεῦμα μετὰ τῶν χαρισμάτων. καὶ τοῦτό φησιν ὁ ἀπόστολος· Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.* εἴτε οὖν λαμβάνομεν τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, λαμβάνομεν τὰ χαρίσματα μετὰ τοῦ πνεύματος· εἴτε λαμβάνοντες τὰ χαρίσματα, λαμβάνομεν τὰ χαρίσματα μετὰ τοῦ πνεύματος. νῦν οὖν ὁ Βασίλειός φησιν· Οὐ γάρ τινα παρὰ τοῦ πνεύματος λαμβάνομεν, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα, καὶ ὅπου κεῖσθαι ἑτερότης μὴ δύναται, ἄρα ὀφείλει τὸ πνεῦμα ἐκεῖσε κεῖσθαι κατ' εὐθεῖαν πτῶσιν, καὶ οὐκ ἄλλως. ἵσταται τοιγαροῦν ἀληθὴς καὶ σαφὴς ἡ τῶν πατέρων ἐξήγησις· οὐ γάρ τινα παρὰ τοῦ πνεύματος λαμβάνομεν, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα· ἐπειδὴ ταῦτα τὰ χαρίσματά εἰσι διακεκριμένα κατὰ τὸ συγκεχωρημένον παρ' ὑμῶν, καὶ ὃ λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, ἔστι θεῖόν τι, καὶ ἔστι ταὐτὸν τῷ πνεύματι, ἔστι γὰρ ἄκτιστον· ταῦτα δὲ τὰ χαρίσματά εἰσιν ἐν ἡμῖν, καὶ εἰσὶ κτίσματα μεθ' ἡμῶν. καὶ οὕτως ἀναγκαῖόν ἐστι νοεῖσθαι ταύτης τῆς χρήσεως τὴν ἐξήγησιν.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς λέγομεν, ὅτι δύναται σώζεσθαι καὶ ἡ ὑμετέρα ἐξήγησις, καὶ οἱ πρότεροι λόγοι, οὓς εἶπας περὶ τῶν χαρισμάτων τοῦ ἁγίου πνεύματος· συμφωνοῦμεν γὰρ αὐτοῖς, ὅτι οὐκ ἄνευ αὐτοῦ τοῦ πνεύματος λαμβάνομεν αὐτοῦ τὰ χαρίσματα, ἀλλ' ἕκαστον τῶν χαρισμάτων μετ' αὐτοῦ τοῦ ἁγίου πνεύματος δεχό-

* Ἴσ. λαμβάνομεν.

* Ῥωμ. 5, 5.

μεθα καὶ λαμβάνομεν· ἐπειδὴ ὅλον ἑκάστῳ τῶν χαρισμάτων πάρεστι. λέγομεν οὖν, ὅτι τούτων οὕτω κειμένων δύναται σωθῆναι καὶ ἡ ἡμετέρα ἐξήγησις, ἐπειδὴ οὐ λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος καθ' αὐτὰ ὑφεστῶτα, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα· καὶ πρὸς ταύτην ἀλλ' αὐτό φησι, λαμβάνομεν. τοῦτο οὖν ἐστιν ἀκόλουθον τῷ προτέρῳ ῥητῷ· ὅτι οὐ λαμβάνομέν τινα παρὰ τοῦ πνεύματος, ὥσπερ παρὰ τοῦ υἱοῦ. λέγομεν οὖν, ὅτι δύναται σωθῆναι καὶ ἡ ἐξήγησις αὕτη, καὶ οἱ λόγοι περὶ ὧν συμφωνοῦμεν. ὅτι δὲ τὸ μὲν πνεῦμα λαμβάνει παρὰ τοῦ υἱοῦ τὸ εἶναι, καθὼς αὐτὸς προσέθηκας, ἡμεῖς δὲ παρὰ τοῦ πνεύματος κτίσματα λαμβάνομεν, τοῦτο οὔτε ἐκ τῆς ἀκολουθίας τῶν εἰρημένων φαίνεται, οὔτε ὅλως ἐξ ἀνάγκης συνάγεται, καὶ περὶ τοῦτό ἐστιν ἡμῖν ἡ διαφορά. δεῖξον οὖν αὐτὸς πόθεν λαμβάνεις, ὅτι τὸ μὲν πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνει τὸ εἶναι, ἡμεῖς δὲ παρὰ τοῦ πνεύματος λαμβάνομεν κτίσματα.

Ὁ ΒΑΣΙΛ. Διὰ τὸ σὸν θέλημα ἀπελογήθη, πλέον δὲ οὐκ ἀπολογηθήσεται πρὸς τοῦτο· ἡμεῖς γὰρ οὐκ ἤλθομεν ἐνταῦθα διὰ πολλὰς ὑποθέσεις.

Ὁ ἸΩΑΝΝΗΣ. Αὕτη ἐστὶν ἀνακεφαλαίωσις ἀήττητος, ὅτι τὸ πνεῦμα ἐκεῖ ἀναγκαίως κεῖται ἐπ' εὐθείας πτώσεως· ὅτι ἡνίκα λέγομεν, τὸ πνεῦμα λαμβάνομεν παρὰ τοῦ υἱοῦ, οὐδὲν ἄλλο ἐστὶν εἰπεῖν, ἢ λαμβάνειν τὸ πνεῦμα μετὰ τῶν αὐτοῦ χαρισμάτων· καὶ τοῦτο διὰ τοῦ ἀποστόλου δείκνυται λέγοντος· Ἡ ἀγάπη τοῦ θεοῦ ἐτέθη ἐν ταῖς καρδίαις ἡμῶν, δηλονότι παρὰ τοῦ θεοῦ, ἐπειδὴ ὁ υἱὸς δίδωσιν ἡμῖν τὸ πνεῦμα. λοιπὸν τὸ λαμβάνειν τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, οὐδὲν ἄλλο ἐστὶν, ἢ λαμβάνειν τὸ πνεῦμα μετὰ τῶν αὐτοῦ χαρισμάτων. ὅταν δὲ ἡμεῖς λαμβάνωμεν τὰ χαρίσματα, ἃ χαρίσματα ἀριθμοῦνται ἐν ταύτῃ τῇ χρήσει, οὐδὲν ἄλλο ἐστὶν, ἢ κοινωνία τῆς θεότητος, ἡ μετουσία τῆς υἱότητος, καὶ τῆς αἰωνίου κληρονομίας ὁ ἀῤῥαβών· ταῦτα ἡμεῖς λαμβάνομεν, ὥς φησιν ὁ Βασίλειος. ἄρα ἃ παρὰ τοῦ πνεύματος λαμβάνομέν εἰσι ταῦτα, οἷς παρὰ τοῦ υἱοῦ διὰ τοῦ πνεύματος λαμβάνομεν. νῦν οὖν τὸ ῥητὸν τἀναντία λέγει· οὐ γάρ τινα λαμβάνομεν παρὰ τοῦ πνεύματος, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα· εἰ ἦν τοῦτο αἰτιατικῆς πτώσεως, ἦν ἂν τὰ αὐτά. ὥστε δεῖ εἶναι μεταξὺ διαστολὴν τῶν

λαμβανομένων παρὰ τοῦ πνεύματος ἐκ τοῦ υἱοῦ, καὶ ὧν λαμβάνομεν ἡμεῖς παρὰ τοῦ πνεύματος· ἐπειδὴ αὕτη ἐστὶν ἀρχὴ γνωριματάτη, καὶ ταύτην τὴν ἀρχὴν ὁ Βασίλειος τίθησι, λέγων ἐν τῇ προκομισθείσῃ χρήσει, δύο γὰρ προκομισθέντων ῥητῶν, θεότητος καὶ κτίσματος, ἐπειδή φησιν, ὅτι πάντα τὰ τοῦ κόσμου ἢ κτίσματά εἰσιν, ἢ κτίστης· ἀλλὰ τὰ χαρίσματα τοῦ πνεύματος ἃ παρὰ τοῦ πνεύματος λαμβάνομέν εἰσι χαρίσματα ἐκτισμένα καὶ διακεκριμένα τοῦ πνεύματος ὄντος δημιουργοῦ. ὥστε εἰ οὐ λαμβάνομέν τινα παρὰ τοῦ υἱοῦ, δεῖ ἀναγκαίως ἕπεσθαι, ὅτι ὃ λαμβάνει τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ ἐστι θεότης. καὶ οὕτω κατ' οὐδένα τρόπον ἡ ἔννοια τοῦ μεγάλου Βασιλείου δύναται στῆναι κατὰ τὴν σὴν ἐξήγησιν. Ὁ δ' Ἐφέσου ἐσιώπα, καὶ οὐκ ἀπελογεῖτο πρὸς ταῦτα. ὁ δὲ βασιλεὺς εὐθὺς ἔφη.

Ὁ ΒΑΣΙΛ. Περὶ τοῦ προκειμένου ἐστὶν ἀνάγκη διαλέγεσθαι, περὶ δὲ τούτου ἴσως λαληθήσεται εἰς τὸν καιρὸν τὸν προσήκοντα.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐγώ σε νομίζω σοφώτατον καὶ λογιώτατον, καὶ πέπεισμαι, ὅτι ἄριστα καταλαμβάνεις, ὅπως ἀλήθειαν λέγωμεν, καὶ οὐκ ἔστιν ἄλλως νοηθῆναι. εἰ δὲ ἀρέσκει τῇ σῇ γαληνότητι ἐφησυχάσαι ἡμᾶς, τοῦτο ποιήσομεν.

ἸΟΥΛ. ΚΑΡΔ. Ἐὰν ᾖ ἀμφιβολία, οἱ ἀκροαταὶ κατέλαβον τοῦτο.

Ὁ ΒΑΣΙΛ. Καὶ ἡμεῖς οὕτω λέγομεν.

ἸΟΥΛ. ΚΑΡΔ. Ὁ κύριος ὁ προβεντζιάλιος καλῶς διεσάφησε τὴν ἔννοιαν ταύτης τῆς χρήσεως, καὶ πάντες καλῶς νοοῦσιν, ὅτι ἡ χρῆσις αὕτη οὐκ ἐπιδέχεται ἑτέραν ἔννοιαν. ἐπειδὴ δὲ ὑμεῖς οὐ βούλεσθε ἀποκριθῆναι πρὸς ἀνακεφαλαίωσιν, ἀρκούμεθα καὶ ἡμεῖς εἰς τοῦτο.

Ὁ ΒΑΣΙΛ. Εἰς τὸν προσήκοντα καιρὸν ἐξετασθήσεται καὶ τοῦτο.

Ὁ ἸΩΑΝΝΗΣ. Ἀρκούντως εἴρηται περὶ τὸ ῥητὸν τοῦτο, καὶ διὰ τοῦτο καθὼς ἀρέσκει τῷ μακαριωτάτῳ πάπᾳ καὶ τῷ βασιλεῖ τῷ ἁγίῳ, ἀρεσκόμεθα καὶ ἡμεῖς μεταβῆναι ἐφ' ἕτερα.

Ὁ ἘΦΕΣΟΥ. Ἐπειδὴ τὸ ῥητὸν τοῦτο ἐν ἀμφιβολίᾳ κεῖται διαφόρως ἡμῶν ταῦτο νοούντων, μεταβῶμεν ἐπὶ τὸ δεύτερον τῶν παρὰ σοῦ εἰρημένων.

Ὁ ἸΩΑΝΝΗΣ. Ἡμεῖς λέγομεν ὅτι τὸ ῥητὸν ἐσαφηνίσθη, καὶ ὑπερεσαφηνίσθη.

Ὁ ἘΦΕΣΟΥ. Τῇ τάξει καὶ τῷ ἀριθμῷ οὐκ ἔστι τὸ πνεῦμα τρίτον ἀριθμεῖν· οὐ γάρ ἐστι πρῶτον, δεύτερον καὶ τρίτον ἐπὶ τῶν θείων προσώπων, οὐδὲ ἓν, δύο καὶ τρία, ἀλλὰ ἓν καὶ ἓν καὶ ἓν, καὶ μία οὐσία. ἐπεὶ δὲ τὸ γεννᾷν καὶ τὸ προβάλλειν οὐκ εἰσὶ φυσικὰ ἰδιώματα, ἀλλ' ὑποστατικὰ, τὸ προβάλλεσθαι ἄρα παρὰ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκ δύο ὑποστάσεών ἐστιν, ὅπερ γίνονται δύο ἀρχαὶ καὶ δύο αἴτια.

Ὁ ἸΩΑΝΝΗΣ. Οὐχὶ, πάτερ, οὐχί. οὐ γὰρ δύο ἀρχὰς καὶ δύο αἴτια λέγομεν, ἀλλὰ μᾶλλον μίαν ἀρχὴν καὶ ἓν αἴτιον. ὁ γὰρ πατὴρ καθὸ πατὴρ πρὸς τὸν υἱὸν ἀναφέρεται, υἱοῦ γὰρ πατήρ· καὶ ὁ υἱὸς καθὸ υἱὸς ὡσαύτως πρὸς τὸν πατέρα ἀναφέρεται, πατρὸς γαρ υἱὸς, καὶ μὴ ὄντος υἱοῦ ἀδύνατον εἶναι πατέρα, σχετικὰ γάρ εἰσι ταῦτα καὶ τῶν πρός τι· τὸ δὲ πνεῦμα τὸ ἅγιον καθ' ἑαυτὸ οὔτε πρὸς τὸν πατέρα, οὔτε πρὸς τὸν υἱὸν ἀναφέρεται, καθὸ πατὴρ ἢ υἱός. οὕτω σοι δοκεῖ;

Ὁ ἘΦΕΣΟΥ. Οὕτως;

Ὁ ἸΩΑΝΝΗΣ. Τὸ γὰρ πνεῦμα καθὸ πνεῦμα πρὸς τὸν πνέοντα δεῖ ἀναφέρεσθαι· πνέοντες δέ εἰσιν ὁ πατὴρ καὶ ὁ υἱός· πατρὸς γάρ ἐστι πνεῦμα καὶ υἱοῦ, καὶ τούτῳ οὐδεὶς ἀντερεῖ λόγος. πνέουσιν οὖν οὗτοι τὸ πνεῦμα τὸ ἅγιον κατὰ μίαν πνευστικὴν, ἤτοι προβλητικὴν δύναμιν· ἥτις προβλητικὴ δύναμις μία οὖσα καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ, ἀρχοειδῶς μὲν τοῦ πατρὸς εἶναι νοεῖται, παρ' οὗ καὶ ὁ υἱὸς ταύτην ἔχει. καὶ ταύτῃ τῇ διανοίᾳ λέγομεν, ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἀρχὴ τοῦ ἁγίου πνεύματος καὶ ἓν αἴτιον.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἔστι δυνατὸν ἐκ δύο προσώπων ἐξέρχεσθαι ἓν αἴτιον; οὐκ ἔστι τοῦτο συναλοιφὴ τῶν ὑποστάσεων; τοῦτό ἐστι τοῦ Σαβελλίου τὸ δόγμα.

Ὁ ἸΩΑΝΝΗΣ. Ἄκουσον μετὰ μακροθυμίας, σεβασμιώτατε πάτερ, καὶ σύνες τὰ λεγόμενα. ἁπλῶς ἐν τοῖς θείοις ἓν αἴτιον λέγομεν καὶ μίαν ἀρχὴν, τὸν πατέρα, τοῦ υἱοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ πνεύματος δὲ κατὰ τὴν ἐκπόρευσιν. ἐπειδὴ ὁ πατὴρ ἐν τῷ γεννᾷν τὸν υἱὸν ἀχρόνως προΐησι καὶ τὸ πνεῦμα, ὁ υἱὸς ἐκ τοῦ πατρὸς λαμβάνει καὶ τὸ εἶναι καὶ τὸ προβάλλειν τὸ πνεῦμα

οὐκ ἐξ ἑαυτοῦ, ἀλλ' ἐξ ἐκείνου, παρ' οὗ καὶ αὐτὸς τὸ εἶναι ἔχει. κατὰ τοῦτον τὸν λόγον ἀρχοειδῶς καὶ ἁπλῶς αἴτιον τοῦ πνεύματος ὁ πατήρ. ὥστε οὐκ εἰσὶ δύο αἴτια, ἐπειδὴ τὰ τοῦ υἱοῦ ἀναφέρονται πάντα πρὸς τὸν πατέρα.

Ὁ ΕΦΕΣΟΥ. Ἔχει ἱκανῶς τοῦτο· νῦν ἐρχόμεθα πρὸς τὸ δεύτερον, ὃ εἶπας πρὸς σύστασιν τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου, ὅτι ὀρθῶς ἔχει καὶ ὑγιῶς, καθὼς ἐν τῷ ὑμετέρῳ βιβλίῳ κεῖται. τοῦτο ἦν, ὅτι ἀνάξιον ἦν τῆς διανοίας τοῦ μεγάλου Βασιλείου τὸ ἀμφιβολίας τιθέναι ἐν τοῖς παρ' αὐτοῦ ἀποφαινομένοις, καὶ λέγειν· Ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος, καὶ πάλιν· Ἵν' ὅλως καὶ συγχωρήσωμεν. πρὸς τοῦτο λέγομεν ἡμεῖς, τοῦτο μὴ εἶναι δόξαν τοῦ μεγάλου Βασιλείου καὶ διδασκαλίαν τῶν ἁγίων, καθάπερ ἔλεγεν ὁ Εὐνόμιος, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον. φαίνεται παντελῶς ὁ μέγας Βασίλειος μὴ παραδεχόμενος τοῦτο κατὰ τὸ πρῶτον τῆς ἐνστάσεως μέρος· λέγει γάρ, ὅτι προσποιεῖται φυλάσσειν τὴν τῶν ἁγίων διδασκαλίαν, καὶ ἐφεξῆς λέγει· Τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, εἰπεῖν οὐκ ἔχει. ἆρα γέγονεν οὕτω τολμηρὸς ἄνθρωπος, τὰς τῶν θείων δογμάτων καινοτομίας εἰσηγούμενος; καὶ ὁμολογουμένως οὐκ εἶχεν ὁ Εὐνόμιός τινας τῶν ἁγίων λέγοντας τοῦτο· τίνας γὰρ ἂν καὶ εἶχεν; ἐκεῖνος τὸν μέγαν Ἀθανάσιον ἅγιον οὐκ ἐνόμιζεν, ἀλλ' οὐδ' ἕτερός τις τῶν πρὸ αὐτοῦ τοιοῦτόν τι φαίνεται λέγων· τοῦτο μὲν οὖν ὅτι δόξα καὶ διδασκαλία τῶν ἁγίων ὑπῆρχεν, οὔτε ὁ Εὐνόμιος εἰπεῖν ἠδυνήθη, οὔτε ὁ Βασίλειος παρεδέξατο. ἐπειδὴ δὲ εἰκὸς ἦν εἰπεῖν τὸν Εὐνόμιον, ὅτι λέγεται τοῦτο παρὰ τῇ θείᾳ γραφῇ, τοῦ σωτῆρος ἡμῶν ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος εἰρηκότος· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος·* ἐκ τούτων δὲ φαίνεται τρίτον εἶναι τὸ πνεῦμα τὸ ἅγιον τῇ τάξει καὶ τῷ ἀξιώματι. δεχόμενος τοῦτο καθ' ὑπόθεσιν ὁ μέγας Βασίλειος, οὕτω φησίν· Ἀξιώματι γὰρ δευτερεύειν τοῦ υἱοῦ, ὁ τῆς εὐσεβείας ἴσως παραδίδωσι λόγος, λόγον εὐσεβείας λέγων, τὸν παραδοθέντα ἡμῖν ἐκ τῶν ἁγίων εὐαγγελίων, εἴ τις αὐτὸν ἐκλάβοι κατὰ τὴν εἰρημένην ἔννοιαν. λέγει οὖν οὕτως, ὅτι ἴσως, ἀμφιβάλλει παραδιδόναι τὸν λόγον τῆς εὐσεβείας, τουτέστι τὴν θείαν γραφὴν

* Ματθ. 28, 19.

καὶ τὴν ἐξ αὐτῆς παράδοσιν· ὅτι δὲ τρίτον ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, ἴσως ἄν τις, φησι, κατὰ τὴν ἀρίθμησιν ταύτην εἰς τὸ ἀξίωμα λάβοι, ὅτι ἐπειδὴ τρίτον ἀριθμεῖται τὸ πνεῦμα τὸ ἅγιον, τρίτον ἐστὶ καὶ τῷ ἀξιώματι. ἀλλ' εἴπερ ἄρα καὶ τοῦτο συγχωρήσομεν, οὐκ ἀναγκαίως φαίνεται καὶ τῇ φύσει τρίτον εἶναι. καὶ οὕτω τὸν λόγον τῆς ἀμφιβολίας τίθησιν, ὅτι οὐκ ἐξ ἀνάγκης ἐκ τῶν ῥημάτων τῆς γραφῆς φαίνεται τρίτον εἶναι τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ἴσως ἄν τις, φησιν, ἐκ τῆς ἀπαριθμήσεως ταύτης εἴποι, καὶ τρίτον τῷ ἀξιώματι. τοῦτο καὶ ὕστερον ἐπήγαγε μετὰ τὸ θεῖναι τὰ παραδείγματα τῶν ἀγγέλων, ὥσπερ ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ ὀρθῶς ἔχοντι κεῖται· λέγει γὰρ, ὅτι εἰ καὶ ὑποβέβηκε τῇ τάξει καὶ τῷ ἀξιώματι, ὡς λέγουσι· παρειλήφαμεν γὰρ τρίτον ἀπὸ πατρὸς ἀριθμούμενον, καὶ τὰ λοιπά. τούτῳ τῷ ῥητῷ τοῦ ἁγίου εὐαγγελίου ἦν εἰκὸς χρήσασθαι τὸν Εὐνόμιον, ἐπειδὴ τὴν παρὰ τῶν ἁγίων μαρτυρίαν οὐκ εἶχεν, ὥς φησιν ὁ μέγας Βασίλειος· ἐκ τούτου δὲ εἰκὸς ἦν συνιστᾶν τὴν οἰκείαν διάνοιαν· ὅπερ καθ' ὑπόθεσιν συγχωρῶν ὁ μέγας Βασίλειος, καὶ διὰ τοῦτο τὸ Ἴσως προσθεὶς πρὸς τὴν τοῦ ῥητοῦ ἀποβλέπων διάνοιαν· ἴσως γάρ, φησιν, ἐκ τούτου τοῦ ῥητοῦ ἰσχυρίζεται· ὅμως συνάγει καὶ ἀποδείκνυσιν, ὅτι οὐκ ἔστι τρίτον καὶ τῇ φύσει τὸ πνεῦμα τὸ ἅγιον. ἐξ ἀνάγκης διὰ ταύτην τὴν ἀμφιβολίαν τὸ Ἴσως τίθησιν, καὶ τὸ· Ἵν' ὅλως, καὶ τὰ ἑξῆς. καὶ οὕτως οὐδένα μῶμον προσάπτει τῷ μεγάλῳ Βασιλείῳ τὸ προσθεῖναι ταύτας τὰς ἀμφιβολίας ἐν τοῖς καθ' ὑπόθεσιν ὑπ' αὐτοῦ λεγομένοις. ἡμεῖς γὰρ οὕτως ὑπολαμβάνομεν. καὶ διὰ τούτου συνιστῶμεν τὰς ἡμετέρας βίβλους, πολλὰς οὔσας καὶ ἀναγκαίας.

Ὁ ἸΩΑΝΝΗΣ. Ὥστε τὴν ἀλήθειαν τῶν ἡμετέρων βιβλίων φανῆναι μᾶλλον ἢ τῶν ὑμετέρων, καὶ ὥστε διασαφηνισθῆναι φανερῶς, ὅτι ἡ ἀλήθεια οὕτως ἔχει, καθὼς ἐν τοῖς ἡμετέροις βιβλίοις εὑρίσκεται, καὶ κατ' οὐδένα τρόπον ἐν τῇ ὑμετέρᾳ βίβλῳ, ἠθέλησα λαβεῖν τὸ ἴσον καθὼς κεῖται ἀπὸ ῥήματος εἰς ῥῆμα, καὶ τοῦτο ὅσον ἦν ἀναγκαῖον λαβεῖν ἀπὸ τοῦ τρίτου λόγου μέχρι τῆς ἐπαγωγῆς τοῦ * πρώτου βιβλίου· καὶ ὁ Ἀμβρόσιος ἡρμήνευσε τοῦτο. ἐσκεψάμην οὖν ἐν οἷς συμφωνοῦμεν, καὶ ἐν οἷς διαφερόμεθα. ἡ οὖν πρώτη διαφορὰ αὕτη ἐστὶν, ὅτι ἔνθα τὸ ἡμέτερον λέγει· Ἀξιώματι δεύτερον τοῦ υἱοῦ, ἐξ αὐτοῦ τὸ εἶναι ἔχων, καὶ ἐξ αὐτοῦ λαμβάνων καὶ ἀναγγέλλων ἡμῖν,

* τοῦ ὑμετέρου.

καὶ ὅλως τῆς αὐτῆς αἰτίας ἐξημμένον, ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος· ἐντεῦθεν ἔσται· Φύσει δὲ χρῆσθαι τρίτη, καὶ τὰ λοιπά. ἡ δὲ ὑμετέρα βίβλος πᾶν τοῦτο ἀφεῖλε, καὶ ποιεῖ τοῦτο τὸ ῥῆμα τό· Ἀξιώματι δεύτερον εἶναι τοῦ υἱοῦ, ἴσως ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος. μετὰ δὲ ταῦτα μεταβαίνει καὶ λέγει· Φύσει δὲ χρῆσθαι τρίτη, καὶ τὰ ἑξῆς· οὕτως ὥστε φαίνεσθαι τὰ ἀφαιρούμενα. δεύτερον, βουλόμενος ἀποδεῖξαι ὁ Βασίλειος, ὅτι οὕτως ἐστὶν ἐν τῷ υἱῷ κατὰ τὴν ἀπόβλεψιν τοῦ πατρὸς, καὶ ἐπιφέρων τὴν ὁμοιότητα ἐπὶ τοῦ ἁγίου πνεύματος, ἐν τῷ τέλει ὅπου ἡ βίβλος ἡμῶν λέγει· Ἡ ὁμοιότης καθόλου τρέχει, ὅτι ὃν λόγον ὁ υἱός ἐστι δεύτερος τῷ ἀξιώματι καὶ τῇ τάξει τοῦ πατρὸς, τῇ φύσει δὲ οὐκ ἔστι δεύτερος, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον πρὸς τὸν υἱὸν τῷ ἀξιώματι καὶ τῇ τάξει ὑποβέβηκε, χωρίς τινος ἀμφιβολίας τίθησι τῇ ἡμετέρᾳ ἀκολούθως ἀπὸ τῆς ὁμοιότητος τοῦ υἱοῦ πρὸς τὸν πατέρα. ἡ δὲ ὑμετέρα βίβλος ἐπιτίθησιν ἐν τῷ τέλει τινὰ μερίδα ὑποκρινομένην ταύτην τὴν ἀμφιβολίαν· ἵν' ὅλως τοῦτο καὶ συγχωρήσωμεν· ὅθεν ἐπιχειρεῖ ἀπὸ ὑποτιθεμένης ἀμφιβολίας. ἡ δὲ τρίτη διαφορά ἐστιν ἐν τῷ τέλει· ἔνθα τεθέντων τῶν παραδειγμάτων τῶν ἀγγέλων, καὶ τῶν ἀστέρων, ὅθεν ὁ Βασίλειος ἐκ τοῦ προηγουμένου ἀπολελυμένου καὶ ἀληθοῦς ἐπάγει τὸ ἑπόμενον ἀπολελυμένον καὶ ἀληθὲς δίχα τινὸς ἀμφιβολίας, οὕτω λέγων ἐν τῷ ῥητῷ οὕτως ὁμολογουμένως· Τὸ πνεῦμα τὸ ἅγιον τῷ ἀξιώματι καὶ τῇ τάξει ὑποβέβηκε τὸν υἱόν. καὶ ἀποδείκνυσι τοῦτο διὰ τοῦ λόγου τῆς εὐσεβείας, ἐν ᾧ καθίδρυσε ταύτην τὴν τάξιν, ἀποδιδοὺς τὴν αἰτίαν, λέγων· Ἐλάβομεν γὰρ τρίτον ἀπὸ πατρὸς καὶ υἱοῦ ἀριθμεῖσθαι, αὐτοῦ τοῦ κυρίου ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος εἰρηκότος· Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ οὗτός ἐστιν ὁ λόγος τῆς εὐσεβείας, ἐν ᾧ καὶ ὁ Βασίλειος ἐθεμελίωσεν ἑαυτὸν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον τῇ τάξει καὶ τῷ ἀξιώματι τρίτον ἐστὶ κατὰ τὰς ἡμετέρας βίβλους. καὶ τοῦτο λίαν καλῶς συμφωνεῖ, ἐπειδὴ τὰ προηγούμενα περὶ τῶν ἀγγέλων ἦσαν ἀπολελυμένα καὶ ἀπροσδιόριστα· οὗτος γάρ ἐστιν ὁ τρόπος τοῦ ἐπιχειρήματος αὐτοῦ· Ὃν τρόπον ἐπὶ τῶν ἀγγέλων, ὅτι τινὲς δεύτεροι καὶ τρίτοι ὑπάρχοντες, οὐ μέντοι εἰσὶν ἔξω τῆς ἀγγελικῆς φύσεως, τοῦτον τὸν τρόπον καὶ ἐπὶ τῶν θείων προσώπων

καθὼς οὖν ἐπ' ἐκείνων ἔχει, οὕτω καὶ ἐπὶ τῆς θείας φύσεως· ἀλλ' αὕτη ἐστὶν ἡ ἐλάττων ἀπολελυμένη, ὅτι ἐπὶ τῶν ἀγγέλων ἀπολελυμένως καὶ ἀπροσδιορίστως οἱ ὄντες δεύτεροι ἢ τρίτοι τῷ ἀξιώματι καὶ τῇ τάξει οὐκ εἰσὶν ἔξω τῆς ἀγγελικῆς φύσεως, οὕτως ὁμολογουμένως καὶ ἐπὶ τῶν θείων προσώπων. ἐπειδὴ τὸ προηγούμενον ἀπολελυμένον καὶ τὸ ἑπόμενον ἀπολελυμένον εἶναι ὀφείλει καὶ ἀπροσδιόριστον. νῦν οὖν ἡ ὑμετέρα βίβλος ἀπὸ ταύτης τῆς ἐπαγωγῆς λέγει· Οὕτως οὖν καὶ τὸ πνεῦμα ὑποβέβηκε τῇ τάξει καὶ τῷ ἀξιώματι, ὥς λέγουσιν. εἶτα ἐν τῇ ἀποδόσει τῆς αἰτίας ἡ ὑμετέρα βίβλος λέγει· Ἐλάβομεν γάρ, φησι, τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἀριθμεῖσθαι. ὥστε οὐκ ἔστιν ἄλλη διαφορὰ μεταξὺ ἡμῶν καὶ ὑμῶν ἐν τούτῳ τῷ μέρει, πλὴν ὅτι ὑμεῖς μετά τινος ἀμφιβολίας τίθεσθε τό· Ὡς λέγουσι. πέπεισμαι καλῶς ἀνακεφαλαιῶσαι τὸ κείμενον ἐν τῷ ἡμετέρῳ βιβλίῳ καὶ τῷ ὑμετέρῳ. εἰ δὲ ὑστέρησα, αὐτὸς εἰπέ· ἐπειδὴ οὐκ ἐν ἄλλοις τισὶν εἶδον τὴν διαφορὰν τὴν μεταξὺ ἡμῶν. μετὰ ὑπομονῆς καὶ μακροθυμίας, ἵνα φανῇ ἡ ἀλήθεια, ἐνστείημεν ὑπὲρ ταύτης τῆς χρήσεως· ἐπειδὴ αὕτη ἐστὶν ἡ ἀρχὴ τοῦ λόγου τοῦ κατ' Εὐνομίου, καὶ ἀπὸ τῶν θεμελίων τούτου τοῦ τρόπου βούλεται διὰ πάσης τῆς διαλέξεως κατὰ τοῦ Εὐνομίου ἐπιχειρεῖν. καὶ εἴπερ οἱ θεμέλιοι εἶεν ἀμφίβολοι, οὐδὲν ἄλλο ὁ μέγας Βασίλειος ἀπέδειξεν ἄν. πρῶτον οὖν λέγω οὕτως, καὶ ἐρωτῶ σε πρὸς ἓν ῥῆμα· πότερον ἐπὶ ταύτης τῆς ὕλης καὶ τῆς χρήσεως τοῦ βιβλίου τοῦ προκομισθέντος πιστεύεις τὸν Βασίλειον εἰρηκέναι ταύτην τὴν δόξαν, καὶ βεβαίως ἐσχηκέναι, ὅτι οἱ πρὸ ἐκείνου ἅγιοι τοῦτο εἰρήκασι. τοῦτο γὰρ ἠρώτησας ἐν τῇ προλαβούσῃ παρ' ἐμοῦ· περὶ τούτου ἀντερωτῶ σε διὰ βραχέων.

Ὁ ἘΦΕΣΟΥ. Λέγω, ὅτι οὔτε εἶχεν ὁ μέγας Βασίλειος ταύτην τὴν δόξαν, οὔτε ὡς τῶν ἁγίων ταύτην ἐνόμιζεν, οὔτε τὸν Εὐνόμιον παραδέχεται ὡς παρὰ τῶν ἁγίων ταύτην παραλαβεῖν· καὶ τοῦτο φαίνεται ἐξ αὐτῶν τῶν τοῦ Βασιλείου ῥημάτων.

Ὁ ἸΩΑΝΝΗΣ. Νῦν οὖν πρὸς ἀπόδειξιν τοῦ Βασιλείου, καὶ οὕτως ὡς ἂν τὸ ἱερὸν τοῦτο ἀκροατήριον γνῶσι τὰ λεγόμενα μέχρι τῆς χρήσεως τῆς λεγούσης· Τίς οὖν ἀνάγκη, ἐπειδὴ ἐπὶ τῶν προηγουμένων ἔψω δύο ἢ τριῶν, τὰ δὲ πλείω παρέλιπες, διὰ τοῦτο

καλὸν ἂν εἴη ἀναθεωρῆσαι τὰ προηγούμενα ὀλίγα ὄντα.... εἶτα ἐπάγει τὴν ἔννοιαν τοῦ ῥητοῦ ἐν τῷ τρίτῳ, οὕτως ἀρχόμενος, καὶ μετὰ δύο στίχους τίθησι τὰ ῥήματα τοῦ Εὐνομίου, λέγων· Μόλις ποτὲ κορεσθεὶς τῶν εἰς τὸν μονογενῆ βλασφημιῶν μεταβαίνει ἐπὶ τὸ πνεῦμα, πάσῃ τῇ ἑαυτοῦ θελήσει συνακολουθῶν· οἱονεὶ λέγων, ὅτι ὁ Εὐνόμιος οὗτος λέγει, ἀπὸ τοῦ ἑαυτοῦ θελήματος πάντως, μηδὲν παρὰ τῶν ἁγίων εἰληφώς. εἶτα τίθησι τὰ ῥήματα τοῦ Εὐνομίου· γράφει γὰρ οὕτως· Ἐπειδὴ ἀρκεῖ ἡμῖν τοσαῦτα περὶ τοῦ μονογενοῦς, ἑπόμενον καὶ περὶ τοῦ παρακλήτου εἰπεῖν. καὶ οὐκ ἀκολουθεῖν ταῖς τῶν πολλῶν γνώμαις, ἀλλὰ τὴν τῶν ἁγίων διδασκαλίαν ἐν πᾶσι τηρεῖν, ἀφ' ὧν ἐπειδὴ τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι διδασκόμεθα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει πεπιστεύκαμεν. Ταῦτά εἰσι τὰ ῥήματα τοῦ Εὐνομίου, ἐν οἷς οὐδὲν πλέον ἅπτεται τριῶν. πρῶτον μέν φησι, μὴ βούλεσθαι παρακολουθεῖν ταῖς τῶν πολλῶν δόξαις· δεύτερον λέγει, βούλεσθαι τηρεῖν τὴν τῶν ἁγίων διδασκαλίαν· τρίτον, ἐπειδὴ παρὰ τῶν ἁγίων δεδιδάγμεθα τὸ πνεῦμα τὸ ἅγιον τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει πεπιστεύκαμεν. πρὸς ταῦτα ἑπομένως ἀποκρίνεται ὁ Βασίλειος, λέγων οὕτως· Ὅτι μὲν οὐχ ἡγεῖται τῇ ἁπλῇ καὶ ἀνεπιτηδεύτῳ τῶν πολλῶν δόξῃ στοιχεῖν, τεχνικοῖς τισι καὶ σεσοφισμένοις λόγοις τὴν ἀλήθειαν πρὸς τὸ δοκοῦν αὐτῷ διαστρέφων. νῦν οὖν πρὸς ἐκεῖνο τὸ τοῦ Εὐνομίου, τὸ μὴ βούλεσθαι ἀκολουθεῖν ταῖς τῶν πολλῶν δόξαις, ἀνακεφαλαιῶν ὁ Βασίλειος λέγει· Οὐκ οἴεται δεῖν τῇ ἁπλῇ, καὶ τὰ λοιπά. καὶ αὗταί εἰσιν αἱ ἀνεξέταστοι γνῶμαι. εἶτα λέγει· Καταφρονῶν τῆς τῶν πολλῶν γνώμης, ᾗ δοξάζουσι τὸ πνεῦμα τὸ ἅγιον· ἆρα αὐτὸς καλῶς οἶδε, τίνες ἦσαν ἐκεῖνοι, οἳ ἐδόξαζον τὸ πνεῦμα τὸ ἅγιον. καταφρονῶν τοίνυν τῆς τῶν πολλῶν γνώμης, ᾗ δοξάζουσι τὸ πνεῦμα τὸ ἅγιον, προσποιεῖται φυλάσσειν τὴν τῶν ἁγίων διδασκαλίαν, καὶ τοὺς ταύτην αὐτῷ παραδεδωκότας σιωπᾷ, ὅπερ ἐποίησε καὶ ἐπ' ἄλλων λόγων περὶ τοῦ μονογενοῦς. νῦν ἀποκρίνεται πρὸς τὸ τρίτον, ἔνθα φησὶ παρὰ τῶν ἁγίων ἑαυτὸν μεμαθηκέναι τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, παρ' ἑαυτοῦ δὲ πεπιστευκέναι τρίτον αὐτὸ καὶ τῇ φύσει. τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις τόποις τὴν διδασκαλίαν πεποίηνται, εἰπεῖν οὐκ ἔχει· ἄρα γέγονεν οὕτω,

καὶ τὰ ἑξῆς· εἶτα ἔπεται· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει, καὶ τὰ λοιπά· νῦν οὖν ἐρωτῶ σε, πότερον ἡνίκα λέγει ὁ Βασίλειος, καταφρονῶν τῆς τῶν πολλῶν δόξης, ἣ δοξάζουσι τὸ πνεῦμα τὸ ἅγιον, πότερον ὁ Βασίλειος ἔγνω τὴν δόξαν ἣ ἐδόξαζον πολλοί; ἀλλὰ ῥητέον τὸν Βασίλειον τοῦτο ἐγνωκέναι καθόλου. ἐρωτῶ παρὰ σοῦ, ἐν τοῖς προηγουμένοις ἔνθα λέγει, τῇ ἁπλῇ καὶ ἀνεπιτηδεύτῳ τῶν πολλῶν γνώμῃ στοιχεῖν δεῖν, ἀλλ' οὐ τεχνικοῖς καὶ σεσοφισμένοις λόγοις τὴν ἀλήθειαν διαστρέφειν, πότερον ὁ Βασίλειος ᾔδει, τίνες ἦσαν ἐκεῖνοι οἱ λόγοι οἱ σεσοφισμένοι; δῆλον ὅτι ὁ Βασίλειος ᾔδει ἐκείνους. καὶ εἴπερ νοεῖς ἐγνωκέναι τὸν Βασίλειον, τίνες ἦσαν οἱ σεσοφισμένοι λόγοι, καὶ τίς ἦν ἡ δόξα ἐκείνη, ἥπερ ἐδόξαζον τὸ πνεῦμα τὸ ἅγιον, ἀρκούντως γνώσῃ καὶ φανερῶς, ἐγνωκέναι τὸν Βασίλειον, καὶ τίνες ἦσαν οἱ ἅγιοι, οὓς ὁ Εὐνόμιος εἰπεῖν οὐκ εἶχε.

Ὁ ἘΦΕΣΟΥ. Δόξαν τῶν πολλῶν λέγει, ἣ ἐδόξαζον τὸ πνεῦμα τὸ ἅγιον, τοῦ πλήθους τῶν Χριστιανῶν τὴν δόξαν· ὅτι ἐπειδὴ συντεταγμένον ἐστὶ τῷ πατρὶ καὶ τῷ υἱῷ ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος, ἐξ ἀνάγκης ὥσπερ τῆς αὐτῆς δόξης, οὕτω καὶ τῆς αὐτῆς οὐσίας ὑπάρχει τῷ πατρὶ καὶ τῷ υἱῷ·

Ὁ ἸΩΑΝΝΗΣ. Καλῶς οὖν ὁ Ἀθανάσιος καὶ οἱ λοιποὶ ἐγίνωσκον.

Ὁ ἘΦΕΣΟΥ. Μετὰ τῶν πολλῶν κἀκεῖνοι ἐγίνωσκον.

Ὁ ἸΩΑΝΝΗΣ. Τίνες δὲ οἱ τεχνικοὶ λόγοι καὶ σεσοφισμένοι τοῦ Εὐνομίου;

Ὁ ἘΦΕΣΟΥ. Πρῶτον ὅτι τὴν τῶν πολλῶν ἀτιμάζων δόξαν· ἔπειτα ὅτι προσποιούμενος φυλάττειν τὴν τῶν ἁγίων διδασκαλίαν, οὓς οὐκ ἔχει λέγειν, οὐδὲ γὰρ ἦσαν οἱ λέγοντες τοῦτο, ὑποτίθεται τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὕτω τεχνικῶς καὶ σεσοφισμένως συνάγει, ὅτι ἐπειδὴ τρίτον τῷ ἀξιώματι καὶ τῇ τάξει, τρίτον καὶ τῇ φύσει. τοῦτο δὲ βουλόμενος ἀνελεῖν ὁ μέγας Βασίλειος, ὑποτίθεται κατὰ συγχώρησιν ἐν τοῖς ἐφεξῆς, ὅτι εἰ καὶ δοίημεν τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ἐκεῖνος βούλεται, ἀλλ' οὐ δύναται συναγαγεῖν, ὅτι τρίτον καὶ τῇ φύσει. οὗτοι ἦσαν οἱ τεχνικοὶ καὶ σεσοφισμένοι λόγοι ἐκείνου, ὅτι προσποιεῖται παραλαβεῖν ἅπερ οὐ παρέλαβε, καὶ ὅτι ἐκ τούτων συνάγει, ἃ οὐκ ἐξ ἀνάγκης συνάγεται.

Ὁ ἸΩΑΝΝΗΣ. Ὁ Εὐνόμιος οὕτως ἐπιφέρει, ἑαυτὸν παρειληφέναι τὸ πνεῦμα τὸ ἅγιον παρὰ τῶν ἁγίων τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, καὶ τοῦτο ἔλεγεν ἀπολελυμένως, καὶ ἀφ᾽ ἑαυτοῦ πιστεύων χωρὶς προσδιορισμοῦ ἢ ἀμφιβολίας, τρίτον εἶναι τὸ πνεῦμα τὸ ἅγιον καὶ τῇ φύσει. ἔδει τοιγαροῦν ἐκεῖνον μίαν ἔχειν σεσοφισμένην ἐπιχείρησιν ἐπὶ τῷ ἀποδεῖξαι τοῦτο, ὅπερ ὡς ὁμολογούμενον ἐτίθει. τοῦτό ἐστι τὸ συμπέρασμα ἐκείνου, οὕτω πιστεύει, ἐπειδὴ οὕτω παρὰ τῶν ἁγίων παρέλαβε. πρὸς δὲ τὸ ποιῆσαι σεσοφισμένον καὶ τεχνικὸν συμπέρασμα, ἀνάγκη ἐστὶν οὕτως ἐπιχειρῆσαι, ὥστε ἐν τῇ ἐπιχειρήσει ταύτῃ ἕτερον ποιῆσαι * τὸ δυνατὸν εἶναι ληφθῆναι τὸ συμπέρασμα· νῦν οὖν ὁ Βασίλειος λέγει, προσποιεῖται τὴν τῶν ἁγίων διδασκαλίαν τηρεῖν· ἀλλ᾽ οὐ τίθησι λόγον τεχνικὸν καὶ σεσοφισμένον. ἀρκείτω οὖν ἡμῖν, ὅτι ὁ Εὐνόμιος οὗτος ἀπό τινος ἡγουμένου καὶ ἀπροσδιορίστου ἐπέφερε τὸ ἑαυτοῦ ἑπόμενον, ὃ ἐπίστευε. καὶ ὅταν ὑμεῖς εὕρητε τὸ ἐπιχείρημα ἐκεῖνο, τότε νοήσητε καὶ τὸ συμπέρασμα οὕτως ἔχειν. νῦν οὖν οὗτοι οἱ ἅγιοι, οἵτινες ἔσχον δόξαν, ἐν ᾗ ἐδόξαζον τὸ πνεῦμα τὸ ἅγιον, οὗτοι ἦσαν οἷς ἠκολούθει ὁ Βασίλειος. καὶ ἀπὸ τῆς δόξης, ᾗ ἐδόξαζον τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἠδυνήθη ὁ Εὐνόμιος τιθέναι ἡγούμενον, καὶ ἀπὸ τοῦ ἡγουμένου ἐπάξαι συμπέρασμα· καὶ οὗτοι ἦσαν ἅγιοι φανεροί. καὶ ἐπειδὴ ἡ δόξα ἐκείνων οὐκ ἠδύνατο συνηγορῆσαι αὐτῷ, οὐδέποτε ὠνόμαζε τοὺς ἁγίους, ὡς ὁ Βασίλειος λέγει, οὔτε ἐν τοῖς εἰρημένοις, οὔτε ἐν τούτῳ τῷ τρίτῳ βιβλίῳ ἐπειδὴ οὐκ ἠδύναντο τοιοῦτοι εὑρεθῆναι οἱ τοῦτο οὕτως εἰρηκότες, ἀξιώματι τρίτον εἶναι, ὥστε ἐξ αὐτῶν δύνασθαι συνάγειν καὶ τὸ ἀκόλουθον. καὶ γὰρ οἱ ἅγιοι οἱ λέγοντες τρίτον τῇ τάξει καὶ τῷ ἀξιώματι, κοινοὶ ἅγιοι ἦσαν καὶ φανεροὶ, οὓς αὐτὸς ὁ Εὐνόμιος ἀνεξετάστους τῶν πολλῶν γνώμας εἰρωνευόμενος ἔλεγεν. ὅθεν ἐπάγει ὁ μέγας Βασίλειος, μηδέποτε ἐκεῖνον δυνηθῆναι εὑρεῖν. καὶ ἀπὸ ταύτης τῆς ῥίζης ἀνελήψατο, κύριε Ἐφέσου, τὴν δόξαν· ἐπειδή φησιν ὁ Βασίλειος· Τίνες δὲ οἱ ἅγιοι καὶ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηνται, οὐ δύναται εἰπεῖν, καὶ ἀπὸ τούτου πεπίστευκας, ὅτι ἐπειδὴ ὁ Βασίλειος λέγει μὴ δύνασθαι εἰπεῖν αὐτοὺς τὸν Εὐνόμιον, διὰ τοῦτο καὶ τὸν Βασίλειον μὴ ἐσχηκέναι γνῶσιν ἀκριβῆ περὶ τούτου. ὅθεν οὐδὲ ἔσχεν ὁ Εὐνόμιος εἰπεῖν τοὺς ἁγίους· καὶ γὰρ οἱ ἡμέτεροι τῶν ἁγίων οἱ

* Ἴσ. ὅθεν δυνατὸν εἴη.

πρὸ ἐκείνου τοῦτο ἔλεγον, νοοῦντες τὴν πρόοδον ἐφ' ἑαυτά· ὁ δὲ Εὐνόμιος ἐπειδὴ κατειλημμένος ἦν τῇ δόξῃ τῶν Ἀρειανῶν, οἱ δὲ Ἀρειανοὶ πρὸς τὰ ἔξωθεν, ἠθέτει ταῦτα. νῦν οὖν λέγω πρὸς τὸν λόγον ὃν εἶπον ἐν τῇ προλαβούσῃ, καὶ εἰς ὃν ἀπεκρίθης αὐτός. τούτου τεθέντος ἠθέλησα μόνον ἐπεξιέναι τὸ κείμενον, ὡς ἂν γνοῖεν οἱ ἀκροαταὶ οἱ παρόντες. νῦν οὖν ὁ Βασίλειος τούτου τεθέντος ἀνέλαβεν ὅπλα, καὶ δὴ ἄρχεται ἐπιχειρῶν κατὰ τοῦ Εὐνομίου καὶ πρῶτον τίθησι τὸ ἑαυτοῦ συμπέρασμα ἀπολελυμένως, μετὰ δὲ τὸ τιθέναι τὸ συμπέρασμα ἀπροσδιορίστως, ἀποδείκνυσι κατὰ τὴν ἡμετέραν βίβλον διὰ δύο· πρῶτον διὰ τούτου ὡς ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, οὕτω καὶ τὸ πνεῦμα πρὸς τὸν υἱόν· δεύτερον διὰ τῶν τεθέντων παραδειγμάτων. εἶτα συμπεραίνει τιθεὶς τὸ συμπέρασμα ἀπολελυμένως, καθὼς προϋπέθηκεν ἀνωτέρω· ἐπειδὴ αὕτη ἐστὶν ἡ ἀληθὴς καὶ δικαία προχώρησις. προβαίνει δὲ ἀπὸ τῶν ἀληθῶν καὶ ἑπομένων ἐπὶ τὰ ἀπολελυμένα καὶ ὡρισμένα συμπεράσματα· ἐπειδὴ κανών ἐστιν οὗτος ἀναμάρτητος, ὅτι οὐδέποτε ἀπὸ τοῦ ἀληθοῦς ἕπεται ψεῦδος· ἐπειδὴ εἰ τὰ προηγούμενα τεθῶσιν ἀληθῆ καὶ ἀπολελυμένως, ἀεὶ καὶ τὸ συμπέρασμα ἕπεται ἀληθὲς εἶναι, κἄν τε διὰ λόγων, κἄν τε διὰ χρήσεων· καὶ γὰρ τὰ ῥητὰ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων, λόγων ἐπέχουσι τάξεως· ἀπὸ τοῦ ὑμετέρου βιβλίου ἕπεται ἄτοπα δύο· πρῶτον, ὅτι ἀπὸ ἀληθῶν καὶ ἀπολελυμένων ψευδὲς εἵπετο ἂν συμπέρασμα, ὅπερ ἀδύνατον· δεύτερον, ὅτι ἀπὸ προτάσεως καὶ προηγουμένου, οὔσης ἐν αὐτῷ ἀμφιβολίας, ἠκολούθησεν ἂν συμπέρασμα ἀληθὲς καὶ ἀναμφίβολον, ὅπερ ἀδύνατον. καὶ γὰρ ἀνάγκη ἐστὶ, τοῦτο τὸ ἑπόμενον μὴ εἶναι ἀναγκαῖον, ἐὰν τὸ προηγούμενον ἐκεῖνο ᾖ ἀμφίβολον. καὶ βλέπε, τίς σύγχυσις προστρίβεται σοι μένοντι ἐπὶ τῇ ἐννοίᾳ ταύτῃ. ἀπὸ τούτων τῶν δύο κεφαλαίων φαίνεται, μὴ δύνασθαι τὸ κείμενον τῆς ὑμετέρας βίβλου ἱστάναι, καθὼς ἡμεῖς προεθέμεθα.

Ὁ ΕΦΕΣΟΥ. Οὐκ ἀναγκαῖόν ἐστιν, εἴ τί ἐστιν ἀπολελυμένον καὶ ἁπλοῦν, καὶ τὸ ἐξ αὐτοῦ δεικνύμενον ἀπολελυμένως καὶ ἁπλῶς νοεῖσθαι, δύναται γάρ τι εἶναι καθ' αὐτὸ καὶ ἀπολελυμένως ἀληθὲς, τὸ δὲ ἐξ αὐτοῦ δεικνύμενον μὴ ἀληθὲς ἁπλῶς, ἀλλὰ καθ' ὑπόθεσιν, εἴ τι δηλονότι δοθείη. διὰ τοῦτο καὶ ὁ μέγας Βασίλειος ἐπὶ μὲν τοῦ παραδείγματος τῶν ἀγγέλων, ἁπλῶς ἀληθοῦς καὶ

ἀπολελυμένως, δείκνυσιν, ὅτι οὐκ ἐξ ἀνάγκης, ἐπειδὴ τῇ τάξει καὶ δεύτερον καὶ τρίτον ἔχουσιν οἱ ἄγγελοι, καὶ πολλοστοί εἰσιν, ἕπεται αὐτοὺς καὶ ἑτέραν φύσιν ἔχειν· ἐπὶ δὲ τοῦ συμπεράσματος, καὶ δι' ὃ ταῦτα τὰ παραδείγματα εἴληφεν, οὐ τὸ ἁπλῶς καὶ ἀπολελυμένως δείκνυσιν ἀληθὲς, ἀλλὰ καθ' ὑπόθεσιν ἔδωκε πρότερον, ὅτι εἰ δοθείη κἀνταῦθα τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον, καθὼς αὐτοὶ λέγουσι, καὶ τὸ εὐαγγελικὸν ῥητὸν ἐκλαμβάνουσιν, ἐκεῖνοι γὰρ ἴσως τοῦτο εἰς συνηγορίαν ἔχουσιν ἑαυτῶν, ἀλλ' οὐκ ἐξ ἀνάγκης ἕπεται, τρίτον εἶναι καὶ τῇ φύσει τὸ πνεῦμα τὸ ἅγιον. οὐκ ἄρα ἦν ἀναγκαῖον ὅπερ ἔλεγες, ὅτι εἴ τι ἁπλῶς καὶ ἀπολελυμένως ἐστὶν ἀληθὲς, καὶ τὸ ἐξ αὐτοῦ δεικνύμενον οὕτως ἔχειν ἀνάγκη.

Ὁ ἸΩΑΝΝΗΣ. Τίθημι ταύτην τὴν ἀκολουθίαν, ἵνα γνῶσι πάντες· ὁ ἄνθρωπος τρέχει, ἄρα κινεῖται· αὕτη ἡ ἀκολουθία οὐ λέγει μόνον τὸν ἄνθρωπον τρέχειν, οὐδὲ λέγει τὸν ἄνθρωπον κινεῖσθαι, ἀλλὰ μετὰ προσδιορισμοῦ, ὅτι εἰ ἄνθρωπος τρέχει, ἄρα καὶ κινεῖται· ἐπειδὴ μόνη ἐστὶν ἐπιφορά.

Ὁ ἘΦΕΣΟΥ. Οὐκ ἔστι τοῦτο οὕτως, ὅτι εἰ τρέχει ὁ ἄνθρωπος, ἄρα καὶ κινεῖται. Ταῦτα εἰπόντων ἐλύθη ἡ σύνοδος, τῇ τρίτῃ ταμιεύσαντες αὐτήν. τῆς τρίτης τοίνυν ἐλθούσης, καὶ τῆς συνάξεως γεγονυίας, ἤρξατο ὁ Ἐφέσου.

Μαρτίου ἑβδόμῃ καὶ δεκάτῃ, ἡμέρᾳ τρίτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΚΓ.

Ὁ ἘΦΕΣΟΥ. Ἡ ἡμετέρα πίστις οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων τὴν σύστασιν ἔσχεν, ἀλλὰ δι' αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ αὐτοπροσώπως τοῖς ἑαυτοῦ μαθηταῖς λαλήσαντος. διὰ τοῦτο τὰ τῶν ῥητῶν ἀμφίβολα καταλιπόντες, ὅπου γε κἀκεῖνα κατὰ τὸν ἀληθῆ θεωρούμενα λόγον ὑπὲρ ἡμῶν εὑρέθη μᾶλλον ἢ καθ' ἡμῶν, ἐκεῖσε λοιπὸν ἀναδράμωμεν, ὅθεν καὶ ταῦτα κανονίζειν χρεών· οὐ γὰρ ἂν ὁ μέγας Βασίλειος ἐναντία εἶπεν, ἢ ὅλως ἀσύμφωνα τῷ δεσπότῃ Χριστῷ, καὶ τοῖς αὐτοῦ μαθηταῖς, καὶ τοῖς διαδόχοις ἐκείνων, οὐδ' ἀνακόλουθα ἑαυτῷ, καθάπερ δι-

ἄλλων ῥητῶν ἡμῖν ἀποδέδεικται, καὶ ἔτι δειχθήσεται, τοῦ Θεοῦ διδόντος ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος. φέρε τοιγαροῦν τιμήσωμεν τὸν μαθητὴν ἐκ τοῦ διδασκάλου, καὶ τὸν δοῦλον ἐκ τοῦ δεσπότου, καὶ σύμφωνον αὐτὸν ἐπιδείξωμεν ἑαυτῷ τε κἀκείνοις, ἐν οἷς εἶπε, καὶ διὰ πάντων ἑπόμενον. πρῶτον μὲν αὐτὸς ὁ Θεὸς Λόγος, καὶ Θεολόγος πρῶτος, καὶ τῶν Θεολόγων διδάσκαλος ἐν τῇ τελευταίᾳ προσφωνήσει τοῖς μαθηταῖς παραδιδοὺς τὰ τῆς Θεολογίας ἀπόρρητα· Ὅταν ἔλθῃ, φησὶν, ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πα-
* Ἰω. 15, 26. τρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.* Ἐν τούτοις, τριῶν ὄντων τῶν Θεαρχικῶν προσώπων, τρισὶ ῥήμασιν ὁ σωτὴρ ἐχρήσατο καταλλήλως ἑκάστῳ τούτων ἀποδιδομένοις. καὶ περὶ μὲν τοῦ πνεύματός φησιν· Ὅταν ἔλθῃ· περὶ ἑαυτοῦ δὲ μετὰ τοῦ πατρός· Ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός· περὶ δὲ τοῦ πατρὸς αὖθις μόνου· Ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. καὶ βλέπε τὴν τῆς Θεολογίας ἀκρίβειαν· διὰ μὲν τοῦ Ὅταν ἔλθῃ, τὴν τοῦ πνεύματος ἐλευθερίαν καὶ δεσποτείαν δείκνυσι· διὰ δὲ τοῦ Ὃν ἐγὼ πέμψω ὑμῖν, τὴν ἑαυτοῦ τε καὶ τοῦ πατρὸς εὐδοκίαν ἐπὶ τῇ τοῦ πνεύματος παρουσίᾳ καὶ φανερώσει· διὰ δὲ τοῦ Ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, τὴν αἰτίαν τοῦ πνεύματος, καὶ ὅθεν ἔχει τὸ εἶναι. καὶ περὶ μὲν τῶν προτέρων δύο μάρτυς ἡμῖν ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰς τὴν πεντηκοστὴν λόγῳ περὶ τοῦ ἁγίου πνεύματος λέγων· Ἐρχόμενον μὲν ὡς ἐλεύθερον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. ἐπειδὴ γὰρ προεγνωσμένου πρότερον τοῦ πατρὸς, καὶ μετὰ ταῦτα τοῦ υἱοῦ γνωσθέντος ὕστερον ἐφανερώθη τῷ κόσμῳ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα μὴ ἀντίθεον εἶναι δόξῃ, καὶ ἑτέρας τινὸς φύσεως ἢ θελήσεως, διὰ τοῦτο πέμπεσθαι παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λέγεται, τὴν εὐδοκίαν αὐτῶν, ὅπερ ἔφαμεν, δηλοῦντος τοῦ ῥήματος. καὶ πάλιν ἐν τῷ περὶ πνεύματος λόγῳ φησὶν ὁ αὐτὸς Θεολόγος· Ἀποστέλλεται μὲν οἰκονομικῶς, ἔρχεται δὲ αὐτεξουσίως. τί τοῦτο λέγεις οἰκονομίαν τὴν φανέρωσιν τοῦ πνεύματος ἐν τῷ κόσμῳ διὰ τὴν τῶν ἀνθρώπων ὠφέλειαν, ὥσπερ οὖν τὸ τῆς ἀποστολῆς ῥῆμα τῷ πατρὶ καὶ τῷ υἱῷ δίδοται, τὸ δὲ τῆς ἐλεύσεως μόνῳ τῷ πνεύματι· μόνον γὰρ τὸ πνεῦμα τὸ ἅγιον ἔρχεται, καὶ οὐδὲν συννοεῖν ἀνάγκη τῶν πεμπόντων προσώπων μετ' αὐτοῦ ἔρχεσθαι, οὕτω καὶ ἐν τῇ τῆς

ἐκπορεύσεως λόγῳ, παρὰ μόνου τοῦ πατρὸς νοεῖται ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον καὶ οὐδαμῶς παρὰ τοῦ υἱοῦ. διατί γὰρ οὕτω προσεχῶς ἑαυτοῦ μεμνημένος ὁ κύριος, καὶ τὸ πέμπειν τὸ πνεῦμα τὸ ἅγιον ἑαυτῷ τε καὶ τῷ πατρὶ προσνέμων, οὐκ ἔτι καὶ περὶ τῆς ἐκπορεύσεως εἶπεν, ὃ παρ' ἡμῶν ἐκπορεύεται, ἢ ὁ παρ' ἐμοῦ καὶ τοῦ πατρὸς ἐκπορεύεται; ταῦτα γὰρ ἂν εἶπεν, εἰ τὴν ἐκπόρευσιν ᾔδει καὶ ἑαυτοῦ οὖσαν. ὅτι δὲ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἴδιον ὑπάρχει τοῦ ἁγίου πνεύματος, καὶ διὰ τοῦτο οὐδαμῶς ἀνάγκη συννοεῖν τὸ Ἐκ τοῦ υἱοῦ, μάρτυς ἡμῖν πάλιν ὁ θεολόγος Γρηγόριος τὰς ἰδιότητας τῶν θείων προσώπων παραδιδοὺς, ἐν οἷς λέγει· Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς πού φησιν αὐτὸς ὁ Θεὸς Λόγος. Εἰ τοίνυν ἴδιον τοῦ πνεύματος τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον καὶ οὐχ ἁπλῶς ἐκπορευόμενον· τὸ δὲ ἴδιον ἀντιστρέφειν κατὰ πάντα καὶ ἐξισάζειν ἀνάγκη τῷ οὗ ἐστιν ἴδιον, καὶ οὔτε πλεονάζειν, οὔτε ἐλλείπειν· ἀνάγκη ἄρα νοεῖν καὶ λέγειν, εἴ τι πνεῦμα ἅγιόν ἐστι, τοῦτο ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· καὶ εἴ τι ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τοῦτό ἐστι τὸ πνεῦμα τὸ ἅγιον· εἰ τι ἄρα καὶ ἐξ ἑτέρου τινὸς ἐκπορεύεται, οὐκ ἔστι τοῦτο τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο γὰρ ἀνάγκη νοεῖν κατὰ τὸν ἀκόλουθον τῆς ἀντιστροφῆς λόγον. Οὐκ ἄρα νοεῖν ἀναγκαῖον ἡμᾶς οὐδὲ δυνατὸν ὅλως, ὅταν ἀκούσωμεν ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, νοεῖν τοῦτο καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. Ταῦτα μὲν ὁ σωτὴρ καὶ διδάσκαλος, καὶ τῆς θεολογίας ἡμῶν ὁ διδάσκαλος. Ὁ δὲ μαθητὴς ἐκείνου καὶ τῶν ἀποῤῥήτων μύστης, ὁ οὐράνιος ἄνθρωπος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ἴδωμεν οἷα κἀκεῖνος περὶ αὐτοῦ φησι· πρὸς Κορινθίους ἐπιστέλλων περὶ τοῦ ἁγίου πνεύματος, καὶ τὴν ὕπαρξιν αὐτοῦ παραστῆσαι βουλόμενος ὅθεν ἐστὶ, τοιαῦτα γράφει· Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ.* * Κορ. ά. 2, 12.
καὶ ἵνα μή τις εἴπῃ, δυνατὸν συνεπινοεῖσθαι καὶ ἐκ τοῦ υἱοῦ, τὴν τοιαύτην ἀναπτύσσων θεολογίαν ὁ μακάριος Ἰωάννης ὁ θεολόγος ἐν οἷς ἀποκαλύπτει τῷ μεγάλῳ Γρηγορίῳ τῷ θαυματουργῷ τὸ τῆς θεολογίας μυστήριον μεσιτευούσης αὐτῷ τῆς ἀειπαρθένου Μαρίας καὶ θεομήτορος, τοιάδε φησὶ, καθὼς ὁ μακάριος Γρηγόριος ὁ Νύσσης μαρτυρεῖ τὸν ἐκείνου βίον συγγράφων· Ἓν πνεῦμα ἅγιον ἐκ θεοῦ

τὴν ὕπαρξιν ἔχον, καὶ δι' υἱοῦ πεφηνὸς τοῖς ἀνθρώποις, καὶ τὰ λοιπά. Ἐν τούτοις δῆλον, ὡς ἀδύνατον συνεπινοεῖν ἡμᾶς τῷ Ἐκ τοῦ Θεοῦ τὴν ὕπαρξιν ἔχον, τὸ Ἐκ τοῦ υἱοῦ· οὐ γὰρ ἂν ἐπήγαγεν ὕστερον, καὶ δι' υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις. ἀλλὰ τῷ μεριστικῷ σχήματι τὸν λόγον προαγαγὼν, ἔδειξεν ἐκεῖνο μὲν τῷ πατρὶ μόνῳ προσήκειν, τὸ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο δὲ τῷ υἱῷ, τὸ δι' αὐτοῦ τοῖς ἀνθρώποις φανῆναι. οὐκ ἄρα συνεπινοεῖν ἀναγκαῖον οὐδ' ἐνταῦθα ἀκούοντας ἡμᾶς τὸ Ἐκ τοῦ Θεοῦ τὸ πνεῦμα, τὸ Ἐκ τοῦ υἱοῦ· ἀλλ' οὐδὲ δυνατὸν ὅλως, ὥσπερ ἐδείξαμεν· εἴπερ ἄλλο τι τὸ δι' υἱοῦ πεφηνέναι βούλεται, καὶ ἄλλο τὸ ἐκ τοῦ Θεοῦ τὴν ὕπαρξιν ἔχειν· καὶ τὸ μὲν ἀποδέδοται τούτῳ, τὸ δὲ ἐκείνῳ. ταῦτα μὲν ἐκ τῶν θείων γραφῶν εἴπομεν. μετὰ δὲ τὸν θεῖον ἀπόστολον Παῦλον, ὁ μαθητὴς ἐκείνου καὶ τῶν ἀπορρήτων μύστης καὶ κοινωνὸς μυστηρίων ὁ μακάριος Διονύσιος ἡμῖν παρελθέτω, τὰ αὐτὰ συμμαρτυρήσων ἡμῖν· οὗτος γὰρ ἐν τῷ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας λόγῳ τὴν διάκρισιν τῶν θείων προσώπων παραδιδοὺς ἡμῖν, καὶ τὸν παντελῆ τῆς διακρίσεως ἐκτιθέμενος λόγον, ὡς αὐτὸς ἐκεῖνός φησι, τοιάδε περὶ τούτου φησίν· Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον, ὅτι καὶ κατὰ ταύτην τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται καὶ ἀσυγχύτως ἑκάστη τῶν θεαρχικῶν ὑποστάσεων, ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα, μόνος δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατήρ. Εἰ τοίνυν μόνος πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατὴρ, καὶ τούτῳ διακρίνεται καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· περὶ γὰρ τῆς παντελοῦς διακρίσεως ἦν ὁ σκοπός· οὔτε ὁ υἱὸς τῆς πηγῆς τῷ πατρὶ κοινωνήσει, οὔτε τὸ πνεῦμα τὸ ἅγιον· οὕτω γὰρ σύγχυσις ἔσται περὶ τὰ θεῖα πρόσωπα, καὶ ἡ διάκρισις ἀναιρεθήσεται. οὔτε δὲ τὰ ἡνωμένα, φησὶν αὐτὸς ἐκεῖνος, ἀναιρεῖν θεμιτὸν, οὔτε τὰ διακεκριμένα συγχεῖν. καὶ διὰ τοῦτο τὸ τῆς πηγῆς πρᾶγμα κατ' οὐδένα τρόπον πρὸς τὸν υἱὸν μεταβήσεται. μὴ ὢν δὲ πηγὴ θεότητος ὁ υἱὸς, δῆλον ὡς οὐδὲ τοῦ πνεύματος αἴτιος ἔσται· θεότης γὰρ ὑπερούσιος πηγαζομένη τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὕτω μόνος πηγὴ θεότητος ὢν ὁ πατὴρ, καὶ τούτῳ τοῦ υἱοῦ διακρινόμενος καὶ τοῦ πνεύματος, μόνος ἔσται καὶ προβολεὺς, ὥσπερ καὶ μόνος πατήρ. καὶ οὕτως ὑμῖν τὸ ὑμέτερον

τοῦτο δόγμα οὐ συνάγεται ἐκ τῶν τοῦ διδασκάλου τούτου φωνῶν, ἀλλὰ ῥητῶς καὶ καθαρῶς ἀποπέφανται. τὰ αὐτὰ δὲ τούτῳ καὶ ὁ μέγας φησίν. Ἀθανάσιος ἐν τῷ λόγῳ, ὃς ἐπιγραφὴν ἔχει· Περὶ τῆς ἀϊδίου ὑπάρξεως υἱοῦ καὶ πνεύματος· λέγει γὰρ ἐκεῖ· Χωριζόμεθα καὶ τῶν ἰουδαϊζόντων, καὶ τῶν τὸν χριστιανισμὸν παραφθειρόντων, οἳ τὸν ἐκ θεοῦ θεὸν ἀρνούμενοι, θεὸν ἕνα παραπλησίως τοῖς Ἰουδαίοις λέγουσιν· οὐχ ὅτι μόνος ἀγέννητος, καὶ μόνος πηγὴ θεότητος ὁ πατὴρ, διὰ τοῦτο ἔφασκον αὐτὸν εἶναι μόνον θεὸν, ἀλλ' ὡς ἄγονον υἱοῦ καὶ ἄκαρπον ζῶντος Λόγου. Ἐνταῦθα δὴ καὶ οὗτος ὁ διδάσκαλος μόνον ἀγέννητον καὶ μόνον πηγὴν θεότητος τὸν πατέρα φησί. καὶ ὥσπερ τὸ ἀγέννητον οὐ δυνατὸν γενέσθαι κοινὸν οὐδετέρῳ τῶν θείων προσώπων, οὕτω καὶ ἡ πηγὴ τῆς θεότητος οὐδαμῶς κοινωθῆναι τῷ υἱῷ δύναται. οὐκ ἄρα πηγὴ θεότητος ὁ υἱὸς, καὶ διὰ τοῦτο οὐδὲ τοῦ ἁγίου πνεύματος αἴτιος. βλέπε διὰ πάντων τὴν τῶν ἁγίων συμφωνίαν, ἣν ἔχουσι πρὸς ἀλλήλους καὶ τὴν ἀλήθειαν. ἀλλὰ καὶ τὰς τῶν οἰκουμενικῶν συνόδων ἀποφάσεις ὑμῖν προοίσομεν, τὰ αὐτὰ συμμαρτυρούσας ἡμῖν. φησὶ τοίνυν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος διὰ τοῦ ἐπισκόπου Καισαρείας Λεοντίου πρὸς τὸν διαπορoῦντα φιλόσοφον ταῦτα· Δέχου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ, καθά φησιν ὁ θεῖος ἀπόστολος· Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.* Θεωρητέον ἐνταῦθα τὴν διάνοιαν τῶν ἁγίων τούτων πατέρων, ὅτι περὶ τοῦ ἁγίου πνεύματος θεολογοῦντες, ὅθεν ἐκπορεύεται καὶ τὴν αἰτίαν ἔχει, καὶ τὴν θεότητα τοῦ πνεύματος εἰπόντες τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ, προσέθηκαν, τοῦ πατρὸς εὐθὺς, ἵνα μή τις νομίσῃ πρὸς τὸν υἱὸν ἀναφέρεσθαι τὴν ἐκπόρευσιν, ἐπειδὴ προσεχῶς αὐτοῦ ἐπεμνήσθησαν.

*Ῥωμ. 8, 9.

Ὁ ἸΩΑΝΝΗΣ. Φαίνεται ὅτι παραβαίνεις τὴν τάξιν· περιεστείσαμεν γὰρ, ἵνα ἀπὸ κεφαλαίου εἰς κεφάλαιον, καὶ ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα μεταβαίνωμεν.

Ὁ ἘΦΕΣΟΥ. Οὐ παραβαίνω τὴν τάξιν, ἀλλ' ἵνα διὰ τούτων ἁπάντων ἀποδείξω, ὅτι τὸ προκομισθὲν παρ' ἡμῶν βιβλίον τοῦ ἁγίου Βασιλείου ἐστὶν ὑγιὲς καὶ ὀρθὸν, καὶ οὐ περιπίπτει ἑαυτῷ ὁ μέγας Βασίλειος, καθὼς αὐτὸς εἴρηκας.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐν τῇ προλαβούσῃ διαλέξει ἀπὸ κοινῆς συμφωνίας τῆς μεταξὺ μακαριωτάτου πατρὸς, καὶ τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως συμπεφώνηται καὶ συνεπεράνθη, ὥστε ἀπὸ κεφαλαίου εἰς κεφάλαιον, καὶ ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα μεταβαίνειν· καὶ διὰ τοῦτο πρῶτον ἠρξάμεθα ἀπὸ τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου, ὅπερ ἐλάβομεν ἀπὸ τῆς ὁμιλίας αὐτοῦ τῆς ἐκτεθείσης αὐτῷ ἐν τῇ ἑορτῇ τῆς πεντηκοστῆς. εἰ δὲ καὶ πολλὰ εἴρηται περὶ τὸ ῥητὸν τοῦτο παρ' ἡμῖν ὑπὲρ τῆς ἀνιχνεύσεως τῆς ἐννοίας τοῦ ῥητοῦ ἐκείνου, οὐδέποτε ὅμως ἐξέβημεν τοῦ προκειμένου ἐκείνου ῥητοῦ. συμπερανθέντος δὲ τοῦδε τοῦ ῥητοῦ τοῦ Βασιλείου, ἤλθομεν εἰς τὸ πρῶτον ῥητὸν, ὅπερ τίθησιν ἐν τῷ τρίτῳ ἀντιῤῥητικῷν κατ' Εὐνομίου· καὶ ἐν ταύτῃ τῇ χρήσει τοῦ Βασιλείου κατὰ τὸ ἐμαυτοῦ ἐγενόμην διεξοδικώτερος, ἐν τῇ ἐξηγήσει μέντοι τῆς αὐτῆς χρήσεως, οὐδέποτε δὲ μεταβαίνων ἀπὸ τῆς ὕλης τῆς ἐξηγήσεως τοῦ εἰρημένου ῥητοῦ. καὶ γὰρ εἴπερ ἐβουλόμην συνάξαι λόγον ἀπὸ τῆς ἐννοίας ταυτησὶ τῆς χρήσεως, ἣν ἂν πάντως ἀνάγκη τὸ παρὸν ἀκροατήριον τὴν ἔννοιαν συνιέναι τοῦ ῥητοῦ· καὶ οὐδέποτε προεκόμισα ἑτέραν ἔννοιαν, ἀλλὰ μόνα τὰ ῥήματα τοῦ ῥητοῦ τούτου. ἐπειδὴ δὲ τὰ ῥήματα συνάγονται ἀπὸ τῶν ἡγουμένων καὶ τῶν ἑπομένων, διὰ τοῦτο ἐδέησεν ἐκθεῖναι καὶ σαφηνίσαι τὰ προηγούμενα. διασαφηνισθέντος δὲ τοῦ κειμένου, δύο λόγους ἐμόρφωσα, ἀποδεικνύων κατὰ ἀνάγκης, ὅτι τὸ κείμενον οὐκ ἠδύνατο ἵστασθαι μετὰ τῆς προσθήκης ἐκείνης τῆς ἀμφιβολίας, οὕτως ὥστε ἡνίκα ἡ φύσις τοῦ πράγματος ἀπῄτει, οὐκ ἠδυνήθην γεγονέναι βραχύτερος ἐν τῇ διασαφήσει καὶ ἀναπτύξει τοσούτου κειμένου. νῦν δὲ πρὸς τοὺς λόγους τοὺς γενομένους τελευταῖον περὶ τὴν ἡμετέραν προχώρησιν, εἴπερ ἐβούλου τηρῆσαι τὴν ἀρίστην τάξιν, διὰ τὴν διασάφησιν τοῦ ῥητοῦ τοῦ μεγάλου Βασιλείου, νῦν ἐξ ἀρχῆς περὶ ἐκείνου ὤφειλες ποιῆσαι τὸν λόγον. ἓν οὖν ἐκ τῶν δύο ἕπεται· ἢ ἐθελάκειν τοὺς ἐμοὺς συμπεράναι λόγους οὕτως, ὥστε μὴ λόγον ἔχειν εἰς τοὐναντίον ἐπάγειν· καὶ τοῦτο λίαν ἀρέσκει ἡμῖν, εἰ καὶ σὺ οὕτως ὁμολογήσειας· ἢ βουλόμενος ἐκφυγεῖν τὰς πρὸς τοὺς λόγους τούτους ἀπολογίας εἰσῆλθες εἰς ἑτέραν ὕλην. εἴπερ δὲ ἐβούλου ἐκφυγεῖν καὶ ἐκκλῖναι τὰ ἐπιχειρήματα τὰ συμπεραίνοντα πρὸς τοῦτο, ὤφειλες τότε μεταβῆναι ἐπὶ τὰ ῥητὰ τοῦ Ἀθανασίου, τὰ τότε κατὰ δεύτερον λόγον

κομισθέντα· ἅπερ ῥητὰ οὕτως ἀναγκαίως συμπεραίνουσι, καθὼς καὶ χρῆσις τοῦ μεγάλου Βασιλείου. νῦν δὲ οὔτε πρὸς τοὺς πρώτους λόγους ἀπολογῇ, οὔτε τηρεῖς τὴν τάξιν περὶ τῶν χρήσεων τῶν προκομισθεισῶν τοῦ Ἀθανασίου, καὶ μεταβαίνεις ἐπ' ἄλλας ἀπορίας καὶ ζητήσεις, τὰς κειμένας περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, οὕτως ὡς ἂν καὶ αἱ πρῶται χρήσεις οὐχ ἡδράζοντο ἐπὶ τῷ κειμένῳ τοῦ εὐαγγελίου. μὴ γὰρ οὐχ ἑδράζεται τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου ἐπὶ τούτῳ· Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν *; μὴ ὁ λόγος τῆς εὐσεβείας καὶ τῆς ἀληθείας οὐκ ἔστιν * Ἰω. 16, 14.
ἐν τῇ παραδόσει τοῦ ἁγίου βαπτίσματος; νῦν οὖν αὐτὸς ὁ Χριστὸς, ὅστις ἐν τῷ τέλει τοῦ πεντεκαιδεκάτου κεφαλαίου τοῦ κατὰ Ἰωάννην εἴρηκεν· Ὁ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· * ὁ αὐτός φησιν ἐν τῷ * Ἰω. 15, 26.
μέσῳ τοῦ ἑκκαιδεκάτου κεφαλαίου, διασαφῶν τίνα τρόπον ὀφείλει νοεῖσθαι, λέγων· Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. * ἐπειδὴ τοίνυν * Ἰω. 16, 15.
ἡ χρῆσις αὕτη τῆς θείας γραφῆς καὶ τοῦ Ἰησοῦ Χριστοῦ ἐτέθη πρῶτον εἰς τὸ μέσον διὰ τῶν ἁγίων διδασκάλων, καὶ παρήχθη ἐπὶ τῇ δυνάμει τῶν ἐπιχειρήσεων, λίαν ἐστὶν ἄτοπον καὶ ἀπρεπὲς ἐπὶ τοῦ τοιούτου ἀκροατηρίου, ὥστε τῆς μεγάλης χρήσεως παραλειφθείσης ἀνεξετάστου, μηδεμιᾶς γενομένης ἀπολογίας πρὸς τοὺς λόγους τοὺς ἐξελέγχοντας, μεταβῆναι ἐπ' ἄλλας χρήσεις, ἃς κατὰ τὸ παρὸν αὐτὸς προεκόμισας. νῦν δὲ λέγω οὕτως· λέγε μακρὸν ὅσον ἂν αὐτὸς βούλῃ, ἐπειδὴ αὐτὸς οὐκ ἔχω ἐπιτιθέναι σοι νόμον, ἀλλ' ὁ γαληνότατος βασιλεύς· ὅμως ἐγὼ τηρήσω τὴν σεμνότητα καὶ τὴν τάξιν τῶν διαλέξεων, καὶ οὐδέποτε ἀπολογίαν παρέξω σοι εἰς ὅσα ἂν εἴπῃς, ἕως ἂν αὐτὸς ἀποκριθήσῃ κατὰ τὴν τάξιν, καθ' ὃν τρόπον τῆς διαλέξεως ἠρξάμεθα. νῦν οὖν σκέψαιο αὐτὸς, εἰ βούλει μὴ κατατρίβειν τὸν καιρὸν ἐπὶ ματαίῳ τούτων παρόντων. ἐκζητῶ τοίνυν ἀπὸ σοῦ καὶ αὐτὸς, ἵνα πρὸς τοὺς λόγους ἀπολογηθῇς τοὺς προκομισθέντας, ἐπειδὴ ἐξ ἐκείνων σαφέστατα ἔχομεν τὴν διάνοιαν τοῦ Βασιλείου, εἰ μήπου ὁ ἁγιώτατος ἡμῶν δεσπότης ὁρίσει μοί τι ἕτερον. εἶπον ἄλλοτε καὶ λέγω καὶ νῦν, ὅτι ἐν τῇ τρίτῃ συνόδῳ οὕτως ἐβεβαιώθη, καθὼς φησιν ὁ ἁγιώτατος Κύριλλος· καὶ τοῦτο ὀφείλει κανὼν καὶ σὸς καὶ ἐμὸς εἶναι, ἔνθα φησὶν ὁ Κύριλλος, ὅτι ἑπόμενοι ἐν πᾶσι τῇ ὁμολογίᾳ τῶν πατέρων, ἣν ἐποιήσαντο

ἐν αὐτοῖς λαλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, καὶ τὴν ἔννοιαν τὴν κειμένην ἐν αὐτοῖς ἀνιχνεύοντες, τὴν ἀλήθειαν λέγομεν. οὕτω γὰρ ὀφείλουσι τίθεσθαι αἱ μαρτυρίαι καὶ τὰ ῥητὰ, ὥστε ἡμᾶς μετ' ἐπιστασίας καὶ ἀκριβείας ἀνιχνεύειν καὶ ἐρευνᾶν τὰς μαρτυρίας τῶν ἁγίων.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς τὸν τρόπον τῆς διαλέξεως, ὃν συνεφωνήσαμεν πρὸς ἀλλήλους, οὐδαμῶς παραλίπομεν. ἀλλὰ γινώσκει ἡ σὴ τιμιότης, ὅτι δύο ἢ τρία ῥητὰ προβαλομένων ὑμῶν κατηναλώθησαν περὶ αὐτὰ πᾶσαι αἱ προλαβοῦσαι συνελεύσεις· ἵνα οὖν μὴ ἀεὶ τοῦτο γίνηται, ἀεὶ τῆς ἡμετέρας ἀπολογίας προκαλουμένης τοὺς παρ' ὑμῶν λόγους, ἔδοξεν ἡμῖν τὰς ἡμετέρας συστάσεις παραγαγεῖν ἐν ταύτῃ, οὐκ ἐξ ἀποκρύφων τινῶν βιβλίων καὶ τοῖς πολλοῖς ἀγνώστων, οὐδὲ ἐξ ἀμφιβόλων καὶ νενοθευμένων, ἀλλ' ἐξ αὐτῶν τῶν θείων γραφῶν, καὶ τῶν παρὰ πᾶσιν ὁμολογουμένων ἀποφάσεων τῶν ἁγίων. εἰ γὰρ ἀεὶ περὶ τὸ αὐτὸ ῥητὸν ἀναλώσομεν τὸν λόγον, ἡμεῖς μὲν ἐλέγχοντες τοὺς ὑμετέρους λόγους, ὑμεῖς δὲ ἀπολογούμενοι, τοῦτο ἐπ' ἄπειρον προβήσεται. διὰ τοῦτο ἐπειδὴ τὴν ἀπολογίαν ἐδώκαμεν τρανῶς καὶ καθαρῶς εἰς τὴν προσθήκην τῆς ἀμφιβολίας ἐκείνης ἐν τοῖς παρ' ἡμῖν βιβλίοις κειμένην, ἔδοξεν ἡμῖν ἐκεῖνο τὸ ῥητὸν καταλιποῦσιν, ἵνα μὴ ἐπ' ἄπειρον ἀεὶ προβαίνωμεν, τὰς ἡμετέρας συστάσεις παραγαγεῖν, καὶ μετὰ ταῦτα τὰς τοῦ μεγάλου Βασιλείου φωνὰς συμφώνως ἅπασι τούτοις, ἵνα διὰ πάντων τούτων ἀναφανῇ τὸ παρ' ὑμῖν βιβλίον νενοθευμένον. μετὰ δὲ ταῦτα δύνασθε ὑμεῖς ἀπολαμβάνοντες ἕκαστον τῶν εἰρημένων, διαλεκτικῶς ἐξετάζειν, ἂν ὁ Θεὸς βούληται, καὶ ὁ καιρὸς συγχωρῇ.

Ὁ ΒΑΣΙΛ. Εἰ εἴχετε ἀναμένειν ἵνα ἀκούσητε τὸ τέλος, πάλιν ἤθελεν ἐλθεῖν εἰς αὐτὸ, διότι ὁ σκοπὸς ὁ ὑμέτερος ἦν, ὅτι πάντοτε ὑμεῖς λέγετε, ἡμεῖς δὲ καιρὸν οὐχ εὑρίσκομεν· νῦν δὲ εἶπε καὶ οὗτος τοὺς λόγους αὐτοῦ.

Ὁ ἘΦΕΣΟΥ. Πρὸς τὴν ἀκολουθίαν ἐκείνην ἐπανέλθωμεν τῶν παρ' ἡμῶν λεγομένων, ὅτι ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος ἀποκρίνεται πρὸς τὸν διαπορoῦντα φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου ταῦτα· Δέχου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρὸς, ἰδίου

δὲ ὄντος τοῦ υἱοῦ, καθά φησιν ὁ ἀπόστολος· Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. * Οὕτω μὲν ἔχει τὸ ῥητόν· δεῖ δὲ νοῆσαι, ὅτι δείσαντες οἱ μακάριοι οὗτοι πατέρες, μήτις ἀκούων περὶ τοῦ ἁγίου πνεύματος, τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ, νομίσῃ τοῦ υἱοῦ λέγειν αὐτούς, ἐπειδὴ προσεχῶς ἐμνήσθησαν τοῦ υἱοῦ, προσέθηκαν εὐθύς, τοῦ πατρός. τοῦτο δὲ ταυτόν ἐστι λέγειν, οὐκ ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐκ τοῦ πατρός· καὶ εὐθὺς ἐπάγουσιν, ἰδίου δὲ ὄντος τοῦ υἱοῦ. εἰ καὶ μὴ ἐκπορεύεται, φησιν, ἐκ τοῦ υἱοῦ, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ υἱοῦ, ἴδιον δὲ τῆς οὐσίας αὐτοῦ, καὶ ὁμοούσιον αὐτῷ. καὶ πρὸς ταύτην τὴν διάνοιάν φησιν ὁ ἀπόστολος· Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. τοῦτό φησι καὶ ὁ μακάριος Κύριλλος· Εἰ καὶ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ θεοῦ καὶ πατρός, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ υἱοῦ. Ταῦτά φησιν ἐκεῖνος πρὸς τὸν Θεοδώρητον ἀπολογούμενος, ὡς ἀκριβέστερον ἐροῦμεν ὕστερον, ἂν ὁ καιρὸς συγχωρῇ, ἐγκαλούμενον τούτῳ, ὡς καὶ ἐκ τοῦ υἱοῦ λέγοντι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. τούτοις τοῖς πατράσι καὶ ὁ μέγας Βασίλειός φησι σύμφωνα, λέγω δὲ τοῖς τῆς ἁγίας συνόδου, μετ' αὐτοὺς ἐγγὺς γεγονώς· λέγει γὰρ ἐν τῷ ὀκτωκαιδεκάτῳ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίῳ· Πνεῦμα Χριστοῦ λέγεται, ὡς ᾠκειωμένον αὐτῷ κατὰ φύσιν, τουτέστιν ὡς ὁμοούσιον. Εἰ δὲ ἐκ τοῦ υἱοῦ αὐτὸ ἐγίνωσκε τὸ εἶναι λαμβάνειν, καθὼς ἡ διεφθαρμένη βίβλος φησὶν, οὐκ ἂν εἶπεν, ὡς ᾠκειωμένον αὐτῷ κατὰ φύσιν, ἀλλ' ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ ἐξ αὐτοῦ τὸ εἶναι λαμβάνον καὶ ἀναγγέλλον· τοῦτο γὰρ ἀκόλουθον ἦν· ἀλλ' οὐδαμῶς τοῦτο προσέθηκε. λέγει γὰρ ὁ αὐτὸς ἐν τῷ λόγῳ, ὃς ἔχει τὴν ἐπιγραφήν· Κατὰ Σαβελλίου καὶ Ἀρείου καὶ Εὐνομίου, τοιαῦτα· Ἐγὼ μετὰ πατρὸς μὲν εἶδα, οὐχὶ δὲ πατέρα τὸ πνεῦμα· καὶ μετὰ υἱοῦ παρέλαβον, οὐχὶ δὲ υἱὸν ὠνομασμένον. ἀλλὰ τὴν μὲν πρὸς τὸν πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ ἐκ τοῦ πατρὸς ἐκπορεύεται· τὴν πρὸς τὸν υἱὸν δὲ, ἐπειδὴ ἀκούω· Εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Βλέπετε καὶ ταῦτα σύμφωνα καὶ ἑαυτῷ καὶ τοῖς πατράσιν ἐκείνοις; οὐ τὴν αὐτὴν οἰκειότητα νοῶ τοῦ πνεύματος πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν, ἀλλὰ πρὸς τὸν πατέρα μὲν, ἐπειδὴ ἐξ αὐτοῦ ἐκπορεύεται· πρὸς τὸν υἱὸν δὲ, ἐπειδὴ τὸ τοῦ ἀποστόλου φησὶ ῥητὸν, ὅτι εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, τουτέστιν ἁπλῶς

* Ῥωμ. 8, 9.

ὅτι κατὰ φύσιν ἐστὶν οἰκεῖον αὐτῷ, καθὼς ἐν τῷ προειρημένῳ ῥητῷ φαίνεται, καὶ οὐχ ὅτι ἐξ αὐτοῦ ἐκπορεύεται. τούτων τί ἂν γένοιτο λευκότερον ἢ καθαρώτερον γνώρισμα τῆς τοῦ μεγάλου τούτου πατρὸς διανοίας; ἦν εἰκὸς τοιαῦτα γράφειν αὐτὸν εἰδότα, ὅτι τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται; κρίνατε ὑμεῖς, ὦ πατέρες, κανόνι τῇ ἀληθείᾳ χρώμενοι. ταῦτα μὲν τὰ ἐκ τῆς πρώτης συνόδου, οἷς ἀπεδείχθη σύμφωνος διὰ πάντων ὁ μέγας Βασίλειος, ἡ αὐτὴ δὲ πρώτη σύνοδος ἐν τῷ ἑαυτῆς πρώτῳ συμβόλῳ, τὸ πνεῦμα τὸ ἅγιον συνέταξε πατρὶ, καὶ υἱῷ, κατὰ τὴν ἐν τῷ βαπτίσματι δεδομένην ὑπὸ τοῦ κυρίου παράδοσιν, μετὰ τὴν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ θεολογίαν, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἐπαγαγοῦσα. ἡ δευτέρα δὲ μετὰ ταύτην ἐπιγενομένη σύνοδος, καὶ τὴν τοιαύτην φωνὴν ἀναπτύξαι βουληθεῖσα, καὶ ὅπως συντέτακται πατρὶ καὶ υἱῷ τὸ πνεῦμα σαφέστερον παραστῆσαι, πρὸς ἀποτροπὴν τῶν τῷ ἁγίῳ πνεύματι μαχομένων, τοιάδε φησὶν ἐν τῷ ἑαυτῆς συμβόλῳ· Πιστεύομεν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. Ἐνταῦθα τὸν σκοπὸν τῶν ἁγίων τούτων θεωρητέον ἐστὶν, ὅτι τὸ προκείμενον ἀνάπτυξίς ἐστι τῆς θεολογίας ἐκείνης· καὶ τὸν τρόπον τῆς πρὸς πατέρα καὶ υἱὸν ἑνώσεως τοῦ ἁγίου πνεύματος ἡ σύνοδος ἐκείνη σαφῶς ἠβουλήθη παραστῆσαι· καὶ βλέπετε, ὅτι διαφόρως ἀποδίδωσι καὶ αὕτη τὴν πρὸς πατέρα καὶ υἱὸν οἰκειότητα τοῦ πνεύματος· μονονουχὶ γὰρ καὶ αὕτη φησὶν, ὅτι συντέτακται τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ τῶν πατέρων ἐκείνων, ὡς ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, πατρὶ δὲ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τουτέστιν ὁμότιμόν τε καὶ ὁμοούσιον. εἰ δὲ καὶ ἐξ ἀμφοῖν αὐτὸ ἐκπορευόμενον ᾔδει, τίνος ἕνεκεν μεμνημένη καὶ ἀμφοτέρων, οὐ πρότερον μὲν εἶπεν, ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον, ὕστερον δὲ ἐπήγαγε, σὺν αὐτοῖς συμπροσκυνούμενον καὶ συνδοξαζόμενον; τοῦτο γὰρ ἀκόλουθον ἦν εἴγε τὴν τοιαύτην εἶχε δόξαν. καὶ τοῦτο ποιεῖν εἰώθαμεν ἐν τῇ χρήσει τοῦ λόγου, ὅταν τι πρὸς δύο τινὰ ἀναφέρωμεν· καὶ μάλιστα ὅταν τὴν αἰτίαν ἔχειν ἐξ αὐτῶν λέγωμεν, πρότερον ἐκθέμενοι καὶ ἄμφω τὰ αἴτια, τότε καὶ τὸ κοινὸν ἐπάγομεν ὕστερον· οἷον εἰ τύχοι, ὅτι καὶ σὺν αὐτοῖς συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, ἐπειδὴ ἐν μὲν τῷ

πρώτῳ παρέλειπον οἱ πατέρες τὴν δι' υἱοῦ μνήμην, ὅτι τὴν αἰτίαν ἀποδοῦναι τοῦ πράγματος ἤθελον, ἐν δὲ τῷ δευτέρῳ ταύτην ἐπήγαγον, ὅτε τὸ ὁμότιμον καὶ ὁμοούσιον ἤθελον παραστῆσαι· οὐκ ἄρα ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον ᾔδεισαν· οὐ γὰρ ἂν τοῦτο παρέλειπον, καὶ ταῦτα ποιοῦντες ἀνάπτυξιν. ὅτι δὲ ἡ ἀνάπτυξις αὕτη τελειοτάτη ἐστὶ καὶ οὐχ ἡμιτελὴς, ὡς ἂν ὑμεῖς εἴποιτε, οὐδὲ τῶν αἰτίων θάτερον σιωπήσασα, δῆλον ἐξ ὧν οὐδεμία μετ' αὐτὴν σύνοδος τῆς αὐτῆς ἀναπτύξεως ἑτέραν ἀνάπτυξιν ἐποιήσατο, οὐδὲ προσέθηκεν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται· μᾶλλον μὲν οὖν καὶ ἀπεῖρξαν καὶ διεκώλυσαν ἅπασαι διὰ τῶν οἰκείων ὅρων, ὥσπερ προφητικῶς προγινώσκουσαι τὸ παρ' ὑμῖν γενησόμενον. ταύτης τῆς συνόδου πρόμαχός τε καὶ προαγωνιστὴς, καὶ τοῦ συμβόλου τούτου Γρηγόριος ὁ μέγας ἦν συγγραφεὺς, ὥς φασιν, οὗ τὸ ἐπώνυμον ἐκ τῆς θεολογίας ἀπονενέμηται. λέγει τοίνυν καὶ οὗτος σύμφωνα ἑαυτῷ καὶ τοῖς λοιποῖς πατράσι γράφων ἐν τῷ λόγῳ, ὃς ἐπιγραφὴν ἔχει· Εἰς τὸν κατάπλουν τὸν ἀπ' Αἰγύπτου, τοιαῦτα· Πάντα ὅσα ἔχει ὁ πατὴρ, καὶ τοῦ υἱοῦ, πλὴν τῆς αἰτίας. θεωρητέον ἐνταῦθα, ὅτι διακρίνει καὶ οὗτος τὸν πατέρα τοῦ υἱοῦ τῇ αἰτίᾳ, καθάπερ ὁ μέγας Διονύσιος τῇ πηγῇ. εἰ τοίνυν ὁ υἱὸς τῇ αἰτίᾳ διακρίνεται τοῦ πατρὸς καὶ οὐδαμῶς ἐστιν αἴτιος, δῆλον ὡς οὐδὲ πατήρ ἐστιν, οὐδὲ προβολεὺς, καὶ διὰ τοῦτο οὐδὲ τοῦ πνεύματος αἴτιος, τοῦτο γὰρ σαφῶς ὁ διδάσκαλος ἀπεφήνατο. τούτοις ἅπασι συνῳδὰ καὶ ἡ τρίτη σύνοδος καὶ εἶπε καὶ πέπραχε. πρῶτον μὲν γὰρ ἀκούσασα τὸ τοῦ Νεστορίου σύμβολον ὑπὸ Χαρισίου τινὸς πρεσβυτέρου προενεχθὲν, ἐν ᾧ περιείχετο, ὅτι τὸ πνεῦμα τὸ ἅγιον οὔτε υἱός ἐστιν, οὔτε δι' υἱοῦ τὴν ὕπαρξιν ἔχει, οὕτω τὴν θεολογίαν ταύτην ἀπεδέξατο καὶ ἐπῄνεσεν, ὡς οἰκείαν τοῖς πατράσι, καὶ ταῖς θείαις γραφαῖς σύμφωνον. ὥστε οὐδὲν αὐτῇ ἐνεκάλεσεν, οὐ μικρὸν οὐ μέγα, οὐ τὸ τυχὸν, οὐδ' ἐμέμψατο τὸν Νεστόριον ἐν τοῖς περὶ τὴν θεολογίαν ταύτην λόγοις, ἀλλὰ τὸ τοιοῦτον σύμβολον δοκιμάζουσα ἐν τῷ ἑαυτῆς ὅρῳ φησίν· Εἰ φωραθεῖέν τινες ἢ φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇ προκομισθείσῃ ἐκθέσει παρὰ τοῦ Χαρισίου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, τουτέστι τὰ μυσαρὰ καὶ διεστραμμένα τοῦ Νεστορίου δόγματα ὑποκεῖσθαι αὐτοὺς τῇ ἀποφάσει τῆς ἁγίας καὶ οἰκου-

μενικῆς ταύτης συνόδου. Βλέπετε, πατέρες, τίνα φησὶ τοῦ Νεστορίου μυσαρὰ καὶ διεστραμμένα δόγματα, τὰ περὶ τῆς ἐνανθρωπήσεώς φησι τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. δῆλον τοίνυν ἐντεῦθεν, ὅτι τὰ περὶ τῆς θεολογίας ὑγιῆ τε καὶ εὐσεβῆ, καὶ οὐδεμίαν λαβὴν παρέχοντα μέμψεως αὐτῷ, οὐδ' ἐμέμψατο. τοῦτο δὲ οὐ τὸ τυχόν ἐστι πρὸς ἀπόδειξιν τοῦ δόξαν εἶναι ταύτην τῆς ἐκκλησίας κοινὴν, τὸ μηδαμῶς ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον. δῆλον γὰρ ὡς οἱ πατέρες τοῦτο παραδεξάμενοί τε καὶ διορίσαντες, ὡς οἰκείαν ἑαυτῶν δόξαν ἐπέγνωσαν· καὶ οὕτω παρὰ τῆς οἰκουμενικῆς τρίτης συνόδου τὸ δόγμα τοῦτο τὸ κῦρος ἔχει λαβόν. ἀλλ' ἐπειδὴ ὁ μακάριος Κύριλλος ἀντιφερόμενος τῷ Νεστορίῳ περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, λαβήν τινα δέδωκεν, ὡς οἰόμενος τοῦτο καὶ ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν, ἐπιλαμβάνεται αὐτοῦ ὁ Θεοδώρητος, ὡς ἐκ προσώπου τῶν ἀνατολικῶν οὕτω λέγων· Ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον οἶδε, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δὲ ὡς ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον καὶ δυσσεβῆ ἀποῤῥίψομεν· πιστεύομεν γὰρ τῷ κυρίῳ λέ-
* Ἰω. 15, 26. γοντι· Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται* καὶ τῷ ἀποστόλῳ· Ὑμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβετε,
* Κορ. ά. 2, 12. ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ καὶ πατρός.* Πρὸς ταύτην τὴν μέμψιν ἀπολογούμενος καὶ ὁ Κύριλλος, πρῶτον μὲν συκοφαντῆσθαί φησιν, ἐν οἷς πρὸς Εὐόπτιόν τινα ἐπίσκοπον γράφει, καὶ διαβάλλεσθαι παρὰ τοῦ Θεοδωρήτου κατ' ἔχθραν αὐτῷ προσφερομένου, καὶ τὴν φιλίαν τὴν πρὸς τὸν Νεστόριον. λέγει δὲ οὕτω πρὸς τὸν Εὐόπτιον γράφων· Δέδεγμαι εἰς πληροφορίαν τῆς ἑνούσης διαθέσεως τῇ σῇ θεοσεβείᾳ τὸν διαπεμφθέντα τόμον, ὃν συνθεῖναι λέγεται κατὰ τῶν ἀναθεματισμῶν Θεοδώρητος ὁ Κύρου· καλεῖσθαι γάρ φασιν αὐτῷ τὸ πολίχνιον. ἐντυχὼν δὲ τοῖς ἐγκειμένοις, ἀνέθηκα τῷ θεῷ τὰς εὐχαριστηρίους ᾠδάς. οὐ διαλέλοιπα δὲ κἀκεῖνο λέγων· Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας· εὑρίσκω γὰρ ἐμαυτὸν συκοφαντούμενον πανταχοῦ. Καὶ ἐφ' ἑκάστῳ τῶν κεφαλαίων συκοφαντεῖσθαί φησι, δηλονότι κατ' ἐκεῖνο τὸ μέρος συκοφαντεῖσθαι, ἐν ᾧ βλάσφημον αὐτὸν δόξαν καὶ δυσσεβῆ ὁ Θεοδώρητος ἔχειν εἶπεν. οὐκ ἄρα τὴν δόξαν ταύτην εἶχεν, ἣν ὁ

Θεοδώρητος τοῦτον ἐσυκοφάντει, ἀλλ' ἐκείνην μᾶλλον, καθ' ἣν ὁ Θεοδώρητος ἔλεγε συνομολογεῖν αὐτῷ, καὶ ὡς εὐσεβῆ δέχεσθαι τὴν φωνὴν, τουτέστιν ὅτι ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ὡς ὁμοφυὲς μὲν αὐτῷ, ἐκ τοῦ πατρὸς δὲ ἐκπορευόμενον. Αὐτὸ δὲ τοῦτο καὶ ἐν τῇ πρὸς τὴν μέμψιν ἀπολογίᾳ φησί· λέγει γὰρ οὕτως· Εἰ καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον τοῦ υἱοῦ, πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός. Βλέπεις, ὅπως ἐκεῖνος ἐκείνῳ τῷ μέρει συμφωνεῖ, καθ' ὃ Θεοδώρητος ἔλεγε συνομολογεῖν αὐτῷ, καὶ ὡς εὐσεβῆ δέχεσθαι τὴν φωνήν; Μετὰ ταῦτα τῆς πρὸς τοὺς ἀνατολικοὺς ἑνώσεως γινομένης γράφει πρὸς Ἰωάννην τὸν τῆς Ἀντιοχείας ἐπίσκοπον ὁ μακάριος Κύριλλος περὶ τῆς αὐτῆς ὑποθέσεως, λέγων ἅμα μὲν περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως, ἅμα δὲ καὶ περὶ τοῦ τὸ σύμβολον μένειν ἀκίνητον, οὕτω λέγων· Κατ' οὐδένα τρόπον σαλεύεσθαι ἀνεχόμεθα τὴν ὁρισθεῖσαν παρὰ τῶν πατέρων πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον· οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβὴν, μεμνημένοι τοῦ λέγοντος· Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.* οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρὸς, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. Βλέπετε κἀνταῦθα, ποίῳ μέρει τῆς τοῦ Θεοδωρήτου διαιρέσεως ὁ Κύριλλος συμφωνεῖ; λέγει γὰρ ἐν τῷ μεριστικῷ σχήματι τὸν λόγον προάγων· Ἐκπορεύεται μὲν ἐκ τοῦ θεοῦ καὶ πατρὸς, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ, τουτέστιν ἴδιον κατὰ τὸν τῆς οὐσίας λόγον, τουτέστιν ὡς ὁμοούσιον. τοῦτο δὲ κἀκεῖνος ἔλεγεν οὕτω ῥητῶς· Ὅτι εἰ μὲν ὡς ὁμοούσιον καὶ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον εἶπεν, ὡς εὐσεβῆ δεχόμεθα τὴν φωνήν. Ταύτην τὴν ἐπιστολὴν δεξάμενος σὺν τοῖς ἀνατολικοῖς ὁ μακάριος Θεοδώρητος, καὶ τὴν θεολογίαν ταύτην εὑρὼν ἑαυτῷ σύμφωνον καὶ ταῖς γραφαῖς, τοιαῦτά φησιν ἐν τῇ πρὸς Ἰωάννην Ἀντιοχείας ἐπιστολῇ· Τὰ νῦν ἀπεσταλμένα, δηλονότι παρὰ Κυρίλλου, τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται· θεὸς γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτοῖς ἀναγορεύεται, καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον οὐκ ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ τοῦ

* Παροιμ. 22, 28.

υἱοῦ ὀνομαζόμενον. ταύτην τὴν ὀρθότητα ἐν τοῖς γράμμασι θεασάμενοι, ὑμνήσαμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύσαντα, καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἡδεῖαν ἁρμονίαν μεταῤῥυθμίζοντα. Βλέπε ὅπως καὶ ἐπὶ τίσι συνεφώνησεν ὁ Θεοδώρητος μετὰ τῶν ἀνατολικῶν, ὅτι οὐκ ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· ἴδιον δὲ τοῦ υἱοῦ, ὡς ὁμοούσιον ὀνομάζεται. Ὅτι δὲ ἐπὶ τούτοις συνεφώνησαν, καὶ ἡ κρίσις ἐκείνη γέγονε, μάρτυς ὁ μακάριος Κύριλλος, αὖθις πρὸς τὸν ἐπίσκοπον Ἀντιοχείας Ἰωάννην γράφων τοιαῦτα· Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς γραφαῖς, οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες, ὅτι εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τῇ παραδόσει τῶν ἁγίων πατέρων συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν καὶ αἱ παρ' ὑμῖν ἐκκλησίαι. Τούτοις σύμφωνα καὶ ἐν τῇ κατὰ Λουκᾶν ἑρμηνείᾳ φησὶν ὁ μακάριος Κύριλλος· Ὥσπερ ὁ δάκτυλος ἀπήρτηται τῆς χειρὸς, οὐκ ἀλλότριος ὢν αὐτῆς, καὶ ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται πρὸς ἕνωσιν τῷ υἱῷ, κἂν ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἐκπορεύηται. Τοῦτο δὲ ταὐτόν ἐστιν εἰπεῖν, κἂν μὴ ἐξ αὐτοῦ ἐκπορεύηται· συνῆπται γὰρ αὐτῷ, φησι, κατὰ τὴν ὁμοουσιότητα, κἂν μὴ παρ' αὐτοῦ τὴν ὕπαρξιν ἔχῃ, ἀλλ' ἐκ τοῦ θεοῦ καὶ πατρός. Διὰ τούτων ἁπάντων ἑαυτοὺς ἐπιδείκνυμεν σύμφωνα ταῖς ἁγίαις γραφαῖς φρονοῦντας, τοῖς θείοις ἡμῶν πατράσι καὶ διδασκάλοις, καὶ μηδὲν τῶν θείων δογμάτων τῶν παραδεδομένων ἡμῖν ἄνωθεν ἐναλλάσσοντας ἢ κιβδηλεύοντας, οὐδὲν προστιθέντας, οὐδὲν ἀφαιροῦντας, οὐδὲν ὅλως καινοτομοῦντας, παρακαλοῦμεν δὲ πάλιν καὶ τὴν ὑμετέραν ἀγάπην καὶ τιμιότητα, συμφωνῆσαι καὶ ἡμῖν καὶ τοῖς θείοις πατράσι, καὶ μηδὲν τούτων ἐπέκεινα λέγειν ἐπ' ἐκκλησίας ἢ παραδέχεσθαι, ἀλλὰ τούτοις ἀρκεῖσθαι καὶ μόνοις· ἵνα τὰ αὐτὰ καὶ λέγοντες καὶ φρονοῦντες, ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάσωμεν τὸν πατέρα, τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ἸΟΥΛ. ΚΑΡΔ. Δίκαιόν ἐστιν, ἐπεὶ εἶπες ὅσα ἔχρῃζες, ἵνα ἀπολογηθῇς καὶ εἰς τὰ τελευταῖα τοῦ Ἰωάννου τοῦ προβεντζιαλίου.

Ὁ ἘΦΕΣΟΥ. Ἡμεῖς διότι ἱκανῶς ἀπεδείξαμεν καὶ εὐλόγως τὴν προσθήκην τῆς ἀμφιβολίας ἐκείνης γεγενημένην, καὶ τοῦτο ἔχειν ἐν ἑαυτοῖς τοὺς παρόντας ἅπαντας, ὡς ἱκανῶς ἀποδέδεικται· καὶ οὐδένα προστρίβεται μῶμον τῷ μεγάλῳ Βασιλείῳ ἡ προσθήκη τῆς ἀμφιβολίας ἐκείνης, καθὼς ἡμεῖς ἀπεδώκαμεν, ἐξηγησάμενοι τὸ ῥητὸν κατ' ἀκρίβειαν, οὐδαμῶς δὲ προσέχομεν τοῖς παρὰ τῆς σῆς αἰδεσιμότητος εἰρημένοις λόγοις εἰς τὴν τοῦ ὑμετέρου βιβλίου σύστασιν, πολλοῖς τε οὖσι, καὶ ἄλλως ἔξω καὶ τῶν προκειμένων εἰρῆσθαι δοκοῦσι· καὶ ὅτι τὸ ταῦτα ποιεῖν ἡμᾶς, καὶ ἀπολογίαις τὰς ἀπολογίας δέχεσθαι, πρὸς τὸ ἄπειρον ἀεὶ προχωρήσει· διὰ τοῦτο παραλιπόντες ἐκεῖνα, καὶ μηδὲν πρὸς αὐτὰ σκεψάμενοι, τοσοῦτον μόνον εἰπεῖν ἔχομεν, ὅτι τὸ τὴν ἡμετέραν βίβλον ἀληθῆ τε εἶναι καὶ ἀκριβῆ, μαρτυρεῖται καὶ παρὰ τοῦ πλήθους καὶ τῆς ἀρχαιότητος τῶν βιβλίων καὶ παρ' αὐτῆς τῆς ἀκολουθίας τῶν ἡμετέρων, ὡς παρ' ἡμῶν ἀποδέδεικται. καὶ πλείονα τούτων εἰς τὸ ῥητὸν λέγειν ἐκεῖνο οὔτε ἔχομεν, οὔτε βουλόμεθα.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐπειδὴ, κύριε Ἐφέσου, περὶ τὸ τέλος εἶπες, οὐ κατέχειν ἐν τῇ μνήμῃ τοὺς παρ' ἐμοῦ εἰρημένους λόγους, ἀνάξω σε ἀπὸ μέρους εἰς μνήμην τῶν εἰρημένων, ἵνα δυνηθῇς ἱκανοποιῆσαι τῷ θελήματι τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως, τοῦ εἰρηκότος σε ἐπὶ πᾶσιν ἀπολογησόμενον. ὡς * εἶπας, ἐν οἷς φαίνεταί μοί τινας ἔχειν σε ἀπολογίας ἐν τοῖς ἐπεσκεμμένοις, ἀπὸ κεφαλαίου εἰς κεφάλαιον βούλομαί σοι πανάριστα ἱκανοποιῆσαι. καὶ εἴπερ ἐπαγγέλλῃ παρόντος τοῦ γαληνοτάτου κυρίου τοῦ βασιλέως ἠρεμήσειν ἐπὶ τῇ ἀληθείᾳ, ἣν αὐτὸς ἱκανοποιήσω πᾶσι τοῖς παρὰ σοῦ εἰρημένοις, μετὰ πλείονος προθυμίας προχωρήσω ἐπὶ τὸ λῦσαι τὰ παρὰ σοῦ εἰρημένα. εἶπες ἐνταῦθα περὶ τὴν ἀρχὴν οὕτως· ὅτι ἡνίκα εὑρίσκομεν μεταβολήν τινα ἐν ταῖς βίβλοις ἢ ἐναλλαγὴν, ὀφείλομεν παραλείπειν τὰς βίβλους ἐκείνας, τὰς ἐχούσας ἐν ἑαυταῖς τὰς ἀμφιβολίας, καὶ μεταβαίνειν ἐπὶ τοὺς θεμελίους τῆς θείας γραφῆς. οὗτος δ' ἂν εἴη πονηρός τε καὶ διεστραμμένος τρόπος· ὥστε ὁσάκις ἂν εὑρίσκωνται ἐναλλαγαὶ ἐν ταῖς βίβλοις, ἐκείνας καταλιμπάνειν. τοῦτο οὐ γίνεται παρὰ σοφῶν ἀνδρῶν, ἀλλ' ἕπονται τῷ σκοπῷ τῶν βιβλίων, καὶ κατὰ τὰ ἡγούμενα καὶ ἑπόμενα ἐπιχειροῦσιν, ὥστε εὑρεῖν τἀληθῆ καὶ τὰ ψευδῆ. οὕτω καὶ ἐν τῷ προκειμένῳ

* Ισ. ὅσα δὲ εἶπας.

δεῖ ποιεῖν καὶ ἡμᾶς. τοῦτόν σοι τὸν λόγον αὐτὸς πεποίηκα, ὅτι εἴπερ ὁ προσδιορισμὸς τῆς ἀμφιβολίας προσετέθη, ὅπου ἀνακεφαλαιοῦνται τὰ τῶν ἀγγέλων παραδείγματα, εἵποντο ἂν δύο ἄτοπα· πρῶτον ὅτι ἐκ τοῦ ἡγουμένου ἀληθοῦς ὄντος καὶ ἀναγκαίου, λαμβανομένης τῆς ἀνάγκης ἐξ ἐκείνων, ἃ κεῖνται ἐν τῇ ἱερᾷ γραφῇ, εἵπετο ἂν ἀκόλουθόν τι ἀμφίβολον, ὅπερ ἐστὶ παντάπασιν ἀνεπιτήδειον. οὕτω γὰρ ἐπιχείρει ὁ Βασίλειος ἐνταῦθα· Εἰ οὕτως ἐστὶν ἐπὶ τῶν ἀγγέλων, ὥστε τὸν ὄντα δεύτερον ἢ τρίτον τῇ τάξει ἢ τῷ ἀξιώματι, τρίτον εἶναι καὶ τῇ φύσει, οὕτως ἦν δηλονότι καὶ ἐπὶ τῶν θείων προσώπων, ἐν οἷς περὶ τοῦ ἁγίου πνεύματος διαλέγεται. ἀλλὰ μὴν οὕτως ἐστὶν ἀπολελυμένως καὶ χωρὶς ὑποθέσεως ἐπὶ τῶν ἀγγέλων, καθὼς αὐτὸς φανερῶς ἀποδείκνυσιν ἐν τῷ κειμένῳ· ἄρα τὸ ἀκόλουθον ὀφείλει εἶναι χωρὶς τῆς οἱασοῦν ἀμφιβολίας. δέδωκά σοι τὸ παράδειγμα ἐκεῖνο τῆς ἀκολουθίας, εἰ ὁ ἄνθρωπος τρέχει, ἄρα κινεῖται. δίδωμί σοι καὶ κατὰ τὸ παρὸν παράδειγμά τι ἐπὶ τῇ προκειμένῃ ὕλῃ ἐφαρμόζον τοῦ μακαρίου Αὐγουστίνου· φησὶ γὰρ ὁ Αὐγουστῖνος οὕτως ἐπιχειρῶν, καθὼς καὶ ὁ Βασίλειος, ἐν τῷ πεντεκαιδεκάτῳ περὶ τῆς Τριάδος λόγῳ· Εἰ γὰρ ὅ, τι ἂν ἔχει, ἐκ τοῦ πατρὸς ἔχει ὁ υἱὸς, ἀπὸ τοῦ πατρὸς πάντως ἔχει ὥστε καὶ ἐξ αὐτοῦ προϊέναι τὸ πνεῦμα τὸ ἅγιον. αὕτη ἐστὶ μία ὑποθετικὴ, ἡ μὴ τιθεῖσα εἶναι οὔτε τὸ ἡγούμενον οὔτε τὸ ἑπόμενον, εἰ μὴ προστεθῇ ἡ ἐλάττων, ἣν ὁ αὐτὸς νοεῖ ἀπὸ τῆς ἱερᾶς γραφῆς. καὶ ἡνίκα γίνεται ἐπιχείρησις ἐπὶ τῶν ὑποθετικῶν, ἡ μείζων ἐστὶν ὑποθετικὴ, καὶ ἡ ἐλάττων * πρῶτον προηγουμένη ὑποθετικὴ, καὶ διὰ τοῦτο τὸ ἀκόλουθον ἕπεται ἀναγκαίως. λέγει οὖν ὁ Αὐγουστῖνος οὕτως· Εἰ ὅπερ ἔχει, ἐκ τοῦ πατρὸς ἔχει ὁ υἱὸς, ἐκ τοῦ πατρὸς ἔχει πάντως ὥστε καὶ ἐξ αὐτοῦ προϊέναι τὸ πνεῦμα τὸ ἅγιον· ἀλλὰ πάντα ὅσα ἔχει ὁ πατὴρ, ἔχει καὶ ὁ υἱὸς, ἥτις ἐστὶν ἡ ἐλάττων· αὕτη δὲ φαίνεται ἀπὸ τοῦ κειμένου ἐν τῷ εὐαγγελίῳ ῥητοῦ, ὅτι πάντα ὅσα ἔχει ὁ πατὴρ, ἔχει καὶ ὁ υἱός· ἄρα ἕπεται ἀναγκαίως κατὰ ταύτην τὴν ἐπιχείρησιν, ὥστε τὸν υἱὸν ἔχειν ἀναγκαίως ἐκ τοῦ πατρὸς, ὥστε ἐξ αὐτοῦ προϊέναι τὸ πνεῦμα τὸ ἅγιον· καὶ γίνεται ἡ ἐπιχείρησις αὕτη χωρὶς τινος ὑποθέσεως ἀναγκαία. οὕτω φησὶ καὶ ὁ Βασίλειος, ὡσὰν νοήσοι τις τὸ ἐπιχείρημα· εἰ οὕτως ἔχει ἐπὶ τῶν ἀγγέλων, ὥστε τὸν ὄντα δεύτερον ἢ τρίτον τῷ ἀξιώματι καὶ τῇ

* Ἴσ. καὶ ἡ ἐλάττων τίθησι τὸ πρῶτον τῆς προηγουμένης ὑποθετικῆς.

τάξει, μὴ εἶναι τρίτον καὶ τῇ φύσει, οὕτω καὶ ἐπὶ τῶν θείων προσώπων. νῦν οὖν τίθησι τὴν ἐλάττονα ἀπολελυμένως καὶ ἐπὶ τῶν ἀγγέλων οὕτως ἔχειν· ἄρα ἕπεται τὸ ἀκόλουθον χωρίς τινος ὑποθέσεως. ἄλλον γὰρ τρόπον ἐδέησεν ἂν εἰπεῖν, τὸν Βασίλειον εἶναι ἀνοητότατον, ὅτι ἐκ τῶν προηγουμένων ἠθέλησεν ἐπενεγκεῖν, ὃ τίθησιν ἀληθῶς τε καὶ ἀναγκαίως ἀπὸ τῆς γραφῆς· ἄρα οὕτως ἔχει καὶ ἐπὶ τοῦ ἁγίου πνεύματος.

Ὁ ἘΦΕΣΟΥ. Τὸ τὰς βίβλους ἀμφιβόλους εἶναι τὰς προενεχθείσας παρ' ἡμῶν, οὐχ ὡς ὁμολογούμενον εἴρηται παρ' ἐμοῦ, οὐδὲ ἡ ἐμὴ γνώμη καὶ δόξα ἐστὶ τοιαύτη, ἀλλὰ κατὰ συγχώρησιν τοῦτο δέδοται, διὰ τὸ βούλεσθαι μεταβῆναι ἡμᾶς ἐφ' ἕτερον, καὶ μὴ ἀεὶ τοῖς αὐτοῖς ἐμμένειν. ἐγὼ γὰρ ἀκριβῆ πληροφορίαν ἔχω περὶ τῶν βιβλίων τῶν ὑμετέρων, ὅτι εἰσὶ διεφθαρμένα παντελῶς, καὶ ἀνακόλουθα τῷ σκοπῷ τοῦ Βασιλείου, γινώσκων ἐν τῇ Κωνσταντινουπόλει ὑπὲρ χίλια εἶναι βιβλία τοῦτο τὸν τρόπον ἔχοντα, ὃν ἡμεῖς εἴπομεν· καὶ εἰ βούλει οὖν, δός μοι λόγον, ὅτι ἐὰν εὑρεθῶσι τοσαῦται βίβλοι, ἵνα συμφωνήσωμεν εἰς ἅπαντα. πρὸς δὲ τὰ παρὰ σοῦ εἰρημένα λέγω, ὅτι θαυμαστὸν οὐδὲν, εἰ τὸ καθ' ὑπόθεσιν ἔδειξεν ὁ μέγας Βασίλειος διὰ τῶν ὁμολογουμένων. καὶ γὰρ καὶ ἡμεῖς τὰ καθ' ὑπόθεσιν ἅπαξ διδόμενα ὡς ὁμολογούμενα δείκνυμεν. τοῦτο δὲ καὶ ἐπὶ τοῦ προεξητασμένου ζητήματος ἐποιήσαμεν ἐν τῇ πόλει τῆς Φεῤῥαρίας, ὅτι καθ' ὑπόθεσιν δόντες ἀληθῆ τὴν ὑμετέραν εἶναι δόξαν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, ἐπὶ τούτῳ τῷ θεμελίῳ τοὺς λόγους ἐποιούμεθα πάντας, ὅτι εἰ καὶ ἀληθῆ καὶ ὁμολογουμένην οὖσαν, οὐκ ἐχρῆν ταύτην προστεθῆναι ἐν τῷ συμβόλῳ. καὶ ὁ μέγας Βασίλειος ὑποθέμενος ἅπαξ καὶ συγχωρήσας ἀληθὲς εἶναι τὸ, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ οὐδαμῶς ἐδέξατο πρότερον ἀλλ' ἐνέστη πρὸς τοῦτο διὰ πολλῶν ὡς ἐδείξαμεν, ἐπήγαγε τὰς συστάσεις πρὸς τοῦτο καθ' ὑπόθεσιν διδομένον ὅτι εἰ καὶ ἀληθὲς εἶναι δοθείη τὸ, τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι τὸ πνεῦμα τὸ ἅγιον· τοῦτο δὲ τὸ σχῆμα τοῦ λόγου παρὰ τοῖς ῥήτορσιν ἀντιπαράστασις λέγεται· ἀλλ' οὐκ ἀνάγκη καὶ τρίτον αὐτὸ εἶναι τῇ φύσει· καὶ γὰρ οἱ ἄγγελοι διαφέροντες ἀλλήλων τῇ τάξει καὶ τῷ ἀξιώματι, οὐ διὰ τοῦτο καὶ ἑτέρας τυγχάνουσι φύσεως· καὶ γὰρ καὶ ἀστὴρ

* Κορ. ά. 15, 41. ἀστέρος διαφέρει ἐν δόξῃ κατὰ τὸν θεῖον ἀπόστολον,* ἀλλ' οὐ διά-
* Ἰω. 14, 2. φορος ἡ τῶν ἀστέρων φύσις· καὶ πολλαὶ μοναὶ παρὰ τῷ πατρὶ,*
ἀλλ' οὐ διάφοροι αἱ μοναὶ τῇ φύσει· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον, εἰ δοθείη τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώματι, ὅπερ ἤδη συνεχωρήσαμεν καθ' ὑπόθεσιν, οὐκ ἀνάγκη καὶ τρίτον αὐτὸ εἶναι τῇ φύσει. τί οὖν πρὸς τοῦτο τὸ παρὰ σοῦ εἰρημένον, ὅτι διὰ τῶν ὁμολογουμένων ὁμολογεῖ τὸ ἀμφίβολον; οὐ τὸ ἀμφίβολον βεβαιοῖ, ἀλλὰ τὸ καθ' ὑπόθεσιν. εἰ οὕτω καθ' ὑπόθεσιν ἔχει, ἀνάγκη καὶ τὸ ἀκόλουθον οὕτως ἔχειν, ὡς ἐπ' ἐκείνων τῶν προειρημένων ἐστί. θαυμάζω οὖν εἰ παρατρέχει τοῦτο τὴν σὴν τιμιότητα, ὅτι τὰ καθ' ὑπόθεσιν ἅπαξ διδόμενα, ὡς ὁμολογούμενα παριστῶμεν, μᾶλλον δὲ ἐξ ἀνάγκης αὐτὰ ἀποδείκνυμεν· διὰ τοῦτο θαυμαστὸν οὐδὲν εἰ διὰ τῶν ὁμολογουμένων αὐτὰ ἀποδείκνυμεν.

Ὁ ἸΩΑΝΝΗΣ. Πολλὰ μὲν εἶπας, τῶν Ἐφεσίων ὁ ἀρχιερεὺς, ἀλλ' οὐδέν εἴρηκάς τι τῶν πρὸς τὴν ἡμετέραν διάλεξιν ἐπαγόντων. ἡμεῖς γὰρ ζήτημά τι εἴχομεν ἐν τῇ παρελθούσῃ συνελεύσει ἀναγκαῖον καὶ θαυμαστόν· καὶ μήπω τούτου περαιωθέντος, ἡ σὴ σεβασμιότης προέφερεν εἰς μέσον ἄλλας ὑποθέσεις καὶ ἄλλα κεφάλαια. λέγω οὖν, εἰ μὲν βούλει ἐξετάζειν τὰ προκείμενα ζητήματα ἡμῖν, παρίτωσαν εἰς μέσον, ὅπως καὶ πέρας λάβωσι ταῦτα. οὕτως γὰρ ἡμῖν ἐνομοθέτησε καὶ ὁ γαληνότατος βασιλεὺς, ὅπως περαιωθέντος τοῦ ἑνὸς ἵν' ἀρξώμεθα ἑτέρου. εἰ δὲ οὐκ ἔχεις τι εἰπεῖν ἐν ἐκείνοις, ὁμολόγησον τοῦτο, καὶ χάριτάς σοι ὀφλήσομεν. εἰ δὲ τοῦτο οὐ βούλει, ἀπολογήθητι λοιπὸν πρὸς τὸ προκείμενον, καὶ οὕτω φανήσεται ἡ ἀλήθεια. περὶ δὲ ὧν ἐποίησας τὸν μακρὸν τοῦτον λόγον εἰς τὸ μέγα τοῦτο ἀκροατήριον, οὐκ ἀπορῶ ἀπολογήσασθαι· δύναμαι γὰρ συνεργίᾳ τοῦ ἁγίου πνεύματος λύσιν ποιῆσαι εἰς ἅπαντα καὶ ἀποδεῖξαί σοι ὅσα εἶπας, ὅτι τὰ πλείω εἰσὶν ὑπὲρ ἡμῶν. πλὴν ὅμως ἀπολογήθητι πρὸς τὸ προκείμενον.

Ὁ ἘΦΕΣΟΥ. Οὐδὲν μέμνημαι τῶν εἰρημένων οὐδὲ ἕν. πολλὰ γὰρ ὑπῆρχον τὰ προλεχθέντα, καὶ ἔδοξέ μοι εἶναι ἀρκετά.

Ὁ ἸΩΑΝΝΗΣ. Καὶ ἐὰν μὴ μέμνησαι ταῦτα, ἐγὼ ἐνθυμήσω σοι. ὁ ἡμέτερος διάλογος ἐν τοῖς τοῦ μεγάλου Βασιλείου ῥητοῖς κατέληξεν, ὅπου ποιεῖ ἀριθμὸν καὶ τάξιν ἐν τοῖς θείοις προσώποις· καὶ δῆλον ἀπὸ τῶν παραδειγμάτων, ὧν ποιεῖ ἐν τοῖς ἑξῆς τοῦ τρίτου

λόγου τοῦ κατ' Εὐνομίου, λέγων· ὅτι ὥσπερ εἰσὶ τάξεις τῶν ἀρχαγγέλων καὶ τῶν ἀγγέλων ἐν μιᾷ φύσει. καὶ ὥσπερ εἰσὶ τάξεις ἀστέρων, ἀστὴρ γὰρ ἀστέρος διαφέρει, ἐν μιᾷ φύσει· καὶ ὥσπερ πολλαὶ μοναί εἰσιν κατὰ τάξιν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, οὕτως εἰσὶ καὶ ἐν τοῖς θείοις προσώποις.

Ὁ ἘΦΕΣΟΥ. Ἐκ τῶν κτιστῶν πραγμάτων καὶ παραδειγμάτων παριστᾷς τὰ ὁμολογούμενα καὶ θεῖα πράγματα;

Ὁ ἸΩΑΝΝΗΣ. Ναί· τὰ γὰρ κτιστὰ παραδείγματά εἰσι τῶν ἀκτίστων ἀνάπτυξις· ἐκ τῶν ἀνθρωπίνων γὰρ καὶ ἐκ τῶν ὄντων παραδειγματίζομεν τὰ ἀκατάληπτα καὶ ἀκατανόητα.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλ' ὁ Βασίλειος οὐκ ἔχει τοῦτον τὸν σκοπόν. τίς γὰρ ἀνάγκη φησὶν, εἰ τῷ ἀξιώματι καὶ τῇ τάξει τρίτον ὑπάρχει τὸ πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει, εἴπερ καὶ συγχωρήσομεν τοῦτο; ὥσπερ φέρε εἰπεῖν, ἡμεῖς ἐν τῇ Φερραρίᾳ ὄντες καὶ διαλεγόμενοι περὶ τοῦ Οὐκ ἔξεστι προσθεῖναι, ἐλέγομεν· ὅτι εἰ δὲ καὶ καλὸν καὶ εὐσεβὲς εὑρεθήσεται τὸ προστεθὲν, οὐ δεξόμεθα ἐν τῷ συμβόλῳ· ἐλέγομεν δὲ τοῦτο καθ' ὑπόθεσιν. οὕτω καὶ ὁ μέγας Βασίλειος, εἴπερ καὶ συγχωρήσομέν, φησιν. διὸ οὐκ ἔστι τοῦ μεγάλου Βασιλείου ὁ σκοπὸς, ὅτι ὁμολογουμένως παρὰ τοῦ υἱοῦ ἔχει τὸ εἶναι τὸ πνεῦμα, ἀλλ' οὐδὲ τρίτον ἐστὶ τῇ τάξει· ἐπεὶ καὶ ὁ Εὐνόμιος τούτου δραττόμενος ἔλεγε, τὸ πνεῦμα τρίτον εἶναι τῇ φύσει.

Ὁ ἸΩΑΝΝΗΣ. Καὶ πῶς ὁ μέγας οὗτος πατὴρ ἔμελλεν ἔξω τῆς τέχνης πορεύεσθαι; οὐκ ἔστιν ἐν τῇ φιλοσοφίᾳ, ὅτι πᾶν ὃ τρέχει, καὶ κινεῖται· ἄρα κινεῖται, ἐπειδὴ τρέχει; λοιπὸν ὁ μέγας Βασίλειος ἀριθμὸν ποιῶν καὶ τῶν ἀγγέλων καὶ τῶν ἀστέρων καὶ τῶν μονῶν, ἀριθμὸν καὶ τάξιν ἄρα ποιεῖ καὶ ἐν τοῖς θείοις προσώποις. Ἐπεὶ δὲ ἤρξω θεολογίας μακρᾶς διδάσκων, ὡς ἔοικε, τοὺς ἀκροατὰς, εἰ καὶ μὴ ὡς ἐννοῶν τὴν δόξαν ἣν ἔχομεν ἡμεῖς ἐν τῇ ὁμοουσίῳ τριάδι, ἐγὼ διδάξω καὶ καθαράν σοι ποιήσω τὴν ἀπόκρισιν. Ἡμεῖς οἱ τῆς ἀποστολικῆς καθέδρας ὀπαδοὶ μίαν ἔγνωμεν τὸν πατέρα αἰτίαν υἱοῦ τε καὶ πνεύματος. ἐξ ἀρχῆς γὰρ τοῦ κηρύγματος τῶν ἀποστόλων, ἡ πίστις ἡμῶν λάμπει ὑπὲρ τὸν ἥλιον· ὁ λόγος γὰρ ὁ ῥηθεὶς παρὰ τοῦ κυρίου τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ, τό. Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς,* οὐ παρῆλθεν, οὐδὲ παρελεύσεται. μόνην γὰρ * Ματθ. 16, 18.

κρηπῖδα καὶ θεμέλιον ἔχουσι ταύτην τὴν Ῥωμαίων ἐκκλησίαν πᾶσαι αἱ τῶν Χριστιανῶν ἐκκλησίαι, ὡς ἔχουσαν τὴν ὄντως εὐσέβειαν, ἀποκλείουσαν δὲ καὶ ἐμφράττουσαν πᾶν αἱρετικὸν στόμα λαλοῦν ἀδικίαν εἰς τὸ ὕψος. διὸ καὶ οὐδὲ δοξάζει δύο ἀρχὰς, οὐδὲ δύο αἰτίας, ἀλλὰ μίαν ἀρχὴν καὶ μίαν αἰτίαν· τοὺς δὲ λέγοντας δύο ἀρχὰς, ἢ δύο αἰτίας, ἀναθεματίζομεν.

Ταῦτα τοῦ Λατίνου εἰπόντος, ἐλύθη ἡ σύνοδος, τῶν Γραικῶν ἀρκεσθέντων ὅσον ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίστεως. ἐξήλθομεν γὰρ τῆς συνάξεως, καὶ ἦν ἐν ἡμῖν μεγάλη χαρὰ, ὅτι οἱ Λατῖνοι μίαν ἴσασιν αἰτίαν υἱοῦ καὶ πνεύματος τὸν πατέρα, καὶ οὐ λέγουσι δύο αἴτια. Τούτων γενομένων ἦλθεν ὁ βασιλεὺς πρὸς τὸν πατριάρχην, βουλευσόμενος περὶ τῶν ῥημάτων τούτων τῇ τετάρτῃ πρωΐ. τούτων οὖν βουλευθέντων, τῇ πέμπτῃ τῆς πέμπτης ἑβδομάδος τῆς τεσσαρακοστῆς, σύναξις γέγονε τῶν ἡμετέρων μητροπολιτῶν ἐν τῷ κελλίῳ τοῦ πατριάρχου, παρόντος καὶ τοῦ βασιλέως. ἐδημηγόρησεν οὖν ὁ βασιλεὺς, καὶ ὥρισε πρὸς τοὺς μητροπολίτας.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς, πατέρες ἅγιοι, ἤλθομεν ὁπωσδήποτε ἐν τῇ Φραγκίᾳ, καὶ ἐγὼ οὐδὲ ἐκινήθην μόνος ἐλθεῖν, οὐδὲ ἐγὼ ἠρξάμην πρῶτος ταύτης τῆς ὑποθέσεως, ἀλλ᾽ ἐνθυμεῖσθε, ὅτι ὁ πατήρ μου ὁ βασιλεὺς ἀπὸ τοῦ καιροῦ ὅτε ἦν ἐν τῷ ἐξαμιλίῳ, ἀπέστειλε τὸν εὐδαίμονα Ἰωάννην ἐκεῖνον εἰς Ἰταλίαν, καὶ ἤρξατο τοῦ τοιούτου ἔργου. ἐπίστασθε γὰρ ἀκριβῶς τὸν βασιλέα τὸν πατέρα μου, καὶ τὴν γνῶσιν καὶ τὴν πρᾶξιν αὐτοῦ, ὅτι οὐ μόνον ὑπῆρχεν ἄριστος φιλόσοφος, ἀλλὰ καὶ τῶν δογμάτων τῆς ἐκκλησίας λεπτότατος ἐξηγητής· εἶχε γὰρ καὶ συνήγορον τὸν πατριάρχην ἐκεῖνον κῦριν Εὐθύμιον, τὸν ὄντως ἐνάρετον καὶ θεολόγον ἀκρότατον. τοσοῦτοι δὲ καὶ τηλικοῦτοι ὑπάρχοντες οὐκ ἐνενόησαν μόνον τοῦ τοιούτου ἔργου τὴν ἐπιχείρησιν, ἀλλὰ καὶ ἤρξαντο, καὶ ἐπεθύμουν τελειῶσαι αὐτὸ, ὁ καιρὸς δὲ ἐνεπόδισε τοῦτο. ἔφθασεν οὖν τὸ ἔργον καὶ ἕως ἡμῶν, οὐχ ὥσπερ ἐν τοῖς πρὸ ἡμῶν, ἀλλὰ καὶ μᾶλλον κρειττόνως, ὅτι τε ἔστειλαν τριήρεις καὶ ἐξόδους, καὶ ὅτι ἠτήσαντο τὸ ἔργον μετὰ πολλῆς τῆς ὁρμῆς. ταῦτα εἰδότες ἡμεῖς, ἐγώ τε καὶ ὁ ἅγιος πατριάρχης, συνήξαμεν ὑμᾶς πάντας, καὶ μετὰ γνώμης ὑμῶν ἤλθομεν ἕως ὧδε. πλημμελεῖ οὖν ὁ καιρὸς, καὶ οὐδέν τι ἐποιήσαμεν ἀνῆκον τῷ πράγματι. μνήσθητε τοίνυν τοῦ ἡμετέρου οἴκου, ὅπως

κινδυνεύει ἐν μέσῳ τῶν ἀσεβῶν. καὶ ἐὰν συμβῇ τι, οἴμοι, πόσον τὸ δεινόν. ἔχω ὅτι ὁ διωγμὸς μέλλει γενέσθαι πολλῷ χείρων τοῦ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. διὸ καὶ ὀφείλομεν καταλεῖψαι τὰς διαλέξεις καὶ τὰς φιλονεικίας, καὶ εὑρεῖν τι μέσον, καὶ χωρῆσαι εἰς αὐτό. τὸ δὲ μέσον ἐστὶν ἐν ὑμῖν. ἓν μόνον λέγω ὑμῖν, ὅτι ὁ διαλεγόμενος Φρὰ Ἰωάννης ὡμολόγησε παῤῥησίᾳ ἐν τῇ συνόδῳ, ὅτι ὁμολογοῦσιν οἱ Λατῖνοι μίαν αἰτίαν τὸν πατέρα υἱοῦ τε καὶ πνεύματος, καὶ ἀναθεματίζουσι τοὺς δύο ἀρχὰς ἢ δύο αἰτίας ποιοῦντας ἐν τῇ ὁμοουσίῳ τριάδι· ἐξ οὗπερ ἐζήτησα ἐγγράφως δοθῆναί μοι τὴν ὁμολογίαν ταύτην, καὶ ἔστειλάν μοι αὐτὴν, ἣν ἀναγνόντες σκέψασθε περὶ ἑνώσεως βουλήν.

Ταῦτα τοῦ βασιλέως εἰπόντος ἡ σύνοδος ἤρξατο ἐρευνᾷν· καὶ πολλῶν λόγων λαληθέντων, εὕρομεν τὴν ἐπιστολὴν τοῦ ἁγίου Μαξίμου, ὃς διαλαμβάνει οὕτως.

Ἐπιστολὴ τοῦ ἁγίου Μαξίμου.

Τῶν τοῦ νῦν ἁγιωτάτου πάπα συνοδικῶν, οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις, οἱ τῆς βασιλίδος ἐπελάβοντο, δυσὶ δὲ μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας, ὅτι τί, φησιν, εἶπεν ἐκπορεύεσθαι κἀκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, τὸ δὲ ἄλλο περὶ τῆς θείας σαρκώσεως, ὅτι περ γέγραφε δίχα τὸν κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον. Καὶ εἰς μὲν τὸ πρῶτον συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων πατέρων, ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς πονηθείσης αὐτῷ ἱερᾶς πραγματείας εἰς τὸν εὐαγγελιστὴν ἅγιον Ἰωάννην, ἐξ ὧν οὐκ αἰτίαν τὸν υἱὸν ποιοῦντας τοῦ πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν· μίαν γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν· ἀλλ' ἵνα καὶ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι. Τῆς οὖν ἐπιστολῆς ταύτης ἀναγνωσθείσης, τὰ γραφέντα παρὰ τῶν Λατίνων ἀφέντες, καὶ πάντα καταλιπόντες, ἐν τῇ ἐπιστολῇ τοῦ ἁγίου Μαξίμου τὸν νοῦν ἐνεβάλομεν, καὶ εἴπομεν πάντες ὁμοῦ· Ἐὰν οἱ Λατῖνοι ταύτῃ τῇ ἐπιστολῇ πείθωνται, ἡμεῖς

ἄλλο τι μὴ ζητήσαντες, αὐτοῖς ἐνωθησόμεθα. Ὥρισεν οὖν ὁ βασιλεὺς, καὶ ἐγνωμοδότησεν εἰς τοῦτο ὁ σύνοδος, τοῦ πατριάρχου συγκαταθέντος αὐτῷ· καὶ προέτρεψεν ἡ σύνοδος τὸν βασιλέα μηνῦσαι τῷ πάπᾳ σὺν τοῖς μετ' αὐτοῦ, εἴπερ στέργουσι τὴν ἐπιστολὴν καὶ τὴν ὁμολογίαν τοῦ ἁγίου Μαξίμου· καὶ τοῦτο μαθόντα ἀναγγεῖλαι ἡμῖν. Ταῦτα ἡμῶν βουλευθέντων, ἐμήνυσαν ἡμῖν οἱ Λατῖνοι οὕτως· Ὑμεῖς ἐν τῇ παρελθούσῃ συνελεύσει εἴπατε ὅσα ἠθέλετε, ἡμῶν ἐν δευτέρᾳ συνελεύσει εἰπόντων ἀποκριθῆναι· γενέσθω τοίνυν συνέλευσις, ἵνα ἀποκριθησώμεθα. οὐ γάρ ἐστι δυνατὸν ἄλλο τι γενέσθαι, ἡμῶν μὴ ἀποκριθέντων. Τούτων ἀκούσας ὁ βασιλεὺς ὥρισε καὶ πάλιν συνέλευσιν γενέσθαι. Τοῦ σαββάτου τοίνυν ἐλθόντος, τῇ εἰκοστῇ πρώτῃ τοῦ μαρτίου μηνὸς συνήλθομεν καὶ πάλιν ἐν τῷ εἰθισμένῳ τόπῳ, τοῦ Ἐφέσου κῦρ Μάρκου, καὶ τοῦ Ἡρακλείας κῦρ Ἀντωνίου μὴ παρόντων, παραγγείλαντος τοῦ βασιλέως μὴ ἐλθεῖν αὐτοὺς ἐν τῇ συνελεύσει· ἤθελε γὰρ ὁ βασιλεὺς τρόπον ἑνώσεως εὑρεῖν τοῦ ἀπελθεῖν, καὶ οὐκ ἤθελε φιλονεικίας λόγους. συνήλθομεν δὲ οἱ πάντες ἐν τῷ εἰθισμένῳ τόπῳ. ἤρξατο οὖν ὁ προβιντζιάλιος φρὰ Ἰωάννης, καὶ πάλιν δημηγορεῖ καί φησιν οὕτως.

Μαρτίου πρώτῃ καὶ εἰκοστῇ τῷ σαββάτῳ ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΚΔ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἐβουλόμην εἶναι ὧδε τὸν Ἐφέσου, καὶ συμπαρεῖναι ἡμῖν ἐν ταύτῃ τῇ συνελεύσει, ὅπως ἀκούσῃ τὰς λύσεις τῶν προενεχθέντων αὐτοῦ ῥημάτων. ἀλλ' ὡς ἔοικεν ἡττηθεὶς ἀπέγνω, διὰ τοῦτο οὐκ ἐπαῤῥησίασε τῇ συνόδῳ. διὸ πρὸς ὑμᾶς, καὶ ἐν παντὶ τούτῳ τῷ ἀκροατηρίῳ τὸν λόγον ποιήσομαι.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς κατὰ τὸ παρὸν οὐδὲν βουλόμεθα εἰπεῖν, διὰ τοῦτο οὐδ' ὁ Ἐφέσου ἦλθε μεθ' ἡμῶν· οὐδὲ ἤλθομεν διαλεχθῆναι σήμερον ἡμεῖς, ἀλλὰ διὰ τὸ θέλημα ὑμῶν ἤλθομεν, καὶ διὰ τὴν συμφωνίαν ἣν ἔχομεν πρὸς ἀλλήλους, ὅπως μὴ ἀμελῶνται αἱ συνελεύσεις. ἤλθομεν οὖν, καὶ εἴ τι θέλετε, λέγετε· ἡμεῖς οὐδεμίαν ἀπολογίαν θέλομεν ποιήσειν ὑμῖν. Καὶ δὴ ὁ Ἰωάννης ἔφη.

'Ο 'ΙΩΑΝΝΗΣ. Δύο ζητημάτων ζητηθέντων παρ' ἡμῶν, οὐδὲ ἓν ἐπληρώσαμεν. τὸ γὰρ ῥητὸν, μᾶλλον δὲ τὰ ῥητὰ τοῦ μεγάλου Βασιλείου σαφέστατα παριστῶντα, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἔχει τὸ εἶναι ἀπὸ τοῦ υἱοῦ ὥσπερ καὶ ἀπὸ τοῦ πατρὸς, καὶ ἡμεῖς μίαν αἰτίαν ὁμολογοῦντες υἱοῦ καὶ πνεύματος τὸν πατέρα, ὡς ἀρχικῶς ὁ υἱὸς παρὰ τοῦ πατρὸς ἐκπορεύων τὸ πνεῦμα τὸ ἅγιον, οὐδὲν ἠνύσαμεν συμπεράναι πρός τι τέλος τὴν ὑπόθεσιν. τοῦτο δὲ παραλιπὼν καὶ αὐτὸς, ἐν τοῖς προκομισθεῖσι παρὰ τοῦ 'Εφέσου ῥητοῖς, τὴν ἀπολογίαν ποιήσομαι. καὶ δὴ ἄρχομαι ἀπ' αὐτοῦ τοῦ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ. φησὶ γὰρ ἐν εὐαγγελίοις. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται,* καὶ τὰ ἑξῆς. τὸ γὰρ Πέμψω τί ἄλλο δηλοῖ, εἰ μὴ ὅτι ἔκ τινος πέμπεται; ὁ πέμπων οὖν ἴδιόν τι πέμπει, καὶ ἐξ ἐκείνου ἐστὶ τὸ πεμπόμενον, καθώσπερ ἐν παραδείγματι, ὅταν ἐνεργῇ ὁρισμῷ βασιλέως ὁ ἔπαρχος· οὐ γὰρ ἀφ' ἑαυτοῦ πράττει, ἀλλὰ τοῦ βασιλέως τὸν ὁρισμόν. οὕτω καὶ ὁ υἱὸς, οὐκ ἀφ' ἑαυτοῦ ἐκπορεύει τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ παρὰ τοῦ ὁμοουσίου πατρὸς ἐν τῷ γεννᾶσθαι λαβὼν αὐτὸ, καὶ δύναμιν πατρικὴν καὶ φυσικὴν ἔχων ἐν ἑαυτῷ προβάλλει καὶ αὐτὸς τὸ πνεῦμα τὸ ἅγιον, οὐχ* ὑπαρκτικῶς, ὡς ὁ πατήρ· αὐτὸς γάρ ἐστι ῥίζα καὶ πηγὴ τῆς θεότητος. ὁ πατὴρ γὰρ ἐν τῇ οὐσίᾳ ὢν ἀχώριστος, μᾶλλον αὐτοουσία ὑπάρχων, ἀχωρίστως συνεπινοεῖται τῇ οὐσίᾳ καὶ τῇ ὑποστάσει· οὐ γὰρ ἐνεργείᾳ μερίζεται ἡ πατρικὴ ὑπόστασις τῇ οὐσίᾳ αὐτῆς, ἀλλὰ μόνῃ ἐπινοίᾳ· ἔστι μὲν οὖν ὁ πατὴρ οὐσιώδης ὑπόστασις, καὶ γεννᾷ οὐσιωδῶς τὸν υἱόν· καὶ γεννᾶται ὁ υἱὸς, οὐσιώδης καὶ αὐτὸς ὑπόστασις· καὶ εἰσι μὲν δύο ὑποστάσεις, ἀλλὰ εἷς θεὸς, καὶ μία φύσις ἀμφοῖν, ᾗ τὸ πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται· καὶ οὔτε πατήρ ἐστιν, οὔτε υἱὸς, ἀλλ' οὐδὲ τῶν πρός τι· ἀλλὰ τὸ πνεῦμα καθὸ πνεῦμα, πρὸς τὸν πνέοντα δεῖ ἀναφέρεσθαι. ἐπειδὴ δὲ τὸ πνεῦμα, τοῦ πατρός ἐστι πνεῦμα, καὶ τοῦ υἱοῦ πνεῦμα μαρτυρεῖται παρὰ τῆς γραφῆς, πνέοντές εἰσιν ἄρα ὁ πατὴρ καὶ ὁ υἱός. ἀλλὰ καὶ ὁ υἱὸς πρὸς τὸν πατέρα ἀποβλέπων, κατὰ τὴν θεότητά φησιν· 'Εγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καί· 'Εγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· καί· 'Ο ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα.* κατὰ μίαν οὖν

* 'Ιω. 15, 26.

* δηλονότι· ἀρχτικῶς ἢ ἀρχικῶς.

* 'Ιω. 10, 39. 14, 19. 9.

πνευστικὴν δύναμιν τῶν δύο προσώπων, καὶ κατὰ μίαν προβλητικὴν, οὐ δύο προβολεῖς, οὐδὲ δύο αἰτίαι εἰσὶν, ἀλλὰ μία καὶ ἡ αὐτὴ οὖσα τῷ ἀριθμῷ, ἀρχοειδῶς μὲν τοῦ πατρὸς εἶναι νοεῖται, παρ' οὗ ὁ υἱὸς ταύτην ἔχει· καὶ ταύτῃ τῇ δυνάμει λέγεται ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἀρχὴ, οὐ συναλοιφῇ προσώπων. ἔστι γὰρ ὁ πατὴρ, πατὴρ καὶ ἀγέννητος· καὶ ὁ υἱὸς, υἱὸς γεννητὸς, κατὰ τὸ αἴτιον καὶ αἰτιατόν· ὡσαύτως καὶ τῷ πνεύματι τῷ ἁγίῳ τάξιν τινὰ ὀφείλομεν δοῦναι πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν, ἵνα μὴ ἀταξία ἐξ ἀνάγκης εἰσάγοιτο ἐν τοῖς θείοις. ἐπειδὴ δὲ ὁ πατὴρ ἐν τῷ γεννᾶν τὸν υἱὸν, ταύτην τῷ υἱῷ κοινωνεῖ τὴν οὐσίαν, καθὸ τῷ υἱῷ κοινωνητή ἐστιν, ὁ δὲ υἱὸς λαμβάνει ταύτην παρὰ τοῦ πατρὸς, ὡς ληπτὴν ἑαυτῷ, κοινωνεῖ δὲ ταύτην τῷ παναγίῳ πνεύματι, ὡς κοινωνητὴν αὐτῷ παρ' αὐτοῦ τοῦ υἱοῦ· ἐπειδὴ μία οὐσία, καθ' ἣν ὁ μὲν γεννᾶται, τὸ δὲ ἐκπορεύεται· κατὰ τοῦτο ἄρα μία ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ πνεύματος ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ ἐκπορεύεται ἐξ ἀμφοῖν. ἐπεὶ δὲ λέγεται καὶ παρὰ τῶν πατέρων, τὸ πνεῦμα τὸ ἅγιον προϊέναι δι' υἱοῦ φυσικῶς, ἄρα τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ πατρὸς καὶ υἱοῦ· ἡ Διὰ γὰρ ἐνταῦθα ἴσον δύναται τῇ Ἐκ. Προέφερε δὲ μαρτυρίας τοῦ τε ἁγίου Λέοντος πάπα τοῦ τε Γρηγορίου τοῦ διαλόγου, τοῦ ἁγίου Ἀμβροσίου, τοῦ ἁγίου Ἱερωνύμου, τοῦ ἁγίου Αὐγουστίνου, καὶ ἑτέρων πολλῶν δυτικῶν, ἀναγινώσκων τὰς βίβλους καὶ ἐξηγούμενος αὐτάς. Τούτων οὕτω γενομένων ἐβράδυνεν ὁ καιρὸς, καὶ ἡ ἡμέρα πρὸς ἑσπέραν ἔληξε· καὶ οὕτως ἐλύθη ἡ σύνοδος, καὶ πάλιν ἐταμιεύσαντο αὐτὴν τῇ τρίτῃ. Τῇ τρίτῃ οὖν ἡμέρᾳ, τῇ εἰκοστῇ τετάρτῃ τοῦ αὐτοῦ μηνὸς πάλιν ἐγένετο συνέλευσις εἰκοστὴ πέμπτη, τελευταία τῶν ἐν Φλωρεντίᾳ, καὶ πάλιν ὁ προβιντζιάλιος Ἰωάννης ἤρξατο λέγειν οὕτως.

Μαρτίου τετάρτῃ εἰκοστῇ, ἡμέρᾳ τρίτῃ, ἐγένετο

ΣΥΝΕΛΕΥΣΙΣ ΚΕ.

Τελευταία τῶν ἐν Φλωρεντίᾳ.

Ὁ ἸΩΑΝΝΗΣ. Ἤθελον καὶ τὸν Ἐφέσου εἶναι ὧδε, καὶ ἀκούειν τὰς ἀποκρίσεις τῶν λόγων αὐτοῦ. ἀλλ' ἐπειδὴ οὐκ οἶδ' ὅπως ἐκεῖνος οὐκ ἦλθε, φέρε πρὸς ὑμᾶς τὸν λόγον ποιήσωμαι, καὶ τῶν ἀνατολικῶν ἁγίων τὰ ῥητὰ εἰς μέσον ἀγάγωμεν· φησὶ γὰρ ὁ μέγας Βασίλειος· Ὥσπερ γὰρ ὁ υἱὸς τάξει μὲν δεύτερος τοῦ πατρὸς, προτέτακται γὰρ ὁ πατὴρ ἐν τῇ συναριθμήσει, τοῦ κυρίου λέγοντος· Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· * ἔτι δὲ καὶ ἀξιώματι, ἐκ τοῦ πατρὸς γὰρ ὁ υἱὸς, καὶ οὐκ ἐξ υἱοῦ ὁ πατὴρ, φύσει δὲ ἴσος· Ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἕν ἐσμεν· * οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τάξει μὲν δεύτερον τοῦ υἱοῦ, καθὼς ἐν τῇ συναριθμήσει δεδήλωται, ναὶ μὴν καὶ ἀξιώματι, πνεῦμα γὰρ υἱοῦ λέγεται, ὡς διὰ τοῦ υἱοῦ χορηγούμενον· ἐξαπέστειλε γάρ, φησιν, ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν· * οὐ μὴν υἱὸς πνεύματος, φύσει δὲ ἴσον πατρὶ καὶ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον· οἷς γὰρ ἡ αὐτὴ ἐνέργεια, τούτοις καὶ ἡ φύσις ἡ αὐτή. ὁ δὲ μέγας Ἐπιφάνιος οὕτω φησίν· Εἰ πιστεύεται Χριστὸς ἐκ θεοῦ, ὡς θεὸς ἐκ θεοῦ, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐξ ἀμφοῖν. ὃν τρόπον οὐδεὶς τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὕτω τολμῶ λέγειν, οὐδὲ τὸν υἱὸν εἰ μὴ τὸ πνεῦμα, ὃ ἐξ ἀμφοτέρων ἐκπορεύεται. ὁ δὲ μέγας Κύριλλος· Οὕτω, φησὶ, προχεῖται τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρός. ἀλλὰ καὶ ὁ σοφώτατος Δίδυμος καὶ ὁ μέγας Ἀθανάσιος· Εἰ ἐκ τοῦ πατρός, φασιν, ἐκπορεύεται, καὶ ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. ἄρα ἐκ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. Ἔφερε δὲ καὶ ἄλλας χρήσεις ἐπιστολῶν τοῦ μεγάλου Κυρίλλου, ἀπὸ τῆς ἐπιστολῆς, ἧς ἡ ἀρχή· Εὐφραινέσθωσαν οἱ οὐρανοί· καὶ ἀπὸ τῆς ἑτέρας, ἧς ἡ ἀρχή· Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἀπὸ τῆς ἐν Νικαίᾳ συνόδου· καὶ ἄλλας πολλὰς παραστάσεις δεικνυούσας

* Ματθ. 28, 19.

* Ἰω. 10, 30.

* Γαλ. 4, 6.

ἐναργῶς, ὅτι ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον. Πολλὰ τοίνυν εἰπόντος, καὶ τῆς ἑσπέρας ἐλθούσης, ἀπελογήσατο ὁ Ῥωσίας Ἰσίδωρος, λέγων οὕτως.

Ὁ ῬΩΣΙΑΣ. Ὁ τρέχων μόνος, καὶ ἀγωνιζόμενος ἐν τῷ σταδίῳ, δοκεῖ νικητής· καὶ ὁ λέγων μόνος μηδενὸς ἀποκρινομένου, δοκεῖ λέγειν ἀνικήτως. διὸ καὶ ἡ σὴ σεβασμιότης πολλὰ μὲν ἐθεολόγησε, καὶ λαμπρῶς ἐρρητόρευσεν· ἀλλ' ἔχομεν καὶ λαμπρὰς ἀποκρίσεις εἰπεῖν, ἀλλ' οὐκ ἔστι καιρὸς σήμερον διὰ τὸ εἶναι πρὸς ἑσπέραν· ἐν ἄλλῃ δὲ συνελεύσει ποιήσομεν τὴν ἀπόκρισιν. Ὁ δὲ βασιλεὺς τὸν λόγον ἐπισχὼν ἔφη.

Ὁ ΒΑΣΙΛ. Δότε ἡμῖν τὰς βίβλους καὶ τὰ ῥητὰ τῶν ἁγίων ὧν εἰρήκατε, ὅπως σκεψώμεθα τοῦ ἀπολογηθῆναι. Ὁ δὲ καρδινάλιος Ἰουλιανὸς ἀπεκρίνατο λέγων.

ἸΟΥΛ. ΚΑΡΔ. Ὅσα εἴπομεν, οἱ νοτάριοι ἐσχεδίαζον· ταῦτα οὖν ὑμεῖς ἔχοντες σκέψασθε, εἰ δὲ τοῦτο οὐ βούλεσθε, μίαν ἡμέραν ἔλθετε εἰς τὸν ναὸν τοῦ ἁγίου Φραγκίσκου, διὰ τὸ εἶναι τὸν γαληνότατον βασιλέα πλησίον ἐκεῖ, κἀκεῖσε συναχθέντες συγκρούσομεν τὰς βίβλους ἤγουν τὰ ῥήματα, καὶ οὕτως εὑρεθήσεται ἡ ἀπόκρισις τῆς ἀληθείας ἐν ὑμῖν. Ταῦτα συμφωνησάντων ἀμφοτέρων τῶν μερῶν, ἐλύθη ἡ σύνοδος. Τῇ πέμπτῃ οὖν πρωΐ, ἐν τῷ ῥηθέντι ναῷ τοῦ ἁγίου Φραγκίσκου συναχθέντες, εἶδον ἀμφοτέρων τῶν μερῶν τὰ συγγράμματα, καὶ κατέλαβον ἀπὸ τούτου, ὅτι ἔστι τις συμβίβασις ἑνώσεως θεοῦ βοηθείᾳ καὶ χάριτι. ἐμήνυσεν οὖν ὁ πατριάρχης ἡμῶν τῷ πάπᾳ, ἵνα ἐπίσχῃ τὴν συνέλευσιν τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι πάσῃ, ἵνα βουλευσώμεθα, καὶ τῇ νέᾳ κυριακῇ ὅπως ἀπολογησώμεθα. ἤρεσε τῷ πάπᾳ ἵνα οὕτω γένηται. Τῇ δὲ τριακοστῇ τοῦ μαρτίου, τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ σύναξις γέγονε τῶν ἡμετέρων μητροπολιτῶν ὁρισμῷ τοῦ πατριάρχου ἐν τῷ κελλίῳ αὐτοῦ. συνήλθομεν οὖν οἱ ἀρχιερεῖς, οἱ σταυροφόροι, οἱ ἡγούμενοι, καὶ ἁπλῶς οἱ ἀνατολικοὶ πάντες ἡμεῖς. ὥρισεν οὖν ὁ πατριάρχης τὰ λαληθέντα καὶ τὰ μηνυθέντα παρὰ τοῦ πάπα· ὅπως τε παύσῃ ἡ καθολικὴ σύνοδος καὶ ὅπως βουλευσώμεθα ποιῆσαι ἐκ τῶν δύο θάτερον, ἢ εὑρεῖν τρόπον ἑνώσεως ἕως τοῦ πάσχα, ἢ εὑρεῖν μέθοδον ὅπως ἐπιστρέψωμεν εἰς τὴν πατρίδα ἡμῶν. Ἀπελογήσατο ὁ Ῥωσίας Ἰσίδωρος, καὶ ἐδημηγόρησε λέγων.

Ὁ ῬΩΣΙΑΣ. Συμφέρει ἡμᾶς ἑνωθῆναι ψυχικῶς τε καὶ σωματικῶς, ἢ ἀπελθεῖν ἀπράκτους. τὸ γὰρ ἀπελθεῖν εὔκολόν ἐστι, τὸ δὲ πῶς μέλλομεν ἀπελθεῖν, ἢ ποῦ, ἢ πότε, οὐκ ἐπίσταμαι.

Ὁ ΝΙΚΑΙΑΣ. Ταῦτα αὐτοῦ εἰπόντος, καὶ κεφαλαιωδῶς τὸν λόγον συνηγορήσαντος, καὶ ὁ Νικαίας Βησσαρίων καὶ αὐτὸς ὁμοίως νουνεχέστατα καὶ ῥητορικώτατα ἐδημηγόρησε, τοὺς αὐτοὺς λόγους καὶ τὴν αὐτὴν ἔννοιαν εἰπών. Ἀπεκρίθη ὁ Μονεμβασίας Δοσίθεος.

Ὁ ΜΟΝΕΜΒΑΣΙΑΣ. Καὶ τί βούλεσθε, διὰ τὸ ἀπελθεῖν ἡμᾶς ἐν τῇ πατρίδι μετὰ τῶν ἐξόδων τοῦ πάπα, θέλετε ἵνα προδώσωμεν τὸ δέγμα ἡμῶν; ἐγὼ βούλομαι ἀποθανεῖν, ἢ λατινίσαι ποτέ. Ὁ δὲ Ῥωσίας ἀπεκρίνατο.

Ὁ ῬΩΣΙΑΣ. Οὐδὲ ἡμεῖς βουλόμεθα λατινίσαι· ἀλλὰ λέγομεν, ὅτι τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος οὐ μόνον δυτικοὶ ἅγιοι διδόασι καὶ τῷ υἱῷ, ἀλλὰ καὶ ἀνατολικοί. διὰ τοῦτο δίκαιόν ἐστι συνομολογῆσαι τοῖς ἁγίοις ἡμῶν, καὶ ἑνωθῆναι τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ. Ταῦτα ἀκούσας ὁ Ἡρακλείας κῦρις Ἀντώνιος ἀπεκρίνατο.

Ὁ ἩΡΑΚΛΕΙΑΣ. Καὶ τίνες εἰσὶ πλείους, οἱ τῶν συνόδων πατέρες καὶ οἱ ἡμέτεροι πάντες ἅγιοι, ἢ οἱ δυτικοί; λοιπὸν τοῖς πλείοσι δεῖ ἕπεσθαι, τοῖς λέγουσιν ὅτι ἐκ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐκ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Τὸν λόγον δὲ λαβὼν ὁ Ἐφέσου κῦρις Μάρκος μακρὸν λόγον ἐποιήσατο, τὰ αὐτὰ κἀκεῖνος εἰπών· προσθεὶς ὅτι οὐ μόνον εἰσὶν οἱ Λατῖνοι σχισματικοὶ, ἀλλὰ καὶ αἱρετικοί· καὶ τοῦτο πα·εσιώπησεν ἡ ἐκκλησία ἡμῶν, διὰ τὸ γένος ἐκεῖνο εἶναι πολὺ καὶ ἰσχυρότερον ἡμῶν. ἡμεῖς δὲ οὐδὲ δι' ἄλλο τι ἐσχίσθημεν αὐτῶν, εἰ μὴ ὅτι εἰσὶν αἱρετικοί. διὸ οὐδὲ πρέπει ὅλως ἑνωθῆναι αὐτοῖς, εἰ μὴ ἐκβάλωσι τὴν προσθήκην ἀπὸ τοῦ συμβόλου, καὶ ὁμολογήσωσι τὸ σύμβολον καθὼς καὶ ἡμεῖς. Ἀποκριθεὶς δὲ ὁ Νικαίας Βησσαρίων εἶπεν αὐτοῖς.

Ὁ ΝΙΚΑΙΑΣ. Λοιπὸν οἱ λέγοντες τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ τοῦ υἱοῦ, αἱρετικοί εἰσιν; Καὶ

Ὁ ἘΦΕΣΟΥ. Ναί. Καὶ

Ὁ ΝΙΚΑΙΑΣ. Ἵλεώς μοι θεέ· καὶ οἱ ἅγιοι οἱ λέγοντες τοῦτο αἱρετικοί εἰσιν; ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λα-

λοῦντα κατὰ τῶν ἁγίων. ἀλλ' ἀκούσατε ὑμεῖς νουνεχῶς· Οἱ δυτικοὶ καὶ ἀνατολικοὶ ἅγιοι οὐ διαφωνοῦσιν, ἀλλὰ τὸ αὐτὸ πνεῦμα ἐλάλησεν ἐν πᾶσι τοῖς ἁγίοις. καὶ εἰ θέλετε, συγκρουσάσθωσαν τὰ συγγράμματα αὐτῶν πρὸς ἄλληλα, καὶ οὕτως εὑρεθήσονται ὁμογνώμονες οἱ ἅγιοι.

Ὁ ἘΦΕΣΟΥ. Καὶ τίς οἶδεν, εἰ ἐφθάρησαν αἱ βίβλοι παρ' αὐτῶν;

Ὁ ΝΙΚΑΙΑΣ. Καὶ τίς ἔχει τοῦτο τολμῆσαι εἰπεῖν, ὁμιλίας ὁλοκλήρους, καὶ ἑρμηνείας τοῦ εὐαγγελίου, θεολογίας ἀκεραίας περὶ τῶν αὐτῶν. ἐὰν γοῦν ἀπαλείψωμεν ταῦτα ἀπὸ τῶν βιβλίων, οὐδὲν ἀπομενεῖ· ἄλλο ἐν αὐτοῖς, εἰ μὴ μεμβράναι λευκαί. Τούτων καὶ ἄλλων ὁμοίων λαληθέντων, ἀνέστημεν μηδὲν πράξαντες, εἰ μὴ διχόνοιαν καὶ σχίσματα. ἡ γὰρ σύνοδος ἡ ἡμετέρα τοσοῦτον ὑπῆρχε μικρὰ, ὅτι ἐσχίσθη εἰς δύο· καὶ οἱ μὲν ἀκολουθοῦντες τοῖς ἀνθισταμένοις τῇ ἑνώσει, οἱ δὲ τοῖς συνηγόροις, ἐσχίσθησαν. ὑπῆρχον δὲ καὶ τῶν ἀρχόντων τινὲς ἀπαγορεύοντες τὴν ἕνωσιν, καὶ ἔσχιζον αὐτούς. Τῆς μεγάλης οὖν δευτέρας παρελθούσης, καὶ τῆς μεγάλης τρίτης ἐπελθούσης, ἦλθεν ὁ βασιλεὺς πάλιν εἰς τὸν πατριάρχην, ἀναγκαζόμενος διόρθωσιν ποιήσασθαι. ἔβρεχε δὲ, καὶ αὐτὸς οὐκ ἠμέλησεν, ἀλλὰ βρεχόμενος ἐσπούδαζε τέλος ἐπιθεῖναι τῇ διαλέκτῳ καὶ τῷ πράγματι· ἠνάγκαζε γὰρ τοὺς ἀρχιερεῖς ποιῆσαι τὴν ἕνωσιν, οἱ δὲ ἐῤῥαθύμουν. καὶ οἱ μὲν ἀκολουθοῦντες τοῖς ἀνθισταμένοις τῇ πράξει τῆς ἑνώσεως, ὡς εἴρηται, οἱ δὲ τοῖς συνηγόροις ἐσχίσθησαν, καὶ ἐγίνοντο μέρη, καὶ οὐδεμία συμφωνία ἦν ἐν αὐτοῖς. εἶχον γὰρ ὡς δεδήλωται, καί τινας τῶν ἀρχόντων μὴ βουλομένους τὴν ἕνωσιν, καὶ ἠκολούθουν ἀλλήλοις.

Τῇ οὖν μεγάλῃ τετάρτῃ πρωῒ σύναξις γέγονε, καὶ συνήχθημεν ἅπαντες ἐν τῷ κελλίῳ τοῦ πατριάρχου ἡμῶν, καὶ ἠρώτησεν ὁ πατριάρχης ἡμᾶς, λέγων· ἔχετέ τι εἰπεῖν; Ἀπεκρίθη ὁ Ἡρακλείας, καὶ εἶπεν αὐτῷ οὕτως.

Ὁ ἩΡΑΚΛΕΙΑΣ. Ἐν τῇ λειτουργίᾳ τῶν προηγιασμένων ἤλθομεν, καὶ ἄλλο τί ποτε οὐδὲν ἔχομεν. Καὶ ὁ Μιτυλήνης φησί.

Ὁ ΜΙΤΥΛΗΝΗΣ. Πῶς οὐδὲν ἔχομέν τι εἰπεῖν; οὐ διαλεγόμεθα; οὐκ ἔχομεν ἀγῶνα; ἔχομεν, δέσποτά μου, εἰπεῖν πάνυ πολλὰ, τὰ δέ εἰσιν, ἵνα ποιήσωμεν ἐκ τῶν δύο τὸ ἓν, ἢ ἵνα συμφωνήσωμεν

τοῖς ἁγίοις καὶ ἑνωθῶμεν τοῖς Λατίνοις, ἢ ἵνα ὀβελίσωμεν αὐτοὺς καὶ ἀπέλευσώμεθα· ὅμως στέργετε τὸν μέγαν Μάξιμον, εἴ τι διακελεύεται; Ἀπεκρίθησαν καὶ εἶπον, ὅτι στέργουσιν αὐτόν. ὁ δὲ λέγει· ὁ μέγας Μάξιμος τὸ πνεῦμα τὸ ἅγιόν φησιν, ἐκ τοῦ πατρὸς οὐσιωδῶς, διὰ τοῦ υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον.

Ὁ ΝΙΚΑΙΑΣ. Βεβαιοῖ τοῦτο καὶ ὁ Νικαίας, καὶ παριστᾷ ἐκ πολλῶν ῥητῶν, ὅτι πολλοὶ τῶν ἁγίων λέγουσι τὸ διὰ τοῦ υἱοῦ, μάλιστα ὁ μέγας Ταράσιος. Ταῦτα ἀκούσας ὁ πατριάρχης, ὥρισε ταῦτα τὰ ῥητὰ γραφῆναι, καὶ τῇ ἐπαύριον ἵνα γένηται καθολικὴ σύναξις, ὅπως ἀκούσωσι ταῦτα, καὶ γνώμη κοινῇ ἐπιβεβαιωθῇ ἓν κεφάλαιον· καὶ τῷ βασιλεῖ ἀπαγγελοῦμεν αὐτό. εἴπον πάντες· Ἀρέσκει· καὶ οὕτως ἐξήλθομεν. Τῆς δὲ ἁγίας καὶ μεγάλης πέμπτης ἐλθούσης, καὶ πάντων συναθροισθέντων, ὥρισεν ὁ πατριάρχης ἡμῖν, ὅτι ὁ βασιλεὺς μαθὼν τὰ λαληθέντα παρ' ἡμῶν χθὲς, μηνύει ἡμῖν, ὅπως ταμιευθῇ ἡ ὑπόθεσις ἕως τοῦ μεγάλου σαββάτου, ἵνα καὶ αὐτὸς μεθ' ἡμῶν συνέλθῃ, τοῦ γενέσθαι πᾶν ὃ διακριθῇ. ἠρκέσθημεν πάντες εἰς τὸ παραγενέσθαι τὸν βασιλέα.

Τοῦ ἁγίου καὶ μεγάλου σαββάτου τοίνυν ἐλθόντος, καὶ τοῦ πατριάρχου βαρέως ἀσθενοῦντος, ἀφείθη ἡ σύναξις τῆς βουλῆς, καὶ ἐγένετο σύναξις, καὶ ἐψάλαμεν τῷ πατριάρχῃ εὐχέλαιον μόλις δυναμένῳ καθίζεσθαι. καὶ οὕτως παρῆλθον αἱ ἡμέραι τοῦ πάσχα ἕως τῆς νέας παρασκευῆς. ὀψὲ γοῦν τῇ παρασκευῇ συνήλθομεν σὺν τῷ βασιλεῖ, καὶ διεκρίθη ὅπως μηνύσωμεν ταῦτα τῷ πάπᾳ.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἡμεῖς πλέον οὐ διαλεγόμεθα, ὅτι ἡ διάλεξις οὐδὲν ἄλλο προξενεῖ εἰ μὴ ὄχλησιν. λεγόντων γὰρ ἡμῶν, οὐδὲν ἀπορεῖτε ἀπολογίας εἰς πληθυσμόν· ἀκουόντων δὲ τὰ παρ' ὑμῶν λεγόμενα, ἀναρίθμητα ὄντα, τίς δύναται ἀκούειν καὶ λέγειν ἄπαυστα; διὸ ἐάν ἐστί τις ἄλλη μέθοδος ἑνώσεως, βουλευσάμενοι μηνύσατε ἡμῖν· εἰ δ' οὔ, ἡμεῖς ὅσον ἠδυνήθημεν εἴπομεν· ἡμεῖς ὃ κρατοῦμεν, ἐστὶ πατροπαράδοτον, καὶ ὑπὸ τῶν ἑπτὰ συνόδων παραδεδομένον καὶ ἀρκούμεθα. Ἐκλεξάμενοι οὖν τόν τε Ῥωσίας καὶ τὸν Νικαίας καὶ δύο σταυροφόρους, τόν τε μέγαν χαρτοφύλακα, καὶ τὸν μέγαν ἐκκλησιάρχην, ἀπεστείλαμεν αὐτούς. Ἀπελθόντες τοίνυν, καὶ τὰ παρ' ἡμῶν λαληθέντα τῷ πάπᾳ εἰπόντες, ἦλθον· καὶ τῷ σαββάτῳ πρὸ τοῦ ἑσπερινοῦ συνήλθομεν πάλιν ἅμα τῷ βασιλεῖ, καὶ

εἶπον τὴν ἀπόκρισιν τοῦ πάπα, λέγοντες οὕτως· Ἡμεῖς ἀπήλθομεν, δεσπόται ἅγιοι, εἰς τὸν μακαριώτατον πάπαν, καὶ ἀνηνέγκομεν τὰ ὁρισθέντα παρ' ὑμῶν εἰς ἡμᾶς· ἀποκρίνεται δὲ καὶ λέγει οὕτως.

Ὁ ΠΑΠΑΣ. Ἐγὼ ὡς ὁρᾶτε καὶ ὑμεῖς, καὶ ἐσπεύδασα καὶ ἐξωδίασα καὶ ἐκοπίασα εἰς τὸ ἔργον τοῦτο τῆς ἑνώσεως τῶν ἐκκλησιῶν, καὶ πάλιν οὐδὲν ἀμελῶ· ὑμεῖς δὲ ἀπ' ἀρχῆς ποιεῖτε πᾶσαν ἀμέλειαν καὶ πλημμέλειαν· καὶ τὸ χειρότερον, ὅτι οὐδὲ κἂν τὰς συνελεύσεις ποιεῖτε τῶν διαλέξεων κατὰ τὴν συμφωνίαν ἡμῶν. λοιπὸν μηνύω τῷ γαληνοτάτῳ βασιλεῖ, καὶ τῷ ἀδελφῷ μου τῷ πατριάρχῃ, καὶ πάσῃ τῇ ἀνατολικῇ ἐκκλησίᾳ, καὶ λέγω οὕτως. τέσσαρά εἰσι τὰ ζητούμενα ὑμῖν· πρῶτον, ἐὰν ἀρκεῖσθε εἰς τὴν λαμπροτάτην καὶ καθαρὰν ἀπόδειξιν, ἣν ἀπεδείξαμεν ἀπὸ τῶν γραφῶν, ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ, καλῶς. εἰ δ' οὔ, εἴπατε εἰς τί ἀμφιβάλλετε, καὶ κατὰ τί οὐ στέργετε τοῦτο, ἵνα θεραπεύσωμεν καὶ παραστήσωμεν ἐναργῶς καὶ καθαρῶς, ὅτι ἐστὶν ἀληθὴς ἡ ἐκπόρευσις αὕτη καὶ ἐκ τοῦ υἱοῦ. Δεύτερον, ἐὰν ἔχητε παραστάσεις ἀπὸ τῶν ἁγίων γραφῶν ἐναντία λεγόντων εἰς τὰ παρ' ἡμῶν λεγόμενα, ἵνα δείξητε αὐτάς. Τρίτον, ἐὰν ἔχητε ἰσχυρὰ τῶν γραφῶν παριστῶντα, ὅτι ὃ κρατεῖτε ὑμεῖς, ἐστὶ κρεῖττον τοῦ ἡμετέρου δόγματος καὶ εὐσεβέστερον. Τέταρτον, ἐὰν ταῦτα οὐ βούλεσθε, συναχθῶμεν ὁμοῦ καὶ γενέσθω σύνοδος, ἱερουργησάτω ἱερεύς, δῶμεν ὅρκον Λατῖνοι ὁμοῦ καὶ Γραϊκοὶ, παῤῥησιασθήτω ἡ ἀλήθεια ἐν ὅρκῳ· καὶ ὃ φανεῖται τοῖς πλείοσι, τοῦτο στερχθήτω ἐν ἡμῖν καὶ ὑμῖν. ὅρκος γὰρ οὐ πλανᾶται εἰς τοὺς Χριστιανούς.

ΟΙ ΓΡΑΙΚΟΙ. Ταῦτα ὑπὸ τῶν ἀποσταλέντων ἀπαγγελθέντα ἀκούσαντες ἡμεῖς, καὶ εἷς τὸν ἕτερον εἰς τὸ πρόσωπον ἰδὼν, καὶ ἀναντίῤῥητα πάντα καταλαβόντες, εἴπαμεν· Οὐκ ἔχομέν τι ἀπολογήσασθαι πρὸς ταῦτα. Εἰς τὸ πρῶτον· καὶ εἰσιν ἅγιοι οἱ λέγοντες, ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ· τίνα ἀμφιβολίαν ἔχομεν εἰπεῖν; Εἰς τὸ δεύτερον· καὶ τίνες ἅγιοί εἰσιν οἱ ἐναντιούμενοι τοῖς ἁγίοις τοῖς λέγουσι τοῦτο; ἡμεῖς οὐ δυνάμεθα εἰπεῖν, ὅτι οἱ ἅγιοι ἐναντία φρονοῦσι πρὸς ἀλλήλους. Εἰς τὸ τρίτον· καὶ πῶς ἔχομεν παραστῆσαι κρειττότερον καὶ εὐσεβέστερον τὸ ἡμέτερον δόγμα παρὰ τὸ τῶν Λατίνων; καὶ γὰρ τὸ ἡμέτερον εὐσεβές ἐστιν,

ὡς παραδιδόμενον παρὰ τῶν πατέρων, ἀλλ' οὐδὲν ἧττόν ἐστι κἀκείνων, ὅτι καὶ τοῦτο ἅγιοι πατέρες εἰσὶν οἱ λέγοντες. Εἰς τὸ τέταρτον, ὅτι ἵνα ποιήσωμεν ὅρκον εἰς τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ Χριστοῦ· καὶ ποία ἄλλη σύνοδος ἐποίησε τοῦτο, ἵνα ποιήσωμεν καὶ ἡμεῖς αὐτό; οὐδὲ τοῦτο ἔχει ἀπολογίαν τινά. Καὶ ἀποκριθεὶς πάλιν ὁ Μιτυλήνης εἶπε.

'Ο ΜΙΤΥΛ. Τί γνωσιμαχεῖτε πρὸς ἀλλήλους, καὶ ἐστὲ ἐν ἀπορίᾳ μεγάλῃ; γνῶτε καὶ ἴδετε, ὅτι τὸ ἡμέτερον δόγμα ἐστὶν εὐσεβὲς, ἀλλὰ καὶ ὃ εἰς σαφήνειαν καὶ ἀνάπτυξιν προσέθεντο οἱ Λατῖνοι ἐν τῷ συμβόλῳ, παρὰ τῶν ἁγίων παρέλαβον αὐτοί. καὶ ἔστι κἀκεῖνο εὐσεβές· ἐπεὶ καὶ τὸ ἅγιον σύμβολον ἀπὸ τῶν θείων γραφῶν συνετέθη, καὶ οἱ Λατῖνοι ἀπὸ τῶν θείων γραφῶν προσέθηκαν τὴν 'Εκ τοῦ υἱοῦ φωνήν. διὸ ἐστὶ μὲν τὸ ἡμέτερον εὐσεβὲς, ἀλλ' οὐδὲ τὸ αὐτῶν ὑπάρχει κατά τι ἀσεβές· ὑπάρχει γὰρ μία πίστις, μία εὐσέβεια, εἷς θεὸς τρισυπόστατος ἐν ἡμῖν. καὶ μὴ πλέον παρατρίβετε τὸν καιρὸν, ἀλλὰ προσέλθωμεν τῇ ἀληθεῖ ἑνώσει τῆς ἐκκλησίας τοῦ θεοῦ, καὶ μὴ περαιτέρω προβαίνωμεν. ἔστω τοῦτο ἀπολογία εἰς τὸν μακαριώτατον πάπαν ἡμῶν.

'Ο ΒΑΣΙΛ. Ταῦτα αὐτοῦ εἰπόντος οὐδεὶς ἀντεῖπεν, οὐδεὶς ἀντεφθέγξατο. ἀλλ' ὁ βασιλεὺς, οὐκ ἔστι τοῦτο νῦν, φησι, τὸ ζητούμενον· ἀλλὰ βουλόμεθα δοῦναι ἀπολογίαν τῷ πάπᾳ ἐκ τῶν τεσσάρων ζητημάτων τὸ ἕν. Τότε ὁ μέγας πρωτοσύγκελλος καὶ πνευματικὸς κῦρις Γρηγόριος, ὁ καὶ τοποτηρητὴς ὑπάρχων τοῦ 'Αλεξανδρείας, ἀπεκρίνατο.

'Ο ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΣ. Καὶ τί δυνάμεθα ἀπολογεῖσθαι πρὸς ταῦτα; τὰς μὲν γὰρ λέγειν τῶν γραφῶν ὅτι εἰσὶ ψευδεῖς, τὰς δὲ ὅτι νόθαι· καὶ τὰ μὲν λέγειν ἄγνωστα ἡμῖν, τὰ δὲ ὅτι οὐ στέργομεν, ἄλογόν πώς ἐστι. τί ἔτι λείπεται λοιπόν; ἀπολογεῖσθαι ψευδῆ; καὶ τοῦτο οὐδὲν πρέπει ἡμῖν.

'Ο ΒΑΣΙΛ. 'Αλλ' ὅμως ἁπάντων τὸν βασιλέα παρακαλεσάντων ὥρισεν ἵνα ἀπέλθωσι πάλιν οἱ προῤῥηθέντες εἰς τὸν πάπαν, καὶ ὅπως ποιήσωσιν ἀπολογίαν τοιαύτην. 'Ημεῖς ὅσα ὥρισας καταλάβομεν, ὅτι εἰσὶν ἓν, καὶ τὰ τέσσαρα κεφάλαια πρὸς ἓν βλέπουσι, τὸ διαλέγεσθαι. τὸ γὰρ ἀμφιβαλλόμενον κρίσεως δεῖται, καὶ αἱ παραστάσεις κρίσεώς εἰσιν, καὶ αἱ μαρτυρίαι τῶν γραφῶν ἐν κρίσει

μαρτυροῦσιν, ἀλλὰ καὶ ὅρκος τὸ διακρίνειν ἀληθῆ λέγεται. λοιπὸν ἐπειδὴ τὰ τέσσαρα εἰς ἓν περικλείονται, τὸ διαλέγεσθαι καὶ κρίνεσθαι, ἡμεῖς ἀπολογούμεθα λοιπὸν, μηδόλως κρίνειν καὶ κρίνεσθαι· οὐ γὰρ κερδανοῦμέν τι ἀπὸ ταύτης τῆς κρίσεως, ἐπεὶ ἡμεῖς ἔχομεν τὸ ἅγιον σύμβολον ἀπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, καὶ οὔτε προστίθεμεν, οὔτε ἀφαιροῦμεν, ἀλλ' ἀρκούμεθα ἐπὶ διαγνώσει τῶν πατέρων ἡμῶν τῶν πρὸ ἡμῶν. ὑμεῖς δὲ καὶ ὅσον προσεθήκατε ἐν τῷ ἱερῷ συμβόλῳ ἐδείξατε ἁγίους λέγοντας τοῦτο, καὶ ἔχετε ἀπαρασάλευτον. καὶ λοιπὸν οὔτε ἡμεῖς μέλλομεν δέξασθαι ἁπλῶς τὸ προστεθὲν, οὔτε ὑμεῖς μέλλετε ἐξελάσαι αὐτὸ ἀπὸ τοῦ συμβόλου, ἵνα τί αἱ φιλονεικίαι, καὶ αἱ διαλέξεις, καὶ αἱ παραστάσεις, καὶ οἱ ὅρκοι, καὶ αἱ μαρτυρίαι; ἀλλὰ σκεψάσθω ἡ σὴ μακαριότης, καὶ ἐάν ἐστί τις ἄλλος τρόπος ἑνώσεως, ἑνωθησόμεθά· εἰ δ' οὒ, ἀπελευσόμεθα μετὰ φιλίας εἰς τὰ ἴδια· Ταῦτα τοῦ βασιλέως εἰπόντος, καὶ τῶν ἀποκρισιαρίων ταῦτα ἀκουσάντων, καὶ τῷ πάπᾳ εἰπόντων ἀπαγγεῖλαι κατὰ τὴν αὔριον, ἥτις ἦν ἡ νέα κυριακὴ τοῦ Θωμᾶ, ἐλύθη ἡ σύνοδος.

Ἀπελθόντων τοίνυν εἰς τὸν πάπαν, καὶ ταῦτα εἰπόντων αὐτῷ οὐκ ἀπεκρίθη αὐτοῖς, ἀλλὰ τοὺς καρδιναλίους, εἶπεν, ἀποστελῶ εἰς τὴν ἀνατολικὴν σύνοδον, ἵνα καὶ παρόντες τοῦ βασιλέως μέλλωσιν εἰπεῖν πάντα. Τρεῖς οὖν ἡμέραι παρῆλθον πρὶν ἐλθεῖν τοὺς καρδινάλεις· τῇ τετάρτῃ γὰρ ἦλθον. μέσον δὲ τῶν ἡμερῶν τούτων, τῇ δευτέρᾳ δηλαδὴ καὶ τῇ τρίτῃ συνόδου ἡμετέρας γενομένης λόγον ἐξέδωκε μέσον ἡμῶν ὁ Νικαίας κῦρις Βησσαρίων περὶ ἑνώσεως, ἐν κεφαλαίοις δέκα διῃρημένον. ὃν ἐστιν ἰδεῖν ἐν τῷ δευτέρῳ τόμῳ.

Μετὰ τοῦτον τὸν λόγον καὶ ὁ σχολάριος κῦρις Γεώργιος προσέφερεν ἡμῖν τρεῖς λόγους συμβουλευτικοὺς περὶ τῆς ἑνώσεως, συμβουλεύων καὶ παραθαῤῥύνων ἡμᾶς ἑνωθῆναι, οὓς διὰ τὸ μῆκος ἐνταῦθα οὐ τίθεμεν, καὶ γράφονται ἐν τῷ δευτέρῳ τόμῳ. Τῇ τετάρτῃ οὖν τῆς ἑβδομάδος τοῦ Θωμᾶ, ὡς εἴρηται, συνήχθημεν ἐν τῷ οἴκῳ τοῦ πατριάρχου, ἀσθενοῦντος αὐτοῦ, ἅμα καὶ τῷ βασιλεῖ. καὶ δὴ ἦλθον οἱ καρδινάλεις, ὁ καμεράριος καρδινάλις τοῦ ἁγίου Κλήμεντος, ὁ Ἰουλιανὸς τῆς ἁγίας Σαβίνης, καὶ ὁ Φιρμάνου

καὶ ἀρχιεπίσκοποι καὶ ἐπίσκοποι ὡσεὶ δέκα, μετὰ καὶ ἱερομονάχων καὶ φιλοσόφων τινῶν. ἤρξατο οὖν ὁ τῆς ἁγίας Σαβίνης λέγων οὕτως.

'ΙΟΥΛ. ΚΑΡΔ. Γαληνότατε κύριε βασιλεῦ, εἰσὶν ὧδε λογιώτεροί μου καὶ σοφώτεροι, οἵτινες ὑπῆρχον ἱκανοὶ ἀπαγγεῖλαι τοὺς ὁρισμοὺς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν. ἀλλ' ἐπειδὴ ἐν ἑτέραις συνελεύσεσιν ἐμεσολάβησα ἐν ταῖς ὑποθέσεσιν ἐγὼ, πάλιν προτροπῇ τούτων τῶν ἁγιωτάτων κυρίων μου, λέγω ὅσον δυνηθῶ· ὅσα δὲ παραλειφθῶσι παρ' ἐμοῦ, εἰσὶν οὗτοι οἱ κύριοί μου ἀναπληρῶσαι αὐτά. καὶ δὴ λέγω· 'Ημεῖς ἔχομεν συμφωνίας καὶ γράμματα γενόμενα ἐν τῇ Φερραρίᾳ· καὶ πᾶσαι αἱ συμφωνίαι ἡμῶν διαλαμβάνουσιν, ὅτι ἵνα διαλεγώμεθα τὸ δὴ ἔλαττον δὶς τῆς ἑβδομάδος· ἡ γὰρ διάλεξις σαφηνίζει τὰ δόγματα, καὶ γίνεται μεγάλη ὠφέλεια. τίνι λόγῳ ὑμεῖς οὐ ποιεῖτε τὰ διατεταγμένα; οὐκ οἴδατε, ὅτι οὐ δι' ἄλλο τι γεγόνασιν ἀφ' ἑκατέρων τῶν μερῶν αἱ ἐξόδεις καὶ τὰ ἀναλώματα, καὶ οἱ τοσοῦτοι καὶ τηλικοῦτοι κόποι, εἰ μὴ διὰ τὴν τῆς ἀληθείας εὕρεσιν; πῶς μέλλομεν εὑρεῖν τὴν ἀλήθειαν, μὴ ἐξετάζοντες αὐτήν; παρῆλθεν ὁ καιρὸς τῶν δεκατεσσάρων μηνῶν, καὶ οὐδὲν ἐπράξαμεν τὸ οἱονοῦν. ἀλλ' οὐδὲ πλέον συνελεύσεις ἐποιήσαμεν τῶν εἰκοσιπέντε, καὶ μόλις. καὶ γὰρ ὠφείλομεν ποιῆσαι τὸ ἔλαττον κατὰ μῆνα τέσσαρας συνελεύσεις· ἡμεῖς δὲ διὰ τὴν ἀμέλειαν ὑμῶν πλημμελοῦμεν τόσον καιρὸν, διὸ καὶ λυπούμεθα τὰ μέγιστα. ἀλλὰ παρακαλοῦμεν ὑμᾶς ἔτι ποιεῖν τὰς συνελεύσεις καὶ διαλέξεις, ἐπεὶ ὠφελοῦσι πρὸς τὴν ἕνωσιν· ἄνευ γὰρ τούτων οὐδὲν ἐλπίζεταί τι χρηστόν. Ταῦτα εἰπόντος τοῦ καρδηναλίου, ὁ βασιλεὺς ἀπεκρίνατο.

'Ο ΒΑΣΙΛ. 'Ημεῖς ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν. οὐ γὰρ εἰς τὸ διηνεκὲς ἔχομεν συμφωνίαν διαλέγεσθαι, ἀλλὰ ἀρκεσθῶμεν τοῖς εἰρημένοις. ἠρκέσθημεν οὖν εἰς ὅσα εἴπομεν καὶ ἠκούσαμεν. τί ἔτι λοιπόν; ἢ εὑρεθήτω τι μέσον τοῦ ἑνωθῆναι, ἢ ἡμεῖς πλέον οὐ λέγομεν.

Προσθεὶς δὲ καὶ παράδειγμα τοιοῦτον· ὅταν ἀσθενήσῃ τίς, φησιν, ἐν τῇ ἀκμῇ τῆς ἀσθενείας διαιτῶσιν αὐτὸν, οὐ μὴν καὶ κατὰ τὴν ἀσθένειαν, οὐδὲ γὰρ πάντοτε ὠφέλιμος ἡ δίαιτα· διὸ καὶ ὠφέλησεν ἡ διάλεξις, νῦν οὖν οὐκ ἔστι καιρὸς διαλέξεως, ἀλλά τινος ἑτέρας μεθόδου, πρὸς τὸ γενέσθαι τὴν ἕνωσιν. Πρὸς ταῦτα ἀπεκρίνατο ὁ καρδινάλιος.

'ΙΟΥΛ. ΚΑΡΔ. Ὃ ὠφείλετε ποιῆσαι οὐκ ἐποιήσατε· ὠφείλετε γὰρ διαλέγεσθαι εἰς τὸ διηνεκὲς, ἕως ἂν φανερωθῇ ἡ ἀλήθεια, καὶ ἕως οὗ καταπαύσῃ ὁ διάλογος. νῦν δὲ ἡμεῖς εἴπομεν τῶν ἁγίων πολλὰ ῥητὰ, ἐσαφηνίσαμεν τὰ δόγματα· παρεστήσαμεν, ὅτι εἴ τις οὐ πιστεύει εἰς τὴν Ἐκ τοῦ υἱοῦ φωνὴν, οὐκ ἔστιν αὐτοῦ. ὑμεῖς δὲ οὐδὲν ἀποκρίνεσθε, οὔτε ἀντιφάσκετε, οὐδὲ καταφάσκετε· ἀλλὰ λέγετε, ὅτι οὐ θέλετε διαλέγεσθαι· καὶ λέγετε ὅτι ἀρκεῖσθε εἰς ὅσα εἴπατε· τί δὲ εἴπατε, οὐδὲν φαίνεται. ἢ δείξατε ἡμᾶς μὴ ὀρθῶς φρονοῦντας, ἢ προσέλθετε ἡμῖν. εἰ δὲ ἔχετέ τι εἰπεῖν, ἔλθετε εἰς διαλέξεις, ἕως οὗ τὸ ἱκανὸν παραστήσητε. ἀλλὰ καὶ ὃ παράδειγμα ἡ σὴ γαληνότης ὡρίσατο, πρὸς τὸ πρᾶγμα ἐπάγεται· ἡ γὰρ ἐγκράτεια πρὸς τὸν ἐν τῇ ἀκμῇ νοσοῦντα παρὰ τῶν ἰατρῶν ὥρισται· καὶ ἡμεῖς διὰ τὴν νόσον τοῦ σχίσματος τὴν διάλεξιν ποιούμεθα, καὶ ἔστιν ἀγαθὴ ἕως οὗ ἑνωθησόμεθα, μετὰ γὰρ τὴν ἕνωσιν οὐ διαλεξόμεθα. ἐπεὶ δὲ ὥρισας, ὅτι ἐστὶν ὠφέλιμος, χρὴ διαλέγεσθαι καὶ ἔτι ἕως οὗ εὑρεθῇ ἡ ἀλήθεια· ἄλλην δὲ μέθοδον ἑνώσεως οὐκ ἔστιν εὑρεῖν. Εἶτα ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Εἴπομεν ὑμῖν, ἡμεῖς πλέον οὐ διαλεγόμεθα· οὐδὲ γὰρ ἀπορεῖτε ἐρευρεσιλογιῶν· ἔχετε καὶ συνήθειαν διαλεκτικὴν μὴ πείθεσθαι, ἀλλὰ πάντοτε ἀπολογεῖσθαι, καὶ ὕστερον δημηγορεῖν καθὼς πολλάκις ἐποιήσατε· μετὰ δὲ τὸ εἰπεῖν πολλὰ, ὕστερον ὑμεῖς ὡς ἐν σχήματι ἀπολογίας ἐδημηγορεῖτε, διὰ τὸ πληρῶσαι τὰς ἀκοὰς τῶν παρεστώτων. καὶ οὕτως ἀθρόως ἐγειρόμενοι ἀνεχωρεῖτε· διὸ οὐδὲ παυσόμεθα τὸ αὐτὸ ποιεῖν. ἀλλὰ παυσάσθω ὁ πολὺς διάλογος, καὶ εὑρεθήτω μέθοδός τις ἑτέρα, ἵνα γένηται ἕνωσις θεοῦ θέλοντος. Ἀπεκρίθη ὁ Ἰουλιανός.

'ΙΟΥΛ. ΚΑΡΔ. Ἡμεῖς οὐδὲν ἐφευρολογοῦμεν, ἀλλ' ἔστι τάξις καὶ συνήθεια εἰς τοὺς διαλεγομένους μὴ σιωπᾶν κατά τι, μηδὲ ἀπορεῖν ἀπολογιῶν. ὁ γὰρ μὴ ἀποκρινόμενος δοκεῖ κατακρίνεσθαι. ἀπορῶν γάρ τις ἀπολογιῶν τοῦ διαφενδεύεσθαι, ἢ παραστάσεις μὴ ἔχων τοῦ προτεινομένου δεῖξαι, ἀληθῆ δοκεῖ συγκατάθεσιν, ὅπερ καὶ γέγονεν ἀφ' ὑμῶν. ὁ γὰρ Ἐφέσου ἀρχιερεὺς ἀπορήσας ἀπολογιῶν ἀνεχώρησε, καὶ οὐκ ἔτι ἀπολογεῖσθαι βούλεται, καὶ νῦν οὕτω λέγετε. ἀλλ' οὐκ ἔστι τοῦτο ἀρκετὸν εἰς ἡμᾶς, ἀλλ' οὐδὲ τὰς συμφωνίας πληροῦτε ἀμφοτέρων· καὶ οὐδὲν πρέπει ποιῆσαι οὕτως,

ἀλλὰ διαλέγεσθαι καὶ ἔτι ἕως οὗ ἀναφανῇ ἡ ἀλήθεια. Τούτων καὶ ἄλλων πολλῶν λαληθέντων, οὐκ ἐπείσθη ὁ βασιλεὺς γενέσθαι συνελεύσεις διαλέξεων, ἀλλ' ὥρισεν ἐκλεχθῆναι ἀφ' ἑκατέρων τῶν μερῶν δέκα, καὶ συνέχεσθαι ἐν ἑκτῷ συνελεύσεσι· καὶ εἰ μὲν εὕρωσί τι μέσον τῶν δογμάτων ἀπάγον πρὸς ἕνωσιν, τῷ θεῷ δόξα· εἰ δὲ μὴ οὖν, ἵνα ἀπέλθωμεν οἴκαδε. Τούτων οὕτω λαληθέντων ἀπῆλθον οἱ καρδινάλιοι, καὶ παρῆλθον αἱ ἡμέραι ἕως τῆς παρασκευῆς. καὶ τῇ παρασκευῇ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν πάπαν, ὅπως διὰ ζώσης φωνῆς ὁμιλήσῃ αὐτῷ. καὶ ὁμιλήσαντες συνεφώνησαν τὴν συνέλευσιν τῶν ἀνὰ μέρος δέκα. καὶ γέγονεν ἐν τῷ μέρει τῶν Γραϊκῶν παρὰ συνήθειαν· ἡ γὰρ σύνοδος αὐτῶν μικρὰ οὖσα ἐσχίσθη εἰς δύο, πρᾶγμα μηδέποτε οὔτε ἐν ταῖς συνελεύσεσι γεγονὸς, ἀλλ' ὅμως ἐγένετο. Καὶ οἱ μὲν Λατῖνοι ἐξελέξαντο ἀπὸ τῶν καρδιναλίων, δύο· ἀπὸ τῶν μητροπολιτῶν, δύο· ἀπὸ τῶν ἀββάδων, δύο· ἀπὸ τῶν φιλοσόφων, δύο· καὶ ἀπὸ τῶν πρεσβυτέρων, δύο. Οἱ δὲ Γραϊκοὶ συνήχθησαν πάντες μητροπολῖται, οὓς ὥρισεν ὁ βασιλεὺς, ἕως τῶν δέκα, καὶ ἀπῆλθον μίαν συνέλευσιν. καὶ ἐζήτησαν οἱ Γραϊκοὶ στερχθῆναι τὴν ἐπιστολὴν τοῦ ἁγίου Μαξίμου, τὴν φάσκουσαν, οὐκ αἰτίαν ποιοῦντες τὸν υἱὸν τοῦ πνεύματος. καὶ οἱ Λατῖνοι ἀπελογήσαντο· οὐδὲ ἡμεῖς λέγομεν προκαταρκτικὴν αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος· μίαν γὰρ λέγομεν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ συναφὲς καὶ ταὐτὸν τῆς οὐσίας καὶ ἡμεῖς δηλώσωμεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ προϊέναι λέγομεν, καὶ τὸ ἀχώριστον τῆς οὐσίας τῶν ὑποστάσεων σαφῶς ὁμολογοῦμεν. ὁ γὰρ υἱός ἐστιν οὐσιωδῶς υἱὸς τοῦ πατρὸς, τὸ δὲ πνεῦμα τὸ ἅγιόν ἐστιν οὐσιωδῶς πατρὸς καὶ υἱοῦ. ἐπειδὴ δὲ οὐσιωδῶς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν, ἔστι δὲ ἀχώριστος ἡ οὐσία τῆς ὑποστάσεως, ἔστιν ἄρα τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ. ἀλλὰ καὶ ἃς λέγει ὁ Μάξιμος χρήσεις Ῥωμαίων ἁγίων πατέρων, οὐκ εἰσὶν ἄλλαι, εἰ μὴ Αὐγουστίνου, Ἱερωνύμου, Ἀμβροσίου, καὶ τῶν λοιπῶν, ὧν αἱ βίβλοι σαφῶς ὁμολογοῦσι, τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ πατρὸς καὶ υἱοῦ· Ταῦτα εἰπόντων αὐτῶν, ἐλύθη ἡ συνέλευσις αὕτη ἡ μυστική. Τῇ δὲ ἐπαύριον πάλιν συνῆλθον, καὶ προσήγαγον τὴν ὁμολογίαν τοῦ ἁγίου Ταρασίου πατριάρχου

Κωνσταντινουπόλεως, τὴν λέγουσαν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, διισχυριζόμενοι, ὅτι ἵνα συμφωνήσωσι λέγοντες καθὼς ὁ Ταράσιος. ἀλλ' οἱ Λατῖνοι τὴν διὰ ταύτην καλῶς ἐξηγήσαντο ὡς ἠβούλοντο, λέγοντες, ἡ Διὰ αὕτη ἑτέρα ἐστὶ τῆς Ἐκ, ἢ οὔ; Ἀποκρίνονται οἱ Γραϊκοί· Ἑτέρα ἐστί· Λέγουσιν οἱ Λατῖνοι· Εἰ λοιπὸν ἑτέρα ἐστὶν ἡ ἐνέργεια τῆς Ἐκ, καὶ ἑτέρα ἐστὶν ἡ ἐνέργεια τῆς Διά, ἔσονται κατὰ τὴν ἀπόκρισιν δύο ἐνέργειαι, μία ἡ τοῦ πατρός, καὶ ἄλλη ἡ τοῦ υἱοῦ· ἀλλὰ τοῦτό ἐστιν ἄτοπον· ἀλλὰ τὴν Διὰ οὐδ' ὅλως δεχόμεθα, φοβούμενοι τὸ διὰ σωλῆνος, ἢ δι' ὀργάνου δόγμα· ἀλλὰ λέγομεν, ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ, ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ ἐνεργείας. Τούτων καὶ ἄλλων ὁμοίων λαληθέντων ἐλύθη καὶ αὕτη ἡ μυστικὴ συναγωγή. καὶ πλέον οὐκ ἤθελον οἱ Γραϊκοὶ συνέρχεσθαι, μὴ ἔχοντες ἕτερον ζήτημα. ἀλλ' οἱ Λατῖνοι ἐσπούδασαν, καὶ συνήχθησαν οἱ Γραϊκοὶ τρεῖς συνελεύσεις ὁμοῦ, καὶ ἐποίησαν, ὅτι ἔδωκαν οἱ Λατῖνοι εἰς τὴν Διὰ τοῦ υἱοῦ φωνὴν ἐξήγησιν, λέγοντες οὕτως.

ΟΙ ΛΑΤΙΝΟΙ. Ἐπειδὴ ὑποπτεύουσι οἱ Γραϊκοὶ ἡμᾶς λέγοντας δύο ἀρχὰς καὶ δύο αἰτίας ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, λέγομεν, τοὺς λέγοντας δύο ἀρχὰς ἢ δύο αἰτίας, ἀνάθεμα. ἀλλ' ἡμεῖς μίαν ἀρχὴν ὁμολογοῦμεν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὴν ἐνέργειαν καὶ τὴν προβλητικὴν δύναμιν. καὶ οὐ λέγομεν, ὅτι ἐκπορεύεται κἀκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ὡς ἐξ ἄλλης ἀρχῆς καὶ αἰτίας, οὐδὲ ὡς τὴν ὕπαρξιν ἔχων ὁ υἱὸς τοῦ πνεύματος· μίαν γὰρ γινώσκομεν τὸν πατέρα αἰτίαν καὶ ῥίζαν καὶ πηγὴν τῆς θεότητος. ἀλλ' οὐδὲ λέγομεν ἓν πρόσωπον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, διὰ τὸ λέγειν μίαν ἐνέργειαν· τοῦτο γάρ ἐστιν ἄτοπον· ἀλλὰ λέγομεν δύο ὑποστάσεις, καὶ μίαν ἐνέργειαν, καὶ μίαν προβλητικὴν δύναμιν, καὶ ἓν τὸ προβαλλόμενον ἐκ τῆς οὐσίας καὶ τῆς ὑποστάσεως τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. διὰ τοῦτο καὶ ἐν τῷ ἱερῷ συμβόλῳ ἀνεπτύχθη καὶ ἐσαφηνίσθη, ἵνα μὴ κατὰ μικρὸν οἱ ἀντιλέγοντες, ὅτι αἰτία ὁ υἱὸς τοῦ πνεύματος, πέσωσιν εἰς δόγμα, χρόνον ποιοῦντες ἐν μέσῳ πατρὸς καὶ υἱοῦ. οἱ γὰρ μὴ λέγοντες ὅτι ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, σαφῶς παριστῶσι λοιπόν, ὅτι ἐκ μόνου τοῦ πατρός, καὶ εἰ ἐκ μόνου τοῦ πατρός, ἔστιν ὅτε οὐκ ἦν ὁ υἱός. εἰ δὲ

λέγουσιν, ὅτι ἐκ μόνης τῆς πατρικῆς ὑποστάσεως, χωρίζουσι τὴν οὐσίαν πράγματι τῆς ὑποστάσεως, καὶ εὑρίσκεται κατ' αὐτοὺς ἡ οὐσία εἰς τμήματα, ὅπερ ἐστὶν ἄτοπον· διὸ καὶ ἐτέθη ἐν τῷ ἱερῷ συμβόλῳ, ὡς ἔφημεν.

Ταῦτα τῶν Λατίνων γραψάντων, καὶ τοῖς Γραϊκοῖς στειλάντων, τῇ εἰκοστῇ ἐνάτῃ τοῦ ἀπριλίου μηνὸς, ἡμέρᾳ τετάρτῃ τοῦ παραλυτικοῦ, συνήχθησαν ἐν τῷ οἴκῳ τοῦ βασιλέως οἱ Γραϊκοί. ὁ γὰρ βασιλεὺς ἦν ἀσθενῶν, καὶ ἐποίησαν σύνοδον ἅμα τῷ πατριάρχῃ, καὶ ἐβουλεύθησαν πῶς ἀπολογήσονται τῷ γράμματι. Οἱ μὲν οὖν εἶπον· Ταὐτὸ λέγουσιν οἱ Λατῖνοι αἰεί· οἱ δέ· Οὐδὲ συγκαταβαίνουσιν ἡμῖν οὐδ' ὅλως· ἄλλοι· Αἰτίαν ποιοῦσιν ἐναργῶς τὸν υἱὸν τοῦ ἁγίου πνεύματος· ἄλλοι· Δύο αἰτίας λέγουσι καὶ δύο ἀρχάς· ἕτεροι τάχα οἱ δοκοῦντες ἐννοῶν· Σκέψασθε ἀκριβῶς τὴν γραφήν· Δύο οὖν ἡμερῶν διαγενομένων, πάλιν οἱ Λατῖνοι ἀπέστειλαν πρὸς τοὺς Γραϊκοὺς ἑτέραν γραφὴν περιέχουσαν οὕτως.

ΟΙ ΛΑΤΙΝΟΙ. Ἐπειδὴ οἱ Γραϊκοὶ δύο ἀρχὰς καὶ δύο αἰτίας συκοφαντοῦσιν ἡμᾶς λέγειν ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, λέγομεν ἐγγράφως οὕτω· Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα, καὶ εἰς ἕνα υἱὸν μονογενῆ γεννηθέντα ἐκ τοῦ πατρὸς, καὶ εἰς ἓν πνεῦμα ἅγιον, ἐκ τοῦ πατρὸς μὲν τὴν ὕπαρξιν ἔχον, καθάσπερ καὶ ὁ υἱὸς, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορευόμενον· μίαν γὰρ λέγομεν τὸν πατέρα αἰτίαν υἱοῦ τε καὶ πνεύματος, τοῦ μὲν μετὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν. ἀλλ' ἵνα τὸ ταὐτὸν καὶ ἓν τῆς οὐσίας μὴ διαιρήσωμεν, καὶ τὴν οὐσίαν ἀπὸ τῶν ὑποστάσεων πράγματι μὴ διαφέρειν, ἀλλὰ λόγῳ μόνῳ καὶ ἐπινοίᾳ δοξάσωμεν· καὶ ἵνα μὴ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ὑποπτευθῇ, καὶ ἡ οὐσία τῶν τριῶν μία οὖσα ἐν τρισὶ τμήμασιν ὑπονοηθῇ, τὴν Ἐκ τοῦ υἱοῦ φωνὴν ἐν τῷ συμβόλῳ ὁμολογοῦμεν. διὸ καὶ λέγομεν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ὡς ἀπὸ μιᾶς ἀρχῆς. Τούτων οὕτω γραφέντων καὶ τοῖς Γραϊκοῖς σταλέντων, συνήχθησαν οἱ ἀρχιερεῖς, καὶ ἐσκέπτοντο σὺν τῷ πατριάρχῃ ἡμέρας δύο, καὶ μόλις ἔγραψαν ἀπολογίαν καὶ αὐτοί· οὐδὲ γὰρ ὅλως ἤθελον ἀκοῦσαι αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος. ἔγραψαν δ' οὖν ὅμως καὶ αὐτοὶ οὕτως.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἐπειδὴ οἱ Λατῖνοι ὁμολογοῦσι μίαν ἀρχὴν τὸν

πατέρα υἱοῦ τε καὶ πνεύματος, ζητοῦσι δὲ παρ' ἡμῶν εἰπεῖν τὸ φρόνημα ἡμῶν, λέγομεν καὶ ἡμεῖς, ὅτι ὁμολογοῦμεν πηγὴν καὶ ῥίζαν υἱοῦ τε καὶ πνεύματος τὸν πατέρα, καὶ ἄνθη θεόφυτα τὸν υἱὸν καὶ τὸ πνεῦμα τοῦ πατρὸς, κατὰ τὸν ἅγιον Κύριλλον, καὶ τὴν πρώτην σύνοδον, καὶ τὸν μέγαν Βασίλειον, καὶ λέγομεν, ὅτι ἀναβλύζει ὁ υἱὸς τὸ πνεῦμα, πηγάζει, προχεῖ, καὶ τὸ πνεῦμα τὸ ἅγιον πρόεισι καὶ ἐκ τοῦ υἱοῦ, καὶ ἐνίεται, καὶ προχεῖται. Ταῦτα καὶ αὐτοὶ γράψαντες ἀπέστειλαν πρὸς τοὺς Λατίνους, φυλάσσοντες πάντοτε τὰς εἰς αὐτὰ ἐξηγήσεις, καθὼς ἐθελήσωσιν.

ΟΙ ΛΑΤΙΝΟΙ. Οἱ Λατῖνοι οὖν τοῦτο ἰδόντες, οὐκ ἠρκέσθησαν ἐπὶ τῷ γράμματι· ἀλλὰ λαβόντες αὐτὸ, τὴν ἐξήγησιν ἐζήτουν παρὰ τῶν Γραικῶν, λέγοντες, τὸ ἀναβλύζειν γέγραπται ἐν τοῖς πρακτικοῖς τῆς πρώτης συνόδου, τὸ πηγάζειν δὲ γέγραπται ἐν τοῖς συγγράμμασι τῶν ἁγίων, ὁμοίως καὶ τὸ προχεῖσθαι· τὸ πῶς δὲ ἐκλαμβάνετε ὑμεῖς ταῦτα, θέλομεν ὑμᾶς ὁμολογῆσαι. ἐπειδὴ ἀκούομεν, ταῦτα δευτέρας τινὸς προόδου εἶναι καὶ λέγεσθαι χρονικῆς. ἡμεῖς δὲ μίαν μόνην πρόοδον ὁμολογοῦμεν λέγειν τοὺς πατέρας τοὺς ἁγίους ἐν τῇ τοῦ ἁγίου πνεύματος προβολῇ. ταύτην δὲ τὴν ἔκχυσιν τὴν ἀπὸ τοῦ υἱοῦ οὐ δευτέραν, ἀλλ' ἄλλην χρονικὴν λέγομεν, καὶ τὴν πρὸς ἡμᾶς, ἣν ἔχει ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. αἰτοῦμεν οὖν ὑμᾶς εἰπεῖν εἰς ταύτην τὴν ἄχρονον προβολὴν, ἢ αἰτίαν τὸν υἱὸν τοῦ ἁγίου πνεύματος πιστεύομεν. πῶς γὰρ ἀναβλύζει τὸ ἐνυπόστατον πανάγιον πνεῦμα παρὰ τοῦ υἱοῦ, μὴ ἔχον τὸ εἶναι παρ' αὐτοῦ; ἀλλὰ καὶ πῶς προχεῖται παρ' αὐτοῦ, καθώσπερ ἀπὸ τοῦ θεοῦ καὶ πατρὸς, κατὰ τὸν μέγαν Κύριλλον, μὴ ἔχον αἰτίαν ἀπὸ τοῦ υἱοῦ; διὸ ἡ μὲν ἔννοια ἡ αὐτή ἐστι τῇ ὑμετέρᾳ φασὶν, ἡ δὲ λέξις τῶν γεγραμμένων ἔχει ἔμφασιν. ὅπως μὴ πάλιν δευτέραν πρόοδον εἴπητε ἐπὶ τῆς ἁπλῆς καὶ ἀσυνθέτου θεότητος.

ΟΙ ΓΡΑΙΚΟΙ. Ταῦτα μηνυσάντων τῶν Λατίνων ἡμῖν, ἡμεῖς ἠρξάμεθα γογγύζειν, καὶ τέλος τῷ πράγματι ἐπιθεῖναι, λέγοντες· Ὅσον ἐποιήσαμεν, ὑπῆρχε μέγα καὶ πολὺ, ἀλλὰ καὶ παρὰ γνώμην τῶν τοποτηρητῶν ἡμῶν καὶ τῶν τριῶν. ὁ γὰρ Ἡρακλείας καὶ ὁ Ἐφέσου, καὶ ὁ Μονεμβασίας, καὶ ὁ Ἀγχιάλου οὐκ ἔδωκαν γνώμας ἐν τῷ σταλέντι τῆς ὁμολογίας γράμματι· ἀλλὰ καὶ ἀπὸ τῶν κληρικῶν, ὁ μέγας χαρτοφύλαξ, καὶ ὁ πρωτέκδικος. λοιπὸν εἴπομεν, ἄλλο οὐ

δυνάμεθα ποιῆσαι. ἡμεῖς δι' ἴδιον ὁμολογίας ἐγράψαμεν καὶ ἐστείλαμεν· τί ἔτι ἔχομεν; Καὶ οὕτως ἠρξάμεθα σπουδάζειν ἐπιστρέψαι· καὶ συναχθέντες ἀνεφέρομεν πάντα τῷ πατριάρχῃ ἡμῶν, λέγοντες· Ἵνα τί καθεζόμεθα τόσον καιρὸν ἀργοί; γενέσθω συμπέρασμα. προσθέντες, ὅτι εἰ οὐ γίνεται τέλος συντομώτερον, ἡμεῖς οὐ δυνάμεθα καθέζεσθαι πλέον. καὶ γενέσθω τρόπος τοῦ ἀπελθεῖν. Ταῦτα μηνύσαντες τῷ βασιλεῖ, οὐκ ἔδοξεν εἶναι ταῦτα μακροθύμων ἀνδρῶν· ἀλλ' ὥρισεν, ὅτι ἡ ῥαθυμία ὑμῶν πολλὰ κακὰ προεξένησε τῷ πράγματι. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Φοβούμεθα, γαληνότατε κύριε βασιλεῦ, μή πως ποιήσωμεν τὸ θέρος ὅλον ὧδε, καὶ τὸ φθινόπωρον, καὶ τὸν χειμῶνα ἀπερχόμενοι κινδυνεύσωμεν. Ἀλλ' ὁ βασιλεύς· Καὶ τίς ἐστιν ὁ ὑπολαμβάνων τοῦτον τὸν σκοπόν; ἐγὼ γὰρ σπεύδω, εἰ δυνατὸν καὶ σήμερον γενέσθαι τὸ συμπέρασμα, ἀλλ' ἀσθενῶ· καὶ ὁ ἀσθενῶν τί ἔχει ποιῆσαι; ὅμως ἀναμείνατε ἕως τῆς τετάρτης· ἦν γὰρ ἡ τοῦ τυφλοῦ κυριακή· καὶ τῇ τετάρτῃ μέλλω ἀπελθεῖν εἰς τὸν πάπαν, καὶ εἴ τι χορηγήσει ὁ Θεός.

Μετὰ ταῦτα γίνεται ὁ βασιλεὺς ὑγιὴς, καὶ τῇ τετάρτῃ, ἤγουν τῇ παραμονῇ τῆς ἀναλήψεως, ἐν μαΐῳ εἰς τὰς δεκατρεῖς, ἀπῆλθεν εἰς τὸν πάπαν, καὶ οὐκ ἐποίησε δὲ τέλος οὐδὲ ἕν, ἀλλὰ τοὺς λόγους ὁ πάπας τοῦ βασιλέως λαβὼν, βουλευθῆναι ἀπελογήσατο, καὶ τῇ παρασκευῇ ἀποκριθῆναι αὐτῷ ἔφη. Τῆς παρασκευῆς τοίνυν ἐλθούσης, ἥτις ἦν πεντεκαιδεκάτη τοῦ μαΐου μηνὸς, ἀπῆλθε καὶ πάλιν ὁ βασιλεὺς ἐν τῷ παλατίῳ τοῦ πάπα, κατὰ τὸ ἐπηγγελμένον αὐτῷ. καὶ τὸν λόγον ἀναλαβὼν ὁ καρδινάλιος Ἰουλιανὸς, ὡς ἀπὸ προσώπου τοῦ πάπα, ἔφη τῷ βασιλεῖ οὕτως.

Ὁ ΠΑΠΑ. Ἡμεῖς γαληνότατε υἱὲ, καὶ μίαν καὶ πολλάκις ἐζητήσαμεν γενέσθαι τὰς διαλέξεις, ἵνα ζητηθῇ καὶ εὑρεθῇ ἡ ἀλήθεια, καὶ οὐκ ἠθελήσατε. ἐστείλαμεν ἔγγραφον ὁμολογίαν πίστεως, καὶ οὐκ ἠρκέσθητε, ἐγράψατε ὑμεῖς, καὶ ἐστείλατε ἡμῖν δόγματα καὶ ῥητὰ τῶν ἁγίων καὶ διδασκάλων τῆς ἐκκλησίας· καὶ ἐρωτῶμεν ὑμᾶς δοῦναι τὴν αὐτῶν ἐξήγησιν, καὶ οὐ θέλετε ἐξηγηθῆναι. ἡμεῖς πλέον τι οὐκ ἔχομεν εἰπεῖν. Ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν αὐτῷ.

Ὁ ΒΑΣΙΛ. Ἐγὼ οὐκ εἰμὶ αὐθέντης τῆς συνόδου, οὐδὲ τυραννικῶς θέλω ἑνωθῆναι ἡμᾶς. ἀλλ' ἡ σύνοδος ἡ ἡμετέρα οἰκειοθελῶς συγκατέβη, καὶ ἔστειλε τὴν ὁμολογίαν ταύτην, ἣν λέγετε ἵνα ἐξη-

γηθῶσι. καὶ ἔστιν ἀρκετὴ, καὶ οὐ δέεται ἐξηγήσεως. ἐπεὶ τὸ ἀναβλύζειν, τὸ προχεῖσθαι, τὸ πηγάζειν, αἰτίαν διδόασι τῷ υἱῷ, εἰ καὶ οὐ λέγουσι καθαρῶς οἱ ἡμέτεροι διὰ τὴν ἀμαθίαν τῶν ἰδιωτῶν. τί δὲ ἄλλο θέλετε, ἀγνοῶ. αἰτίαν ὁμολογεῖτε τοῦ πνεύματος τὸν υἱὸν, οὐδὲν ἀντιλέγομεν, ἀλλὰ μετὰ τῶν ῥητῶν τούτων ἑνούμεθα ὑμῖν· καὶ ἐπειδὴ ἑνούμεθα, οὐκ ἀντιλέγομεν. Ὁ δὲ Ἰουλιανὸς ἀποκρινόμενος ἔφη.

ἸΟΥΛ. ΚΑΡΔ. Ἀλλὰ τὸ πηγάζειν, τὸ ἀναβλύζειν, τὸ προχεῖσθαι, οἱ ὑμέτεροι δευτέρᾳ προόδῳ τοῦτο διδόασι, δηλονότι τῇ χρονικῇ· ἡμεῖς δὲ θέλομεν ἐξήγησιν κατὰ τὸν νοῦν τῶν ἁγίων τῶν λεγόντων τὰ ῥητὰ τὴν ὑπαρκτικὴν αἰτίαν διδόντες τῷ υἱῷ σὺν τῷ πατρί. τὸ γὰρ λέγειν τὸν μέγαν Κύριλλον· Οὕτω προχεῖται καὶ ἐκ τοῦ υἱοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, οὐκ ἔστιν ἕτερον, εἰ μὴ ἐκπορεύεται κἀκ τοῦ υἱοῦ, καθώσπερ καὶ ἐκ τοῦ πατρός. καὶ τὸ ἀναβλύζει, καὶ τὸ πηγάζει, ὥσπερ ὁ πατὴρ, οὕτω καὶ ὁ υἱὸς, ταὐτόν ἐστι. Τούτων καὶ ἄλλων ὁμοίων λαληθέντων, ἦλθεν ὁ βασιλεὺς, καὶ ἐμηνύθημεν οἱ ἀρχιερεῖς, ἵνα ἀπέλθωμεν ἐν τῷ τοῦ πατριάρχου οἴκῳ, ἦν γὰρ ἀσθενὴς, ὅπως ἐλθὼν ὁ βασιλεὺς ὁρίσῃ ἡμῖν, τί διεπράξατο μετὰ τοῦ πάπα.

Τῇ οὖν δεκάτῃ, καὶ ἑβδόμῃ τοῦ μαΐου μηνὸς, τῇ κυριακῇ τῶν ἁγίων πατέρων, συνήλθομεν οἱ ἀρχιερεῖς ἐν τῷ πατριάρχῃ, ἐλπίζοντες ἐλθεῖν ἐκεῖσε καὶ τὸν βασιλέα· ὁ δὲ βασιλεὺς οὐκ ἦλθεν, ἀλλ' ἐμήνυσεν ἡμῖν, ὅτι καρδιναλίους μέλλει ἰδεῖν ἀπὸ τοῦ γεύματος. συναχθέντων δὲ ἡμῶν μετὰ τοῦ πατριάρχου ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ πολλῶν λόγων κινηθέντων, καὶ μὴ δυναμένων τὴν πλημμέλειαν, πάντων εἰπόντων, ὁ πατριάρχης κατὰ τὴν συνήθειαν αὐτοῦ μετὰ οἰκονομίας καὶ προσοχῆς πολλῆς ἡμῖν ἀπεκρίνατο.

Ὁ ΠΑΤΡΙΑΡΚΗΣ. Ὅτι ὁ αὐτοκράτωρ καὶ ἅγιος ἡμῶν βασιλεὺς εἰς τὸν πάπαν τῇ παρελθούσῃ τετάρτῃ ἀπελθὼν πολλὰ καὶ μεγάλα ῥήματα εἶπεν αὐτῷ, καὶ μάλιστα τίνι λόγῳ οὐ δέχονται τὰ προβλήματα ἡμῶν. καὶ ὁ πάπας ἠξίωσεν αὐτὸν, ἵνα τῇ παρασκευῇ παραγένηται, διὰ τὸ μὴ εἶναι βεβουλευμένος ἀπολογηθῆναι· τῇ παρασκευῇ δὲ πάλιν ἀπῆλθεν ὁ βασιλεὺς, καὶ πάλιν εἶπε λαμπρῶς καὶ φιλοσόφως πολλά· ἀλλ' οἱ Λατῖνοι ἐξήγησιν ζητοῦσι τοῦ προβληθέντος παρ' ἡμῶν γράμματος, πῶς ἐννοοῦμεν τὸ ἀναβλύζειν,

τὸ πηγάζειν, τὸ προχεῖσθαι. ταῦτα εἰπόντος τοῦ πατριάρχου, ἡμεῖς ἐζητοῦμεν, καὶ πῶς θέλομεν ζῆν, ἕως ὅτου ἐξετάζωνται ταῦτα; Καὶ ὁ πατριάρχης ἀπεκρίνατο, ὅτι ὁ βασιλεὺς μέλλει ἐλθεῖν πρὸς ἡμᾶς τάχιον, ὅπως ποιήσῃ τὸ ἱκανόν. Τούτων λαληθέντων ἀπήλθομεν.

Ὁ ΒΑΣΙΛ. Τῇ δὲ εἰκοστῇ πρώτῃ τοῦ μαΐου μηνὸς, ἡμέρᾳ πέμπτῃ, ἀπέστειλεν ὁ βασιλεὺς πρὸς τὸν πάπαν ζητῶν τέλος τοῦ πράγματος.

Ὁ ΠΑΠΑ. Ἔστειλεν οὖν ὁ πάπας πρὸς αὐτὸν καρδιναλίους τρεῖς, τὸν καμεράριον, τὸν Ἰουλιανὸν, καὶ τὸν Φιρμάνον, λέγων καὶ ζητῶν ἐξηγηθῆναι τὰ δόγματα, ἃ ἔστειλαν ἐγγράφως, καὶ μάλιστα τὴν Διὰ διαιρῶν αὐτὴν εἰς τέσσαρα, ἢ δι' ὀργάνου ὡς διὰ τοῦ πρίονος, ἢ διὰ τῆς ὕλης ὡς ὁ οἶκος, ἢ διὰ σωλῆνος ὡς τὸ ὕδωρ, ἢ φυσικῶς καὶ οὐσιωδῶς ὡς ὁ υἱὸς τὸ πνεῦμα τὸ ἅγιον. Ἀπεκρίθη ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς ἄλλο οὐδὲν γράφομεν, οὐδὲ λέγομεν, εἰ μὴ ὅτι ἐὰν δέχησθε ὅσον ἐδώκαμεν, ἑνωθησόμεθα· εἰ δὲ μὴ, ἀπελευσόμεθα. Πολλῶν οὖν λόγων λαληθέντων οὐδὲν ἐγένετο. καὶ πάλιν τῇ ἐπαύριον ἦλθον οἱ καρδινάλιοι, καὶ πάλιν τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν εἰπόντες οὐδὲν ἔπραξαν. Τῆς κυριακῆς τοίνυν ἐλθούσης τῆς ἐνδόξου πεντηκοστῆς, ἐμηνύθη ὁ βασιλεὺς ἀπελθεῖν εἰς τὸν πάπαν. απῆλθε δὲ μετὰ τὸν ἑσπερινὸν καὶ τὴν γονυκλισίαν. καὶ καθίσαντες αὐτοῦ μετὰ τοῦ πάπα, εἶπεν ὁ πάπας αὐτῷ.

Ὁ ΠΑΠΑΣ. Τὴν σπουδὴν τῆς βασιλείας σου θεωρῶν ἀεὶ, τὴν πρὸς τὸ θεῖον ἔργον τοῦτο τῆς ἑνώσεως, λίαν εὐφραινόμην ἐγώ τε καὶ οἱ μετ' ἐμοῦ, καὶ τὰς ἐξόδους εἰς οὐδὲν ἐλογιζόμεθα. νῦν δὲ τὴν ῥᾳθυμίαν τοῦ πράγματος βλέποντες λυπούμεθα ὡς τὰ πολλὰ καὶ θαυμάζομεν τὴν τοσαύτην μεταβολήν. καὶ εἰ μὲν εἴχετε αἰτίαν τινὰ εἰπεῖν εὔλογον, εἶχε θεραπείαν τὸ πρᾶγμά τινα· ἀλλὰ χωρίς τινος εὐλόγου αἰτίας πλημμελεῖν, καὶ ἀπαγορεύειν τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, δοκεῖ μέγα, καὶ ἄλλο παρ' ὃ ἠλπίζομεν· καὶ ῥίπτοντες τὰ χρήματα ἡμῶν, τί τῶν δεόντων οὐκ ἐποιήσαμεν; τί ἀδύνατον λέγομεν, καὶ οὐκ ἀπεκρίνασθε; λέγομεν ἢ δέξασθε τὴν παρ' ἡμῶν σταλεῖσαν ὁμολογίαν τῆς πίστεως, ἢ ἐξηγήσασθε τὴν παρ' ὑμῶν πεμφθεῖσαν ἡμῖν, καὶ οὕτως ἑνωθησόμεθα. τί ἐστι τὸ

ἐμπόδιον; ταῦτα καὶ ἄλλα τούτοις ὅμοια εἰπόντος τοῦ πάπα τῷ βασιλεῖ, ἀπεκρίθη ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ὅσα ὥρισεν ἡ ἁγιωσύνη σου, δίκαιά εἰσι καὶ εὔλογα καὶ λίαν ὀρθά. ὀφείλομεν ποιῆσαι καθαρὰν τὴν γραφὴν ἡμῶν, ἀλλ᾽ οὐκ εἰσὶ πάντες οἱ τῆς ἀνατολικῆς ἐκκλησίας μιᾶς γνώμης, ἵνα δώσωμεν τοῦτο. οἱ πλείους γὰρ αὐτῶν ἀμφιβάλλουσιν εἰς τὸ παρ᾽ ὑμῶν ζητηθὲν, ἢ ἀγνοοῦντες τὰ λεγόμενα, ἢ καὶ μὴ δυνάμενοι τὴν πάτριον δόξαν ἀποβάλλειν εὐθύς· οὕτω γὰρ ἐδόξαζον οἱ πατέρες ἡμῶν αἰτίας ὑπαρκτικὰς δύο λέγειν τοὺς Λατίνους τοῦ ἁγίου πνεύματος· διὸ καὶ οὐ δέχονται πάντες ῥᾳδίως τὴν ἕνωσιν ταύτην διὰ τὴν φωνὴν τὴν Ἐκ τοῦ υἱοῦ. ἐξ ἀνάγκης οὖν ὅσον εὑρίσκομεν παρ᾽ αὐτῶν, τοῦτο καὶ ποιοῦμεν. ἐγὼ γὰρ οὐκ εἰμὶ αὐθέντης τῆς συνόδου, ἀλλ᾽ οὐδὲ τυραννικῶς βούλομαι ποιῆσαι τὴν σύνοδόν μου εἰπεῖν τι. λοιπὸν οὐ δύναμαι βοηθῆσαι εἰς τὰ ῥήματα, ἃ εἶπεν ἡ ἁγιωσύνη σου. Πρὸς ταῦτα ἀπεκρίθη ὁ πάπας τῷ βασιλεῖ.

Ὁ ΠΑΠΑΣ. Καὶ παραχώρησον τὴν σύνοδόν σου ἀποκριθῆναι ἡμῖν λοιπόν. οὐδέν ἐστι τὸ κωλύον ὑμᾶς· ἔστι γὰρ καλὸν καὶ εὐαπόδεκτον ἐμοί τε καὶ σοὶ τῷ βασιλεῖ. Τούτων λαληθέντων καὶ μηνυθέντων ἡμῖν, ἀνέστημεν, καὶ ἀπήλθομεν πρὸς τὸν πάπαν. Προκαθίσαντος οὖν τοῦ πάπα σὺν τοῖς καρδιναλίοις αὐτοῦ· ὑπῆρχον γὰρ ἐννέα τὸν ἀριθμόν· ὁ Βονωνίας, ὁ Πλακεντίας, ὁ Βενετίας ὁ καὶ καμεράριος, ὁ τοῦ ἁγίου σταυροῦ, ὁ τοῦ ἁγίου Μάρκου, ὁ τῆς ἁγίας Σαβίνης, ὁ Φλωρεντίας, ὁ Κολώννας, καὶ ὁ Φιρμάνος· καὶ καθισάντων πολλῶν ἀπὸ μέρους τῶν ἀρχιεπισκόπων καὶ ἡμῶν, τοῦ βασιλέως μὴ παρόντος ἐκεῖ μηδὲ τοῦ πατριάρχου· ἐδημηγόρησεν ὁ πάπας διὰ τοῦ ἑρμηνέως, ἤγουν τοῦ μεταγλωττιστοῦ, καὶ εἶπεν ἡμῖν.

Ὁ ΠΑΠΑΣ. Ἐγὼ ἀδελφοὶ τῆς ἀνατολικῆς ἐκκλησίας λογάδες, οὐ κατά τινα τρόπον σωματικὸν, οὐδὲ διά τινα ὑπόθεσιν τοῦ παρόντος βίου ἐπεχειρησάμην τὸ θεῖον ἔργον τοῦτο τῆς ἑνώσεως τῶν ἐκκλησιῶν, ἀλλὰ τῷ ζήλῳ πυρωθεὶς τοῦ ἁγίου πνεύματος, τὸν κόπον ἀνελαβόμην τοῦτον τὸν μέγιστον· ἐπίστασθε γὰρ ἀκριβῶς τὸν ἀγῶνα, ὃν ἠγωνισάμην ἀπ᾽ ἀρχῆς ἕως τέλους περὶ τούτου. ἤλπιζον δὲ, ὅτι καὶ ὑμεῖς τὸν αὐτὸν ἀγῶνα ἔχετε. ἰδὼν γὰρ τὴν προθυμίαν ὑμῶν, ὅτι

ἐῤῥιψοκινδυνεύσατε ἑαυτούς, καὶ ἐκοπιάσατε διὰ γῆς καὶ θαλάττης, σπουδάζοντες ἑνῶσαι τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἔτρεφον μεγάλας ἐλπίδας, νῦν οὖν τὴν πλημμέλειαν ὑμῶν θεωρῶν, θαυμάζω τίνι λόγῳ γίνεται. οἰκτείρω γὰρ ὑμᾶς, μεμνημένος τὴν ὑστέρησιν τῆς πατρίδος, τὴν ἀπουσίαν τῶν οἰκείων καὶ τὴν βλάβην τῶν ἐκκλησιῶν. τί γὰρ χρηστὸν γίνεται πλημμελούντων ὑμῶν; ἢ τί ὠφελήσομεν μὴ ἑνοῦντες τὴν ἐκκλησίαν τοῦ Θεοῦ; ἐγὼ γὰρ ἀφ' ἧς ὥρας ἤλθετε ὧδε, πολλὴν σπουδὴν ἐποιούμην εἰς τὸ ἀρχὴν ποιῆσαι τῶν διαλέξεων, καὶ μετὰ τὸ ἀνακηρυχθῆναι τὴν οἰκουμενικὴν σύνοδον, καὶ πολλὰ ἠνάγκαζον τὴν ἐξέτασιν τῶν δογμάτων. ἀλλ' ὑμεῖς, οὐκ οἶδα, πῶς ἀναβάλλεσθε ἀεί. καὶ ἐποιήσαμεν ἐν τῇ Φεῤῥαρίᾳ σχεδὸν ἔτος, καὶ οὐδὲν ἐγίνοντο διαλέξεις δεκαπέντε. καὶ ἐγὼ μακροθύμως ἐδεχόμην πάντα, ἀποβλέπων εἰς τὸ ἅγιον τέλος τῆς ἑνώσεως, ἀλλὰ καὶ ὅσα ἐζητήσατε, ἐποίησα ὑμῖν φιλοτίμως, ἐλπίδα ἔχων ἑνώσεως. κοινῇ δὲ γνώμῃ ἤλθομεν εἰς Φλωρεντίαν, καὶ οὐδέποτε ἐπαυσάμην διεγείρειν ὑμᾶς τοῦ διαλέγεσθαι, πῇ μὲν ὀνειδίζων, πῇ δὲ ἐνθυμίζων τὰς συμφωνίας ἡμῶν, ὁποίας ἐποιήσαμεν ἐν Φεῤῥαρίᾳ, λέγοντες, πῶς ἔχομεν ὁμοφωνίαν διαλέγεσθαι ἀπαραιτήτως τρὶς τῆς ἑβδομάδος· καὶ ἐὰν ἀσθενῇ ὁ γαληνότατος βασιλεύς, ἢ ὁ πάπας, ἢ ὁ ἁγιώτατος πατριάρχης, ἢ τῶν διαλεγομένων τις, μὴ ἀργεῖν ποτε τὴν διάλεξιν· ἀλλὰ καὶ περιστατικόν τι ἐὰν συμβῇ, ἢ ἑορτή, τῇ ἐπιούσῃ ἡμέρᾳ συνάγεσθαι καὶ διαλέγεσθαι, καὶ κατ' οὐδένα τρόπον μὴ ἀργεῖν καὶ πλημμελεῖν. ὑμεῖς δέ, οὐκ οἶδα ἐὰν συνήλθετε ἐν Φλωρεντίᾳ συνελεύσεις ὀκτὼ ἢ ἐννέα, καὶ πλέον οὐκ ἠθελήσατε· ἀλλ' εἴπατε, ἵνα συνέλθωμεν ἰδίως καὶ εὕρωμεν τρόπον τῆς ἑνώσεως. καὶ ἡμεῖς συνεκατέβημεν καὶ ἐν τούτῳ. καὶ ἐγένετο καὶ ἐν αὐτῷ πλημμέλεια. εἴπατε ἵνα δώσωμεν ἐγγράφως τὴν πίστιν ἡμῶν, πρᾶγμα ἀνοίκειον τῇ ἐκκλησίᾳ τῆς Ῥώμης ἀεί. ἐπίστασθε γὰρ ἀκριβῶς, πόσην τιμὴν ἐδίδουν οἱ ἀνατολικοὶ τῇ ἐκκλησίᾳ τῆς Ῥώμης ἀεί, καὶ πόσην ὑποταγήν. ἡμεῖς δὲ συνεκατέβημεν καὶ ἐν τούτῳ, ἐγράψαμεν γὰρ καὶ ἀπεστείλαμεν· ἀλλὰ καὶ ἐπλημμέλησε καὶ ἐν τούτῳ καιρός. ἐστείλατε ὑμεῖς γραμμάτιον δυσάγωγον τῆς πίστεως, καὶ ἐρωτῶμεν ὑμᾶς ἐξηγηθῆναι αὐτὸ καὶ οὐ θέλετε· καὶ τί ἔχω λέγειν; θεωρῶ μὲν κατὰ πάντα τὴν διαίρεσιν πρὸ ὀφθαλμῶν, καὶ θαυμάζω εἰς τί ὠφελήσει ἡ διαίρεσις

ὑμᾶς. ὅμως εἰ τοῦτο γενήσεται, πῶς μέλλουσι δεχθῆναι τοῦτο οἱ αὐθέντες οἱ δυτικοί; καὶ ἡμεῖς πόσην λύπην μέλλομεν ἔχειν ἐν ἑαυτοῖς; μᾶλλον ὑμεῖς πῶς μέλλετε ἀπελθεῖν ἐν τῇ πατρίδι ὑμῶν; τῆς ἑνώσεως δὲ γενομένης, καὶ οἱ ῥηγάδες οἱ δυτικοὶ, καὶ ἡμεῖς πάντες μεγάλην ἡδονὴν θέλομεν ἕξει, καὶ μεγάλως θέλομεν βοηθήσειν ὑμῖν· καὶ ἡ βοήθεια ἡμῶν πολὺν κουφισμὸν μέλλει ποιῆσαι τοῖς Χριστιανοῖς, τοῖς οἰκοῦσιν ἐν τῇ ἀνατολῇ, καὶ τοῖς κατεχομένοις παρὰ τῶν ἀσεβῶν. λοιπὸν παρακαλῶ ὑμᾶς, ἀδελφοὶ, διὰ τὴν ἐντολὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μὴ γενέσθω ἡ διαίρεσις αὕτη εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἀλλὰ σπουδάσατε, διεγέρθητε, δῶμεν δόξαν τῷ θεῷ ὁμοῦ. ἡ ἕνωσις ἡμῶν πολλὴν ὠφέλειαν προξενεῖ τῇ ψυχῇ. ἡ ἕνωσις ἡμῶν πολλὴν τιμὴν φέρει τῷ σώματι· τὴν ἕνωσιν ἡμῶν οἱ ἐνσώματοι καὶ ἀσώματοι ἐχθροὶ φοβηθήσονται· τὴν ἕνωσιν ἡμῶν οἱ ἅγιοι ἄγγελοι εὐφρανθήσονται, χαρὰ μεγάλη γενήσεται ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Τούτων καὶ ἑτέρων ὁμοίων ῥηθέντων ἀπὸ τοῦ ἁγιωτάτου πάπα, ἀπεκρίθησαν οἱ ἀνατολικοὶ διὰ τοῦ Ῥωσίας οὕτως.

ΟΙ ΓΡΑΙΚΟΙ. Ὅσα ὥρισεν ἡ μακαριότης σου, πάντα εἰσὶν ἅγιά τε καὶ δίκαια· ἀλλὰ τὰ μεγάλα πράγματα μεγάλας ἔχουσι καὶ τὰς πλημμελείας. ἡμεῖς γὰρ εἰ καὶ μακρὸν χρόνον ἔχομεν καθὼς ὁρίζεις, ἀλλ᾽ οὐδέποτε εἰρηνεύομεν, ζητοῦντες τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, ποτὲ μὲν μετὰ διαλέξεων, ποτὲ δὲ καὶ ἰδίως, ποτὲ δὲ καὶ ἐν τῇ ἡμῶν συνόδῳ, ποτὲ δὲ καὶ μετὰ τοῦ βασιλέως ἡμῶν, καὶ οὐδέποτε εἰρηνεύομεν. εἰ δὲ γίνεται πλημμέλεια, θαυμαστὸν οὐδέν· ἐπεὶ ἀφ᾽ ὅτου ἤρξατο τὸ θεῖον ἔργον τοῦτο, τέσσαρα ἔτη εἰσὶ, καὶ γίνεται τοῦτο μετὰ σπουδῆς. ἀλλὰ τὰ τοιαῦτα, καθὼς ἀναφέρομεν, πλημμελείας δέονται καὶ σκέψεων οὐ μικρῶν.

Ταῦτά τε καὶ ἄλλα ὅμοια εἰπόντες ἐξῆλθον τοῦ παλατίου· ἡμέρα δὲ ἦν τετάρτη τῆς πεντηκοστῆς. ἀπελθόντες οὖν εἰς τὸν πατριάρχην ἡμῶν ἐξηγήσαντο ταῦτα. ὁ δὲ ὥρισεν, ἵνα ἀπέλθωσιν εἰς τὸν βασιλέα, ὁ Ῥωσίας, ὁ Νικαίας, ὁ Λακεδαιμονίας καὶ ὁ Μιτυλήνης. καὶ δὴ ἀπελθόντες οὐ μόνον τὰ τοῦ πάπα ἀνέφερον αὐτῷ, ἀλλὰ καὶ πολλὰ τοῦτον ἠνάγκασαν περὶ τῆς ἑνώσεως, μετὰ τῶν ἄλλων καὶ τοῦτο εἰπόντες αὐτῷ, ὅτι ἐὰν ἡ βασιλεία σου οὐ θέλει ἑνωθῆναι, ἡμεῖς ἑνούμεθα. Ταῦτα ἀκούσας ὁ βασιλεὺς, ἐδειλίασε τὴν στάσιν αὐτῶν· καὶ δὴ ἤρξατο τὴν ὁρμὴν τῆς ἑνώσεως, καὶ ὥρισεν εἰς τὴν αὔριον συναχθῆναι τὴν σύνοδον αὐτῶν.

Τῆς πέμπτης οὖν τῆς πεντηκοστῆς ἐλθούσης, συνήχθησαν ἐν τῷ οἴκῳ τοῦ πατριάρχου ἅμα τῷ βασιλεῖ, καὶ εἶπεν ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς ὦ δεσπόται ἀρχιερεῖς, οὐ δι' ἄλλο τι ἐξενιτεύθημεν, καὶ ἤλθομεν ἐν ταύτῃ τῇ γῇ, εἰ μὴ διὰ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν· καὶ οὐ δι' ἄλλο τι πλημμελοῦμεν ὧδε, εἰ μὴ διὰ τὴν προτίμησιν τῆς ἐκκλησίας ἡμῶν. καὶ ἰδοὺ ἔχομεν εἰς τὴν Ἰταλίαν μῆνας δεκαπέντε, καὶ τίποτε προτίμησιν οὐδὲν ἐλάβομεν· ἀλλ' ἀεὶ καὶ ὑστερούμεθα τῶν οἴκων ἡμῶν, καὶ μέλλομεν πλημμελεῖν. διὸ ἡ διάζευξις ἡμῶν ἐστιν ὀλεθρία, εἰς οὐδὲν γὰρ ὠφελεῖ. ἡ ἕνωσις ἡμῶν ἐστι μὲν καλὴ, πλὴν μετὰ εὐσεβείας τῆς ἡμετέρας. εἰσὶ γὰρ ἐνταῦθα δύο ἄκρα κακὰ, καὶ δύο ὄλεθροι ἐπικίνδυνοι· ἐὰν μὴ ἑνωθῶμεν ὀρθῶς, καὶ ἐὰν μὴ διαιρεθῶμεν δικαίως. λοιπὸν σκεψάσθω ἡ ἁγιωσύνη ὑμῶν τὸ κρεῖττον καὶ τὸ συμφέρον ἡμῖν, καὶ τὴν ὀλέθριον ταύτην διαίρεσιν. ἐνθυμήθητε καὶ τὴν βοήθειαν τοῦ οἴκου ἡμῶν, τὴν καταφυγὴν τῶν Χριστιανῶν, τὴν ἐλπίδα τῆς πίστεως, τὴν κοινὴν σωτηρίαν, τὴν Κωνσταντινούπολιν λέγω· καὶ ἐν τούτῳ δότε βουλὴν ἀγαθήν· δότε γνώμας μήτε βλαπτούσας κατὰ ψυχὴν, μήτε βλαπτούσας κατὰ σῶμα. ἡ ἕνωσις ἡμῶν, ἤτοι τῶν ἐκκλησιῶν, ἐστὶ μὲν καλὴ, πλὴν εὐσεβῶς καὶ ἀπροκριματίστως. ἡ διαίρεσις δέ ἐστι μὲν ὀλεθρία, ἀλλὰ τῆς ψυχῆς ὁ κίνδυνος κούφην ταύτην ποιεῖ. πλὴν προσέχετε, μήπως ἀναμάρτητος οὖσα ἡ ἕνωσις λάθῃ ἡμᾶς, καὶ ἀποτευξώμεθα τοῦ ἀγαθοῦ, ἡ γὰρ διαίρεσις τῶν ἐκκλησιῶν φρικτή ἐστί τε καὶ λέγεται. καὶ ὁ ἐμποδίζων τὴν εὐσεβῆ ταύτην ἕνωσιν πλέον τοῦ Ἰούδα τοῦ προδότου κατακριθήσεται. Ταῦτα τοῦ βασιλέως εἰπόντος, καὶ ἕτερα πλείονα δημηγορήσαντος, ἀπελογήσαντο οἱ ἀρχιερεῖς, καὶ εἶπον αὐτῷ.

ΟΙ ΓΡΑΙΚΟΙ. Εἴ τις οὐκ ἀγαπᾷ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, ἤτω ἀνάθεμα, πλὴν μετὰ εὐσεβείας. Προτραπεὶς οὖν ὁ Ῥωσίας παρὰ πάντων ἀποκριθῆναι, ἔφη.

Ὁ ῬΩΣΙΑΣ. Γινώσκετε, ἀδελφοὶ, ὅτι ἡ διαίρεσις ἡμῶν καὶ ἡ διχόνοια ἐποίησε τὴν πλημμέλειαν ταύτην. νῦν οὖν ἀναγνωσθήτωσαν τὰ βιβλία τῶν δυτικῶν καὶ ἀνατολικῶν ἁγίων· συμφωνηθήτωσαν παρ' ἡμῶν, ἐπεὶ σύμφωνοί εἰσιν· οἱ γὰρ ἅγιοι σύμφωνα γράφουσιν, οὐ γὰρ διαφωνεῖ τὸ πνεῦμα τὸ ἅγιον· ἅγιοί εἰσιν ἀμφότεροι, καὶ ἓν πνεῦμα ἅγιον ἐλάλησεν ἐν αὐτοῖς· καὶ χρὴ πιστεύειν καὶ ἐν

λέγειν ὁμοῦ, καὶ οὐ διαφωνεῖν. ἢ οὐ δοκεῖ καὶ ὑμῖν οὕτως; Ἀπεκρίθησαν αὐτῷ.

ΟΙ ΓΡΑΙΚΟΙ. Οὕτω φρονοῦμεν καὶ ἡμεῖς. Τότε εἶπεν ὁ Νικαίας πρὸς αὐτούς.

Ὁ ΝΙΚΑΙΑΣ. Καὶ εἰ φρονεῖτε ὅτι συμφωνοῦσιν οἱ ἅγιοι, τίνι λόγῳ οὐ πιστεύετε αὐτοῖς, ὅτι ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον; Καὶ ἀρξάμενος ἀπὸ τῆς βίβλου τοῦ ἁγίου Ἐπιφανίου, τῆς λεγομένης Ἀγκυρωτὸς, καὶ ἀπὸ τοῦ ἁγίου Κυρίλλου τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, καὶ ἀπὸ τῶν θησαυρῶν τοῦ αὐτοῦ ἁγίου Κυρίλλου, ἀνέγνω πλήρη ῥητὰ πολλά· ἅτινα τὰ μὲν ἔλεγον, ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον· τὰ δὲ, ἐξ ἀμφοτέρων· τὰ δὲ, ἔχει τὸ εἶναι ἀπὸ τοῦ υἱοῦ· τὰ δὲ, προχεῖται· τὰ δὲ, ἵεται.

Ὁ ΜΙΤΥΛ. Τούτων ἀναγνωσθέντων, ὁ Μιτυλήνης τοὺς δυτικοὺς ἁγίους προσαγαγὼν, τοὺς λέγοντας ἐναργῶς, ὅτι ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἐστὶν ἀρχὴ τοῦ ἁγίου πνεύματος· καὶ ὅτι ἀρχοειδῶς μὲν ἐκ τοῦ πατρὸς ἀλλὰ καὶ ἐκ τοῦ ὁμοουσίου αὐτοῦ υἱοῦ· καὶ ὅτι ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἀνέγνωσαν αὐτοὺς ἅπαντες, καὶ ἐπείσθησαν, καὶ ὁμοῦ ἐβόησαν.

ΟΙ ΓΡΑΙΚΟΙ. Οὐδέποτε εἴδομεν τοὺς δυτικοὺς ἁγίους, οὐδέποτε ἀνέγνωμεν αὐτούς. νῦν οὖν οἴδαμεν καὶ ἀνέγνωμεν καὶ στέργομεν αὐτούς. Ὥρισεν οὖν ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Καὶ εἰ στέργετε αὐτοὺς, δότε γνώμας ἅπαντες. Καὶ ἐγνωμοδότησαν ἅπαντες σὺν τῷ πατριάρχῃ, ὅτι στέργουσι τοὺς ἁγίους τοὺς δυτικοὺς, καὶ τὰ συγγράμματα αὐτῶν γνήσια καὶ οὐ νόθα εἶναι· ἀφ' ἑνὸς γὰρ ἐπλήσθησαν πνεύματος· καὶ ἀνάγκην εἶναι καὶ τὰ συγγράμματα αὐτῶν ἀληθῆ λέγειν, καὶ εἰς ἓν ἀποβλέπειν. Τούτων οὖν τῶν γνωμῶν δοθεισῶν ἐλύθη ἡ συνέλευσις, καὶ ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια.

Τῇ παρασκευῇ δὲ συνελθόντες ὁμοῦ ἀνέγνωσαν πάλιν τὰ ῥητὰ τῶν ἁγίων, καὶ μάλιστα τῶν ἀνατολικῶν, τοῦ μεγάλου Βασιλείου ἐν πολλοῖς αὐτοῦ λόγοις, τοῦ ἁγίου Ἀθανασίου, τοῦ ἁγίου Κυρίλλου ἀπὸ τῶν θησαυρῶν, καὶ ἐν τοῖς πρὸς Ἑρμείαν, Ἐπιφανίου τοῦ θείου, Ἀναστασίου τοῦ Σιναΐτου, Γρηγορίου τοῦ Νύσσης, καὶ Δαμασκηνοῦ τοῦ σοφοῦ. Τούτων ἀναγνωσθέντων ἐπληροφορήθησαν ἅπαντες τῆς

ἀληθείας τὰ δόγματα· καὶ λυθέντος τοῦ συνεδρίου ἀπήλθομεν. καὶ πάλιν ἀπὸ τοῦ γεύματος συνήχθημεν, καὶ πάλιν τὰ ῥητὰ τῶν ἁγίων ἀναγνόντες ἀπήλθομεν. Τῷ δὲ σαββάτῳ πρωῒ συναχθέντων ἡμῶν ἐν τῷ οἴκῳ τοῦ πατριάρχου ἅμα τῷ βασιλεῖ ἡμῶν, καὶ ἦλθε καὶ ὁ κῦρις Γεώργιος ὁ Σχολάριος, καὶ ἀνέφερε πρὸς τὸν βασιλέα ταῦτα.

ΓΕΩΡΓ. ΣΧΟΛΑΡ. Ἄριστε καὶ κράτιστε βασιλεῦ, ἧς μὲν γνώμης γέγονα, καὶ εἰμὶ περὶ τὴν προκειμένην τῆς ἑνώσεως ὕλην, ὁ πρὸς τὴν καθ' ἡμᾶς ἱερὰν ταύτην σύνοδον σχεδιασθείς μοι καὶ πεμφθεὶς λόγος δηλοῖ· ἐν ᾧ πρός τε τὴν ἕνωσιν καὶ τὴν βοήθειαν τῶν ἐν Κωνσταντινουπόλει πραγμάτων τοὺς ἱεροὺς τούτους προετρεπόμην πατέρας. μαρτυροῦσι δὲ καὶ τὰ δύο βιβλία, ἅπερ πρότερον συνθεὶς, νῦν ἐγχειρίζω τῇ παρούσῃ συνόδῳ. ὧν τὸ μέν ἐστι συμβουλὴ περί τε ἑνώσεως καὶ τρόπου αὐτῆς, καὶ ὅσα ἄλλα πρὸς ταύτην ἁρμόττει τὴν ὕλην· τὸ δὲ περὶ τοῦ ζητήματος πραγματεύεται, σκοπὸν ἔχον δεῖξαι τοὺς διδασκάλους τῆς ἐκκλησίας συμφωνοῦντας ἀλλήλοις, οὐ λόγοις ἀνθρωπίνοις οὐδ' ἀποδείξεσιν, ἀλλὰ ῥητοῖς τῆς ἱερᾶς γραφῆς καὶ τῶν διδασκάλων αὐτῶν. ἅπερ δύο βιβλία φαῦλος μὲν ὢν ἐγὼ, καὶ παντάπασιν εὐτελὴς καὶ σοφίᾳ, καὶ ἐπιστήμῃ, καὶ γνώσει, καὶ πᾶσιν ὁμοῦ· ἀλλ' οὖν διὰ τὸ ἐπικείμενον χρέος καὶ βάρος, ἅμα μὲν τῆς ἄνωθεν δοθείσης μοι τοῦ λόγου χάριτος· ἣν καὶ μικρὰν καὶ μεγίστην ὁμολογῶ, τὸ μὲν πρὸς τὰς ἐν τοῖς ἄλλοις χάριτας, τὸ δὲ πρὸς τὴν ἐμὴν ἀξίαν παραβάλλων αὐτήν· ἅμα δὲ καὶ τῆς τῷ πλησίον ὀφειλομένης ἀγάπης, ἱκανῇ μελέτῃ καὶ φροντίδι πολυημέρῳ συντέθεικα. καὶ ἔσονται ταῦτα τὰ βιβλία τοῦτο μὲν ἐναργὴς καὶ δεικτικὴς ἀπόδειξις τῆς ἐμῆς διανοίας, τοῦτο δὲ πληροφορία τις ἱκανὴ καὶ βεβαίωσις περὶ τῆς τῶν διδασκάλων συμπνοίας καὶ συμφωνίας πάσῃ χριστιανικῇ καὶ ἀφιλονείκῳ ψυχῇ, ἑτοίμου ὄντος μου καὶ αὐτοῦ, θεοῦ χάριτι, λόγον ἀποδιδόναι τῷ βουλησομένῳ λαβεῖν περὶ πάντων τῶν ἐν αὐτοῖς γεγραμμένων. Ἐπεὶ δὲ μετὰ πάντων τῶν εὐγενεστάτων ἀρχόντων, προτρέπομαι νῦν καὶ αὐτὸς ὑπὸ τοῦ θείου σου κράτους ὀλίγοις ῥήμασι δηλῶσαι τὴν ἐμὴν διάνοιαν, βούλει γὰρ τῷ συμπεράσματι τῆς ἁγίας ἑνώσεως πάντας ἡμᾶς συναινοῦντας καὶ ὑπακούοντας ἔχειν, οὐ γνώμην διδόντας, τοῦτο γὰρ μᾶλλον ἁρμόττει τοῖς τοὺς ἐκκλησιαστικοὺς θρόνους τε καὶ βαθμοὺς εἰληχόσι, πληρώσω τὸ προστεττόμενον. Καὶ συστάσει μὲν τοῦ οἰκείου

προσώπου οὐ δεῖν οἴομαι χρῆσθαι· ἐν γὰρ τοῖς περὶ πίστεως λόγοις καὶ τῇ τῆς ἀληθείας ὁμολογίᾳ περιττόν ἐστι τὸ οἰκεῖον πρόσωπον συνιστᾶν. διότι καὶ τοὺς φαυλοτάτους οὐδὲν ἂν τῶν ἐν κόσμῳ κινήσειε πιστεῦσαί τι καὶ ὁμολογῆσαι παρὰ συνείδησιν, ἐφ' ὅσον οἴδαμεν πάντας μόνῃ τῇ τῆς πίστεως ἀληθείᾳ δύνασθαι σωθῆναι καὶ φιλανθρωπίας θείας τυχεῖν. τοῦτο τοίνυν τὸ μέρος παριδὼν, λέγω πρῶτον, ὅτι χάριτας ἀναφέρω θεῷ, ὅτι τὰς ἁπάντων ἡμῶν διανοίας ἀπεύθυνε πρὸς τὸν θεοφιλῆ σκοπὸν τῆς ἑνώσεως, καὶ τὰς τῶν Χριστιανῶν ἁπάντων ἐλπίδας οὐκ ἀφῆκεν εἶναι κενάς. δεύτερον, ὅτι ὑποτάττω ἐμαυτὸν τῇ ψήφῳ τῆς ἱερᾶς ταύτης καθ' ἡμᾶς συνόδου, μᾶλλον δὲ τῆς οἰκουμενικῆς ταυτησί· καὶ μετ' εὐλαβείας ὑπερβαλλούσης καὶ ἡδονῆς ταύτην ἀσπάζομαι καὶ τιμῶ, ἣν καὶ περὶ τῆς ἑνώσεως, καὶ τοῦ τρόπου τῆς ἑνώσεως ἐκφέρει· καὶ ἡγοῦμαι ταύτην οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἐκ θεοῦ προενεχθῆναι τὴν ψῆφον. καὶ τοῦτο ποιῶ, οὐ διότι εἰμὶ κοσμικὸς, καὶ ἀνάγκην ἔχω πείθεσθαι τῷ θείῳ κράτει σου, καὶ τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἡμετέρᾳ συνόδῳ, καὶ πλέον ἐστὶ, τῇ οἰκουμενικῇ· οὐδὲ διότι περὶ τῶν προκειμένων πραγμάτων τὴν ὁμοίαν καὶ αὐτὸς διάνοιαν ἦν προειληφώς τε καὶ ἔχων· ἀλλ' εἰ καὶ ἐτύγχανον ἰδίᾳ τῆς ἐναντιωτάτης πρότερον γνώμης, ἔτι κἂν ὁπόσου ἀξιώματος ἦν ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, ἢ προεῖχον τῶν ἄλλων ἐπὶ σοφίᾳ, ὁμοίως ἂν ἐποίησα. τὸ γὰρ οὐχ οὕτω ποιεῖν, ἦν ἂν μεγίστης ὑπερηφανίας καὶ κενοδοξίας ἀπόδειξις. τί γὰρ χεῖρον τοῦ ἕνα ὄντα, κἂν ὁπόσου ἀξιώματος ᾖ, θέλειν συνόδῳ οἰκουμενικῇ ἀνθίστασθαι, ἥτις ὅλην τὴν τοῦ θεοῦ ἐκκλησίαν παρίστησι; τρίτον ἔτι καὶ τελευταῖον, βουλόμενος τῇ ὁμολογίᾳ τῆς ἀληθείας ἁγιάσαι μου τὴν γλῶτταν, καὶ προσδοκᾶν τὴν ἐν οὐρανοῖς ὁμολογίαν τοῦ ἡμετέρου σωτῆρος Χριστοῦ, ἣν μισθὸν τοῖς ὁμολογοῦσιν ἐν αὐτῷ, ὅς ἐστι ἡ ἀλήθεια, ἔμπροσθεν τῶν ἀνθρώπων, ἐπαγγέλλεται, εὐλαβεῖ διανοίᾳ πιστεύω καὶ ὁμολογῶ, ὅτι τῶν ἁγίων τῶν δυτικῶν καὶ ἀνατολικῶν, οὓς ἀνάγκη συμφωνεῖν ἀλλήλοις, λεγόντων τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ἔτι τὸ πνεῦμα ἐκπορεύεσθαι ἐκ πατρὸς δι' υἱοῦ, ἔτι προϊέναι ἐκ τοῦ υἱοῦ εἶναι, ἐκ πατρὸς δι' υἱοῦ εἶναι, ἐκ τοῦ υἱοῦ προχεῖσθαι καθάπερ ἐκ τοῦ πατρὸς, οὐσιωδῶς ἐξ ἀμφοῖν προχεῖσθαι, ἀναβλύζειν ἐκ τοῦ

υἱοῦ, καὶ τὰ τοιαῦτα, μία ἀλήθεια ἐκ τούτων ἁπάντων συνάγεται· καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον τὸ εἶναι λαμβάνει παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ὡς ἐκ μιᾶς ἀρχῆς καὶ ἑνὸς προβολέως· καὶ ὁ πατὴρ καὶ ὁ υἱός εἰσι μία ἀρχὴ τοῦ ἁγίου πνεύματος· καὶ οὔτε ἕπεται ἐντεῦθεν εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν δύο ἀρχάς, οὔτε συναλείφεσθαι τὸν πατέρα καὶ τὸν υἱὸν, εἰ καί τινες διὰ τὸ μὴ καλῶς δύνασθαι τὰ τοιαῦτα συνορᾷν, ἕπεσθαι τῇ δόξῃ ταῦτα τὰ ἄτοπα ὑποπτεύουσι. διὰ τοῦτο ταύτῃ τῇ δόξῃ ἢ τῇ προτάσει συντίθεμαι· Ὅτι τὸ πνεῦμα ἐκπορεύεται ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἢ ἐκ πατρὸς διὰ τοῦ υἱοῦ, ὡς ἐκ μιᾶς ἀρχῆς καὶ μιᾶς αἰτίας· καὶ λέγω εἶναι ταύτην ἀληθεστάτην· καὶ λέγω τοὺς δυτικοὺς ἁγίους μετὰ τῶν ἀνατολικῶν οὕτω συμφωνεῖν ἐξ ἀνάγκης, καὶ ἄλλως ἀδύνατον συμφωνεῖν· ἀναθέματι καθυποβάλλω τοὺς φρονοῦντας δύο ἀρχὰς, ἢ τὴν προσωπικὴν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ διάκρισιν παρασαλεύοντας. Ταῦτα εἰπὼν ὁ Σχολάριος ἀπῆλθεν. ἡμεῖς δὲ τὰς βίβλους τῶν διδασκάλων τῶν ἀνατολικῶν εἰς χεῖρας λαβόντες ἀνεγνώκαμεν πολλὰ ῥητὰ τῶν ἁγίων· διὸ καὶ τέλος τοῦ πράγματος γέγονεν. ἠρωτήθησαν δὲ αἱ γνῶμαι, ἀπεκαλύφθησαν αἱ διάνοιαι, ἐπαρρησιάσθη ἡ ἀλήθεια. ἐδημηγόρησε δὲ ἀρχὴν ὁ πατριάρχης.

Γνώμη τοῦ πατριάρχου.

Ἐπειδὴ ἠκούσαμεν τὰ ῥητὰ τῶν ἁγίων πατέρων τῶν δυτικῶν, καὶ ἀνατολικῶν, τὰ μὲν λέγοντα, ὡς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τὰ δὲ, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ· εἰ καὶ ἔστι τὸ Διὰ τοῦ υἱοῦ ταὐτὸν τῷ Ἐκ τοῦ υἱοῦ· καὶ τὸ Ἐκ τοῦ υἱοῦ ταὐτὸν τῷ Διὰ τοῦ υἱοῦ. ὅμως ἡμεῖς τὸ Ἐκ τοῦ υἱοῦ ἀφέντες, λέγομεν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἀϊδίως καὶ οὐσιωδῶς, ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ αἰτίας, τῆς Διὰ ἐνταῦθα σημαινούσης αἰτίαν ἐπὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως. Οὕτως ἐτελείωσε τὴν γνώμην αὐτοῦ, καὶ ἔστερξε τοὺς ἁγίους τοὺς δυτικοὺς, λέγοντας ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, παραγγείλας, μόνον μὴ θήσωμεν αὐτὸ ἐν τῷ ἡμετέρῳ συμβόλῳ, ἀλλὰ τὰ ἔθη ἡμῶν πάντα τηρήσαντες, αὐτοῖς ἑνωθησόμεθα.

Γνώμη τοῦ βασιλέως.

Ἐγὼ τὴν παροῦσαν ταύτην ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον κατ' οὐδὲν ἐλάττω ἡγοῦμαι τῶν προλαβουσῶν ἁπασῶν. εἰ γὰρ καὶ τῷ ποσῷ τῶν ἐκεῖσε συνελθόντων πατέρων ταύτην ἐκεῖναι ὑπερέβησαν, οὐ μὴν ἀλλὰ καὶ τῷ ποιῷ μέγα προέφερον, Κύριλλον πλουτοῦσαι καὶ τὸν Θεολόγον Γρηγόριον, καὶ ἄλλαι ἄλλους τῶν διδασκάλων. ἀλλ' ὅμως καὶ ταύτην οὐδὲν ἧττον ἁγίαν ἡγοῦμαι καὶ σεβασμίαν· καὶ οὐδὲν ἔλαττον τὸ αὐτὸ σέβας ἐκείναις ἀπονέμω καὶ ταύτῃ. τό τε γὰρ προκείμενον αὐτῇ ζήτημα μέγιστόν τε καὶ θεῖον· καὶ οἱ περὶ τούτου πραγματευσάμενοι ἄνδρες εἰσὶν ἱεροὶ καὶ σεβάσμιοι, ἀπ' αὐτοῦ πρώτου τοῦ ἁγιωτάτου πατριάρχου ἀρξάμενοι. ἐπεὶ οὖν τοιαύτη μὲν ἡ σύνοδος αὕτη, ὡς εἴρηται, ἐγὼ δὲ βασιλεὺς ὢν τῇ χάριτι τοῦ χρίσαντός με Θεοῦ, ὀφείλω ἀκολουθεῖν τῇ τῆς συνόδου ἀποφάσει καὶ τῶν πλειόνων τῶν ἐν αὐτῇ, ὅτι τε καὶ διεκδικεύειν τὰ παρὰ τῶν πλειόνων ἀποπεφασμένα, κατὰ τὴν ἐν ταῖς ἀρχαίαις συνόδοις παρακολουθήσασαν τάξιν· διὰ τοῦτο λέγω καὶ ἀποφαίνομαι τῇ ἰσχύϊ καὶ τῷ κράτει τῆς ἱερᾶς βασιλείας, ὅτι καὶ ἕψομαι τῆς ἱερᾶς ταύτης συνόδου καὶ τῶν πλειόνων τῶν ἐν αὐτῇ ἀποφάσει ἀπαραιτήτως· καὶ ἔτι κατὰ πάντα τρόπον διεκδικεύειν αὐτὴν μέχρι παντὸς βούλομαι, διά τε τὰ προειρημένα, καὶ διότι ἐγὼ νομίζω κατ' οὐδένα τρόπον δύνασθαι πλανηθῆναι τὴν ἁγίαν ἐκκλησίαν ἐν τοῖς ἱεροῖς δόγμασι, κοινῇ καὶ συνοδικῶς σκεπτομένην. ἕνα μὲν γὰρ, ἢ δύο, ἢ τρεῖς, ἢ καὶ πλείονας τῶν νῦν ὄντων ἀνθρώπων καθ' αὐτοὺς σκεπτομένους πλανηθῆναι ἐνδέχεται, πᾶσαν δὲ τὴν ἐκκλησίαν κοινῶς, ὑπὲρ ἧς ὁ κύριος εἶπε πρὸς Πέτρον· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλη-
* Ματθ. 16, 18. σίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· * πλανηθῆναι ἀδύνατον ὅλως. εἰ δὲ μὴ, ὅ τε σωτήριος διέπεσε λόγος, καὶ ἡ πίστις ἡμῶν ἐπ' ἀδρανοῦς βέβηκεν. ἀλλ' ἐπεὶ ταῦτα καὶ ἀμφότερα ἄτοπα, διὰ τοῦτο καὶ ἀπλανῆ εἶναι τὴν τοῦ Θεοῦ ἐκκλησίαν ἀνάγκη, καὶ ἡμᾶς ἀναγκαῖον αὐτῇ καὶ τῇ ἀποφάσει αὐτῆς ἕπεσθαι, καὶ πρὸ πάντων ἐμὲ τὸ βασιλικὸν περικείμενον σχῆμα Θεοῦ χάριτι, καὶ ἀκολουθεῖν καὶ διεκδικεύειν αὐτήν. ὑποκειμένου τοῦ μήτε ἀναγκάσαι

ἡμᾶς τοὺς Λατίνους προσθεῖναί τι ἐν τῷ ἱερῷ συμβόλῳ ἡμῶν, μήτε μεταβαλεῖν τι τῶν ἐθίμων τῆς ἐκκλησίας ἡμῶν.

Ταῦτα τοῦ βασιλέως εἰπόντος, εἶπεν ὁ τοποτηρητὴς τοῦ Ἀντιοχείας πατριάρχου, ὁ Ῥωσίας Ἰσίδωρος.

Ὁ ῬΩΣΙΑΣ. Καὶ τὰ ῥητὰ τῶν ἁγίων τῶν δυτικῶν δεικτέα, καὶ τὸ πνεῦμα ἔχει τὸ εἶναι ἐκ τοῦ υἱοῦ, καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἀρχὴ τοῦ πνεύματος τοῦ ἁγίου. οὕτω συντίθεμαι, οὕτως ὁμολογῶ, καὶ οὕτως κηρύττω ἐνώπιον Θεοῦ καὶ ὑμῶν.

Ὁ ΝΙΚΑΙΑΣ. Καὶ ἀποκριθεὶς ὁ Νικαίας Βησσαρίων εἶπε γνώμην ταὐτὰ συμφρονῶν. πλὴν ἐδημηγόρησεν ἕρμαιον εὑρὼν τὴν γνώμην αὐτοῦ, καὶ παρίστησιν ἐναργῶς, ἀδύνατον εἶναι σωθῆναι Χριστιανὸν, μὴ ὁμολογοῦντα τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ.

Αἱ γνῶμαι δὲ κατὰ τάξιν ἐπερχόμεναι οὐκ ἐδίδοντο ἐν μιᾷ γνώμῃ. ἀλλ' ὁ Ἡρακλείας Ἀντώνιος, καὶ ὁ Ἐφέσου Μάρκος, καὶ ὁ Μονεμβασίας Δοσίθεος, καὶ ὁ Ἀγχιάλου Σωφρόνιος ἀντεῖπον τῇ γνώμῃ ταύτης τῆς ἑνώσεως κατὰ πάντα. ἔλεγον γὰρ, ὅτι οὐ πείθονται ἔχειν αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος τοῦ ἁγίου· ἀλλ' οὐδ' ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ὡς ἀπὸ μιᾶς ἀρχῆς ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. Τότε ὁ Μιτυλήνης Δωρόθεος τὴν γνώμην ἐρωτηθεὶς ἀπεκρίνατο.

Ὁ ΜΙΤΥΛ. Ἐγὼ νηπιόθεν Λατίνοις ἐναντιούμενος, ἐγγράφως καὶ ἀγράφως αὐτοῖς τὴν ἅμιλλαν ἐποιούμην, καὶ ἐναντιούμην αὐτοῖς διὰ τὸ λέγειν δύο αἰτίας ἐν τῇ ἁγίᾳ Τριάδι· καὶ τοῦτο ἔχων ἐν τῷ νοῒ θεμέλιον, οὐδέποτε ἐπαυόμην τοῦ διαλέγεσθαι. ἀλλ' ἐκεῖνοι ἀντιλέγοντες τοῦτο ἐδειφίνδευον, ὅτι ἐστὶν αἰτία καὶ ὁ υἱὸς τοῦ παναγίου πνεύματος. νῦν δὲ συνόδου συγκροτηθείσης, καὶ τοῦ δόγματος ἐξετασθέντος, οὐχ εὗρον τὴν δόξαν ταύτην οὕτω καθὼς τὸ πρότερον. ἀλλὰ λέγουσιν οἱ Λατῖνοι, ὅτι ὁ πατὴρ καθὸ πατὴρ τοῦ υἱοῦ ἐστι πατὴρ, καὶ ὁ υἱὸς καθὸ υἱὸς πατρός ἐστιν υἱός. σχετικὰ γάρ εἰσι ταῦτα καὶ τῶν πρός τι, τὸ δὲ πνεῦμα τὸ ἅγιον καθ' ἑαυτὸ οὔτε πρὸς τὸν πατέρα, οὔτε πρὸς τὸν υἱὸν ἀναφέρεται, καθὸ πατὴρ ἢ υἱός. οὐδὲ γάρ ἐστι τῶν πρός τι τὸ γὰρ πνεῦμα καθὸ πνεῦμα πρὸς τὸν πνέοντα δεῖ ἀναφέρεσθαι. πνέοντας δὲ εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν οὐδεὶς ἀντερεῖ λόγος· πνεῦμα γάρ ἐστι τοῦ πα-

τρὸς, καὶ πνεῦμά ἐστι τοῦ υἱοῦ· καί· Ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ
* Ἰω. 14, 9. 10. ἐν ἐμοί· καὶ ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα * πνέει οὖν ὁ πατὴρ καὶ ὁ υἱὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ μίαν πνευστικὴν ἤτοι προβλητικὴν δύναμιν. ἐξετάσας οὖν τοὺς ἁγίους καλῶς, καὶ συμφώνους εὑρὼν ἅπαντας, τοὺς μὲν δυτικοὺς σαφέστερον τῶν ἀνατολικῶν λέγοντας· οἱ γὰρ ἀνατολικοὶ, προχεῖσθαι, πρόεισι, προϊέναι, ἴησιν, ἀναβλύζειν, πηγάζειν, καὶ ὅσα τοιαῦτα, ἕτεροι δὲ καὶ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγουσιν· οἱ δὲ δυτικοὶ ἀνεπτυγμένως πως ἐκπορεύεσθαι κἀκ τοῦ υἱοῦ, καὶ ὡς ἀπὸ μιᾶς ἀρχῆς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον φάσκουσι· τούτοις ἀκολουθῶν καὶ ἑπόμενος, καὶ αὐτὸς ἀποφαίνομαι, ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ ὡς ἀπὸ μιᾶς ἀρχῆς, καὶ οὐκ ἔστιν ἀπὸ δύο αἰτιῶν. οὐ γάρ ἐστιν ὁ πατὴρ μία αἰτία, καὶ ὁ υἱὸς ἑτέρα αἰτία τοῦ πνεύματος· μίαν γὰρ οἶδα τὸν πατέρα αἰτίαν υἱοῦ τε καὶ πνεύματος, καὶ μίαν ἀρχὴν τὸν πατέρα καὶ τὸν υἱὸν, ὅταν ἀκούω ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. οὕτω φρονῶ, καὶ οὕτως ὁμολογῶ ἐνώπιον θεοῦ καὶ ἀνθρώπων.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἐρωτώμενοι οὖν οἱ ἀρχιερεῖς τὰς γνώμας αὐτῶν, ἵνα μὴ προσαποτείνω τὸν λόγον, οἱ μὲν ἔλεγον καθαρῶς τὴν γνώμην ἡμῶν, οἱ δὲ ἔλεγον ἄλλως πως. Ἀλλ' ὅμως ὡμονοήσαμεν ἀρχιερεῖς δέκα τὸν ἀριθμὸν, οἵτινές εἰσιν οὗτοι· ὁ Ῥωσίας, ὁ Νικαίας, ὁ Λακεδαιμονίας, ὁ Μιτυλήνης, ὁ Ῥόδου, ὁ Νικομηδείας, ὁ Δίστρας, ὁ Γάννου, ὁ Μελενίκου· ἀλλὰ καὶ ὁ μέγας πρωτοσύγκελλος καὶ πνευματικὸς κῦρις Γρηγόριος, καὶ τοποτηρητὴς ὢν τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας· καὶ ἀπὸ τῶν ἡγουμένων, ὁ ἐν ἱερομονάχοις κῦρ Παχώμιος· ὕστερον δὲ προσετέθησαν ἡμῖν ὁ Κυζίκου, ὁ Τραπεζοῦντος, ὁ Ἡρακλείας, τοποτηρητὴς ὢν τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας, καὶ ὁ Μονεμβασίας, τοποτηρητὴς ὢν καὶ αὐτὸς τοῦ τῶν Ἱεροσολύμων ἁγιωτάτου πατριάρχου.

Ὁ δὲ βασιλεὺς ἰδὼν τὰ ἐκκλησιαστικὰ ἐπὶ τὴν ἕνωσιν προβαίνοντα, τὰ πραγματικὰ ἐπεχειρήσατο· καὶ τὸν Ῥωσίας ὄργανον τῶν τοιούτων εὑρὼν, πρὸς τὸν πάπαν ἀπέστειλε· καὶ εἴ τι ὁρίζει ὁ μακαριώτατος πατὴρ ποιῆσαι βοήθειαν τοῖς Χριστιανοῖς, αὐτῷ ἐρωτῆσαι ἐπηγγείλατο. ὁ δὲ ἀπελθὼν οὐκ ἠρκέσθη ὅσα εἶπε καὶ συνεφώνησεν ἐκεῖ, ἀλλὰ τῇ δευτέρᾳ τῶν ἁγίων πάντων τοὺς τρεῖς

καρδιναλίους τοὺς προῤῥηθέντας λαβὼν, πρὸς τὸν βασιλέα αὐτοὺς παρήγαγε· καὶ οὗτοι, φησιν, ἔστωσαν ἀντὶ τοῦ μακαριωτάτου πατρός· καὶ εἴ τι ποιήσωσιν, ἔχει τὸ βέβαιον. ἐρωτήσαντος οὖν τοῦ βασιλέως τὴν βοήθειαν, ἣν βούλονται ποιῆσαι, ἀπεκρίθησαν αὐτῷ· Πρῶτον, κατὰ τὸ παρὸν ὁρίζει ὁ ἁγιώτατος πατὴρ δοῦναί σοι ἔξοδον ἱκανὴν καὶ κάτεργα, ἵνα ἀπέλθῃ πᾶς ὁ λαός σου καὶ ἡ ἐκκλησία τῆς ἀνατολῆς εἰς Κωνσταντινούπολιν· δεύτερον, ὅτι ἵνα ἵστανται ἀεὶ τριακόσιοι στρατιῶται εἰς φυλακὴν τῆς πόλεως εἰς τὰς ἐξόδους αὐτοῦ. τρίτον, ὅτι ἐξόδῳ αὐτοῦ ἵνα εἰσὶ δύο κάτεργα ἐμπαρατηροῦντα καὶ ἐπισκέπτοντα αὐτήν. τέταρτον, ὅτι ἵνα γίνηται τὸ προσκύνημα τῆς Ἱερουσαλὴμ ἐν Κωνσταντινουπόλει, καὶ αἱ γαλλιάτζαι αἱ ἀπερχόμεναι εἰς προσκύνησιν τοῦ ζωοποιοῦ τάφου, ἵνα ἔρχωνται εἰς Κωνσταντινούπολιν. πέμπτον, ὅταν χρήζῃ ὁ βασιλεὺς κάτεργα εἰς βοήθειαν αὐτοῦ, ἵνα δώσῃ κάτεργα εἴκοσι μετὰ πάσης ἐξόδου αὐτοῦ, ἁρματωμένα μῆνας ἕξ· εἰ δὲ χρήζει δέκα, ἵνα ἔχῃ αὐτὰ ἔτος ἕν. ἕκτον, ὅταν χρήζῃ φωσάτον καὶ στόλον διὰ ξηρᾶς, ἵνα σπουδάσῃ ἐνώπιον τοῦ Χριστοῦ, ἵνα ἔλθωσι τὰ γένη τῶν Χριστιανῶν πρὸς συμμαχίαν αὐτοῦ.

Ταῦτα τῶν καρδιναλίων εἰπόντων, ὥρισεν ὁ βασιλεὺς διὰ γραμμάτων καὶ βουλλῶν βεβαιωθῆναι πάντα, καὶ δοθῆναι εἰς ἀναπλήρωσιν πάντων πάγκους τρεῖς, τῆς Βενετίας, τῆς Γενούας καὶ τῆς Φλωρεντίας.

Τούτων οὕτω γενομένων παρῆλθεν ἡ τρίτη, ἥτις ἦν δευτέρα τοῦ ἰουνίου μηνός. Τῇ δὲ τρίτῃ τοῦ ἰουνίου μηνὸς, ἡμέρᾳ τετάρτῃ, συνήχθημεν οἱ ἀρχιερεῖς ἅπαντες ἅμα τῷ βασιλεῖ ἐν τῷ οἴκῳ τοῦ πατριάρχου, διὰ τὸ εἶναι αὐτὸν ἀσθενῆ, ὑπῆρχον δὲ καὶ πάντες οἱ λόγιοι καὶ οἱ φιλόσοφοι ἡμῶν, οἵ τε σταυροφόροι καὶ οἱ ἡγούμενοι καὶ πάντες ὁμοῦ. καὶ συνόδου γενομένης πάσης τῆς ἀνατολικῆς ἐκκλησίας, ὥρισεν ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ἐγὼ ἀπὸ τῶν προλαβουσῶν συνελεύσεων κατέλαβον τὴν γνώμην πάντων ὑμῶν, ὅτι καὶ τὴν ἡμετέραν ἐξέδωκα κατένωπιον τοῦ ἱεροῦ πατριάρχου· καὶ ἤδη θεωρῶ τοὺς πλείονας καὶ τοὺς κρείττονας ἀθωοῦντας τοὺς Λατίνους· καὶ πάντες ὁμοῦ τὴν Διὰ ἀντὶ τῆς Ἐκ ἐκλαμβάνετε. ἐπειδὴ οὖν συμφωνεῖτε οἱ πλείονες, πάντες δὲ στέργετε τὰ ῥητὰ τῶν δυτικῶν ἁγίων, λεγόντων, ὅτι τὸ πνεῦμα

τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ· ἔγραψαν δὲ καὶ οἱ πλείονες πρὸ τῆς χθὲς, καὶ ἔδωκαν τὴν γνώμην αὐτῶν· λέγω, ὅτι ἐρωτηθήτωσαν καὶ οἱ ἕτεροι, καὶ τῶν πλειόνων τὴν ψῆφον κρατεῖν.

ΟΙ ΓΡΑΙΚΟΙ. Τούτων οὕτω ῥηθέντων, πάντες εἴπον ὁμοῦ, ὅτι χρὴ πρῶτον ἵνα εἴπῃ γνώμην ὁ πατριάρχης, εἶτα ἡμεῖς. Καὶ εἶπεν ὁ πατριάρχης γνώμην εὐθὺς τοιαύτην.

Ὁ ΠΑΤΡΙΑΡΧΗΣ. Ἐγὼ τὸ πατροπαράδοτον δόγμα ἡμῶν οὐδέποτε παραμείψω ἢ παραλλάξομαι, ἀλλὰ μενῶ ἕως ἐσχάτης μου ἀναπνοῆς ἐν αὐτῷ, ἐπεὶ δὲ οἱ Λατῖνοι οὐκ ἐξ ἑαυτῶν, ἀλλ' ἐκ τῶν ἁγίων γραφῶν ἐξηγοῦνται τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος εἶναι καὶ διὰ τοῦ υἱοῦ, στέργω κἀκείνους, καὶ δίδωμι γνώμην, ὅτι ἡ Διὰ αὕτη αἰτίαν δίδωσι τῷ υἱῷ τοῦ πνεύματος, καὶ ἑνοῦμαι αὐτοῖς καὶ συγκοινωνῶ.

Τοῦ πατριάρχου οὖν ταύτην τὴν γνώμην εἰπόντος, ὁμογνωμονήσαμεν πάντες ἐν αὐτῇ, καὶ ἐδώκαμεν γνώμας, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ πατρὸς καὶ υἱοῦ, ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ μιᾶς οὐσίας· ἐκπορεύεται διὰ τοῦ υἱοῦ, ὡς ὁμοφυοῦς καὶ ὁμοουσίου· ἐκπορεύεται ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ, ὡς ἀπὸ μιᾶς πνεύσεως καὶ ἐκπορεύσεως. οὕτω λέγουσι πάντες οἱ ἅγιοι διδάσκαλοι.

Τούτων τῶν γνωμῶν γραφεισῶν, ὁ Ἐφέσου Μάρκος οὐκ ἤθελε δοῦναι γνώμην εἰς τοῦτο, καὶ οὕτως ἐλύθη ἡ σύνοδος.

Τῇ πέμπτῃ οὖν συνελθόντες ἐδώκαμεν τὰς γνώμας ἡμῶν, καὶ ἐγένετο τόμος, καὶ ἐγράφη εἰς τρία τμήματα· καὶ ἐστείλαμεν τῷ πάπᾳ τὸ ἓν, καὶ ἔλαβε καὶ ὁ βασιλεὺς τὸ ἓν, καὶ ὁ πατριάρχης τὸ ἕτερον, λέγοντες· Ὅτι συμφωνοῦμεν ὑμῖν, καὶ ἣν προσθήκην λέγετε ἐν τῷ ἱερῷ συμβόλῳ, ἐστὶν ἀπὸ τῶν ἁγίων, καὶ συγχωροῦμεν αὐτὴν, καὶ ἑνούμεθα ὑμῖν, καὶ λέγομεν ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ, ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ αἰτίας. Τούτων οὕτω γραφέντων ἐλύθη ἡ σύνοδος.

Τῆς παρασκευῆς τοίνυν ἐλθούσης ἐστείλαμεν τὸν τόμον τῷ μακαριωτάτῳ πατρὶ, καὶ τῶν καρδιναλίων συναχθέντων ἀνεγνώσθη, καὶ ἤρεσε· καὶ ἐτάχθη ἵνα τῷ σαββάτῳ τῷ πρωῒ ἐκλεγῶσιν ἀφ' ἑκατέρων τῶν μερῶν ἀνὰ δέκα, ὅπως συγγράψωσι τὸν τέλειον τόμον καὶ ὅρον τῆς ἑνώσεως τῶν ἁγιωτάτων ἐκκλησιῶν.

Τοῦ σαββάτου τοίνυν ἐπιγενομένου ἀπῆλθον οἱ ἐκλεγέντες δέκα τῶν ἡμετέρων, καὶ εὗρον συνηθροισμένους τοὺς καρδιναλίους, καὶ ἀπὸ τῶν ἐκκρίτων αὐτῶν δέκα. καὶ καθισάντων, ἀνεγνώσθη πάλιν ὁ τόμος ἐνώπιον ἡμῶν. καὶ ἐζήτησαν οἱ Λατῖνοι τὴν Διὰ πρόθεσιν, ἣν διελάμβανεν ὁ τόμος ἐν τῷ λέγειν, ὅτι πιστεύομεν ὅτι οὐσιωδῶς ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἀϊδίως ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὅτι ἐκ πατρὸς δι' υἱοῦ ἀϊδίως καὶ οὐσιωδῶς ἐκπορεύεται, ἵνα ἐξέλθῃ ἡ Διὰ αὕτη ἐντεῦθεν, καὶ μετατεθῇ ὅθεν βουλόμεθα. καὶ πολλῆς φιλονεικίας γεγονυίας παρῆλθε τὸ πρωῒ σάββατον. καὶ τῇ κυριακῇ τὸ πρωῒ πάλιν συνήλθομεν, καὶ πάλιν ταῦτα καὶ περὶ τῶν αὐτῶν διελεγόμεθα. ἀλλ' ὅμως συνεφωνήσαμεν, καὶ ἐποιήσαμεν τὸν τόμον σαφέστερον· καὶ ἐστήσαμεν, ἵνα δείξωμεν τοῦτο τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ ἡμῶν, εἰπόντες· Οὐκ ἔχομεν ἄδειαν ἡμεῖς στερεῶσαι τὸν τόμον ἄνευ γνώμης πάσης τῆς συνόδου ἡμῶν· ἀλλὰ ἀπελθόντες δείξομεν τὸ πᾶν αὐτοῖς, καὶ οὕτω μηνύσομεν ὑμῖν.

Τούτων γενομένων παρῆλθεν ἡ κυριακὴ, διὰ τὸ γενέσθαι πρὸς ἑσπέραν τὸ τέλος ἡμῶν· ἐβουλεύθημεν γὰρ ἡμεῖς ἐν τῷ τοῦ βασιλέως οἴκῳ, ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ ἡγούμενοι καὶ πάντες οἱ κληρικοὶ, καὶ ἐγράψαμεν τοῦτον τὸν τόμον εὐσεβῶς τε καὶ καθαρῶς, καθὼς ὀφείλομεν· καὶ ἐγράψαμεν τοῦτον εἰς τρία χαρτία. καὶ τὸ μὲν ἓν ἔλαβεν ὁ βασιλεὺς, τὸ δὲ ἕτερον ὁ πατριάρχης, τὸ δὲ ἄλλο ἐλάβομεν ἡμεῖς οἱ ἐκλεγέντες παραιῶσαι τοῦτο τὸ εὐσεβὲς ἔργον τῆς ἑνώσεως.

Τῇ δὲ δευτέρᾳ πρωῒ, ἰουνίου ὀγδόῃ, ἀπήλθομεν εἰς τὸν πάπαν, καὶ ἐζητήσαμεν ἔμπροσθεν αὐτοῦ γενέσθαι, εἴ τι μέλλει ἀναφανῆναι καλόν· ὥρισεν οὖν ὁ πάπας, παρόντος αὐτοῦ συμπεραιωθῆναι τὸ ζήτημα. καὶ δὴ χάριτι θεοῦ ἀνεγνώσθη ὁ τόμος, καὶ ἐστέρχθη παρ' αὐτῶν· καὶ ἀναστάντες κατεφίλησαν ἡμᾶς, καὶ γέγονε μεγάλη χαρὰ ἐν μέσῳ ἡμῶν. καθίσας οὖν ὁ πάπας ὥρισεν· Ὁ καιρὸς ἤγγισε τοῦ γεύματος, καὶ ἀπέλθετε· τῇ δὲ εἰκοστῇ ὥρᾳ ἔλθετε ὧδε, ὅπως λατινικῶς γραφέντος τοῦ τόμου, ἀναγνωσθῇ παῤῥησίᾳ ἐν μέσῳ ἡμῶν καὶ ὑμῶν, καὶ οὕτω γένηται τελεία ἀπόφασις· ὃ καὶ γέγονε.

Τῇ οὖν εἰκοστῇ ὥρᾳ ἀπελθόντων ἡμῶν ἀνεγνώσθη λατινικῶς τε καὶ ἑλληνικῶς, καὶ ἐστέρχθη καὶ ἀπεφάνθη. καὶ πάλιν γέγονε

τέλειος ἀσπασμός. καὶ ἔστειλεν ὁ πάπας πρὸς τὸν βασιλέα τὸν Κρήτης Βαλάρεσον, τὸν Κορώνης Χριστόφορον, καὶ τὸν Θωμᾶν διδάσκαλον, καὶ ἀπήγγειλαν αὐτῷ πάντα τὰ τῆς ἑνώσεως· καὶ γέγονε μεγάλη χαρὰ ἐν ἡμῖν. Τῇ δὲ τρίτῃ πρωῒ ἐξελέγησαν μητροπολῖται, καὶ ἀπῆλθον πρὸς τὸν πάπαν, ὁ Ῥωσίας, ὁ Νικαίας, ὁ Τραπεζοῦντος καὶ ὁ Μιτυλήνης. καὶ εἶπεν αὐτοῖς ὁ πάπας.

Ὁ ΠΑΠΑΣ. Ἡμεῖς τῇ τοῦ Θεοῦ χάριτι ἡνώθημεν, καὶ ὁμοφωνοῦμεν εἰς τὸ ζητούμενον καὶ καθολικὸν δόγμα, καὶ οὐκ ἔχομέν τι λέγειν πλέον ἐν ἐκείνῳ. φέρε δὴ καὶ περὶ τοῦ καθαρτηρίου πυρὸς, τῆς ἀρχῆς τῆς πρώτης καθέδρας, καὶ τοῦ ἐνζύμου καὶ τοῦ ἀζύμου, καὶ τῆς θείας μυσταγωγίας ἐξετάσωμεν, ὅπως ἐν ἅπασι γένηται τὸ ἀνεπίληπτον. καὶ ἡ ἕνωσις συντόμως γενήσεται, ὅτι κατεμβαίνει ὁ καιρός.

ΟΙ ΓΡΑΙΚΟΙ. Καὶ ἠρωτήσαμεν ἡμεῖς, ποίου τῶν τοιούτων ἄρξεται. καὶ ἐζητήθη πρῶτον περὶ τῆς θυσίας τοῦ ἐνζύμου καὶ τοῦ ἀζύμου. καὶ διεκρίθη, ὅτι νὰ εἶναι * ἀπὸ σίτου, καὶ ἵνα ὑπάρχῃ ὁ ἱερουργὸς κεχειροτονημένος, καὶ ὁ τόπος καθιερωμένος, καὶ ἵνα ὦσιν ἀδιάφορα ἑκάτερα. Περὶ δὲ τοῦ καθαρτηρίου πυρὸς ἐλύθη οὕτως· ὅτι αἱ ψυχαὶ τῶν δικαίων τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, καθόσον εἰσὶ ψυχαί· καὶ τῶν ἁμαρτωλῶν, τὴν τελείαν κόλασιν· αἱ δὲ μέσαι ὑπάρχουσι μὲν ἐν βασανιστηρίῳ, καὶ εἴτε πῦρ ἐστιν, εἴτε ζόφος καὶ θύελλα, εἴτε τι ἕτερον, οὐ διαφερόμεθα· Περὶ δὲ τῆς ἀρχῆς τοῦ πάπα διεκρίθη οὕτως· ὅσα προνόμια εὑρεθῶσιν, ὅτι εἶχεν ἐξ ἀρχῆς καὶ πρὸ τοῦ σχίσματος, ἵνα ἔχῃ πάλιν αὐτά. Περὶ δὲ τῆς θείας ἱερουργίας ἐζητήθη πρὸς τῶν Λατίνων· πῶς τῶν τοῦ Χριστοῦ ῥημάτων λαληθέντων, τοῦ Λάβετε, φάγετε, τοῦτο γάρ ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ τοῦ Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς καὶ αἰωνίου διαθήκης, μυστήριον πίστεως, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ τῶν ἁγίων δώρων διὰ τούτων τῶν ῥημάτων τελειωθέντων, ὑμεῖς μετὰ ταῦτα ποιεῖτε εὐχὴν, καὶ λέγετε· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ· ἐλύθη καὶ τοῦτο οὕτως. Ἡμεῖς εἴπομεν, ὅτι ὁμολογοῦμεν

* ἵνα ᾖ.

διὰ τῶν ῥημάτων τούτων τελειοῦσθαι τὸν θεῖον ἄρτον, καὶ γίνεσθαι σῶμα Χριστοῦ. ἀλλ᾿ ὕστερον, καθὼς καὶ αὐτοὶ λέγετε· Κέλευσον προσενεχθῆναι τὰ δῶρα ταῦτα διὰ χειρὸς ἁγίου ἀγγέλου εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, οὕτω καὶ ἡμεῖς εὐχόμεθα, λέγοντες, κατελθεῖν τὸ πνεῦμα τὸ ἅγιον ἐφ᾿ ἡμᾶς, καὶ ποιῆσαι ἐν ἡμῖν τὸν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου· καὶ τὸ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου, καὶ μεταβαλεῖν αὐτὰ τῷ πνεύματι αὐτοῦ τῷ ἁγίῳ, ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν· μὴ γίνωνται εἰς κρίμα ἢ εἰς κατάκριμα ἡμῶν. Οὕτω καὶ τούτου λυθέντος, ἐζητήθη περὶ θείας οὐσίας καὶ ἐνεργείας. καὶ ἀπεκρίθημεν· Τοῦτο οὐκ ἔστιν ἡμῶν, ἀλλὰ τῆς συνόδου πάσης τῆς ἀνατολικῆς· καὶ λοιπὸν ἀπέλθωμεν, καὶ εἴπωμεν πάντα τῷ βασιλεῖ.

Τῇ οὖν τετάρτῃ τὸ πρωῒ ἀπήλθομεν πρὸς τὸν πάπαν πάλιν μηνυθέντες, καὶ εὕρομεν αὐτὸν μόνον μετὰ ἑνὸς καρδιναλίου καὶ τῶν δισπουτάντων. καὶ κρατῶν ἀνὰ χεῖρας γραφὴν τετυλιγμένην, φησὶ πρὸς ἡμᾶς.

῾Ο ΠΑΠΑΣ. ῾Ημεῖς τῇ βοηθείᾳ τοῦ θεοῦ ὁμονοοῦμεν κατὰ πάντα, καὶ ἐσμὲν ἡνωμένοι εἰς μίαν ἑνότητα. μικρὸν ἔτι ἔχομεν ζήτημα· καὶ καθὼς προείπομεν, ἐγγράφως δίδομεν ὑμῖν. δέξασθε οὖν αὐτὸ, καὶ τὰ ἐν αὐτῷ συμφωνήσαντες, γενέσθω ἡ ἕνωσις.

῾ΟΙ ΓΡΑΙΚΟΙ. ῾Ημῶν δὲ ζητησάντων ἀναγνωσθῆναι, ἀνέγνωσαν αὐτό· καὶ διελάμβανε ζητήματα τέσσαρα. πρῶτον, ἵνα ὁ ἀποστολικὸς θρόνος, ὁ καὶ βικάριος τοῦ κυρίου ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, ὁ ἄκρος ἀρχιερεὺς ἔχῃ τὰ προνόμια αὐτοῦ, ἤτοι ὁ μακαριώτατος πάπας. καὶ ὃ προσέθηκεν ἐν τῷ ἱερῷ συμβόλῳ, ἔξεστιν αὐτῷ προσθεῖναι, καὶ ἔστι δίκαιον αὐτοῦ, ὡς ἄκρῳ ἀρχιερεῖ. δεύτερον, ὅτι τρεῖς τάξεις εἰσὶν ἐν τοῖς τεθνεῶσι· μία ἡ τῶν ἁγίων, δευτέρα ἡ τῶν ἁμαρτωλῶν, τρίτη ἡ τῶν μέσων, Χριστιανῶν ἁμαρτωλῶν μετανοησάντων καὶ ἐξομολογηθέντων, καὶ μὴ τελειωσάντων τοὺς κανόνας αὐτῶν. ὑπὲρ ὧν καὶ εὐχαὶ καὶ ἐλεημοσύναι προσφέρονται. καὶ ἡ μὲν πρώτη, τῶν ἁγίων δηλονότι, ἀμέσως ὁρᾷ τὴν οὐσίαν τοῦ θεοῦ· ὁμοίως καὶ οἱ ἀπὸ τοῦ ἁγίου βαπτίσματος μὴ ἁμαρτήσαντες, ὅμοιοι γίνονται αὐτοῖς. οἱ δ᾿ ἁμαρτήσαντες καὶ μὴ μετανοήσαντες ἀπελεύσονται εἰς κόλασιν αἰώνιον. οἱ δ᾿ ἁμαρτήσαντες καὶ ἐξομο-

λογησάμενοι, καὶ ἐν τόπῳ μετανοούντων ταχθέντες, ἀπέλθωσιν εἰς τὸ καθαρτήριον πῦρ· καὶ καθαρισθέντες ταχθῶσι καὶ οὗτοι θεωρεῖν ἀμέσως τὴν οὐσίαν τοῦ θεοῦ. τρίτον, ὅτι τὸ ἄζυμον καὶ τὸ ἔνζυμον ἀδιάφορόν ἐστι· μόνον εἰ ἔστιν ἀπὸ σίτου, καὶ ἀπὸ ἱερέως, καὶ ἐπὶ τόπου ἱεροῦ. τέταρτον, ἵνα ζητηθῇ περὶ θείας οὐσίας καὶ ἐνεργείας ἐπὶ συνόδου.

Ταῦτα ἡμεῖς ἀναγνόντες εἴπομεν· Ἡμεῖς οὐκ ἔχομεν ἄδειαν παρὰ τοῦ βασιλέως ἡμῶν ἀπολογήσασθαι τὸ τυχὸν, ἀλλ᾽ ἰδίως ὡς φίλοι ἀπολογούμεθα καὶ λέγομεν· ὅτι τὸ πρῶτον ζήτημά ἐστιν ἀδικώτατον. πῶς γὰρ ἔχομεν ἡμεῖς εἰπεῖν, ἔχειν τὴν ἐκκλησίαν τῆς Ῥώμης ἐξουσίαν προσθεῖναι ἢ ἀφαιρεῖν ἄνευ τῶν ἀδελφῶν αὐτῆς τῶν πατριαρχῶν; διὸ εἰ καὶ τὸ προστεθέν ἐστιν εὐσεβὲς, ἀλλ᾽ ὁ τολμήσας τοῦτο ἄνευ διαγνώσεως συνοδικῆς, οὐκ ἀθωωθήσεται. εἰ δὲ θέλετε, εἴπατε ὅτι ἀδίκως ἐποιήσατε, καὶ μηκέτι ποιῆσαι ἀπὸ τοῦ νῦν τοῦτο, καὶ οὕτω συγχωρήσεως τεύξεσθε. τὸ δὲ περὶ τοῦ καθαρτηρίου πυρὸς, καὶ τοῦτο δεχόμεθα. καὶ τὸ θεωρεῖν τὰς ψυχὰς τὴν οὐσίαν τοῦ θεοῦ, ἀληθῶς προσιέμεθα. τὸ δὲ περὶ τοῦ ἀζύμου καὶ ἐνζύμου, καὶ τοῦτο δεχόμεθα ἀδιακρίτως. τὸ δὲ περὶ τῆς θείας οὐσίας καὶ ἐνεργείας, οὐδ᾽ ὅλως ἀπολογούμεθα· ἠνάγκαζον γὰρ ἡμᾶς δέξασθαι τὴν γραφήν· ἀλλ᾽ ἡμεῖς ὁρισμὸν μὴ ἔχοντες βασιλικὸν, οὐκ ἐδεξάμεθα αὐτήν. καὶ λοιπὸν ἄνευ γραφῆς παραγενόμεθα εἰς τὸν βασιλέα, καὶ διὰ ζώσης φωνῆς ἅπαντα εἴπομεν αὐτῷ, ὁμοίως καὶ τῷ πατριάρχῃ, καὶ ἀπήλθομεν ἕκαστος· ὥρα γὰρ ἦν τοῦ γεύματος. Ἑσπέρας οὖν ἄφνω μήνυμα ἦλθεν ἡμῖν τῇ αὐτῇ τετάρτῃ, λέγον, ὅτι ὁ πατριάρχης ἀπέθανε. καὶ συγχύσεως γεγονυίας, ἀπήλθομεν πάντες ἰδεῖν, τίς ἡ τοῦ θανάτου αἰτία· καὶ εὕρομεν αὐτὸν νεκρόν. ἐμάθομεν οὖν παρὰ τῶν αὐτοῦ, ὅτι δειπνήσας ἀπῆλθεν ἐν τῷ κουμεντίῳ αὐτοῦ κατὰ τὴν αὐτοῦ συνήθειαν, καὶ λαβὼν χάρτην καὶ κόνδυλον ἔγραφε· κἀκεῖσε τρόμου καὶ κλόνου ἐπιστάντος αὐτῷ, ἐξέψυξε. τοῦτο οὐ μικρῶς ἡμᾶς ἐτάραξεν εὑρόντες δὲ τὴν πρὸ μικροῦ γραφεῖσαν αὐτῷ γραφὴν, ἀνέγνωμεν, ταῦτα διαλαμβάνουσαν.

Ἡ τελευταία γνώμη τοῦ πατριάρχου.

Ἰωσὴφ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐπειδὴ πρὸς τὸ τέλος ἔφθασα τῆς ἐμῆς ζωῆς, βουλόμενος τελειῶσαι τὸ κοινὸν ὀφείλημα ἤδη, χάριτι θεοῦ γράφω καὶ ὑπογράφω τὴν ἐμὴν δόξαν φανερῶς τῇ ἐμῇ υἱότητι. πάντα οὖν ἅτινα νοεῖ, καὶ ἅτινα δογματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς πρεσβυτέρας Ῥώμης, καὶ αὐτὸς ἐγὼ νοῶ, καὶ ἐπὶ τούτοις ἐμὲ συμπειθόμενον ἀφιερόνω. ἔτι τὸν μακαριώτατον πατέρα πατέρων, καὶ μέγιστον ἀρχιερέα, καὶ τοποτηρητὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης ὁμολογῶ εἰς πάντων ἀσφαλότητα. ἔτι τῶν ψυχῶν τὸ καθαρτήριον. εἰς γὰρ τὴν περὶ τούτων ἀσφάλειαν ὑπεγράφη κατὰ ἐνάτην τοῦ ἰουνίου μηνὸς, χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ, ἰνδικτιῶνος δευτέρας.

Τῇ πέμπτῃ οὖν πρωὶ συναχθέντες πάντες ἡμεῖς ἐβουλεύθημεν ἅμα τῷ βασιλεῖ, πῶς αὐτὸν ὁσίᾳ ταφῇ μετὰ προπομπῆς ἀρκετῆς τοῦ ἀξιώματος αὐτοῦ παραδώσωμεν. καὶ μηνύσας ὁ βασιλεὺς τῷ πάπᾳ τοῦ δοῦναι ναὸν εἰς τὸ θάψαι αὐτὸν, καὶ ἐγχώρησιν τῆς ἱεροτελεστίας ἡμῶν, παρεκάλεσε μηκέτι θέλειν αὐτὸν προπομπὴν, ἀλλὰ μόνον ταχεῖαν τὴν ἐξέλευσιν καὶ τὸν τόπον τοῦ τάφου αὐτοῦ. ἄλλο γὰρ, φησιν, οὐ θέλομεν ἀφ' ὑμῶν, εἰ μὴ τόπον τοῦ ἀποδοῦναι τὸν χοῦν τῷ χοΐ. Τούτων γενομένων παρῆλθον ὧραι τῆς ἡμέρας ἐννέα, καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐλάβομεν τὸν νεκρὸν τοῦ πατριάρχου, καὶ ἀπήλθομεν φοροῦντες τὰς ἀρχιερατικὰς στολὰς ἐν τῷ ναῷ τῆς ἁγίας Μαρίας τῆς Νοβέλλας· καὶ ἐπληρώσαμεν ἐντὸς τοῦ ναοῦ πάντα τὰ τῆς ταφῆς. καὶ ἀσπασθέντες κατὰ τὸ ἔθος, ἐθάψαμεν αὐτὸν ἐντὸς τοῦ ναοῦ, πρὸς τὸ μέρος τοῦ σκευοφυλακίου πρὸς μεσημβρίαν. ἐποίησαν δὲ πολλὴν τιμὴν εἰς τὴν προπομπὴν αὐτοῦ οἵ τε καρδινάλιοι, ἀρχιεπίσκοποι, ἐπίσκοποι, καὶ σὺν αὐτοῖς οἱ αὐθένται καὶ οἱ ἄρχοντες τῆς Φλωρεντίας. καὶ λοιπὸν ὁ πατριάρχης ἀπέθανεν ἐν Φλωρεντίᾳ, μηνὶ ἰουνίῳ, ἐνάτῃ, ἰνδικτιῶνος δευτέρας, καὶ

ἐτάφη λαμπρῶς ἐν τῷ μοναστηρίῳ τῶν μοναχῶν τοῦ σχήματος τοῦ ἁγίου Δομενίκου, ἐν τῷ ναῷ αὐτοῦ, ἔνθα καὶ ὁ πάπας ἦν κατοικῶν.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἡμεῖς δὲ ἐμηνύσαμεν τῷ πάπᾳ, ἵνα γένηται τέλος, ὅτι οὐ δυνάμεθα πλέον ὑπομένειν, καὶ μάλιστα ὅτι τανῦν οὐκ ἔχομεν πατριάρχην.

Ὁ ΠΑΠΑΣ. Ἐμήνυσεν οὖν ὁ πάπας τῇ ἐπαύριον τῷ Ῥωσίας, τῷ Νικαίας καὶ τῷ Μιτυλήνης, καὶ ἀπῆλθον ἐκεῖσε. καὶ ὥρισε πρὸς αὐτοὺς, ὅτι ὁ θάνατος τοῦ πατριάρχου ἔθλιψεν αὐτὸν πολλὰ, καὶ μάλιστα διὰ τὸ ἅγιον ἔργον τῆς ἑνώσεως, ὅτι διέκειτο καλῶς πρὸς αὐτό. νῦν οὖν λυποῦμαι, φησι, πῶς οὐ σπουδάζετε τελειῶσαι τὸ εὐσεβὲς ἔργον τοῦτο, καθὼς χρή. ἡμεῖς γὰρ λέγομεν, ὅτι ἐπειδὴ ἐτελειώσαμεν τὸ ἄρθρον ἐκεῖνο τῆς πίστεως, ὃ εἴχομεν ἀναγκαῖον, χρὴ τελειῶσαι καὶ τὰ ἑπόμενα, ὅπως γένηται ἡ ἕνωσις ἀσκανδάλιστος καὶ βεβαία καὶ μόνιμος· ὁποῖά εἰσι ταῦτα, τὸ τοῦ ἐνζύμου καὶ τοῦ ἀζύμου, τὸ τοῦ καθαρτηρίου, τὸ τῆς ἀρχῆς τοῦ πάπα, καὶ τὸ τῆς προσθήκης, καὶ τὸ περὶ τῆς τελετῆς τῶν μυστηρίων. Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἡμεῖς ἄδειαν οὐκ ἔχομεν ἀπὸ τῆς ἀνατολικῆς συνόδου ἀποκριθῆναι, ἀλλ' ἰδίως ἀφ' ἑαυτῶν ἀπολογούμεθα· ὅτι τὸ ἔνζυμον ἡμῖν ἐστι πατροπαράδοτον, ὁμοίως καὶ τὸ ἄζυμον ἐφ' ὑμῶν· καὶ ἔστωσαν ἀδιάφορα. τὸ καθαρτήριον, οὔτε δι' αὐτὸ ἐσχίσθημεν, οὔτε ἀναγκαῖόν ἐστι. λοιπὸν γενέσθω ἡ ἕνωσις καὶ μετὰ ταῦτα περὶ τούτου σκεψόμεθα. τὸ τῆς ἀρχῆς τοῦ πάπα, λέγομεν, ὅτι μετὰ τὴν ἕνωσιν ὅσον ἀναφανῇ δίκαιον ἔχειν, ἐχέτω. τὸ τῆς προσθήκης, ἡμεῖς οὐ δεξόμεθα πώποτε ταύτην, ἀλλ' ἐγχωροῦμεν ὑμῖν ἔχειν ταύτην, ἐν ταῖς ὑμῶν ἐκκλησίαις, οὐ μὴν ἐν ταῖς τῆς ἀνατολῆς. καὶ λέγομεν, ὅτι ἀνάγκης κατεπειγούσης ἀνεπτύξατε τὸ σύμβολον· καὶ οὐ λέγομεν τὴν Ἐκ τοῦ υἱοῦ φωνὴν, ἢ ἑτέραν πίστιν ἢ προσθήκην τινὰ, ἀλλ' εὐσεβῆ, καὶ σαφήνειαν τοῦ ἡμετέρου συμβόλου· καὶ εἰσὶ τὰ σύμβολα ἀμφότερα εὐσεβῆ, καὶ ὡμονοημένα λέγεσθαι ἐν τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ καθὼς ὑμεῖς λέγετε, καὶ ἐν τῇ ἀνατολικῇ καθὼς αὐτοὶ ἡμεῖς λέγομεν, καὶ οὕτω γενέσθω ἡ ἕνωσις. τὸ τῶν μυστηρίων, ὁμολογοῦμεν ὅτι τελειοῦνται διὰ τῶν κυριακῶν φωνῶν, εἰ καὶ ὕστερον ἡμεῖς ἐπικαλούμεθα· Γενέσθω σῶμα καὶ αἷμα Χριστοῦ.

Ταῦτα ἀποκριθέντων ἡμῶν, κἀκείνων πάλιν ὅμοια εἰπόντων ἡμῖν, ὅσον τὸ εἰς ἡμᾶς πάντα ἐλύσαμεν· καὶ τὸ ἱκανὸν τῷ πράγματι ἐπιθέντες ἀνεχωρήσαμεν, καὶ ἐλθόντες ἀπηγγείλαμεν πάντα τῷ βασιλεῖ. Ταῦτα ἀκούσας ὁ βασιλεὺς, οὐκ ἤρεσεν αὐτῷ, ἀλλὰ τῷ σαββάτῳ πρωῒ συνήγαγε πάντας τοὺς ἀρχιερεῖς, καὶ ὅλην τὴν ἐκκλησίαν, καὶ ὅλην ἁπλῶς τὴν ἀνατολικὴν σύνοδον, καὶ ὥρισε πάντα ὅσα προέβησαν καίρια ἡμῖν. καὶ ἐξελέξαντο συνοδικῶς εἰπεῖν περὶ τῶν τριῶν τούτων, τὸ τοῦ ἀζύμου καὶ ἐνζύμου, τὸ περὶ τῆς ἀρχῆς τοῦ πάπα, καὶ περὶ τῆς προσθήκης· τὸ δὲ περὶ τοῦ καθαρτηρίου, καὶ τῆς τελειώσεως τῶν δώρων καταλιπεῖν, καὶ μηδ' ὅλως εἰπεῖν περὶ αὐτῶν, ἀγνοοῦντες, ὡς οἶμαι, τὴν ἀληθῆ τοῦ πράγματος περαίωσιν. Τούτων οὕτω βουλευθέντων, ἐμήνυσεν ὁ βασιλεὺς τοῖς καρδιναλίοις ἐλθεῖν· καὶ ὑπεσχέθησαν ἐλθεῖν τῇ εἰκοστῇ ὥρᾳ τοῦ σαββάτου· οἳ καὶ ἐλθόντες ἀντέστησαν τῷ βασιλεῖ, λέγοντες· Οὐκ ἔστι δυνατὸν ἑνωθῆναι τὴν ἐκκλησίαν, ἂν μὴ προστεθῶσιν αἱ δύο ζητήσεις αὗται, ἡ τοῦ καθαρτηρίου, καὶ ἡ τῆς ἱερουργίας. Ὁ δὲ βασιλεὺς οὐ κατεπείσθη. Ἀλλ' οἱ Λατῖνοι, τὸ περὶ καθαρτηρίου μόνον ἐζήτουν τεθῆναι ἐν τῷ ὅρῳ, τὸ δὲ περὶ τῆς τελειώσεως τοῦ ἁγίου ἄρτου διὰ ζώσης εἰπεῖν φωνῆς. Τούτων λαληθέντων παρῆλθον δύο ἡμέραι, καὶ ἕτερον οὐκ ἦν ζήτημα, εἰ μὴ περὶ τοῦ καθαρτηρίου καὶ τῆς τελειώσεως τῶν δώρων. Τῇ δὲ δευτέρᾳ ἦλθον μηνυταὶ ἀπὸ τοῦ πάπα εἰς τὸν βασιλέα, λέγοντες· Τίνι λόγῳ οὐ σπουδάζετε περαιωθῆναι τουτὶ τὸ ἔργον; οὐκ ἔστι δίκαιον, πράγματος ζητηθέντος, ἵνα περαιωθῇ; ἀλλ' ὅμως συνεφώνησαν ἰδεῖν τῇ τρίτῃ τὸν πάπαν ὁ βασιλεὺς καὶ ὁ δεσπότης, ἀλλὰ καὶ μητροπολῖταί τινες ἀπήλθομεν. καὶ καθίσαντες μετὰ τῶν καρδιναλίων καὶ ἐπισκόπων, ἐδημηγόρησεν ὁ πάπας λέγων οὕτως.

Ὁ ΠΑΠΑΣ. Τί ἔδει ποιῆσαι ὑμῖν περὶ τοῦ εὐλογημένου τούτου ἔργου, καὶ οὐκ ἐποίησα; τί ἐστιν ἡ τοσαύτη πλημμέλεια; τί αναμένετε ἀκαίρως ἐνταῦθα; τὸ δι' ὃ ὑπήρχομεν διῃρημένοι, ἡνώθημεν, καὶ τὸ μὴ βλάπτον ἐμποδίζει ἡμᾶς; οὐκ ἐξητάσθη τὸ τοῦ καθαρτηρίου δόγμα ἐν Φερραρίᾳ πολλάκις; οὐ πρέπει τεθῆναι ἐν τῷ ὅρῳ, ὡς δόγμα τῆς ἐκκλησίας ἡμῶν; τίνι λόγῳ οὐ πείθεσθε; ἀλλ' ὅμως ἐπειδὴ ἐζήτησεν ὁ γαληνότατος κύριος ὁ βασιλεὺς ἀκοῦσαι

περὶ τῆς ἀρχῆς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, καὶ περὶ τῶν ἀζύμων, ἐξελεξάμεθα τοὺς παρόντας δύο διδασκάλους, τόν τε προβιντζιάλιον φρὰ Ἰωάννην καὶ τὸν φρὰ Ἀμβρόσιον· οἵτινες, ὁ μὲν περὶ τοῦ ἑνὸς, ὁ δὲ περὶ τοῦ ἑτέρου ἐξηγήσονται. Καὶ δὴ ἤρξατο ὁ φρὰ Ἰωάννης περὶ τῆς ἀρχῆς τοῦ πάπα, καὶ ἔλεγε μίαν ὥραν καὶ πλέον, ἀπὸ κανόνων, νόμων καὶ ἐπιστολῶν βεβαιῶν τὰ παρ' αὐτοῦ λεγόμενα. σιωπήσαντος δὲ ἐκείνου, ἤρξατο ὁ ἄλλος περὶ τῶν ἀζύμων, εἰπὼν κἀκεῖνος ἀπὸ τοῦ νόμου καὶ ἀπὸ τῶν εὐαγγελιστῶν, ὅσον τοῦ ἱκανοποιῆσαι τὰ παρ' αὐτοῦ λεγόμενα. Τούτων δὲ παυσαμένων, ἤρξατο πάλιν ὁ πάπας λέγων.

Ὁ ΠΑΠΑΣ. Ἡμεῖς τὰ τοιαῦτα οὐκ εἴχομεν κατὰ νοῦν εἰπεῖν, ἀλλὰ πληροῦντες τὸ θέλημα τοῦ γαληνοτάτου βασιλέως, ταῦτα ὡρίσαμεν εἰπεῖν. νῦν οὖν πάντα εἰσὶν τετελεσμένα, καὶ οὐ δέονται ἐξετάσεως. ἓν μόνον ἐστὶν ἀναγκαῖον, ἵνα γένηται ὁ ὅρος καὶ ἡ ἕνωσις τῶν ἐκκλησιῶν τοῦ θεοῦ. Ἀπεκρίθη ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς οὐδὲν λέγομεν εἰ μὴ, ὁ καιρὸς ἤγγικε, καὶ ἔστιν ἀναγκαῖον ἑτοιμάσαι ἡμῖν ἀπελθεῖν. Ἀπεκρίθη ὁ πάπας.

Ὁ ΠΑΠΑΣ. Περὶ τούτου ἐφρόντισα καὶ μέλλω φροντίσαι· ἔστειλα γὰρ κατὰ τὸν καιρὸν καπετάνιον ἐν τῇ Βενετίᾳ ἑτοιμάσαι κάτεργα. καὶ πάλιν εἴ τι δέεται ἡ ἐπάνοδος, προθύμως ποιήσω. πλὴν καὶ ὑμεῖς λάβετε τὸ χαρτίον τοῦτο, καὶ ἰδόντες ἀποκρίθητε ἡμῖν. Ὁ δὲ βασιλεὺς προσκαλεσάμενος τοὺς ἀρχιερεῖς ἐβουλεύσατο. καὶ ἔδοξεν αὐτῷ μηδ' ὅλως λαβεῖν, τῶν ἀρχιερέων ἀναγκαζόντων λαβεῖν αὐτό. καὶ δὴ καθισάντων αὐτῶν εἶπεν ὁ βασιλεύς.

Ὁ ΒΑΣΙΛ. Ἡμεῖς ὅσον εἴχομεν, εἴπομεν τοῖς καρδιναλίοις, καὶ πλέον οὐδὲν λέγομεν· ὁ καιρὸς δὲ ἤγγικε, καὶ πλέον οὐ δυνάμεθα πλημμελεῖν. Ταῦτα ἀκούσας ὁ πάπας ἀναστὰς ἀπῆλθεν, ὡς ἔδειξε, λυπούμενος. ἀλλὰ μακρόθυμος ὢν τῷ καρδιναλίῳ Ἰουλιανῷ παρεχώρησε, καὶ ἐθεράπευσε τὸν βασιλέα, εἰπών· ὅτι στεῖλον ἄρχοντά σου, καὶ ἡμεῖς γράμματα, ὅπως οἰκονομῶνται τὰ κάτεργα. ἀλλὰ ἀξιοῦμεν ἵνα μήνῃς, καὶ ὁ δεσπότης μετὰ σοῦ, ἕως οὗ δώσῃ ὁ θεὸς τέλος τῷ πράγματι· καὶ οὕτω μετὰ σοῦ ἀπέλθῃ μετὰ δόξης πολλῆς. θέλομεν δώσειν καὶ ἐξόδους ἕως Βενετίας, καὶ βοήθειαν ἕως τῆς πόλεως, καὶ μηδὲν ἔχῃ λογισμὸν ἡ βασιλεία σου. Τούτων ῥηθέντων ἤλθομεν ἐν τῷ οἴκῳ τοῦ βασιλέως, καὶ συνήχθημεν πάντες

ἐκεῖ, καὶ ἐξητάσαμεν τὰ ζητήματα τῶν Λατίνων, καὶ εὕρομεν αὐτὰ πέντε, καὶ πάντα δίκαια καὶ καλά. πρῶτον, τὸ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος· δεύτερον, τὸ τοῦ ἀζύμου τε καὶ ἐνζύμου· τρίτον, τὸ τῆς ἀρχῆς τοῦ πάπα· τέταρτον, τὸ τῆς προσθήκης· πέμπτον, τὸ τοῦ καθαρτηρίου. Καὶ ἠναγκάσαμεν τὸν βασιλέα πολλὰ, ἡμεῖς πάντα στέργομεν, εἰπόντες, καὶ γενέσθω τέλος τοῦ πράγματος· τίνα γὰρ ἀμφιβολίαν ἔχομεν εἰς τὸ τοῦ καθαρτηρίου ζήτημα; τὸ ζήτημα τοῦτο ἦν ἀμφιβαλλόμενον ἐν ἡμῖν, ἐπεὶ ἔλεγον, ὅτι θεωροῦσιν οἱ ἅγιοι ἀμέσως τὸν Θεὸν, καὶ ὅτι αἱ ψυχαὶ τῶν μετανοησάντων ἁμαρτωλῶν καθαρίζονται δι' εὐχῶν. λοιπὸν ὑπὲρ τούτου ἦν ἡ πλημμέλεια· ἀλλ' ἡμεῖς καὶ τοῦτο εὐσεβῶς δεχόμενοι ἠναγκάζομεν τὸν βασιλέα τελειῶσαι τὸ ἔργον· ὁ δὲ οὐκ ἤθελε. Τῇ τετάρτῃ οὖν τὸ πρωῒ, μηνὶ ἰουνίῳ, ἑπτακαιδεκάτῃ, ἀπήλθομεν ἐν τῷ τάφῳ τοῦ πατριάρχου, καὶ ἐψάλαμεν τὰ ἔνατα αὐτοῦ. Καὶ ἀπὸ τοῦ γεύματος ἐμήνυσεν ὁ βασιλεὺς διὰ τοῦ Νικαίας καὶ τοῦ Μιτυλήνης, ἵνα ἔλθωσι πάντες οἱ τοποτηρηταὶ τῶν τριῶν ἁγιωτάτων πατριαρχῶν ἐν τῷ κελλίῳ αὐτοῦ. καὶ δὴ ἦλθον, ὁ μητροπολίτης Ἡρακλείας κῦρις Ἀντώνιος, τοποτηρητὴς ὢν τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυρίου Φιλοθέου· καὶ ὁ τιμιώτατος πνευματικὸς κῦρις Γρηγόριος, τοποτηρητὴς καὶ αὐτὸς τῆς αὐτῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας· ὁ μητροπολίτης Ἐφέσου κῦρις Μάρκος, τοποτηρητὴς καὶ αὐτὸς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας, ἔτι δὲ καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Ἰωακείμ· ὁ μητροπολίτης Μονεμβασίας κῦρις Δοσίθεος, τοποτηρητὴς τῆς αὐτῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων· ὑπῆρχε δὲ τῆς αὐτῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων τοποτηρητὴς καὶ ὁ μητροπολίτης Σάρδεων κῦρις Διονύσιος, ὅστις τέθνηκεν ἐν τῇ Φερραρίᾳ· ἐλθόντες δὲ οἱ τοποτηρηταὶ ἐνταῦθα, ἦλθον καὶ μετὰ τοῦ Νικαίας καὶ τοῦ Μιτυλήνης καὶ ἕτεροι μητροπολῖται ὀκτὼ, οἱ ὁμονοήσαντες ἐκ τῶν ἀρχιερέων· οἵτινές εἰσιν οὗτοι· ὁ Λακεδαιμονίας, ὁ Ῥόδου, ὁ Νικομηδείας, ὁ Δίστρας, ὁ Γάννου, ὁ Δράμας, ὁ Μελενίκου· οὗτοι δὲ πάντες ἤθελον τὴν ἕνωσιν. ἐποίησε δὲ ὁ βασιλεὺς ταύτην τὴν σύναξιν, ἵνα διαλεχθῶσιν οἱ ἀρχιερεῖς μετὰ τοῦ Ἐφέσου,

ἐπεὶ τοποτηρητὴς ὑπῆρχε τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων πατριαρχῶν. πάντων οὖν συναχθέντων ἐν τῷ κελλίῳ τοῦ βασιλέως καὶ καθισάντων, ἤρξαντο οἱ ἀρχιερεῖς τῆς διαλέξεως μετὰ τοῦ Ἐφέσου, βουλόμενοι τάχα τὸν Ἐφέσου ἑλκύσαι πρὸς ἑαυτούς. εἶπον δὲ πάντες οἱ ἀρχιερεῖς πλήρη πολλὰ, τοῦ βασιλέως ἀκροωμένου καὶ μηδὲν λέγοντος. μετὰ δὲ τὸ εἰπεῖν πάντας τοὺς ἀρχιερεῖς, τότε ἤρξατο καὶ ὁ Ἐφέσου εἰπεῖν τὰ αὐτοῦ. εἶπε δὲ καὶ αὐτὸς πλήρη πολλὰ ἀπὸ τῶν εὐαγγελιστῶν, ἀπὸ τῶν ἁγίων, ἀπὸ τῶν συνόδων, ἀπὸ ἐπιστολῶν, ἀπὸ κανόνων καὶ ἀπὸ τῶν παραδειγμάτων. δεικνύων καὶ λέγων, ὅτι τὸ ἅγιον πνεῦμα ἐκπορεύεται ἐκ τοῦ πατρὸς, καὶ ὅτι τὸ ἅγιον σύμβολον οὐ δέεται προσθήκης, οὐδὲ ἀναπτύξεως. ἔλεγε γὰρ, ὅτι οὐ πείθεται ἔχειν αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος τοῦ ἁγίου, ἀλλ' οὐδὲ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὡς ἀπὸ μιᾶς ἀρχῆς, καὶ ἕτερα πολλὰ, ἕως οὗ ἡ ἑσπέρα κατῆλθε. καὶ πάντων τῶν ἀρχιερέων διαλεχθέντων μετ' αὐτοῦ, οὐδὲ ἤνυσαν, ἀλλ' ἔμεινεν ὁ κολοιὸς κολοιὸς, ἡμεῖς δὲ ὑπεμένομεν.

Τῇ δὲ πέμπτῃ ἐμήνυσεν ὁ πάπας τῇ ἐκκλησίᾳ τῇ ἀνατολικῇ ἀπελθεῖν πρὸς αὐτόν· καὶ δὴ ἀπελθόντων, προετρέψατο δύο διδασκάλους, καὶ ἐξηγήθησαν πάλιν περὶ τῶν προνομιῶν αὐτοῦ. Ὅτι ἐστὶν ἄκρος ἀρχιερεὺς, καὶ ὅτι διάδοχος τοῦ Πέτρου, καὶ τοποτηρητὴς τοῦ Χριστοῦ, κρίνει τε καὶ ἰθύνει τὴν καθολικὴν ἐκκλησίαν ὡς διδάσκαλος καὶ ποιμήν. εἶτα ἐδίδαξαν καὶ περὶ τοῦ θείου ἄρτου, ὅτι τὰ κυριακὰ λόγια ἁγιάζουσιν αὐτὸν, καὶ μεταποιοῦσιν εἰς σῶμα Χριστοῦ, οὐ μὴν αἱ τῶν ἱερέων εὐχαί. καὶ πολλὰ περὶ τούτων εἰπόντων αὐτῶν, ἐξήλθομεν τοῦ πάπα. καὶ ἀπὸ τοῦ γεύματος συνήχθημεν εἰς τὸν βασιλέα, καὶ ἐξηγήθημεν αὐτῷ πάντα, ἐπεὶ οὐκ ἦν μεθ' ἡμῶν ἐν τῷ πάπᾳ. Ταῦτα ἀκούσας ὁ βασιλεὺς, καὶ τὰς βίβλους κελεύσας κομισθῆναι, ἠρξάμεθα ἐρευνᾶν τὰ τῶν ἐκκλησιῶν προνόμια. παρελθούσης οὖν ἐν τούτοις καὶ τῆς παρασκευῆς, τῷ σαββάτῳ συνήχθημεν πάλιν πρὸς τὸν βασιλέα, καὶ σκεψάμενοι περὶ πάντων οὐδὲν συνεπεράναμεν· ἀλλὰ τῇ κυριακῇ τὸ πρωῒ ἐγράψαμεν καὶ ἐστέρξαμεν τὰ προνόμια τοῦ πάπα, πλὴν δύο τινῶν ἵνα μὴ συναθροίζῃ σύνοδον οἰκουμενικὴν ἄνευ τοῦ βασιλέως καὶ τῶν πατριαρχῶν, εἴπερ ἔλθωσιν· εἰ δὲ μηνυθῶσι καὶ

οὐκ ἔλθωσιν, ἵνα μὴ διὰ τοῦτο ἀπομείνῃ ἡ σύνοδος. καὶ τὸ δεύτερον, εἴ τις νομίζοι ἀδικεῖσθαι παρά τινος τῶν πατριαρχῶν, καὶ ἔλθοι ὁ ἐκκαλούμενος τὴν ἔκκλητον, ἵνα μὴ ἔρχωνται οἱ πατριάρχαι ἀπαντῶντες καὶ κρινόμενοι, ἀλλ' ὁ πάπας πέμποι ἐξεταστὰς κατὰ χώραν, κἀκεῖσε παρουσῶν τῶν ὑποθέσεων τοπικῶς ποιεῖν τοῖς ἀδικουμένοις τὸ δίκαιον. Ταῦτα τῇ κυριακῇ πρωῒ ποιήσαντες παρεκαλέσαμεν τὸν βασιλέα· καὶ ἀπῆλθεν εἰς τὸν πάπαν πρὸς τὴν ἑσπέραν, εἰπεῖν ὅσα ἐπράξαμεν, καὶ ὅσα προνόμια δεδώκαμεν αὐτῷ. ἀλλ' ὁ πάπας σὺν τῇ συνόδῳ αὐτοῦ εἰπὼν βουλευθῆναι, καίτοι γε ἡδέως ἀκούσας ταῦτα, τῇ δευτέρᾳ εἶπεν ἀποκριθῆναι, ἥτις ἦν εἰκοστὴ δευτέρα τοῦ ἰουνίου μηνός.

Ὁ ΠΑΠΑΣ. Τῇ δευτέρᾳ οὖν ἀπέστειλε καρδηναλίους τρεῖς πρὸς τὸν βασιλέα, καὶ ἀπελογήσατο· ὅτι θέλει τὰ προνόμια πάντα τῆς ἐκκλησίας αὐτοῦ, καὶ θέλει ἔχειν τὴν ἔκκλητον, καὶ ἰθύνειν καὶ ποιμαίνειν πᾶσαν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ὥσπερ ποιμὴν τῶν προβάτων· πρὸς τούτοις ἵνα ἔχῃ ἐξουσίαν καὶ δύναμιν συγκροτεῖν σύνοδον οἰκουμενικὴν, ὅτε δεήσει, καὶ πάντας τοὺς πατριάρχας ὑπείκειν τῷ θελήματι αὐτοῦ.

Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἀπήλπισε, καὶ οὐκ ἀπεκρίθη αὐτοῖς, εἰ μή· Οἰκονομήσατε ἡμᾶς ἀπελθεῖν, εἴπερ ἔχετε θέλημα· καὶ ἀπῆλθον οἱ καρδινάλιοι. Κατέλαβε δὲ καὶ ἡ ἑορτὴ, τὸ γενέσιον τοῦ τιμίου Προδρόμου· καὶ διὰ τὸ τοὺς Φλωρεντίνους λαμπρῶς ἑορτάζειν ταύτην τὴν ἑορτὴν, γέγονε σιωπὴ μέχρι καὶ αὐτῆς τῆς εἰκοστῆς πέμπτης τοῦ ἰουνίου μηνός.

Τῆς οὖν εἰκοστῆς πέμπτης καταλαβούσης, ἡμεῖς ἐλυπούμεθα, ὅτι οὐκ ἦν ἐλπὶς ἑνώσεως· καὶ ἦν ἐν ἡμῖν κατήφεια καὶ θλίψις πολλή. ἀλλ' ὁ τῶν ἁπάντων προνοητὴς Θεὸς οὐ κατέλιπεν ἡμᾶς· ἀλλὰ διήγειρε τόν τε Ῥωσίας, τὸν Νικαίας, τὸν Μιτυλήνης καὶ ἄλλους τινὰς μεσιτεύσοντας. καὶ οἱ μὲν ἐθαρσοποίησαν τὸν πάπαν, οἱ δὲ τὸν βασιλέα· καὶ ἁπλῶς ἐποίησαν τρόπον τινὰ, καὶ ὁ μὲν πάπας ἐμήνυσε τῷ βασιλεῖ, ὁ δὲ βασιλεὺς ὑπήκουσε τῷ πάπᾳ· καὶ ἑνωθέντες ἐβουλεύθησαν, καὶ βουλευθέντες ἐσύναξαν ἡμᾶς. καὶ τῇ παρασκευῇ ἐξελεξάμεθα ἀφ' ἡμῶν τέσσαρας, καὶ οἱ Λατῖνοι ἄλλους τέσσαρας· καὶ πάντων συναχθέντων ἐν τῷ παλατίῳ τοῦ πάπα, οἱ μὲν ἐκλεγέντες διελέγοντο ἐν τόπῳ τινὶ, ἡμεῖς δὲ ἐν τῷ

τρικλίνῳ μετὰ τοῦ βασιλέως ἐκαθεζόμεθα εἰς τοσοῦτον, ὅτι παρέτεινεν ὁ καιρός. καὶ ἐποίησεν ὁ πάπας διάκρισιν ἡμῖν, κουφέτα καὶ οἶνον κεράσας πᾶσιν ἡμῖν. ἀλλ' οὐδὲν ἐγένετο τῶν δεόντων, εἰ μὴ ὅτι ἤλθομεν ἐν τῷ οἴκῳ τοῦ βασιλέως, κἀκεῖσε βουλευθέντες συνεφωνήσαμεν, καὶ ἐγράψαμεν οὕτως.

Περὶ τῆς ἀρχῆς τοῦ πάπα, ὁμολογοῦμεν αὐτὸν ἄκρον ἀρχιερέα καὶ ἐπίτροπον καὶ τοποτηρητὴν καὶ βικάριον τοῦ Χριστοῦ, ποιμένα τε καὶ διδάσκαλον πάντων Χριστιανῶν, ἰθύνειν τε καὶ κυβερνᾶν τὴν ἐκκλησίαν τοῦ θεοῦ; σωζομένων τῶν προνομίων καὶ τῶν δικαίων τῶν πατριαρχῶν τῆς ἀνατολῆς· τὸν Κωνσταντινουπόλεως δεύτερον εἶναι μετὰ τὸν πάπαν; εἶτα τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας μετὰ τοῦτον, εἶτα τὸν Ἱεροσολύμων.

Ταῦτα γράψαντες, ἐστήσαμεν μηκέτι ἢ γράψαι ἢ ποιῆσαί τι· ἀλλὰ τούτου μὴ δεχθέντος παρὰ τοῦ πάπα, ἄλλο τι πλέον μὴ γενήσεται. καὶ τοῦτο στείλαντες τῇ ἑσπέρᾳ τῆς παρασκευῆς ἐμάθομεν, ὅτι ἐδέξατο αὐτὸ ἡδέως, καὶ ἀνεπαύθημεν.

Τῷ σαββάτῳ δὲ πρωῒ ἀπῆλθε πᾶσα ἡ ἐκκλησία τῆς ἀνατολῆς ἐν τῷ ναῷ τῆς Νοβέλλας, ἔνθα ἐστὶν ὁ τάφος τοῦ πατριάρχου, καὶ ἐποίησαν μνημόσυνον αὐτῷ. ἐξελθόντων τοίνυν τοῦ μνημοσύνου, ἀπῆλθεν ὁ Ῥωσίας μετὰ τοῦ Μιτυλήνης εἰς τὸν πάπαν, καὶ εἶπον αὐτῷ.

ΟΙ ΓΡΑΙΚΟΙ. Ἰδοὺ ὁ γαληνότατος βασιλεὺς συνεκατέβη εἰς πάντα ὅσα ἐζήτησεν ἡ μακαριότης σου· ἀλλὰ καὶ ἡμεῖς πάντες, ὅσα ἔχρῃζες, ἐποιήσαμεν· καὶ δι' οὐδὲν ἄλλο παρῃτησάμεθα ἀντιστῆναι, εἰ μὴ διὰ τὴν συντομίαν τοῦ πράγματος· καὶ ἐὰν ἔχομέν τι εἰπεῖν, κατελίπομεν αὐτὸ διὰ τῶν Βενετίκων κατέργων τὴν ταχεῖαν ἐξέλευσιν. διὸ πολλῶν ἑορτῶν παρελθουσῶν οὐκ ἐγένετο ἡ ἕνωσις· νῦν δὴ τῶν πρωτοκορυφαίων ἡ μνήμη καταλαβοῦσα, ταύτην ἡμῖν ἐφιλοτιμήσατο, καὶ οὐκ ἀθεεί, ἐπεὶ σὺ διάδοχος αὐτῶν, καὶ ὤφειλον δοῦναί σοι τὸν τοιοῦτον στέφανον ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ ἔλαβον αὐτοὶ τὸν ἀμαράντινον στέφανον. σπούδασον οὖν, ἵνα συλλειτουργήσωμεν ἐν τῇ ἑορτῇ αὐτῶν.

Ὁ ΠΑΠΑΣ. Ταῦτα ἀκούσας ὁ πάπας, ἡδέως αὐτοῖς ἀπεκρίνατο· καὶ εὐχαριστῶ, φησι, τὴν σπουδὴν ὑμῶν, καὶ ἐγὼ ὑπὲρ τῆς συντομίας ταύτης τὴν σύναξιν ταύτην ποιῶ τῶν λογάδων ἣν θεω-

ρεῦτε· ἦν γὰρ σύναξις μεγάλη, ὡς οὐδέποτε· καὶ θαῤῥῶ, φησι, καθὼς καὶ ὑμεῖς λέγετε, ὅτι ἡ ἕνωσις ἐν τῇ μνήμῃ τῶν ἀποστόλων Χριστοῦ τελεσθήσεται. μέλλομεν οὖν σήμερον βουλευθῆναι καὶ ὁμονοῆσαι, καὶ τό τε ἔχοι μηνῦσαι ὑμῖν τὴν τοῦ ἔργου τελείωσιν. Ταῦτα ἀκούσαντες οἱ μητροπολῖται ἀπῆλθον, καὶ ἀπήγγειλαν τῷ βασιλεῖ ταῦτα πάντα. καὶ οὕτως ἐξεδεχόμεθα τῷ σαββάτῳ τελείαν ἀπολογίαν καὶ τελείωσιν τοῦ πράγματος.

Ἑσπέρας τοίνυν γεγονυίας, ἦλθον ἀπὸ μέρους τοῦ πάπα ὅ τε Κρήτης, ὁ Ῥόδου καὶ ὁ Κορώνης, καὶ εἶπον τῷ βασιλεῖ· ὅτι ἐβουλεύσαντο καὶ στέργουσι τὴν συμφωνίαν, καὶ αὔριον ἵνα γένηται ὁ τόμος τοῦ ὅρου ῥωμαϊκῶς τε καὶ ἑλληνικῶς, καὶ ἵνα ὑπογράψωσι πάντες, καὶ ἐὰν φθάσωσι, τῇ δευτέρᾳ, τῇ ἑορτῇ τῶν ἁγίων ἀποστόλων γενήσεται ἡ λειτουργία, καὶ ἡ ἕνωσις. Τὸ πρωῒ τοίνυν ἦλθον οἱ ἀποτεταγμένοι τῶν Λατίνων, καὶ ἔλαβον τοὺς ἡμετέρους, καὶ ἀπῆλθον ἐν τῷ ναῷ τοῦ ἁγίου Φραγκίσκου, καὶ καθίσαντες ἐποίησαν τὸν ὅρον τῆς ἑνώσεως· καὶ κομίσαντες τοῦτον τῷ βασιλεῖ, ἀνέγνωσαν αὐτόν· καὶ εὐθὺς ἐκ προοιμίων ὠβέλισεν αὐτόν· ἔλεγε γὰρ ἐν τῇ ἀρχῇ· Εὐγένιος ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ θεοῦ εἰς διηνεκῆ μνήμην. ὁ δὲ βασιλεὺς οὐκ ἤθελεν οὕτως, ἀλλὰ ἢ μὴ γραφῆναι ὅλως τὸ ὄνομα αὐτοῦ, ἢ γραφῆναι μὲν, ἀλλ' οὐ μονομερῶς μόνον τοῦ πάπα, ἀλλὰ συναινέσει τοῦ γαληνοτάτου βασιλέως, καὶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῶν ἑτέρων παριαρχῶν.

Διελάμβανε δὲ καὶ περὶ τῶν προνομίων τοῦ πάπα, ἵνα ἔχῃ αὐτὰ καθὼς ὁρίζεται ἡ θεία γραφὴ καὶ τὰ ῥητὰ τῶν ἁγίων. καὶ οὐδὲ τοῦτο ἤρεσε τῷ βασιλεῖ· μήπως, φησὶ, τὶς τῶν ἁγίων ἐν ἐπιστολῇ τιμᾷ τὸν πάπαν, καὶ ἐκλάβῃ τοῦτο ἀντὶ προνομίων. καὶ διὰ τοὺς τρόπους τούτους μηνύει τῷ πάπᾳ, ἢ διορθῶσαι τοῦτο, ἢ οἰκονομῆσαι αὐτὸν τοῦ ἀπελθεῖν.

Ὁ ΠΑΠΑΣ. Τοῦτο ἀκούσας ὁ πάπας ἐταράχθη, καὶ ἀπεκρίθη αὐτοῖς· Καὶ διὰ ποῖον ἔργον φορτικὸν εἶπε τοῦτο ὁ βασιλεὺς, θαυμάζω πολλά. Ἀλλ' ὅμως ἀποστείλας καρδιναλίους πρὸς τὸν βασιλέα, τὸ μὲν πρῶτεν διώρθωσαν, ὅτι ἵνα γράψωσι, συναινέσει τοῦ γαληνοτάτου βασιλέως καὶ τῶν πατριαχῶν· τὸ δὲ δεύτερον οὐκ ἠβουλήθησαν, ἀλλ' ἔλεγον· Πῶς δυνάμεθα κρειττοτέρως ἔχειν

τὴν ἀρχὴν, παρ' ὃ γράφουσιν οἱ ἅγιοι· ἀλλ' ὁ βασιλεὺς προσθήκην τινὰ ἐβιάζετο γράψαι ἐν αὐτῷ· ἔλεγε γὰρ ἵνα προστεθῇ, κατὰ τὴν δύναμιν τῶν κανόνων, καὶ μὴ, κατὰ τὰ ῥητὰ τῶν ἁγίων. καὶ οὐδὲν ὡμοφώνησαν, ἀλλ' ἀπῆλθον οἱ καρδινάλιοι.

Τῇ τρίτῃ οὖν πρωὶ συνήχθημεν πάντες· καὶ εἰς τὸν ἕτερον ἐρωτῶν, ἐγνωσιμαχοῦμεν ἀμφότεροι. καὶ οἱ μὲν ἔλεγον· Οἱ Λατῖνοί εἰσιν αἴτιοι τῆς πλημμελείας· οἱ δέ· Ὁ βασιλεύς. καὶ τούτων λεγομένων ἐλυπούμεθα. Πρὸς ἑσπέραν δὲ συνήθροισεν ὁ βασιλεὺς τοὺς ἀρχιερεῖς, καὶ εἶπεν αὐτοῖς.

Ὁ ΒΑΣΙΛ. Οἱ καρδινάλιοι ἦλθον πρὸς ἐμὲ, καὶ εἶπον περὶ τοῦ προκειμένου ζητήματος πλήρη πολλά. ἐγὼ δὲ ἀπελογησάμην αὐτοῖς ὅσον τὸ δυνατόν. ἰδόντες οὖν, ὅτι οὐδὲν δύνανται πεῖσαί με, παρεκάλεσαν ἵνα συνάξω ὑμᾶς· θέλουσι γὰρ ὁμιλῆσαι ἔμπροσθεν ὑμῶν· καὶ διὰ τοῦτο ἐμήνυσα τὴν ἁγιωσύνην ὑμῶν ἐλθεῖν ὧδε, ὅπως ἐλθόντες κἀκεῖνοι εὕρωσιν ὃ χρῄζουσι. Τούτων οὖν λαλουμένων, ἰδοὺ καὶ οἱ καρδινάλιοι, καὶ σὺν αὐτοῖς ἀρχιεπίσκοποι καὶ τῶν λογίων πολλοί. καὶ καθισάντων, βουλευθεὶς τούτους ὁ Ἰουλιανὸς, ἤρξατο λέγειν οὕτως.

ἸΟΥΛ. ΚΑΡΔ. Γαληνότατε βασιλεῦ, καὶ ὑμεῖς σεβασμιώτατοι πατέρες, δύο ἀμφισβητήσεων οὐσῶν ἐν ἡμῖν, περὶ τῆς προτάσεως τοῦ ὀνόματος τοῦ πάπα, καὶ περὶ τῶν ῥητῶν τῶν ἁγίων, τὸ ἓν ὁπωσδήποτε διώρθωσεν αὐτὸς ὁ μακαριώτατος πατήρ· καὶ ἐτέθη ἐν τῇ προτάσει καὶ τὸ ὄνομα τοῦ γαληνοτάτου βασιλέως καὶ τῶν πατριαρχῶν, πρᾶγμα μὴ ὑπάρχον ἀναγκαῖον, μηδὲ τοῦ καιροῦ. περὶ τῶν ῥητῶν δὲ οὐδεμίαν ἀμφιβολίαν ἔχομεν, ὅπως ζητοῦμεν τεθῆναι ἐν τῷ ὅρῳ· ἐπεὶ ῥητὰ ἁγίων εἰσὶ, καὶ διὰ τούτων γέγονε καὶ τὸ σύμβολον τῆς πίστεως, καὶ ἡ θυσία, καὶ πάντα τὰ τῶν κανόνων· καὶ ἄνευ τῶν ἁγίων οὐδὲν γέγονε· καὶ λοιπὸν ἐλπίζομεν μὴ ἀμφιβάλλειν ὑμᾶς. νῦν οὖν ἀκούσαντες τὸ πρωὶ τοῦ γαληνοτάτου βασιλέως πολὺν λόγον περὶ τούτων ποιησαμένου, ἔδοξεν ἡμῖν, ὅπως καὶ ὑμεῖς οἱ τῆς ἐκκλησίας ῥήτορες μάθητε τοῦτο, εἴπερ ἐστὶ δίκαιον, ὅτι διὰ τὰ τῶν ἁγίων ῥητὰ ἐμποδίζεται τὸ ἔργον τοῦ θεοῦ. παρακαλοῦμεν τοίνυν ὑμᾶς, μὴ ἐπὶ πολὺ πυκτεύηται ἡ ἕνωσις τῶν ἐκκλησιῶν, μηδὲ ὁ καιρὸς πλημμελῇ, ἀλλὰ τῶν ῥητῶν τῶν ἁγίων βεβαιωθέντων, γενέσθω ἡ ἕνωσις.


Ταῦτα καὶ ἄλλα ὅμοια εἰπὼν, ἐσίγησεν. Ἀπεκρίνατο δὲ ὁ βασιλεὺς, δοθῆναι καιρὸν αὐτῷ ἵνα βουλευθῇ· καὶ εὐθὺς ἀπῆλθον οἱ καρδινάλιοι ἔξω. καὶ ἡμεῖς ἐβουλευσάμεθα, καὶ ἐγράψαμεν· Ὅτι ἵνα ἔχῃ ὁ πάπας τὰ προνόμια αὐτοῦ κατὰ τοὺς κανόνας καὶ τὰ ῥητὰ τῶν ἁγίων, καὶ τὴν θείαν γραφὴν, καὶ τὰ πρακτικὰ τῶν συνόδων.

Ταῦτα σχεδιάσαντες δεδώκαμεν αὐτοῖς· καὶ ἀπεκρίθησαν ἡμῖν· Ἡμεῖς μόνοι οὐκ ἔχομέν τι εἰπεῖν· ἀλλὰ τὸ γραμμάτιον ὑμῶν τοῦτο λαβόντες, ἀναφέρομεν πάντα τῷ κυρίῳ ἡμῶν, καὶ οὕτως εἰς τὴν αὔριον ἀπολογησόμεθα.

Τῇ ἐπαύριον δὲ, ἤγουν τῇ τετάρτῃ, ἀπῆλθον οἱ καρδινάλιοι εἰς τὸν βασιλέα, καὶ εἶπον αὐτῷ· Ὁ πατὴρ ὁ ἅγιος ἐδέξατο δύο γραμμάτια, καὶ ὥρισεν ἡμῖν ἐκλέξασθαι ἐκ τῶν δύο τὸ ἕν· λοιπὸν ἀναγνωσθήτω ὁ τόμος, καὶ ἐξετασθήτω, ὅπως δοθῇ τῷ πράγματι τελεία ἀπόφασις. Ἀναγνωσθείσης οὖν τῆς γραφῆς τοῦ τόμου, καὶ ἀρεσάσης, ὥρισεν ὁ βασιλεὺς εἰς τὴν αὔριον συναχθῆναι ἐξ ἀμφοτέρων τῶν μερῶν ἕξ, ὅπως γραφῶσι γράμματα ἑλληνικῶς καὶ ῥωμαϊκῶς ἐν διπτύχοις, ἤγουν ὁ ὅρος καὶ τόμος τῆς ἑνώσεως· καὶ ἐν μὲν τοῖς δεξιοῖς μέρεσιν ἔστω ῥωμαϊκῶς, ἵνα ὑπογράψωσιν οἱ Λατῖνοι, καὶ κρεμάσωσι τὴν βούλλαν τοῦ πάπα· ἐν δὲ τῷ ἄλλῳ μέρει, ἵνα γράψωσιν οἱ Γραικοὶ καὶ ὑπογράψωσι, καὶ τεθῇ καὶ τοῦ βασιλέως τὸ χρυσόβουλλον. Ταῦτα οἰκονομήσαντες, τῇ πέμπτῃ πρωὶ ἀπῆλθον ἐν τῷ ναῷ τοῦ ἁγίου Φραγκίσκου, καὶ ἐποίησαν τὸν ὅρον, καὶ ἐκόμισαν τοῦτον τῷ βασιλεῖ. μετὰ τὸ τελεσθῆναι δὲ πάντα, τί ποιεῖ ὁ πονηρός; γράφεται ἐν τῷ ὅρῳ· Σωζομένων τῶν δικαίων καὶ τῶν προνομίων τῶν τεσσάρων πατριαρχῶν· καὶ εὑρίσκεται προσθήκη ἐν τούτῳ, πάντων. τοῦτο ἀκούσαντες οἱ Λατῖνοι, ὡς μέγα τι ἰλιγγίασαν. καὶ εὐθὺς ἐζήτουν, μὴ πάντων τῶν προνομίων λέγειν, ἀλλὰ τῶν προνομίων ἁπλῶς. καὶ οὗτος ὁ τρόπος ἐνεπόδισε γενέσθαι τὸν τόμον τῇ πέμπτῃ καὶ τῇ παρασκευῇ. Ἰουλίου δὲ τετάρτῃ, ἡμέρᾳ σαββάτου, συνῆλθον πάντες οἱ ἀποτεταγμένοι ἐν τῷ ναῷ τῷ εἰρημένῳ· καὶ συνέθεντο τὸν ὅρον μετὰ πάντων τῶν προνομίων καὶ τῶν δικαίων αὐτῶν, τῶν πατριαρχῶν δηλονότι· καὶ τῇ κυριακῇ ὑπεγράψαμεν αὐτόν. Τῇ δευτέρᾳ δὲ μηνὶ ἰουλίῳ εἰς τὰς ἕξ, γέγονεν ἡ ἕνωσις τῶν ἐκκλησιῶν·

καὶ ἀνεγνώσθη ὁ ὅρος μετὰ τὴν λειτουργίαν. ἦλθε γὰρ ὁ μακαριώτατος πάπας ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ λεγομένῃ, σάντα Λιμπεράτα· * καὶ συνεφορέσαμεν αὐτῷ, καὶ ἐλειτούργησε. καὶ μετὰ τὴν λειτουργίαν γενομένης παρακλήσεως ἀνεγνώσθη ὁ ὅρος ῥωμαϊκῶς καὶ ἑλληνικῶς, καὶ λατινικῶς μὲν παρὰ τοῦ καρδιναλίου τῆς ἁγίας Σαβίνης Ἰουλιανοῦ, ἑλληνικῶς δὲ παρὰ τοῦ ἀρχιεπισκόπου Νικαίας Βησσαρίωνος, ἔχων ἐπὶ λέξεως οὕτως.

* δηλονότι σάντα Μαρία λιμπεράτα.



ΟΡΟΣ ΤΗΣ ΑΓΙΑΣ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΕΝ ΦΛΩΡΕΝΤΙΑ ΓΕΝΟΜΕΝΗΣ

ΣΥΝΟΔΟΥ.

ΕΥΓΕΝΙΟΣ ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ εἰς ἀΐδιον τοῦ πράγματος μνήμην, συναινοῦντος τοῖς ὑπογεγραμμένοις καὶ * τοῦ ποθεινοτάτου υἱοῦ ἡμῶν Ἰωάννου Παλαιολόγου τοῦ περιφανοῦς βασιλέως τῶν Ῥωμαίων, καὶ τῶν τοποτηρητῶν τῶν σεβασμίων ἀδελφῶν ἡμετέρων τῶν πατριαρχῶν, καὶ τῶν λοιπῶν τῶν τὴν ἀνατολικὴν ἐκκλησίαν παριστανόντων.

* Καί, λείπει ἐν τῷ διπτύχῳ.

Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. ἀφῄρηται μὲν γὰρ τὸ μεσότοιχον τὸ τὴν δυτικὴν καὶ ἀνατολικὴν διαιροῦν ἐκκλησίαν, ἐπανῆλθε δὲ ἡ * εἰρήνη τε καὶ ὁμόνοια τοῦ ἀκρογωνιαίου λίθου ἐκείνου Χριστοῦ, τοῦ ποιήσαντος ἑκάτερα ἓν, τῷ τῆς ἀγάπης τε καὶ εἰρήνης ἰσχυροτάτῳ δεσμῷ ἑκάτερον τοῖχον ζευγνῦντος καὶ συσφίγγοντός τε καὶ συνέχοντος στοργῇ ἀϊδίου ἑνότητος· καὶ μετὰ τὴν μακρὰν ἐκείνην τῆς ἀθυμίας ὁμίχλην, καὶ τὴν ἀπὸ τῆς χρονίου διαστάσεως μέλαινάν τε καὶ ἄχαριν ἀχλὺν, ἡ γαληνιῶσα πᾶσιν ἀκτὶς ἐξήστραψε τῆς ποθεινοτάτης ἑνώσεως. εὐφραινέσθω καὶ ἡ μήτηρ ἐκκλησία τὰ ἑαυτῆς τέκνα μέχρι τοῦδε πρὸς ἄλληλα στασιάζοντα, εἰς ἑνότητά τε καὶ εἰρήνην ἤδη ἐπανιόντα ὁρῶσα· καὶ ἡ πρώην ἐπὶ τῷ χωρισμῷ αὐτῶν πικρότατα κλαίουσα, ἐκ τῆς νῦν αὐτῶν θαυμαστῆς ὁμονοίας σὺν ἀνεκφράστῳ χαρᾷ τῷ παντοδυνάμῳ εὐχαριστείτω Θεῷ. πάντες συνευφραινέσθωσαν οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοὶ, καὶ οἱ τῷ ἀπὸ Χριστοῦ ὀνόματι κεκλημένοι τῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ συναγαλλιάσθωσαν. ἰδοὺ γὰρ οἵ τε δυτικοὶ καὶ οἱ * ἀνατολικοὶ πατέρες μετὰ τὸν μακρότατον τῆς δια-

* Ἡ, λείπει ἐν τῷ διπτύχῳ.

* Οἱ, λείπει ἐν τῷ διπτύχῳ.

φωνίας καὶ διαστάσεως χρόνον ἐκεῖνον, πρὸς πάντα παραβαλόμενοι κίνδυνον τὸν ἐν γῇ καὶ θαλάττῃ, καὶ πάντα πόνον ὑπερβαλόντες, πρὸς τὴν ἱερὰν ταύτην * καὶ οἰκουμενικὴν σύνοδον, τῇ τε τῆς ἱερᾶς ἑνώσεως ἐρέσει, καὶ τοῦ τὴν παλαιὰν ἀγάπην ἀνακτήσασθαι ἕνεκα, γεγηθότες συνῆλθον καὶ πρόθυμοι, καὶ τοῦ σκοποῦ οὐκ ἀπέτυχον. μετὰ γὰρ πολλὴν καὶ ἐπίπονον ἔρευναν, τέλος τῇ τοῦ παναγίου πνεύματος φιλανθρωπίᾳ τῆς εὐκταιοτάτης ταύτης καὶ ἁγιωτάτης ἑνώσεως ἔτυχον. τίς οὖν ταῖς τοῦ θεοῦ εὐεργεσίαις ἀξίως εὐχαριστεῖν δύναιτ' ἄν; τίς ἐνώπιον τοῦ πλούτου τῶν θείων οἰκτιρμῶν οὐκ ἂν ἐκπλαγείη; τίνος οὐκ ἂν καὶ σιδηροῦν στῆθος τὸ τῆς θείας εὐσπλαγχνίας οὔσης * τηλικαύτης μαλθάξειε μέγεθος; ὄντως θεῖά εἰσι ταῦτα τὰ * ἔργα, οὐκ ἀνθρωπίνης ἀσθενείας εὑρέματα· καὶ διὰ ταῦτα μετὰ ἐξαιρέτου μὲν εὐλαβείας ἀποδεκτέα, θείοις δὲ ὕμνοις προβιβαστέα. Σοὶ αἶνος, σοὶ δόξα, σοὶ πρέπει εὐχαριστία, Χριστὲ πηγὴ οἰκτιρμῶν· ὃς τοσοῦτον ἀγαθὸν τῇ νύμφῃ σου τῇ καθολικῇ ἐκκλησίᾳ κεχάρισαι, κἀν τῇ ἡμετέρᾳ γενεᾷ τὰ τῆς εὐσπλαγχνίας σου ἔδειξας θαύματα, ἵνα σου πάντες τὰ θαυμάσια διηγήσωνται. οὕτω μέγα τῷ ὄντι καὶ θεῖον ἡμῖν ὁ θεὸς δῶρον δεδώρηται, καὶ τοῖς ὀφθαλμοῖς εἴδομεν ὃ πολλοὶ τῶν πρὸ ἡμῶν ἐπιθυμήσαντες ἰδεῖν οὐ δεδύνηνται. συνελθόντες γὰρ Λατῖνοί τε καὶ Γραικοὶ ἐν ταύτῃ τῇ ἱερᾷ καὶ ἁγίᾳ οἰκουμενικῇ * συνόδῳ, σπουδῇ μεγάλῃ πρὸς ἀλλήλους ἐχρήσαντο, ὅπως μετὰ τῶν ἄλλων καὶ τὸ ἄρθρον ἐκεῖνο τὸ περὶ τῆς θείας ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος μετὰ πλείστης ὅσης ἐπιμελείας καὶ συνεχοῦς συζητήσεως ἐξετασθείη. προκομισθεισῶν δὲ μαρτυριῶν ἀπὸ τῆς θείας γραφῆς, καὶ πλείστων χρήσεων τῶν ἁγίων διδασκάλων ἀνατολικῶν τε καὶ δυτικῶν, τῶν μὲν ἐκ πατρὸς καὶ υἱοῦ, τῶν δὲ ἐκ πατρὸς δι' υἱοῦ λεγόντων τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, καὶ εἰς τὴν αὐτὴν ἔννοιαν ἀποβλεπόντων ἁπάντων ἐν διαφόροις ταῖς λέξεσιν, οἱ μὲν Γραικοὶ διϊσχυρίσαντο, ὅτι τοῦθ' ὅπερ λέγουσι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, οὐ ταύτῃ τῇ διανοίᾳ προφέρουσιν, ὥστε αὐτοὺς τὸν υἱὸν ἀποκλείειν, ἀλλ' ἐπειδήπερ αὐτοῖς ἐδόκει, φασὶ, τοὺς Λατίνους διαβεβαιοῦσθαι, τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὡς ἀπὸ δύο ἀρχῶν καὶ δύο πνεύσεων ἐκπορεύεσθαι, διὰ τοῦτ' ἐφυλάξαντο λέγειν τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι ἐκ πατρὸς

* Ταυτηνὶ, ἐν τῷ διπτύχῳ.

* Οὔσης γε, ἔν τισιν ἀντιγράφοις.

* Τά, λείπει ἐν τῷ διπτύχῳ.

* Τῷ διπτυχον οὕτως· ἱερᾷ ἁγίᾳ καὶ οἰκ.

καὶ υἱοῦ· οἱ δὲ Λατῖνοι διεβεβαιώσαντο, μὴ κατὰ ταύτην τὴν διάνοιαν σφᾶς αὐτοὺς λέγειν τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεσθαι, ὡς ἀποκλείειν τὸν πατέρα τοῦ εἶναι πηγὴν καὶ ἀρχὴν τῆς ὅλης * θεότητος, τοῦ υἱοῦ δηλονότι καὶ τοῦ ἁγίου πνεύματος· ἢ ὅτι τὸ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ὁ υἱὸς οὐκ ἔχει ἀπὸ * τοῦ πατρός· ἢ ὅτι δύο τιθέασιν εἶναι ἀρχὰς ἢ δύο πνεύσεις· ἀλλ' ἵνα μίαν μόνην δηλώσωσιν εἶναι ἀρχὴν, καὶ μοναδικὴν προβολὴν τοῦ ἁγίου πνεύματος, καθὼς μέχρι τοῦδε διϊσχυρίσαντο. Ἐπειδὴ δὲ ἐκ τούτων ἁπάντων μία καὶ ἡ αὐτὴ τῆς ἀληθείας συνάγεται ἔννοια, τέλος εἰς τὴν ὑπογεγραμμένην ἁγίαν καὶ θεοφιλῆ τῇ αὐτῇ διανοίᾳ καὶ τῷ αὐτῷ νοῒ συνεφώνησαν καὶ συνήνεσαν ὁμοθυμαδὸν ἕνωσιν. Ἐν τῷ ὀνόματι τοίνυν τῆς ἁγίας Τριάδος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ταύτης τῆς ἱερᾶς καὶ οἰκουμενικῆς τῆς ἐν Φλωρεντίᾳ ἐπιψηφιζομένης συνόδου, ὁρίζομεν, ἵνα αὕτη ἡ τῆς πίστεως ἀλήθεια ὑπὸ πάντων πιστευθείη τε καὶ ἀποδεχθείη τῶν Χριστιανῶν *, καὶ οὕτω πάντες ὁμολογῶσιν. Ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἀϊδίως ἐστὶ, καὶ τὴν ἑαυτοῦ οὐσίαν καὶ τὸ ὑπαρκτικὸν αὐτοῦ εἶναι ἔχει ἐκ τοῦ πατρὸς ἅμα καὶ τοῦ υἱοῦ, καὶ ἐξ ἀμφοτέρων ἀϊδίως ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ μοναδικῆς προβολῆς ἐκπορεύεται· διασαφοῦντες, ὅτι τοῦθ' ὅπερ οἱ ἅγιοι διδάσκαλοι καὶ πατέρες, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγουσι τὸ πνεῦμα τὸ ἅγιον, εἰς ταύτην φέρει τὴν ἔννοιαν, ὥστε διὰ τούτου * δηλοῦσθαι, καὶ τὸν υἱὸν εἶναι κατὰ * τοὺς Γραικοὺς αἰτίαν, κατὰ δὲ τοὺς Λατίνους ἀρχὴν τῆς τοῦ ἁγίου πνεύματος ὑπάρξεως, ὥσπερ καὶ τὸν πατέρα. καὶ ἐπεὶ πάντα, ὅσα ἐστὶ τοῦ πατρὸς, αὐτὸς ὁ πατὴρ τῷ μονογενεῖ αὐτοῦ υἱῷ ἐν τῷ γεννᾷν δέδωκε, πλὴν τοῦ εἶναι πατέρα, τοῦτ' αὐτὸ ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, αὐτὸς ὁ υἱὸς παρὰ τοῦ πατρὸς ἀϊδίως ἔχει, ἀφ' οὗ ἀϊδίως καὶ γεγέννηται. Ἔτι διοριζόμεθα τὴν τῶν ῥημάτων ἐκείνων ἀνάπτυξιν τὴν Καὶ ἐκ τοῦ υἱοῦ, χάριν τοῦ τὴν ἀλήθειαν σαφηνισθῆναι, ἀνάγκης τε τότε ἐπικειμένης,* θεμιτῶς τε καὶ εὐλόγως ἐν τῷ συμβόλῳ προστεθῆναι. Ἔτι ἐν ἀζύμῳ ἢ ἐνζύμῳ ἄρτῳ σιτίνῳ τὸ τοῦ Χριστοῦ σῶμα τελεῖσθαι ἀληθῶς, τούς τε ἱερεῖς ἐν θατέρῳ αὐτὸ τὸ σῶμα τοῦ κυρίου ὀφείλειν τελεῖν, ἕκαστον δηλονότι κατὰ τὴν τῆς ἰδίας ἐκκλησίας εἴτε δυτικῆς εἴτε

* Ὅλης τῆς, ἐν ἀντιγράφοις τισίν.

* Παρά, ἐν τῷ διπτύχῳ.

* Ἐν τῷ διπτύχῳ οὕτως· ὑπὸ πάντ. τῶν Χριστιανῶν πιστ. τε καὶ ἀποδ.

* Διὰ τούτων, ἐν τῷ διπτύχῳ.

* Κατὰ μὲν, ἐν τῷ διπτύχῳ.

* ἐπικειμένης τότε, ἐν τῷ διπτύχῳ.

ἀνατολικῆς συνήθειαν. Ἔτι ἐὰν οἱ ἀληθῶς μετανοήσαντες ἀποθάνωσιν ἐν τῇ τοῦ θεοῦ ἀγάπῃ, πρὶν τοῖς ἀξίοις τῆς μετανοίας καρποῖς ἱκανοποιῆσαι περὶ τῶν ἡμαρτημένων ὁμοῦ καὶ ἠμελημένων, τὰς τούτων ψυχὰς καθαρτικαῖς τιμωρίαις καθαίρεσθαι μετὰ θάνατον· ὥστε δὲ ἀποκουφίζεσθαι αὐτὰς τῶν τοιούτων τιμωριῶν, λυσιτελεῖν αὐταῖς τὰς τῶν ζώντων πιστῶν ἐπικουρίας, δηλονότι τὰς ἱερὰς θυσίας, καὶ εὐχὰς καὶ ἐλεημοσύνας, καὶ τἆλλα τῆς εὐσεβείας ἔργα, ἅτινα παρὰ τῶν πιστῶν ὑπὲρ ἄλλων πιστῶν εἴωθε γίνεσθαι, κατὰ τὰ τῆς ἐκκλησίας διατάγματα. ἐκείνων δὲ τὰς ψυχὰς, οἵτινες μετὰ τὸ βαπτισθῆναι οὐδεμιᾷ ὅλως τῆς ἁμαρτίας κηλῖδι ὑπέπεσον καὶ ἔτι τὰς μετὰ τὸ ἐφελκύσασθαι τὴν τῆς ἁμαρτίας κηλῖδα, εἴτε ἐν τοῖς αὐτῶν σώμασιν, εἴτε μετὰ τὸ τὰ σώματα ἀποδύσασθαι, ὡς προείρηται, καθαρθείσας, εἰς οὐρανὸν εὐθὺς προσλαμβάνεσθαι, καὶ καθαρῶς θεωρεῖν αὐτὸν τὸν ἕνα καὶ τρισυπόστατον θεὸν, καθώς ἐστιν, ἕτερον μέντοι ἑτέρου τελειότερον κατὰ τὴν τῶν βεβιωμένων ἀξίαν· τὰς δὲ ψυχὰς τῶν ἐν θανασίμῳ ἁμαρτίᾳ τῇ κατ' ἐνέργειαν *, ἢ καὶ ἐν μόνῃ τῇ προπατορικῇ ἀποβιούντων εὐθέως καταβαίνειν εἰς ᾅδην, τιμωρίαις ὅμως ἀνίσοις τιμωρηθησομένας. Ἔτι ὁρίζομεν τὴν ἁγίαν ἀποστολικὴν καθέδραν καὶ τὸν Ῥωμαϊκὸν ἀρχιερέα εἰς πᾶσαν τὴν οἰκουμένην τὸ πρωτεῖον κατέχειν, αὐτόν τε τὸν Ῥωμαϊκὸν ἀρχιερέα * διάδοχον εἶναι τοῦ μακαρίου Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων, καὶ ἀληθῆ τοποτηρητὴν τοῦ Χριστοῦ, καὶ πάσης τῆς ἐκκλησίας κεφαλὴν, καὶ πάντων τῶν Χριστιανῶν πατέρα τε καὶ διδάσκαλον ὑπάρχειν, καὶ αὐτῷ ἐν τῷ μακαρίῳ Πέτρῳ τοῦ ποιμαίνειν, καὶ διϊθύνειν, καὶ κυβερνᾶν τὴν καθολικὴν ἐκκλησίαν ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πλήρη ἐξουσίαν παραδεδόσθαι, καθ' ὃν τρόπον καὶ ἐν τοῖς πρακτικοῖς τῶν οἰκουμενικῶν συνόδων, καὶ ἐν * τοῖς ἱεροῖς κανόσι διαλαμβάνεται. Ἀνανεοῦντες ἔτι καὶ τὴν ἐν τοῖς κανόσι παραδεδομένην τάξιν τῶν λοιπῶν σεβασμίων πατριαρχῶν, ὥστε τὸν τῆς Κωνσταντινουπόλεως πατριάρχην δεύτερον εἶναι μετὰ τὸν ἁγιώτατον πάπαν * τῆς Ῥώμης, τρίτον δὲ τὸν τῆς Ἀλεξανδρείας, τέταρτον δὲ τὸν τῆς Ἀντιοχείας καὶ πέμπτον τὸν τῶν Ἱεροσολύμων, σωζομένων δηλαδὴ καὶ τῶν προνομίων ἁπάντων καὶ τῶν δικαίων αὐτῶν. ἐδόθη ἐν τῇ Φλωρεντίᾳ, ἐν δημοσίᾳ συνελεύσει ἑορτασίμως ἐν * τῇ μεγάλῃ ἐκκλησίᾳ τελε-

* Ἐν τῇ κατ' ἐνέργειαν θαν. ἁμ., ἐν ἀντιγράφοις.

* Εἰς πᾶσαν — ἀρχιερέα, λείπει ἐν τῷ διπτύχῳ.

* Ἐν, λείπει ἐν τῷ διπτύχῳ.

* Πάππαν, ἐν τῷ διπτύχῳ.

* Ἐν τῇ μεγ. ἐκκλ. τελεσθ., λείπει ἐν τῷ διπτύχῳ.

σθείσῃ, ἔτει ἀπὸ τῆς τοῦ κυρίου σαρκώσεως χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ, ἰουλίου ἕκτῃ, ἡμέρᾳ δευτέρᾳ, ἰνδικτιῶνος δευτέρας· * ἀπὸ δὲ κτίσεως κόσμου *, ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ, καὶ τῆς ἀρχιερατείας ἡμῶν ἔτει ἐνάτῳ.

Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος.*

1 Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας, ὁ λογὰς τῶν Αἰδεσσηνῶν, καὶ ἀρχιερεὺς πάσης Θρᾳκίας καὶ Μακεδονίας, καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου τῆς Ἀλεξανδρείας Φιλοθέου Ἀντώνιος ἀποφήνας ὑπέγραψα.

2 Ὁ τοποτηρητὴς τῆς αὐτῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου τῆς Ἀλεξανδρείας καὶ κυρίου μου κυρίου Φιλοθέου, καὶ πρωτοσύγκελλος πνευματικὸς Γρηγόριος ἱερομόναχος ὑπέγραψα.

3 Ἰσίδωρος μητροπολίτης Κιαίβου καὶ πάσης Ῥωσίας, καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Δωροθέου ἀρκετὸς ὑπέγραψα.

4 Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας, καὶ τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Ἰωακεὶμ Δοσίθεος ἀρκετὸς ὑπέγραψα.

5 Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, καὶ τὸν τόπον ἐπέχων τοῦ Ἀγκύρας, Μητροφάνης ἀρκετὸς ὑπέγραψα.

6 Ὁ ταπεινὸς μητροπολίτης Τραπεζοῦντος, καὶ τὸν τόπον ἐπέχων τοῦ Καισαρείας, Δωρόθεος ἀρκετὸς ὑπέγραψα.

7 Βησσαρίων ἐλέει Θείῳ ἀρχιεπίσκοπος Νικαίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Σάρδεων, ἀρκετὸς ὑπέγραψα.

8 Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας Μακάριος ἀρκετὸς ὑπέγραψα.*

9 Ὁ ταπεινὸς μητροπολίτης Τορνόβου, καὶ τὸν τόπον ἐπέχων τοῦ Νικομηδείας, Ἰγνάτιος ἀρκετὸς ὑπέγραψα.

10 Ὁ ταπεινὸς μητροπολίτης Μιτυλήνης, καὶ τὸν τόπον ἐπέχων τοῦ Σίδης, Δωρόθεος ἀρκετὸς ὑπέγραψα.

11 Ὁ ταπεινὸς μητροπολίτης Μουλδοβλαχίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Σεβαστείας Δαμιανὸς ἀρκετὸς ὑπέγραψα.

12 Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας Ἰωάσαφ ἀρκετὸς ὑπέγραψα.

* Ἰνδ. β΄. ἡμέρ. β΄. ἐν τῷ διπτύχῳ.
* Ἀπὸ δὲ κτίσεως κτλ. λείπει ἐν τῷ διπτύχῳ.
* ὑπέγραψα, ἐν τισιν ἀντιγράφοις.

* Ἐν τισιν ἀντιγράφοις προστίθεται· Ὁ ταπεινὸς μητροπολίτης Λακεδαίμονος Μεθόδιος ὑπέγραψα.

13 Ὁ ταπεινὸς μητροπολίτης Ῥόδου καὶ τῶν Κυκλάδων νήσων Ναθαναὴλ ἀρκετὸς ὑπέγραψα.

14 Ὁ ταπεινὸς μητροπολίτης Δίστρας Κάλλιστος ἀρκετὸς ὑπέγραψα.

15 Ὁ ταπεινὸς μητροπολίτης Γάννου Γεννάδιος ἀρκετὸς ὑπέγραψα.

16 Ὁ ταπεινὸς μητροπολίτης Μελενίκου Ματθαῖος ἀρκετὸς ὑπέγραψα.

17 Ὁ ταπεινὸς μητροπολίτης Δράμας Δοσίθεος ἀρκετὸς ὑπέγραψα.

18 Ὁ ταπεινὸς μητροπολίτης Ἀγχιάλου Σωφρόνιος ἀρκετὸς ὑπέγραψα.

19 Βησσαρίων Νικαίας δι' ἐπιτροπῆς γεγραμμένης παρὰ τοῦ μεγάλου σακελλαρίου Μανουὴλ διακόνου τοῦ Χρυσοκούκη, ὅστις ἑαυτὸν πιθανῶς ὁμοῦ ἐσημείωσεν, ὑπὲρ ἐκείνου ἐνταῦθα αὐτὸν ἐξηγούμενος τῆς αὐτῆς δόξης καὶ τοῦ αὐτοῦ νοῦ καὶ αὐτὸν μεθ' ἡμῶν ὑπάρχειν, καὶ τούτοις πᾶσιν ἀκολουθεῖν, ὑπέγραψα.

20 Ὁ μέγας σκευοφύλαξ διάκονος, Θεόδωρος ὁ Ξανθόπουλος ὑπέγραψα.

21 Ὁ μέγας χαρτοφύλαξ καὶ ἀρχιδιάκονος Μιχαὴλ ὁ Βαλσαμὼν ὑπέγραψα.

22 Ὁ μέγας ἐκκλησιάρχης καὶ δικαιοφύλαξ διάκονος Σίλβεστρος ὁ Συρόπουλος ὑπέγραψα.

23 Ὁ πρωτέκδικος διάκονος Γεώργιος ὁ Καππάδοξ ὑπέγραψα.

24 Ὁ πρωτοπαπᾶς Κωνσταντῖνος, καὶ τοποτηρητὴς τοῦ Μουλδοβλαχίας ὑπέγραψα.

25 Ὁ ἐκκλησιάρχης τῆς τιμίας μονῆς ἁγίας καὶ βασιλικῆς τοῦ ἁγίου ὄρους τῆς μεγάλης Λαύρας, καὶ τοποτηρητὴς τῆς αὐτῆς Μωσῆς ἱερομόναχος ὑπέγραψα.*

26 Ὁ ποτὲ ἡγούμενος τῆς Περιβλέπτου Ἀθανάσιος ὑπέγραψα.

27 Ὁ ἡγούμενος τῆς ἁγίας μονῆς τοῦ Παντοκράτορος Γερόντιος ἱερομόναχος ὑπέγραψα.

28 Ὁ ποτὲ ἡγούμενος τοῦ ἁγίου Βλασίου Γερμανὸς ὑπέγραψα.

29 Παχώμιος ἱερομόναχος καὶ ἀββᾶς τοῦ ἁγίου Παύλου ἀρκετὸς ὑπέγραψα.

* Ἔν τισιν ἀντιγράφοις προστίθεται· Δωρόθεος ἱερομόναχος καὶ τοποτηρητὴς τῆς σεβασμίας καὶ ἱερᾶς ἁγιορειτικῆς μεγάλης μονῆς τοῦ Βατοπεδίου.

Ταῦτα ἐῤῥέθη καὶ ἀνεγνώσθη λατινικῶς μὲν, ὡς ἔφημεν, παρὰ τοῦ καρδιναλίου τῆς ἁγίας Σαβίνης Ἰουλιανοῦ, ἑλληνικῶς δὲ παρὰ τοῦ ἀρχιεπισκόπου Νικαίας Βησσαρίωνος, καὶ ἠσπασάμεθα τοῦ πάπα τὸ γόνυ καὶ τὴν χεῖρα· ἠσπασάμεθα δὲ καὶ ἀλλήλους, φορεμένοι τὴν ἱερατικὴν στολήν. ὑπεγράψαμεν δὲ καὶ ἡμεῖς ταῖς ἰδίαις χερσὶν, ὥσπερ καὶ ἀνεγνώσθη. Ἔψαλλον δὲ οἱ ἡμέτεροι ψάλται· Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. Δόξα, καὶ τὸ αὐτό· Καὶ νῦν· Δοξολογία. καὶ πάλιν τὸ αὐτό· Σήμερον ἡ χάρις τοῦ ἁγίου πνεύματος· Πληρωθείσης οὖν τῆς ἱερουργίας ἅμα καὶ δοξολογίας, ἕκαστος ἀπήλθομεν εἰς τὰ ἴδια.

Μετὰ ταῦτα ζητοῦσιν οἱ Λατῖνοι ἀφ' ἡμῶν ζητήματα ταῦτα.

Διατί διαλαμβάνομεν μερίδας ἐν τῇ προσκομιδῇ, καὶ ἑνοῦμεν τῷ θείῳ καὶ δεσποτικῷ ἄρτῳ.

Καὶ διατί κλίνομεν τὰς κεφαλὰς ἐν τῇ μεγάλῃ εἰσόδῳ, μὴ ὄντων τετελειωμένων τῶν ἁγίων δώρων.

Καὶ διατί χέομεν ζέον ὕδωρ ἐν τῷ ἁγίῳ ποτηρίῳ.

Καὶ διατί οὔπω ἐστὶ σῶμα Χριστοῦ, καὶ λέγομεν· Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

Καὶ διατί λέγομεν· Καὶ ἰδοὺ ὁ ἀστὴρ ἦλθε, καὶ ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον.

Καὶ διατί οὐ χρίουσιν οἱ ἀρχιερεῖς τὸ μύρον, ἀλλ' οἱ ἱερεῖς, καὶ γὰρ τοῖς ἀρχιερεῦσι δίδοται τοῦτο.

Καὶ διατί χρίουσιν ἔλαιον τοὺς νεκροὺς, πρὸ τοῦ ἐνταφιάσαι αὐτούς.

Καὶ διατί οὐκ ἐξομολογοῦνται οἱ ἱερεῖς τε καὶ ἀρχιερεῖς, ὅτε μέλλουσιν ἱερουργεῖν.

Καὶ διατί οὐκ ἀρκεῖσθέ, φησιν, εἰς τὰ κυριακὰ λόγια τῷ· Λάβετε, φάγετε· ἀλλὰ λέγετε μετὰ ταῦτα· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου, καί· Μεταβαλὼν αὐτὰ τῷ πνεύματί σου τῷ ἁγίῳ, ἀμὴν, ἀμὴν, ἀμήν.

Καὶ δι' ἣν αἰτίαν χωρίζετε τὰ ἀνδρόγυνα, τοῦ κυρίου εἰπόντος· Οὓς ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Καὶ δι' ἣν αἰτίαν οὐ ποιεῖτε πατριάρχην ὧδε, ἀλλ' ἀκέφαλοι βούλεσθε ἀπελθεῖν.

Ταῦτα τῶν Λατίνων προκομισάντων, ὁ Μιτυλήνης κανονικῶς τε καὶ νομίμως ταῦτα πάντα ἔλυσε, πλὴν δύο τινῶν, ἅτινα ἐμήνυσεν ὁ πάπας τῷ βασιλεῖ, τὸ τῆς χωρίσεως τῶν ἀνδρογύνων, καὶ τὴν χειροτονίαν τοῦ πατριάρχου· ἀντιλεγόντων τῶν Λατίνων, ὅτι οὐ δύναται νόμος ἀντιλέγειν τῇ κυριακῇ φωνῇ τῇ λεγούσῃ· Οὓς ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ ὅτι ἀκέφαλοι οὐ χρὴ ἀπελθεῖν τῶν ὧδε.

Ἐμήνυσεν ὁ πάπας τῷ βασιλεῖ, ἵνα στείλῃ αὐτῷ ἐκ τῶν μητροπολιτῶν τινας τῶν εἰδότων· ὁ δὲ ἀπέστειλε τοὺς μὴ εἰδότας. καὶ εἶπεν ὁ πάπας τὰς δύο ζητήσεις ταύτας, τὸ τῶν διαζεύξεων τῶν ἀνδρογύνων καὶ τὴν προχείρησιν τοῦ πατριάρχου. οἱ δὲ ἀπελογήσαντο· Ἄδειαν ἡμεῖς οὐκ ἔχομεν ἀπολογηθῆναι, ἀλλὰ οὐδὲ ἀπολογούμεθα· μέλλομεν οὖν ἀναφέρειν ταῦτα τῷ βασιλεῖ, καὶ αὐτὸς μέλλει ἀπολογήσασθαι.

Τούτων οὕτω γινομένων παρῆλθον ἡμέραι, καὶ τῇ τεσσαρακαιδεκάτῃ τοῦ ἰουλίου, ἡμέρᾳ τρίτῃ, ἐμήνυσεν ὁ πάπας πᾶσι τοῖς ἀνατολικοῖς ἀρχιερεῦσιν ἀπελθεῖν εἰς αὐτόν. καὶ δή τινων ἀπελθόντων, κατ' ἰδίαν παραλαβὼν αὐτοὺς ἔφη.

Ὁ ΠΑΠΑΣ. Ἡμεῖς, ἀδελφοὶ, ἡνώθημεν τῇ πίστει θεοῦ χάριτι. ἐπεὶ δὲ, οἷς κρίμασιν οἶδεν ὁ τῶν ὅλων Θεὸς, κατέστην ἐγὼ κεφαλὴ τῶν ὑμετέρων μελῶν, καὶ ὁπωσδήποτε πρέπει παραινεῖν καὶ συμβουλεύειν τὰ δοκοῦντα εἶναι πρὸς σύστασιν τῆς εὐσεβείας, καὶ τῆς ἐκκλησίας ἡμῶν· ἤδη λοιπὸν ἔχω εἰπεῖν τινα πρὸς ὑμᾶς ὡς ἀδελφοὺς, ὡς μέλη, ὡς ἡγήτορας τῶν ἐκκλησιῶν.

Καὶ πρῶτον λέγω, ὅτι πάντες γογγύζουσι περὶ τῶν διαζυγίων τῶν συνοικεσίων, καὶ δέεται τὸ τοιοῦτον διορθώσεως.

Δεύτερον περὶ τοῦ Ἐφέσου, ὅτι ἐστὶν ἀναγκαῖον δοῦναι λόγον, πῶς σχίζεται τῆς συνόδου ἡμῶν· οὐ γὰρ φρονιμώτερός ἐστι ἡμῶν πάντων· οἴδαμεν γὰρ αὐτὸν ἐν ταῖς διαλέξεσιν ἀπορήσαντα, καὶ μὴ δυνάμενον ἀποκρίνεσθαι πρὸς τὰ ζητούμενα παρὰ τοῦ φρὰ Ἰωάννου.

Τρίτον, ὅτι ἐπεὶ ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως ἀπῆλθεν εἰς τὰς ἐκεῖθεν μονὰς, δέεται ἡ ἐκκλησία πατριάρχου·

καὶ μάλιστα γενέσθαι ὧδε, ἔνθα πάρειμι καὶ αὐτός· οὐχ ἵνα κερδήσω τι σωματικόν· ἀργύριον καὶ χρυσίον οὐ δέομαι, ἀλλὰ μᾶλλον καὶ δώσω καὶ στηρίξω καὶ ἐπιβεβαιώσω, καὶ τὸν εὑρισκόμενον χειροτονούμενον ἀπ' ἐμοῦ μεταθήσω, καὶ τὴν ἐκκλησίαν ἐκείνην βοηθήσω, καὶ ποιήσω πατριάρχην ἕνα εἶναι, καὶ τὰ προνόμια καὶ τὴν ἐπαρχίαν ταύτης ἔχειν· καὶ ἁπλῶς διὰ πολλὰ τ' ἀγαθὰ λέγω, ἵνα γένηται πατριάρχης ὧδε. τί γὰρ ἐμποδίζει; ἢ τί ἐστιν ἐλλιπές; ἐνταῦθα βασιλεὺς, ἐνταῦθα οἰκουμενικὴ σύνοδος, καὶ πάπας προϊστάμενος αὐτῇ· ἐνταῦθα καὶ οἱ κρείττονες τῶν ἀρχιερέων, ἀφ' ὧν μέλλει γενέσθαι πατριάρχης· τί ἐστι τὸ κωλῦσον ὑμᾶς; διὰ τοῦτό ἐστιν ἄξιον καὶ δίκαιον ποιῆσαι πατριάρχην, καὶ μὴ ἀπελθεῖν ἀκέφαλοι ἀφ' ἡμῶν.

Ταῦτα τοῦ πάπα εἰπόντος, καὶ προσθέντος, ὅτι ἐὰν οὐ γένηται ὧδε πατριάρχης, οὐ δυνήσομαι μεταθέσθαι τὸν ὄντα πατριάρχην εἰς τὸ ἑξῆς.

Ἀπεκρίναντο οἱ ἀρχιερεῖς λέγοντες ταῦτα.

ΟΙ ΓΡΑΙΚΟΙ. Ὅσα ὥρισεν ἡ μακαριότης σου, ὑπάρχουσι δικαιότατα καὶ σοφώτατα· ἀλλ' ἡμεῖς οὐ δυνάμεθα τελείως ἀποκριθῆναι εἰς τὰ τοιαῦτα, ἐπεὶ ἔχομεν καὶ ἄλλους ἀρχιερεῖς καὶ βασιλέα ἡμῶν, καὶ μετὰ γνώμης αὐτῶν ἀποκριθησόμεθα τελείως· ἀφ' ἡμῶν δὲ ἰδίως ἀπολογούμεθα, καὶ λέγομεν, οὐ τοῦ παρόντος καιροῦ εἶναι ταῦτα, εἰ καὶ δίκαιά εἰσι καὶ ἀναγκαῖα. ἐπεὶ τὰ συνοικέσια ἡμῶν οὐκ ἀλόγως χωρίζονται· ἀλλὰ καὶ ὁ Ἐφέσου ἐξετασθήσεται. Πατριάρχης ἐνταῦθα οὐ γενήσεται, ὅτι ἔχομεν συνήθειαν ἐν Κωνσταντινουπόλει ὑπὸ πάσης τῆς ἐπαρχίας ἡμῶν ψηφισθῆναι, καὶ ἐν τῷ καθολικῷ ἡμῶν ναῷ χειροτονηθῆναι, καὶ ὁ βασιλεὺς ἡμῶν ἄλλως πως οὐ ποιήσει, εἰδὼς τὴν συνήθειαν τῆς ἐκκλησίας ἡμῶν.

Ὁ ΠΑΠΑΣ. Ἐγὼ τὸ συμφέρον τὸ ὑμέτερον φροντίζων βούλομαι γενέσθαι πατριάρχην ὧδε, οὔτε συγγενῆ μου, οὔτε φίλον μου, ἀλλ' ὃν ἐκλέξησθε ὑμεῖς· ἐγὼ δὲ ἐφοδιάσω αὐτὸν καὶ στερεώσω. ἐὰν δὲ ὑμεῖς οὐ θέλετε, ὃ ἐγὼ ὤφειλον ποιῆσαι, ποιῶ· ὑμεῖς δὲ ὕστερον μεταμεληθήσεσθε, καὶ εἰ μὴ ἐλάλησα ὑμῖν, ἁμαρτίαν οὐκ εἴχετε, τότε δὲ πρόφασιν οὐχ ἕξετε.

Ταῦτα καὶ ἄλλ' ἄττα εἰπόντος τοῦ πάπα, ἡμεῖς πρὸς ταῦτα

ὁπωσδήποτε ἀπολογησάμενοι, ἐξήλθομεν· καὶ ἐλθόντες ἀπηγγείλαμεν ταῦτα τῷ βασιλεῖ· ὁ δὲ ἀκούσας, οὐδ' ὅλως ἠνέσχετο λαληθῆναι τοιοῦτόν τι εἰς ἡμᾶς.

Τούτων οὕτω γενομένων παρῆλθον ἡμέραι ἕως τῆς κυριακῆς· καὶ τῇ εἰκοστῇ τοῦ ἰουλίου μηνὸς, ἡμέρᾳ δευτέρᾳ, ὑπέγραψαν τοὺς τόμους οἱ ἀρχιερεῖς, οἵτινες ἐβούλοντο ἀπελθεῖν. ἦσαν δὲ οὗτοι· ὁ Ἡρακλείας, ὁ Κυζίκου, ὁ Τραπεζοῦντος, ὁ Μονεμβασίας, ὁ Νικομηδείας, καὶ ὁ Δράμας· ἀλλὰ καὶ ἀπὸ τῶν κληρικῶν ἕως ἀριθμοῦ ἀνθρώπων πεντήκοντα ἀπῆλθον σὺν τούτοις, ἐκδεξόμενοι καὶ ἡμᾶς. ἡμεῖς δὲ τῇ τρίτῃ συναχθέντες, τῇ εἰκοστῇ πρώτῃ τοῦ ἰουλίου μηνὸς, ἐν τῷ ῥουχαρείῳ τοῦ βασιλέως ὑπεγράψαμεν τοὺς τόμους. ἐποιήσαμεν γὰρ πέντε λατινικῶς τε καὶ ἑλληνικῶς, καὶ ὑπέγραψαν οἱ Λατῖνοι καὶ οἱ Γραϊκοὶ ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ὅπως λάβωσιν οἱ Λατῖνοι τὸ ἓν, καὶ οἱ Γραϊκοὶ τὸ ἄλλο, τοὺς δ' ἄλλους ἵνα στείλωσιν εἰς τοὺς πατριάρχας. οὕτως οὖν ἔλαβε τέλος πάντα τὰ τῆς ἁγίας ἑνώσεως.



ΠΕΡΙ ΤΩΝ ΑΡΜΕΝΙΩΝ.

Παρελθουσῶν δὲ ἡμερῶν τινων, ἦλθον ἀπὸ τῆς Ἀρμενίας ἀποκρισιάριοι ἐνάρετοι ἄνθρωποι παρὰ τοῦ πατριάρχου τῶν Ἀρμενίων, ζητοῦντες ἕνωσιν καὶ αὐτοὶ, καὶ τὴν ὀρθοδοξίαν τῆς πίστεως· οἳ καὶ τὸν μακαριώτατον πάπαν προσκυνήσαντες, τῷ βασιλεῖ ἐνεφανίσθησαν, καὶ τὴν βουλὴν αὐτῶν ἀνέφερον, καὶ ὅπως βούλονται τῇ ἐκκλησίᾳ τῇ καθολικῇ ἑνωθῆναι ἐξηγήσαντο· καὶ παρ' αὐτοῦ ἐζήτουν βοήθειαν καὶ ἐπίσκεψιν. ὁ δὲ βασιλεὺς αὐτοῖς ἀπεκρίνατο, ὅτι τε ἄριστόν ἐστι λίαν τὸ σπουδαζόμενον, καὶ ὅτι ἐὰν προσέλθωσι τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἄριστον ἔσται αὐτοῖς· καὶ ὅτι, φησὶ, παρακαλῶ τὸν θεὸν ὀρθοτομῆσαι τὴν ἕνωσιν αὐτῶν· καὶ ὅτι ἐὰν τοῦτο γένηται, ἔσται καὶ αὐτὸς βοηθὸς εἰς πᾶν ὁτιοῦν ἔργον καὶ χρείαν αὐτῶν. Τούτων ῥηθέντων ἀπῆλθον καὶ οἱ Ἀρμένιοι· ἡμεῖς δὲ ἐξελθόντες ἀπὸ Φλωρεντίας ἤλθομεν εἰς Βενετίαν, κἀκεῖθεν πάλιν εἰς τὰ ἴδια.





ΤΗΣ ΑΓΙΑΣ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΕΝ ΦΛΩΡΕΝΤΙΑ

ΣΥΝΟΔΟΥ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.



ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

Ὑπὲρ εἰρήνης καὶ βοηθείας τῇ πατρίδι, παράκλησις πρὸς τὴν ἀνατολικὴν σύνοδον ἐν Φλωρεντίᾳ.

Τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ τῆς καθ' ἡμᾶς ἁγίας ἐκκλησίας, ἀρίστοις καὶ τιμιωτάτοις πατράσι, Γεώργιος ὁ Σχολάριος τὴν ὀφειλομένην εὐλάβειαν.

Ἡ μὲν κοινὴ τῶν σοφῶν ἁπάντων παραγγελία, μηδένα δεῖν φησι συμβουλεύειν, πρὶν ἂν κληθείη· ἐγὼ δὲ καὶ μὴ κληθεὶς τοῦτο πράττειν προάγομαι, καὶ τὸν παρόντα πέμπω λόγον ὑμῖν, εἰδὼς τοῦτον παράκλησιν ὄντα μᾶλλον ἢ συμβουλήν· καὶ κηδόμενος μὲν τῶν ὅλων πραγμάτων, κηδόμενος δὲ ἐν τῷ μέρει καὶ ἐμαυτοῦ καὶ γονέων καὶ συγγενῶν· καὶ ἅμα τὴν ὑμῶν φιλανθρωπίαν εἰδὼς, καὶ πεπεισμένος ὑμᾶς κἂν οὐκ ἀρέσκοισθε τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐκ ὀργιεῖσθαί μοι, ἀλλὰ καὶ χάριν ἕξειν τῆς προθυμίας. δικαίους γὰρ ὑμᾶς καὶ τἄλλα εἰδὼς, νῦν πολλῷ μᾶλλον ἐλπίζω διατηρήσειν τὴν γνώμην. δεῖ δὲ καὶ τὴν ἐμὴν πρὸς ὑμᾶς εὔνοιαν ἐνθυμηθῆναι· ἧς χάριν οὔθ' ἑνί τινι, οὔτε πᾶσιν ὁμοῦ προσκεκρουκὼς φαίνομαι, σιγῇ δὲ μᾶλλον πολλῶν ἀπασχόμενος δυσχερῶν, ὧν οἶδε θεὸς, καὶ ὧν οὐκ ἄν τις ῥᾳδίως ἀνέσχετο· οὔτε γάρ τινα λυπεῖν, οὔτε ταράττειν ἔδει τὰ πράγματα. πρὸς ταύτην τοίνυν τὴν εὔνοιαν ἀποβλέψαντες καὶ τῇ τῶν πραγμάτων ἀνάγκῃ τὴν παροῦσαν λογισάμενοι τόλμαν, οὕτω τοὺς λόγους κρίνειν βουλήθητε, δεσπόται μοι καὶ πατέρες, καὶ ἡγεμόνες πάντων ὁμοῦ τῶν καλῶν καὶ νῦν καὶ πάντα τὸν χρόνον ἐσόμενοι.

Οὔτε σιωπᾶν λοιπὸν οἶμαι δεῖν, κύριοί μου καὶ πατέρες αἰδέσιμοι, τῶν προσδοκωμένων δεινῶν καὶ πλέον τι τούτου τολμᾶν

ἤδη πεπονθότων, οὔτε πολλῶν λόγων τὰ παρόντα πράγματα δεῖσθαι, ἐν ἀκμῇ καθεστῶτα κινδύνου, καὶ μόλις μετὰ τοῦ πολλὰ μὲν πράττειν, λέγειν δε ἐλάττω, δυνάμενα σώζεσθαι. συνθήκης δὲ καὶ φράσεως καὶ τέχνης ῥητορικῆς το πλεῖστον μὲν ὑπὸ τῶν παρόντων δεινῶν καὶ τῆς ἐπὶ τούτοις λύπης ἀφῄρημαι, τῷ δε περιλειπομένῳ καιρον οὐχ ὁρῶ τον παρόντα χρῆσθαι· καὶ ἅμα πρὸς πάντας ὑμᾶς ὄντος τοῦ λόγου, ἁπλοῦν τε εἶναι τοῦτον ἀνάγκη καὶ πᾶσιν εὐσύνετον. ἡγοῖτο δε ἐμοὶ μὲν τῶν λόγων θεὸς, ὃν οὐκ ἂν αἰδεσθείην καὶ τῆς εἰς ὑμᾶς και πατρίδα καὶ ἔθνος ὅλον εὐνοίας καλέσαι μάρτυρα· ὑμῖν δὲ τῆς ἐπὶ τὸ τὰ συμφέροντα ἑλέσθαι τε καὶ ἄρξασθαι πράττειν ὁδοῦ.

Ὅτι μὲν οὖν εἰσί τινες ἐξ ὑμῶν, οἱ τὴν τῶν Λατίνων καταγωνιεῖσθαι σοφίαν, καὶ πείσειν αὐτοὺς ἐπὶ τῶν ἀρχαίων ἐκείνων μένειν ἐνόμιζον, τοῦτο καὶ αὐτὸς οἶδα· καὶ λίαν αὐτῶν θαυμάζω, ὅτι καίτοι τἄλλα σοφοί τινες ὄντες, τοσοῦτον ἐν τούτῳ τῷ μέρει πεπλάνηνται· καὶ ταῦτα καὶ συνειδότες σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις φαύλως ἔχουσι τῆς πρὸς τὸ πείθειν παρασκευῆς, οὐ μόνον ἄν τις περὶ τῶν μεγίστων ἐνίσταιτο, ἀλλ' εἰ καὶ τὴν δυάδα πρῶτον ἐν ἀριθμοῖς ἄρτιον εἶναι, ἢ τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος συνεστάναι, καὶ τὰ τοιαῦτα ἀρνεῖσθαι θελήσειεν· εἰδότες δὲ καὶ Λατίνους μέχρι τῆς ἀνθρωπίνης εὐπορίας ἅπασαν διαλεκτικήν τε καὶ πᾶσαν ἐπιστήμην, καὶ τὴν πασῶν ὑψηλοτάτην θεολογίαν ἐξητακότας τε καὶ ἀσκήσαντας· ἀλλ' εἰ καὶ πλείους ὑμῶν οὔτε τὴν Λατίνων ἠγνόουν σοφίαν, οὐθ' ὅτι πολλῶν εὐπορήσουσι λόγων πρὸς τὸ δεῖξαι σφᾶς αὐτοὺς δοξάζειν καλῶς, ἀλλ' ὅμως ἐκεῖνοί τε πάντες καὶ οὗτοι τὴν μετὰ Λατίνων ἕνωσιν τοῦ παντὸς ἄξιον χρῆμα καὶ ῥᾷστον εἶναι πρὸς τούτοις νομίσαντες, ἑαυτούς τε καὶ τοὺς ἄλλους ἔπεισαν μεθ' ἡδονῆς ἀφικέσθαι. κείσθω δὲ καὶ πάντας τὴν αὐτὴν ἐσχηκέναι γνώμην, καὶ ἥκειν ἐλπίσαντας μηδὲν μὲν εἰδότας μήτε τἀληθῆ φρονοῦντας Λατίνους ἐλέγξειν, πείσειν δὲ ἑκόντας ἢ ἄκοντας τὴν σφετέραν δόξαν ἀρνήσασθαι, καὶ οὕτω τὴν μετ' αὐτῶν ἕνωσιν διαπράξεσθαι. εἰ μὲν οὖν ἐξέβαινε ταῦτα κατὰ σκοπὸν, ἄμεινον ἂν ἴσως ἦν· καὶ ὁ μὲν θεὸς, ᾧ συνάπτεσθαι τῇ γνώσει τῆς ἀληθείας καὶ τῇ πρὸς ἀλλήλους εἰρήνῃ πάντες ἐμέλλομεν, οὐδετέροις ἂν τῶν ἑτέρων ἐχαρίσατο μᾶλλον. ἀλλὰ τούς τε

διδάσκοντας τὴν ἀλήθειαν, καὶ τοὺς σὺν εὐγνωμοσύνῃ ταύτην δεδιδαγμένους ἐπίσης ἔμελλε στεφανοῦν, καὶ ἑαυτῷ συνάπτειν ὁμοίως. ἐδόξαμεν δ' ἂν οὑτωσὶ διδασκάλων τάξιν ἐπέχειν, καὶ τῷ καπνῷ τῆς φήμης ἐτέρφθημεν· οὗ τοῖς τὰ πνευματικὰ ζητοῦσιν ὑμῖν καὶ Θεῷ προσανέχειν ὑπεσχημένοις οὐδαμῶς ἐστιν ἁρμόττον ἐφίεσθαι. ἀλλ' ὁρᾶτε πάντες, ὅτι Λατῖνοι τῆς ἑαυτῶν ὑπερηγωνίσαντο δόξης καλῶς· ὥστε μηδένα ἂν αὐτοῖς ἐγκαλεῖν ἔχειν, εἰ βούλοιτο δίκαιος εἶναι· καὶ ὁ μὲν κοινὸς ἡμῶν διδάσκαλος καὶ δεσπότης ἐπὶ δυοῖν ἢ τριῶν μαρτύρων δεῖν ἵστασθαι πᾶν ῥῆμά φησι, καὶ ὁ πολιτικὸς νόμος οὕτω διαγορεύει· οἱ δὲ ἐκ τῶν κοινῶν διδασκάλων τῆς ἐκκλησίας ἓξ τοὺς μεγίστους ἀξιώματι καὶ σοφίᾳ καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσι, τοὺς γὰρ ἄλλους παρίημι, μάρτυρας τῆς ἑαυτῶν δόξης παρήγαγον· ὧν ἕκαστον δεῖ τῶν ἐν τῷ κόσμῳ πάντων ἀνθρώπων κρίνειν ἀντάξιον· κἀκείνους οὐχ ἁπλῶς οὕτως οὐδὲ παρέργως, ἀλλ' ὥσπερ εἰ δικασταί τινες ἦσαν ἡμῖν τῆς παρούσης ἀμφιβολίας, οὕτω διαλεγομένους διωρισμένως τε καὶ σαφῶς· καὶ αὐταῖς μὲν λέξεσι λέγοντας τὸ ζητούμενον, προστιθέντας δὲ καὶ τὰς αἰτίας, καθὰ διδασκάλοις προσῆκε, καὶ τὰ μέρη τῆς θείας γραφῆς, ἐξ ὧν τὴν δόξαν ταύτην ἀναγκαίως ἔχουσιν εἰληφότες, καθ' ἅπερ ἄλλας ἐξ ἄλλων μερῶν συνελέξαντο. πρὸς οὓς διδασκάλους τοσούτους τε ὄντας καὶ τηλικούτους; καὶ οὕτω σαφῶς τὴν δόξαν ταύτην εἰσάγοντας, οὐδ' ἂν βουληθέντες ἔχοιμεν ἀναισχυντεῖν. πρὸς τούτοις ἄλλους ἐκ τῶν κοινῶν διδασκάλων παρήγαγον, τοὺς ἐξ ἀνατολῆς λέγω, ἴσῃ σοφίᾳ καὶ ἀξιώματι κεκοσμημένους, οὐχ οὕτω μὲν διαῤῥήδην ὥσπερ ἐκεῖνοι, λέγοντας δ' ὅμως καὶ αὐτοὺς τοῖς ἄλλοις ταὐτὰ, εἴ τις μετ' ἀληθείας καὶ σοφίας ὁμοῦ τὰς ἐκείνων ἐξετάζειν βούλοιτο ῥήσεις. καὶ σοφιστικὸν οὐδὲν οὐδὲ βίαιον, ἀλλὰ πάντα ἁπλᾶ καὶ τῇ θείᾳ γραφῇ καὶ τοῖς διδασκάλοις ἑπόμενα πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν προεβάλοντο δόξης· καὶ εἴρηται παρ' ἡμῶν οὐδὲν πρὸς αὐτοὺς, πρὸς ὃ μὴ σοφῶς τε καὶ γενναίως καὶ μετὰ τῆς ἀληθείας ἀποκρινάμενοι φαίνονται· οὐδ' ἔχομέν τινα τῶν ἁγίων φανερῶς αὐτοῖς ἀντιφάσκοντα· εἰ δέ τις ἦν, καὶ τοῦτον ἔδει τοῖς πολλοῖς μηχανῇ τινι καὶ λόγῳ συνάπτειν πολλῷ μᾶλλον καὶ δικαιότερον, ἢ πρὸς τὸν ἕνα πλῆθος τοσούτων διδασκάλων παραβιάζεσθαι. εἰς ἃ δὲ νομίζομεν αὐτοὺς ἐκ τῆς δόξης ταύτης ἐκ-

πίστευειν, καὶ ταῦτα μήτε φρονεῖν μήτ' ἐξ ἀνάγκης ἕπεσθαι τῇ δόξῃ, διαμαρτύρονται· ἀλλὰ καὶ τὰ αὐτά φασι μεθ' ἡμῶν πιστεύειν, καὶ πρὸς τὸν ἴσον ἡμῖν φέρεσθαι νοῦν, εἰ καὶ προσθήκῃ λέξεων ἄμεινον ἀναπτύσσουσι· καὶ οὐδένα τῶν ἁγίων ἀναγκάζονται συκοφαντεῖν ἢ διαγράφειν, ἀλλὰ μᾶλλον συνάπτουσιν ἀλλήλοις τοὺς διδασκάλους· καὶ μίαν ταύτην ἀπόδειξιν ἀρκοῦσαν ἔχειν ἡγοῦνται παρ' ἑαυτοῖς τοῦ τἀληθῆ φρονεῖν καὶ πιστεύειν, ὅτι μηδενὶ πρὸς μηδένα τῶν διδασκάλων ἀντίφασίν τινα καὶ μάχην ἐγείρουσιν· ἀλλὰ τἀκείνων πάντα γαλήνης γέμει καὶ ὁμονοίας, τῆς δόξης ταύτης κρατούσης. πρὸς δὲ τούτοις, καθάπερ διδασκάλοις ἡμῖν ἢ κριταῖς αὐτῶν καθημένοις, οὕτω προσφέρονται· καὶ δέονται σφᾶς προσήκεσθαι, καὶ μὴ θέλειν ἀνθρώπων οὕτω μὲν ἀδελφὰ φρονούντων ἡμῖν, οὕτω δὲ συμβαινόντων τοῖς κοινοῖς διδασκάλοις, μικρᾷ προφάσει χωρίζεσθαι. οὐδ' ἀπαιτοῦσιν ἐξ ἡμῶν τὴν ὁμολογίαν τῆς ἀληθείας, ἀλλὰ τοῦτο μὲν ἡμῖν καταλείπουσιν, εἰ βουλοίμεθα τελείως πιστεύειν, καὶ μὴ νομίζοιμεν αἰσχύνην φέρειν ἡμῖν τὴν ἐλπίδα τῆς σωτηρίας· δεῖ γάρ, φησι, πρὸς τὸ σώζεσθαι, καὶ χείλεσι τὴν πίστιν ὁμολογεῖν· αὐτοὶ δὲ ἀρκεῖν ἡγοῦνται πρὸς τὴν εἰρήνην, τὸ παύσασθαι λοιπὸν ἐγκαλεῖν αὐτοῖς, οὕτω πολλὰς τοῦ μὴ ψεύδεσθαι μηδὲ κακῶς φρονεῖν παρασχομένοις τὰς ἀποδείξεις. ὥστ' ἐξεῖναι τρόπον ἡμῖν ἕτερον μετὰ τοῦ τὴν εἰρήνην πράττειν, καὶ τῆς ἔξω καὶ φαινομένης ταύτης ἀπολαῦσαι λαμπρότητός τε καὶ φήμης· καὶ μηδὲ ἀποστασίαν τῶν ἡμῖν προσηκόντων δεδιέναι γενῶν, ἐπειδὴ τὴν ὁμολογίαν τῆς πίστεως οὐκ ἄλλως ἢ πρότερον ἐκείνοις τε καὶ ἡμῖν ἔσται ποιεῖσθαι. καὶ οἱ μὲν Λατῖνοι ταῦτα δεικνύουσι, ταῦτά φασιν, οὕτω πρὸς τὴν μεθ' ἡμῶν ζέουσιν ἕνωσιν, οὕτως ἡμᾶς τῆς ἐκείνων ἕνεκα δόξης οὐδὲν βούλονται πράττειν αἰσχρὸν ἢ δυνάμενον βλάπτειν. ἡμεῖς δὲ πρὸς ταῦτα πάντα λόγων μὲν ἴσως εὐπορήσομεν, ἀλλ' οὐ πάνυ γενναίων οὐδ' εὐπρεπῶν, οὐδ' ἀξίων τῆς ἡμετέρας ἀρετῆς καὶ σοφίας, οὐδὲ βουλομένων ἀνδρῶν σχῆμα σώζειν καὶ τάξιν τῶν ἐν ταῖς συνόδοις ἐκείναις πατέρων, οἳ μετὰ τῆς ἀληθείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης πάντα ἐξήτασαν. οὐδ' ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών, ἀλλ' ὑπὲρ τῆς ἀληθείας τῆς πίστεως, μεθ' ἧς δὴ ἐλπίζομεν σώζεσθαι· καὶ πρὸς ἣν ἐθέλειν φιλονεικεῖν, οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ κινδύνου γέμον μεγίστου.

οὔτε γὰρ ἀρνήσασθαι τοὺς διδασκάλους ἔξεστιν, οἷς καὶ πρέσβεσι πρὸς θεὸν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων εἰώθαμεν χρῆσθαι, καὶ οἷς τὸ κοινὸν τῆς ἐκκλησίας μεγίστας τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων καὶ τῶν ἐν τῷ διδάσκειν πόνων ἀπένειμε χάριτας, ἄνευ τῆς ἄλλης ἁγιωσύνης, ἧς ἕνεκα ταῖς δευτέραις μετὰ θεὸν αὐτοὺς τιμῶμεν τιμαῖς· οὔτ᾽ ἐροῦμεν ἀντιφάσκειν τοὺς διδασκάλους ἀλλήλοις· τοῦτο γὰρ πάντα συγχέειν ἐστὶ, καὶ τὴν πίστιν πᾶσαν ἀρνεῖσθαι. τὸ δὲ Λατίνους διαφθεῖραι βουληθῆναι τὴν πίστιν, καὶ τὴν τῶν διδασκάλων ἁπάντων νοθεῦσαι θεολογίαν, τίς οὕτως ἁπλοῦς ἐστιν ὥστε πιστεῦσαι; ἢ τίς τοῦτο κατὰ Λατίνων εἰπὼν οὐχὶ καὶ γέλωτα προσοφλήσει; οὐδεμία γὰρ ταυτησὶ τῆς κατηγορίας πλείοσί τε καὶ μείζοσι καὶ ἀληθεστέροις ἂν ἐλέγχοιτο λόγοις. ἀλλὰ τὴν φαινομένην προβαλλόμεθα τῶν διδασκάλων διαφωνίαν. λύσουσι τοίνυν αὐτὴν καὶ μάλα εὐκόλως· μᾶλλον δὲ καὶ ἤδη λελύκασιν. ἀλλ᾽ οὐδ᾽ εὐπρεπές ἐστι λοιπὸν παρὰ Λατίνων τὰ τοιαῦτα ζητεῖν· καὶ ἡμεῖς γὰρ παρ᾽ ἑαυτοῖς δυνάμεθα τοὺς διδασκάλους συνάπτειν. ἐγὼ πάντων ὑμῶν ἐλάχιστος ὢν, ὁπόταν κελεύσητε, τοῦθ᾽ ἕτοιμός εἰμι πράττειν καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ δεῖξαι πᾶσιν οὑτωσὶ φανερῶς, ὅτι διὰ πάντων οἱ τῆς ἐκκλησίας διδάσκαλοι τὴν αὐτὴν περὶ τῶν προκειμένων ἔχουσι γνώμην· καὶ τοῦτο οὐκ ἐν λόγοις δείξω πολλοῖς, ἀλλ᾽ ἀρκέσουσιν ὧραι δύο, ὥστε πεῖσαι πάντας ὑμᾶς μηκέτι περὶ τῆς τῶν διδασκάλων συμφωνίας ἀμφιγνοεῖν. μηδὲ πράγματα λοιπὸν αὐτούς τε ἔχειν καὶ Λατίνοις παρέχειν, κοινῇ συνόδῳ τὴν περὶ τούτων ἀνατιθέντας ἐξέτασιν. Ἀλλὰ μὲν οὐδ᾽ εἰ τρίβειν ἐξῆν τὸν καιρὸν, καθάπερ ἐπὶ σχολῆς καθημένους, καὶ πρὸς τὴν ἐπάνοδον οὐδεμίαν ἀνάγκην ἔχοντας, ἔδει περὶ τῶν θείων πραγμάτων κενὰ καὶ μάταια λέγειν, καὶ πρὸς τὸν ἔξω λόγον ἐνίστασθαι, καὶ τὴν νίκην μόνην σκοπεῖν, καὶ πολλὰ λέγειν, ἐν οἷς εἰκός τι καὶ ἁμαρτάνειν· καὶ ταῦτα περὶ θεολογίας τε καὶ φιλοσοφίας οὐ σφόδρα δυναμένους ἁμιλλᾶσθαι Λατίνοις τοῦτο τῆς ἐν ἡμῖν δυστυχίας τῶν πραγμάτων πεποιηκυίας, δι᾽ ἣν οἱ παρ᾽ ἡμῖν ἄκροι τοσοῦτον θεολογίας τε καὶ φιλοσοφίας ἡττῶνται, ὥστε μόνον μὴ δοκεῖν καθάπαξ ἀπαίδευτοι, ἐκλελοιπότων μὲν παιδευτηρίων, σβεσθείσης δὲ τῆς περὶ μαθήματα καὶ λόγους φιλοτιμίας, καὶ πάντων τῆς χρείας μόνης καὶ τῆς ἀνάγκης

γεγενημένων. πέπεισμαι δὲ μηδὲ τῷ πνεύματι σφόδρα ἀρέσειν τὴν τοσαύτην ἀδολεσχίαν, ἀλλὰ συκοφάντας ἡμᾶς αὐτοῦ νομιεῖν, εἰ τοσαῦτα μὲν ἐκ τῆς θείας γραφῆς, τοσαῦτα δὲ ἐκ τῆς τῶν διδασκάλων συμφωνίας ἔχοντες πρὸς τὸ προκείμενον βοηθήματα, εἶτα καθεδούμεθα τούτων πάντων καταφρονοῦντες, καὶ λόγους λόγοις συμπλέξομεν, ἢ νομίζοντες ἐν τοῖς ἡμετέροις λόγοις ἄμεινόν τι τῆς ἐκ τῶν γραφῶν χορηγίας εὑρήσειν, ἢ ζητοῦντες παρὰ τοῦ πνεύματος σαφέστερόν τι τῶν ὑπ' αὐτοῦ λαμπρῶς οὑτωσὶ διωρισμένων λαβεῖν. ὑπὸ τούτων γὰρ τῶν λόγων καὶ τῆς τοιαύτης ὁδοῦ, μᾶλλον ὑμᾶς οἶδα πρὸς διχόνοιάν τε καὶ στάσιν, ἢ πρὸς ὁμόνοιαν ἀγομένους τε καὶ ἔτι μᾶλλον ἀχθησομένους. Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ θεῷ φίλον, καὶ τοῖς διδασκάλοις τῆς ἐκκλησίας χάριεν ἔσται, καὶ ἡμῖν εὐπρεπὲς, καὶ πρὸς τούτοις ῥᾴδιον, τὸ τὴν ἕνωσιν ἤδη, τῶν πολλῶν ἀφεμένους λόγων διαπράξασθαι, καὶ μετὰ ταύτης ἐπανιέναι. καὶ οὐδὲν ἡμῖν ὅλως προσίσταται πρὸς τὸ πράττειν ὧν ἐπιθυμήσαντες ἥκομεν, τῆς μὲν δόξης Λατίνων ὑπὸ τοσούτων μαρτυρουμένης, καὶ πανταχόθεν ἀξίας οὔσης πιστεύεσθαι, ἡμῶν δὲ δυναμένων αὐτοῖς ἑνωθῆναι ἄνευ τοῦ καὶ περὶ τὸ σύμβολόν τι καινοτομεῖν. καὶ μὴν ἴστε πάντες καλῶς, ὅτι τὴν ἕνωσιν τῆς ἐκκλησίας Χριστοῦ, καίτοι πολλῶν ἄλλων ἕνεκα καὶ δικαιοτέρων μάλιστ' ἂν ὑπὸ παντὸς ζητηθεῖσαν, τὸ παρὰ τῶν ἀσεβῶν δέος καὶ τὰ πράγμαθ' ἡμῖν εἰς τοὔσχατον ἥκοντα δυστυχίας, ποθῆσαι καὶ σπουδάσαι διὰ πολλῶν, καὶ ὅτι μάλιστα τοῦ τέλους ἐγγὺς αὐτὴν ἀγαγεῖν, τὰ γὰρ μεταξὺ παραλείπω πάντα, ἡμᾶς ἰδίως ἐποίησαν. δεῖ τοίνυν τῆς προθέσεως ἐχομένους, ἐπεὶ δυνατὸν καὶ εὐπρεπές ἐστι, ταύτην εἰς τέλος ἐξενεγκεῖν. ἄλλως δ' ἂν ματαιότεροι πάντων ἀνθρώπων ἐδόξαμεν εἶναι, εἰ πολλὰ μὲν ὑπὲρ αὐτῆς ὑποστάντες, πολλῶν δὲ ἀγαθῶν ἐλπίσι κεκινημένοι, ἐπιδώσειν δὲ ἡμῖν τὰ δεινὰ, τοῦ σχίσματος βεβαιωθέντος, πάντες πιστεύοντες, εἶθ' ὥσπερ ἐπιλαθόμενοι τούτων ἁπάντων, κεναῖς, ὥς φασι, χερσὶ καὶ μηδὲν πράξαντες ἐπανέλθοιμεν, καὶ ταῦτ' εὐπρεπὲς οὕτω καὶ ῥᾴδιον ὂν, καὶ μηδενὸς ἡμῖν εὐλόγως εἰς τοῦτο προσισταμένου. Οὐδὲ προσέχειν δεῖ τοῖς μηδὲν ἀγαθὸν ἡμῖν ἐκ τῆς ἑνώσεως λέγουσιν ἥξειν· καὶ τούτου πρόφασιν οἰομένοις ἔχειν ἀρκοῦσαν, τά τε τῶν Λατίνων γένη τῇ κατ' ἀλλήλων μάχῃ φθειρόμενα καὶ ταῖς οἰκείαις προσέχοντα συμφοραῖς,

καὶ τὰ τοῦ πάπα πράγματα τάξιν οὔπω λαβόντα καὶ δύναμιν, ἀλλ' ἀσθενοῦντα καὶ πολλαχόθεν ἀκμὴν ἐπιβουλευόμενα. ἄνευ γὰρ τῆς ἄλλης ὠφελείας ἁπάσης, ἣν ὅ τι πάπας ἡμῖν καὶ τὰ λοιπὰ τῶν Λατίνων ἔθνη, καὶ τῶν πραγμάτων οὕτω σφίσιν ἐχόντων, παρέξονται· τὸ γὰρ ἡμέτερον ὀλίγον ὄν, ὡς καὶ ὑμεῖς ἴστε, δυσχέρειαν αὐτοῖς οὐ μεγάλην μέλλει παρέχειν, τέως γὰρ ἀσφαλείας μόνης καὶ τοῦ μὴ δεδιέναι τοὺς πολεμίους, ἡμᾶς οἴδασι χρῄζοντας· ὃ χρήμασι μὲν οὐ πολλοῖς, ναυσὶ δὲ ὀλίγαις δύνανται πράττειν· ἐγώ φημι καὶ τὴν τῆς ἑνώσεως φήμην ἀρκέσειν ἡμῖν πρὸς τὸ μηκέτι δεδιέναι τοὺς πολεμίους. οὐδὲ γὰρ δέος ἐστὶ λοιπὸν ἡμῖν αὐτοὺς ἐπιθήσεσθαι, ἐγγύθεν ἐσομένους ἡμῖν τοὺς συμμάχους εἰδότας· οἱ πολλάκις βεβοηθηκότες οὔπω διηλλαγμένοις, νῦν ἤδη πολλῷ μᾶλλον καὶ προθυμότερον τοῦτο πράττειν βουλήσονται, καὶ καθάπερ τι χρέος ἀποτιννύναι τὴν συμμαχίαν. οὔτε γὰρ Λατίνων οὔτε βαρβάρων οὐδεὶς ἀγνοεῖ, πρώτην αἰτίαν ἑνώσεως τὴν τῆς βοηθείας οὖσαν ἐλπίδα, καὶ τὸ μηδένα ἄλλον ἡμῖν περιλειφθῆναι τρόπον, ᾧ μέλλομεν σώζεσθαι· τοὐναντίον δὲ, τοῦ πρὸς Λατίνους μίσους καὶ τῆς ἀηδίας ἡμῖν αὐξηθέντων ἐκ τοῦ κενοὺς ἡμᾶς καὶ ἀπράκτους ἐντεῦθεν ἀπαλλαγῆναι, ὅπερ ἐκ τοῦ φαύλως καὶ ταπεινῶς καὶ μετὰ μικρᾶς δυνάμεως ἐπανήκειν εὐθὺς ἔσται πᾶσι κατάδηλον, καὶ ἡμῖν οὐκέτι περὶ τῆς σωτηρίας ἐλπίζειν ἐξεῖναι ἄν, καὶ τοὺς πολεμίους ἐπιθήσεσθαι, καὶ μὴ βουλομένους, ἡμῖν καιρὸν ἔχειν ἡγοῦμαι. λογίσασθε δὲ ἐπὶ πᾶσι καὶ τὴν παροῦσαν ἀνάγκην, ὁπόση τίς ἐστιν· ἀκούετε γὰρ τὸν βάρβαρον μεγίστῃ δυνάμει παρασκευάζεσθαι πεζῇ τε καὶ ναυτικῇ μετὰ τῆς ἡμετέρας πόλεως ἥξειν. καὶ ἴσως πρὶν ἡμᾶς σαφές τι μαθεῖν, ἀφίκετο ἢ ὅσον οὔπω μέλλει παρεῖναι. ἴστε δὲ πάντες ἐκείνην, ἄνευ τῆς ἔξωθεν συμμαχίας, οὐδὲ πρὸς τὴν ἔφοδον ἀντιστῆναι δυνησομένην, ἀλλὰ κινδυνεύουσαν ἕρμαιον γενέσθαι τῶν πολεμίων ἀμαχητὶ, πρὸς μόνην τὴν ὄψιν αὐτῶν καταπεπληγμένην. εἰ δ' ἀντισταίη μέχρι τινὸς πολιορκουμένη, ἀλλ' οὐδεμία μηχανὴ παντάπασιν αὐτὴν ἀπαθῆ δυνηθῆναι διαγενέσθαι· ἀλλ' ἀνάγκη πᾶσα ταύτην ἐνδοῦναι. μέμνησθε γὰρ, ὅτι τῶν αὐτῶν τούτων βαρβάρων ποτὲ πολιορκούντων ἡμᾶς ἀπὸ γῆς, τοῦ δὲ πρὸς θαλάσσης τείχους, ὃ διπλάσιόν ἐστι τοῦ λοιποῦ, μένοντος ἀφυλάκτου, οὐδεὶς γὰρ ἐκεῖθεν ἠνώχλει, εἰς πόσον ἡμῖν φόβου καὶ ἀνάγκης ἦλθε τὰ

πράγματα. νῦν δὲ ἅπαν μὲν τὸ τεῖχος ἀνάγκη φυλάττειν· τὸ δὲ νῦν στρατιωτικὸν καὶ τὸ λοιπὸν ἅπαν τῆς πόλεως πλῆθος, οὐδ' ἥμισυ τῶν τότε ὄντων ἐστίν· οἳ τὴν τρίτην τοῦ τείχους μοῖραν φυλάττοντες καὶ προπολεμοῦντες, οὐκ ἐδόκουν πρὸς τοσοῦτον πλῆθος καὶ τοσαύτην παρασκευὴν τῶν πολεμίων ἀρκεῖν. ὁ γὰρ τοσούτοις ἔτεσιν ἡμᾶς πιέζων λοιμὸς δεινῶς πάντας ἀνάλωκεν. ἥμισυ δ' εἶναί φημι, καὶ ἡμῶν ἐκεῖσε παρόντων καὶ συναριθμουμένων. νῦν δὲ ἄπεστι μὲν βασιλεὺς, ὃς εἷς ὢν, ἐν πᾶσι πράγμασι τὰ μέγιστα δύναται. ἄπεστι δὲ τοσοῦτοι τὸν ἀριθμὸν καὶ οὕτω καλοὶ, ὥστ' ἀρκέσαι ἂν ὑμᾶς ἀντὶ συμμαχίας μεγίστης, αἴφνης προσγενομένους. οἱ δὲ μισθοφόροι τοξόται, πλὴν εἴκοσι καὶ πέντε, πάντες ᾤχοντο φεύγοντες· τὰς δ' αἰτίας πρέπει σιγᾶν· ἴσως δὲ κἀκεῖνοι τοῖς ἄλλοις ὁμοίως ὑπὲρ σφῶν αὐτῶν ἄχρι νῦν ἐβουλεύσαντο. πῶς οὖν ἐλπίς ἐστιν, ἐρημίᾳ τοσαύτῃ σωμάτων οὕτω φρικώδη πόλεμον διακρούσασθαι; εἰ τοίνυν μήθ' ὑπὲρ τῆς ἑνώσεως ἐτύχομεν ἀφιγμένοι, μήτε τὴν ἕνωσιν ἕνεκα τοῦ τῶν κινδύνων ἀπηλλάχθαι καὶ φόβων μάλιστα ἐποθοῦμεν, ἀλλ' ἄλλο τι καὶ δι' ἄλλην αἰτίαν πράττοντες ἐκαθήμεθα, ἔδει μετὰ τὴν πικρὰν ἀγγελίαν ἐκείνην, πάντα ῥίψαντας τὰ ἐν χερσὶ, καὶ πᾶσαν πραγματείαν ἧς χάριν ἀφίγμεθα, παριδόντας, ζητῆσαι μὲν, εἰ δυνάμεθα Λατίνους προσδέξασθαι, καὶ κοινωνῆσαι σφίσι καλῶς. τοῦτο δ' ἔστι, τῇ τε θείᾳ γραφῇ καὶ τοῖς διδασκάλοις τῆς ἐκκλησίας συμφώνως. τοῦτο δ' εὑρόντας, αὐτίκα τὴν πρὸς αὐτοὺς φιλίαν ἀνανεώσασθαι· εἶτα ναῦς ἑτοιμάσαντας, τὰς μὲν διδόντων αὐτῶν, τὰς δὲ καὶ ἡμῶν ὠνουμένων, εἰ οἷόν τε καὶ σώματα αὐτὰ πιπρασκόντων, μήτε τροφὴν αἱρουμένους μήθ' ὕπνον λαμβάνοντας, ἀλλ' ἐν τῷ πράττειν ὄντας νύκτωρ τε καὶ μεθ' ἡμέραν, πρὸς τὴν βοήθειαν τῆς ἡμετέρας ἐπείγεσθαι πόλεως. ἀρκοῦντι γὰρ παραγενόμενοι ναυτικῷ, καὶ φυλάξειν αὐτὴν, καὶ τοὺς πολεμίους ἀπράκτους ποιήσειν καὶ ἀποσοβήσειν, καὶ συμβαλεῖν αὐτοῖς εἰ δεήσει, καὶ πάντα τὰ τοιαῦτα ἠδυνήθημεν ἄν. πολλῷ δὲ μᾶλλον ταῦτα πράττειν ἀνάγκη, ὁπότε καὶ μηδὲν ἄλλο ζητήσοντες ἢ τὴν ἕνωσιν, οὐδ' ἑτέρου χάριν τινὸς ἀφῖχθαι, πάντες εἴποιμεν ἄν. τὴν δ' ἕνωσιν οὕτω ῥᾴστην καὶ εὐπρεπῆ καὶ θεῷ καὶ πᾶσιν ἀνθρώποις ἀρέσκειν μέλλουσαν, ἤδη πράττειν δυνάμεθα. οὐ δεῖ τοίνυν μέλλειν οὐδ' ἀναβάλλεσθαι, ἀλλὰ καὶ τὴν ἕνωσιν πράτ-

των, καὶ ὅτι τάχιστα βοηθεῖν. ἐνθυμηθῆναι γὰρ ἑκάστους ἡμᾶς δεῖ καὶ γυναῖκας καὶ παῖδας ἑαυτῶν, καὶ ἁπλῶς συγγενεῖς καὶ πολίτας, οἰκτρῶς πολιορκουμένους καὶ ἀμηχανοῦντας καὶ θρηνοῦντας· καὶ φόνους καὶ δεσμὰ καὶ πληγὰς καὶ ὕβρεις καὶ λιμὸν καὶ δίψαν, καὶ οἰκτροτάτην περιαγωγὴν καὶ δουλείαν ἀπαραμύθητον, καὶ νηπίων ἑλκυσμὸν, καὶ γερόντων σφαγὴν, καὶ χωρισμὸν ἀλλήλων ἐλεεινότατον, καὶ ἱερῶν ἀτιμίαν, καὶ βλασφημίαν εἰς ὕψος αἰρομένην κατὰ θεοῦ· καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ ἄκοντας τὸν μὲν Ἰησοῦν ἀποβαλλομένους τὸν ἀληθῆ θεὸν καὶ μόνον διδάσκαλόν τε καὶ νομοθέτην, τῇ δὲ Μωάμεθ φλυαρίᾳ καὶ ὀργίοις ἐκείνου προστιθεμένους, καὶ τὴν ἀσέβειαν ἐπιδιδοῦσαν, τὴν δὲ πίστιν διωκομένην· καὶ τὰ τοιαῦτα πάντα φανταζομένους, καὶ ἐπὶ πᾶσιν ἡμᾶς ἀνακαλουμένους, καὶ τὴν ἡμῶν ἀμέλειαν ὀνειδίζοντας· ὑφ' ὧν οὐδεπώποτε προσεδόκησαν οὑτωσὶ καταφρονηθήσεσθαι· οὓς ἐν τάξει δεσποτῶν καὶ πατέρων καὶ διδασκάλων εἶχόν τε καὶ ἐτίμων· καὶ οὓς ἐπίστευον τῆς αὐτῶν ἀσφαλείας καὶ σωτηρίας πάντα θήσεσθαι δεύτερα· ὑπὲρ ὧν ἀποδημεῖν αὐτοί τε ἐνόμιζον, καὶ ὑμεῖς ἐλέγετε φανερῶς. ἐκεῖνοι μὲν οὖν τὰ ἑαυτῶν μόνον δεινὰ φανταζόμενοι θρηνήσουσι, καὶ ἡμᾶς ἀνακαλέσονται γοερῶς· καὶ ταῖς ἐλπίσι τοῦ σήμερον, αὔριον, ἡμᾶς ἥξειν μόναις ψυχαγωγήσουσιν ἑαυτούς. ἃ πρὶν ἐκείνους παθεῖν, ἡμᾶς γένοιτο πάντας ἀποθανεῖν. οὐδὲν γὰρ ἐλεεινότερον, οὐδὲν ὅλως αἴσχιον, οὐδὲν βδελυκτότερον καὶ θεῷ καὶ ἀνθρώποις ἡμῶν ἔσται, ἂν ἐκείνους συμβαίη ταῦτα παθεῖν· ἡμᾶς δὲ καὶ μέχρι τῶν ἄλλων Χριστιανῶν ἀφικέσθαι πρέπει τῷ λογισμῷ, καὶ ἅπερ ὑπὲρ ἑαυτῶν ἐκεῖνοι δεδίασι, ταῦθ' ἡμᾶς ὑπέρ τε ἐκείνων καὶ τῶν ἄλλων Χριστιανῶν καὶ ἡμῶν αὐτῶν λογίζεσθαι χρή. τὰ αὐτὰ γὰρ ταῦτα τοῖς ὁπουδήποτε γῆς οἰκοῦσι Χριστιανοῖς, καὶ ὑπὸ τὴν βάρβαρον τελοῦσιν ἀρχὴν, ἀνάγκη πᾶσα συμβῆναι, καὶ τὸ τοῦ Χριστοῦ σέβας πανταχόθεν ἐξαλειφθήσεσθαι. ἐγὼ δὲ καὶ διὰ πάντων Χριστιανῶν ἐντὸς ὀλίγων ἐτῶν ἀφίξεσθαι τὸν κατακλυσμὸν ἐκεῖνον ἡγοῦμαι, καὶ πάντα νεμηθήσεσθαι τὴν ἀσέβειαν, καὶ τοῖς βαρβάροις πάντα δουλεύσειν. δεῖ δὲ εἰ μηδὲν ἄλλο, καὶ τὰς μέμψεις αἰδεσθῆναι τουτωνὶ τῶν Λατίνων· οἳ καὶ μετὰ τὰς πονηρὰς ἀγγελίας καὶ τὸν ἐπισεισθέντα φόβον ἡμῖν, ἔτι καθημένους ὁρῶντες, καὶ μάτην τρίβοντας τὸν καιρὸν, καὶ ὥσπερ παίζοντας ἐν οὐ παικτοῖς,

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

Ὑπὲρ εἰρήνης καὶ βοηθείας τῇ πατρίδι, παράκλησις πρὸς τὴν ἀνατολικὴν σύνοδον ἐν Φλωρεντίᾳ.

Τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ τῆς καθ' ἡμᾶς ἁγίας ἐκκλησίας, ἀρίστοις καὶ τιμιωτάτοις πατράσι, Γεώργιος ὁ Σχολάριος τὴν ὀφειλομένην εὐλάβειαν.

Ἡ μὲν κοινὴ τῶν σοφῶν ἁπάντων παραγγελία, μηδένα δεῖν φησι συμβουλεύειν, πρὶν ἂν κληθείη· ἐγὼ δὲ καὶ μὴ κληθεὶς τοῦτο πράττειν προάγομαι, καὶ τὸν παρόντα πέμπω λόγον ὑμῖν, εἰδὼς τοῦτον παράκλησιν ὄντα μᾶλλον ἢ συμβουλήν· καὶ κηδόμενος μὲν τῶν ὅλων πραγμάτων, κηδόμενος δὲ ἐν τῷ μέρει καὶ ἐμαυτοῦ καὶ γονέων καὶ συγγενῶν· καὶ ἅμα τὴν ὑμῶν φιλανθρωπίαν εἰδὼς, καὶ πεπεισμένος ὑμᾶς κἂν οὐκ ἀρέσκοισθε τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐκ ὀργιεῖσθαί μοι, ἀλλὰ καὶ χάριν ἕξειν τῆς προθυμίας. δικαίους γὰρ ὑμᾶς καὶ τἄλλα εἰδὼς, νῦν πολλῷ μᾶλλον ἐλπίζω διατηρήσειν τὴν γνώμην. δεῖ δὲ καὶ τὴν ἐμὴν πρὸς ὑμᾶς εὔνοιαν ἐνθυμηθῆναι· ἧς χάριν οὔθ' ἑνί τινι, οὔτε πᾶσιν ὁμοῦ προσκεκρουκὼς φαίνομαι, σιγῇ δὲ μᾶλλον πολλῶν ἀπασχόμενος δυσχερῶν, ὧν οἶδε θεὸς, καὶ ὧν οὐκ ἄν τις ῥᾳδίως ἀνέσχετο· οὔτε γάρ τινα λυπεῖν, οὔτε ταράττειν ἔδει τὰ πράγματα. πρὸς ταύτην τοίνυν τὴν εὔνοιαν ἀποβλέψαντες καὶ τῇ τῶν πραγμάτων ἀνάγκῃ τὴν παροῦσαν λογισάμενοι τόλμαν, οὕτω τοὺς λόγους κρίνειν βουλήθητε, δεσπόται μοι καὶ πατέρες, καὶ ἡγεμόνες πάντων ὁμοῦ τῶν καλῶν καὶ νῦν καὶ πάντα τὸν χρόνον ἐσόμενοι.

Οὔτε σιωπᾷν λοιπὸν οἶμαι δεῖν, κύριοί μου καὶ πατέρες αἰδέσιμοι, τῶν προσδοκωμένων δεινῶν καὶ πλέον τι τούτου τολμᾷν

ἤδη πειθόντων, οὔτε πολλῶν λόγων τὰ παρόντα πράγματα δεῖσθαι, ἐν ἀκμῇ καθεστῶτα κινδύνου, καὶ μόλις μετὰ τοῦ πολλὰ μὲν πράττειν, λέγειν δὲ ἐλάττω, δυνάμενα σώζεσθαι. συνθήκης δὲ καὶ φράσεως καὶ τέχνης ῥητορικῆς τὸ πλεῖστον μὲν ὑπὸ τῶν παρόντων δεινῶν καὶ τῆς ἐπὶ τούτοις λύπης ἀφῄρημαι, τῷ δὲ περιλειπομένῳ καιρὸν οὐχ ὁρῶ τὸν παρόντα χρῆσθαι· καὶ ἅμα πρὸς πάντας ὑμᾶς ὄντος τοῦ λόγου, ἁπλοῦν τε εἶναι τοῦτον ἀνάγκη καὶ πᾶσιν εὐσύνετον. ἡγοῖτο δὲ ἐμοὶ μὲν τῶν λόγων Θεός, ὃν οὐκ ἂν αἰδεσθείην καὶ τῆς εἰς ὑμᾶς καὶ πατρίδα καὶ ἔθνος ὅλον εὐνοίας καλέσαι μάρτυρα· ὑμῖν δὲ τῆς ἐπὶ τὸ τὰ συμφέροντα ἑλέσθαι τε καὶ ἄρξασθαι πράττειν ὁδοῦ.

Ὅτι μὲν οὖν εἰσί τινες ἐξ ὑμῶν, οἳ τὴν τῶν Λατίνων καταγωνιεῖσθαι σοφίαν, καὶ πείσειν αὐτοὺς ἐπὶ τῶν ἀρχαίων ἐκείνων μένειν ἐνόμιζον, τοῦτο καὶ αὐτὸς οἶδα· καὶ λίαν αὐτῶν θαυμάζω, ὅτι καίτοι τἄλλα σοφοί τινες ὄντες, τοσοῦτον ἐν τούτῳ τῷ μέρει πεπλάνηνται· καὶ ταῦτα καὶ συνειδότες σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις φαύλως ἔχουσι τῆς πρὸς τὸ πείθειν παρασκευῆς, οὐ μόνον ἄν τις περὶ τῶν μεγίστων ἐνίσταιτο, ἀλλ' εἰ καὶ τὴν δυάδα πρῶτον ἐν ἀριθμοῖς ἄρτιον εἶναι, ἢ τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος συνεστάναι, καὶ τὰ τοιαῦτα ἀρνεῖσθαι θελήσειεν· εἰδότες δὲ καὶ Λατίνους μέχρι τῆς ἀνθρωπίνης εὐπορίας ἁπάσης διαλεκτικήν τε καὶ πᾶσαν ἐπιστήμην, καὶ τὴν πασῶν ὑψηλοτάτην θεολογίαν ἐξητακότας τε καὶ ἀσκήσαντας· ἀλλ' εἰ καὶ πλείους ὑμῶν οὔτε τὴν Λατίνων ἠγνόουν σοφίαν, οὐθ' ὅτι πολλῶν εὐπορήσουσι λόγων πρὸς τὸ δεῖξαι σφᾶς αὐτοὺς δοξάζειν καλῶς, ἀλλ' ὅμως ἐκεῖνοί τε πάντες καὶ οὗτοι τὴν μετὰ Λατίνων ἕνωσιν τοῦ παντὸς ἄξιον χρῆμα καὶ ῥᾷστον εἶναι πρὸς τούτοις νομίσαντες, ἑαυτούς τε καὶ τοὺς ἄλλους ἔπεισαν μεθ' ἡδονῆς ἀφικέσθαι. κείσθω δὲ καὶ πάντας τὴν αὐτὴν ἐσχηκέναι γνώμην, καὶ ἥκειν ἐλπίσαντας μηδὲν μὲν εἰδότας μήτε τἀληθῆ φρονοῦντας Λατίνους ἐλέγξειν, πείσειν δὲ ἑκόντας ἢ ἄκοντας τὴν σφετέραν δόξαν ἀρνήσασθαι, καὶ οὕτω τὴν μετ' αὐτῶν ἕνωσιν διαπράξεσθαι. εἰ μὲν οὖν ἐξέβαινε ταῦτα κατὰ σκοπόν, ἄμεινον ἂν ἴσως ἦν· καὶ ὁ μὲν Θεός, ᾧ συνάπτεσθαι τῇ γνώσει τῆς ἀληθείας καὶ τῇ πρὸς ἀλλήλους εἰρήνῃ πάντες ἐμέλλομεν, οὐδετέροις ἂν τῶν ἑτέρων ἐχαρίσατο μᾶλλον. ἀλλὰ τούς τε

διδάσκοντας τὴν ἀλήθειαν, καὶ τοὺς σὺν εὐγνωμοσύνῃ ταύτην δεδιδαγμένους ἐπίσης ἔμελλε στεφανοῦν, καὶ ἑαυτῷ συνάπτειν ὁμοίως. ἐδόξαμεν δ' ἂν οὑτωσὶ διδασκάλων τάξιν ἐπέχειν, καὶ τῷ καπνῷ τῆς φήμης ἐτέρφθημεν· οὗ τοῖς τὰ πνευματικὰ ζητοῦσιν ὑμῖν καὶ Θεῷ προσανέχειν ἐπεσχημένοις οὐδαμῶς ἐστιν ἁρμόττον ἐφίεσθαι. ἀλλ' ὁρᾶτε πάντες, ὅτι Λατῖνοι τῆς ἑαυτῶν ὑπερηγωνίσαντο δόξης καλῶς· ὥστε μηδένα ἂν αὐτοῖς ἐγκαλεῖν ἔχειν, εἰ βούλοιτο δίκαιος εἶναι· καὶ ὁ μὲν κοινὸς ἡμῶν διδάσκαλος καὶ δεσπότης ἐπὶ δυσὶν ἢ τριῶν μαρτύρων δεῖν ἵστασθαι πᾶν ῥῆμά φησι, καὶ ὁ πολιτικὸς νόμος οὕτω διαγορεύει· οἱ δὲ ἐκ τῶν κοινῶν διδασκάλων τῆς ἐκκλησίας ἓξ τοὺς μεγίστους ἀξιώματι καὶ σοφίᾳ καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσι, τοὺς γὰρ ἄλλους παρίημι, μάρτυρας τῆς ἑαυτῶν δόξης παρήγαγον· ὧν ἕκαστον δεῖ τῶν ἐν τῷ κόσμῳ πάντων ἀνθρώπων κρίνειν ἀντάξιον· κἀκείνους οὐχ ἁπλῶς οὕτως οὐδὲ παρέργως, ἀλλ' ὥσπερ εἰ δικασταί τινες ἦσαν ἡμῖν τῆς παρούσης ἀμφιβολίας, οὕτω διαλεγομένους διωρισμένως τε καὶ σαφῶς· καὶ αὐταῖς μὲν λέξεσι λέγοντας τὸ ζητούμενον, προστιθέντας δὲ καὶ τὰς αἰτίας, καθὰ διδασκάλοις προσῆκε, καὶ τὰ μέρη τῆς θείας γραφῆς, ἐξ ὧν τὴν δόξαν ταύτην ἀναγκαίως ἔχουσιν εἰληφότες, καθ' ἅπερ ἄλλας ἐξ ἄλλων μερῶν συνελέξαντο. πρὸς οὓς διδασκάλους τοσούτους τε ὄντας καὶ τηλικούτους; καὶ οὕτω σαφῶς τὴν δόξαν ταύτην εἰσάγοντας, οὐδ' ἂν βουληθέντες ἔχοιμεν ἀναισχυντεῖν. πρὸς τούτοις ἄλλους ἐκ τῶν κοινῶν διδασκάλων παρήγαγον, τοὺς ἐξ ἀνατολῆς λέγω, ἴσῃ σοφίᾳ καὶ ἀξιώματι κεκοσμημένους, οὐχ οὕτω μὲν διαῤῥήδην ὥσπερ ἐκεῖνοι, λέγοντας δ' ὅμως καὶ αὐτοὺς τοῖς ἄλλοις ταὐτὰ, εἴ τις μετ' ἀληθείας καὶ σοφίας ὁμοῦ τὰς ἐκείνων ἐξετάζειν βούλοιτο ῥήσεις. καὶ σοφιστικὸν οὐδὲν οὐδὲ βίαιον, ἀλλὰ πάντα ἁπλᾶ καὶ τῇ θείᾳ γραφῇ καὶ τοῖς διδασκάλοις ἑπόμενα πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν προεβάλοντο δόξης· καὶ εἴρηται παρ' ἡμῶν οὐδὲν πρὸς αὐτοὺς, πρὸς ὃ μὴ σοφῶς τε καὶ γενναίως καὶ μετὰ τῆς ἀληθείας ἀποκρινάμενοι φαίνονται· οὐδ' ἔχομέν τινα τῶν ἁγίων φανερῶς αὐτοῖς ἀντιφάσκοντα· εἰ δέ τις ἦν, καὶ τοῦτον ἔδει τοῖς πολλοῖς μηχανῇ τινι καὶ λόγῳ συνάπτειν πολλῷ μᾶλλον καὶ δικαιότερον, ἢ πρὸς τὸν ἕνα πλῆθος τοσούτων διδασκάλων παραβιάζεσθαι. εἰς ἃ δὲ νομίζομεν αὐτοὺς ἐκ τῆς δόξης ταύτης ἐκ-

πίπτειν, καὶ ταῦτα μήτε φρονεῖν μήτ' ἐξ ἀνάγκης ἕπεσθαι τῇ δόξῃ, διαμαρτύρονται· ἀλλὰ καὶ τὰ αὐτά φασι μεθ' ἡμῶν πιστεύειν, καὶ πρὸς τὸν ἴσον ἡμῖν φέρεσθαι νοῦν, εἰ καὶ προσθήκῃ λέξεων ἄμεινον ἀναπτύσσουσι· καὶ οὐδένα τῶν ἁγίων ἀναγκάζονται συκοφαντεῖν ἢ διαγράφειν, ἀλλὰ μᾶλλον συνάπτουσιν ἀλλήλοις τοὺς διδασκάλους· καὶ μίαν ταύτην ἀπόδειξιν ἀρκοῦσαν ἔχειν ἡγοῦνται παρ' ἑαυτοῖς τοῦ τἀληθῆ φρονεῖν καὶ πιστεύειν, ὅτι μηδενὶ πρὸς μηδένα τῶν διδασκάλων ἀντίφασίν τινα καὶ μάχην ἐγείρουσιν· ἀλλὰ τἀκείνων πάντα γαλήνης γέμει καὶ ὁμονοίας, τῆς δόξης ταύτης κρατούσης. πρὸς δὲ τούτοις, καθάπερ διδασκάλοις ἡμῖν ἢ κριταῖς αὐτῶν καθημένοις, οὕτω προσφέρονται· καὶ δέονται σφᾶς προσήκασθαι, καὶ μὴ θέλειν ἀνθρώπων οὕτω μὲν ἀδελφὰ φρονούντων ἡμῖν, οὕτω δὲ συμβαινόντων τοῖς κοινοῖς διδασκάλοις, μικρᾷ προφάσει χωρίζεσθαι. οὐδ' ἀπαιτοῦσιν ἐξ ἡμῶν τὴν ὁμολογίαν τῆς ἀληθείας, ἀλλὰ τοῦτο μὲν ἡμῖν καταλείπουσιν, εἰ βουλοίμεθα τελείως πιστεύειν, καὶ μὴ νομίζοιμεν αἰσχύνην φέρειν ἡμῖν τὴν ἐλπίδα τῆς σωτηρίας· δεῖ γάρ, φησι, πρὸς τὸ σώζεσθαι, καὶ χείλεσι τὴν πίστιν ὁμολογεῖν· αὐτοὶ δὲ ἀρκεῖν ἡγοῦνται πρὸς τὴν εἰρήνην, τὸ παύσασθαι λοιπὸν ἐγκαλεῖν αὐτοῖς, οὕτω πολλὰς τοῦ μὴ ψεύδεσθαι μηδὲ κακῶς φρονεῖν παρασχομένοις τὰς ἀποδείξεις. ὥστ' ἐξεῖναι τρόπον ἡμῖν ἕτερον μετὰ τοῦ τὴν εἰρήνην πράττειν, καὶ τῆς ἔξω καὶ φαινομένης ταύτης ἀπολαῦσαι λαμπρότητός τε καὶ φήμης· καὶ μηδὲ ἀποστασίαν τῶν ἡμῖν προσηκόντων δεδιέναι γενῶν, ἐπειδὴ τὴν ὁμολογίαν τῆς πίστεως οὐκ ἄλλως ἢ πρότερον ἐκείνοις τε καὶ ἡμῖν ἔσται ποιεῖσθαι. καὶ οἱ μὲν Λατῖνοι ταῦτα δεικνύουσι, ταῦτά φασιν, οὕτω πρὸς τὴν μεθ' ἡμῶν ζέουσιν ἕνωσιν, οὕτως ἡμᾶς τῆς ἐκείνων ἕνεκα δόξης οὐδὲν βούλονται πράττειν αἰσχρὸν ἢ δυνάμενον βλάπτειν. ἡμεῖς δὲ πρὸς ταῦτα πάντα λόγων μὲν ἴσως εὐπορήσομεν, ἀλλ' οὐ πάνυ γενναίων οὐδ' εὐπρεπῶν, οὐδ' ἀξίων τῆς ἡμετέρας ἀρετῆς καὶ σοφίας, οὐδὲ βουλομένων ἀνδρῶν σχῆμα σώζειν καὶ τάξιν τῶν ἐν ταῖς συνόδοις ἐκείναις πατέρων, οἳ μετὰ τῆς ἀληθείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης πάντα ἐξήτασαν. οὐδ' ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών, ἀλλ' ὑπὲρ τῆς ἀληθείας τῆς πίστεως, μεθ' ἧς δὴ ἐλπίζομεν σώζεσθαι· καὶ πρὸς ἣν ἐθέλειν φιλονεικεῖν, οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ κινδύνου γέμον μεγίστου.

οὔτε γὰρ ἀρνήσασθαι τοὺς διδασκάλους ἔξεστιν, οἷς καὶ πρέσβεσι πρὸς θεὸν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων εἰώθαμεν χρῆσθαι, καὶ οἷς τὸ κοινὸν τῆς ἐκκλησίας μεγίστας τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων καὶ τῶν ἐν τῷ διδάσκειν πόνων ἀπένειμε χάριτας, ἄνευ τῆς ἄλλης ἁγιωσύνης, ἧς ἕνεκα ταῖς δευτέραις μετὰ θεὸν αὐτοὺς τιμῶμεν τιμαῖς· οὔτ' ἐροῦμεν ἀντιφάσκειν τοὺς διδασκάλους ἀλλήλοις· τοῦτο γὰρ πάντα συγχέειν ἐστὶ, καὶ τὴν πίστιν πᾶσαν ἀρνεῖσθαι. τὸ δὲ Λατίνους διαφθεῖραι βουληθῆναι τὴν πίστιν, καὶ τὴν τῶν διδασκάλων ἁπάντων νοθεῦσαι θεολογίαν, τίς οὕτως ἁπλοῦς ἐστιν ὥστε πιστεῦσαι; ἢ τίς τοῦτο κατὰ Λατίνων εἰπὼν οὐχὶ καὶ γέλωτα προσοφλήσει; οὐδεμία γὰρ ταυτησὶ τῆς κατηγορίας πλείοσί τε καὶ μείζοσι καὶ ἀληθεστέροις ἂν ἐλέγχοιτο λόγοις. ἀλλὰ τὴν φαινομένην προβαλλόμεθα τῶν διδασκάλων διαφωνίαν. λύσουσι τοίνυν αὐτὴν καὶ μάλα εὐκόλως· μᾶλλον δὲ καὶ ἤδη λελύκασιν. ἀλλ' οὐδ' εὐπρεπές ἐστι λοιπὸν παρὰ Λατίνων τὰ τοιαῦτα ζητεῖν· καὶ ἡμεῖς γὰρ παρ' ἑαυτοῖς δυνάμεθα τοὺς διδασκάλους συνάπτειν. ἐγὼ πάντων ὑμῶν ἐλάχιστος ὢν, ὁπόταν κελεύσητε, τοῦθ' ἕτοιμός εἰμι πράττειν καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ δεῖξαι πᾶσιν οὑτωσὶ φανερῶς, ὅτι διὰ πάντων οἱ τῆς ἐκκλησίας διδάσκαλοι τὴν αὐτὴν περὶ τῶν προκειμένων ἔχουσι γνώμην· καὶ τοῦτο οὐκ ἐν λόγοις δείξω πολλοῖς, ἀλλ' ἀρκέσουσιν ὧραι δύο, ὥστε πεῖσαι πάντας ὑμᾶς μηκέτι περὶ τῆς τῶν διδασκάλων συμφωνίας ἀμφιγνοεῖν. μηδὲ πράγματα λοιπὸν αὐτούς τε ἔχειν καὶ Λατίνοις παρέχειν, κοινῇ συνόδῳ τὴν περὶ τούτων ἀνατιθέντας ἐξέτασιν. Ἀλλὰ μὲν οὐδ' εἰ τρίβειν ἐξῆν τὸν καιρὸν, καθάπερ ἐπὶ σχολῆς καθημένους, καὶ πρὸς τὴν ἐπάνοδον οὐδεμίαν ἀνάγκην ἔχοντας, ἔδει περὶ τῶν θείων πραγμάτων κενὰ καὶ μάταια λέγειν, καὶ πρὸς τὸν ἔξω λόγον ἐνίστασθαι, καὶ τὴν νίκην μόνην σκοπεῖν, καὶ πολλὰ λέγειν, ἐν οἷς εἰκός τι καὶ ἁμαρτάνειν· καὶ ταῦτα περὶ θεολογίας τε καὶ φιλοσοφίας οὐ σφόδρα δυναμένους ἁμιλλᾶσθαι Λατίνοις τοῦτο τῆς ἐν ἡμῖν δυστυχίας τῶν πραγμάτων πεποιηκυίας, δι' ἣν οἱ παρ' ἡμῖν ἄκροι τοσοῦτον θεολογίας τε καὶ φιλοσοφίας ἡττονται, ὥστε μόνον μὴ δοκεῖν καθάπαξ ἀπαίδευτοι, ἐκλελοιπότων μὲν παιδευτηρίων, σβεσθείσης δὲ τῆς περὶ μαθήματα καὶ λόγους φιλοτιμίας, καὶ πάντων τῆς χρείας μόνης καὶ τῆς ἀνάγκης

γεγενημένων. πέπεισμαι δὲ μηδὲ τῷ πνεύματι σφόδρα ἀρέσειν τὴν τοσαύτην ἀδολεσχίαν, ἀλλὰ παραστὰς ἡμᾶς αὐτοῦ νομιεῖν, εἰ τοσαῦτα μὲν ἐκ τῆς θείας γραφῆς, τοσαῦτα δὲ ἐκ τῆς τῶν διδασκάλων συμφωνίας ἔχοντες πρὸς τὸ προκείμενον βοηθήματα, εἶτα καθεδούμεθα τούτων πάντων καταφρονοῦντες, καὶ λόγους λόγοις συμπλέξομεν, ἢ νομίζοντες ἐν τοῖς ἡμετέροις λόγοις ἄμεινόν τι τῆς ἐκ τῶν γραφῶν χορηγίας εὑρήσειν, ἢ ζητοῦντες παρὰ τοῦ πνεύματος σαφέστερόν τι τῶν ὑπ' αὐτοῦ λαμπρῶς οὑτωσὶ διωρισμένων λαβεῖν. ὑπὸ τούτων γὰρ τῶν λόγων καὶ τῆς τοιαύτης ὁδοῦ, μᾶλλον ὑμᾶς οἶδα πρὸς διχόνοιάν τε καὶ στάσιν, ἢ πρὸς ὁμόνοιαν ἀγομένους τε καὶ ἔτι μᾶλλον ἀχθησομένους. Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ θεῷ φίλον, καὶ τοῖς διδασκάλοις τῆς ἐκκλησίας χάριεν ἔσται, καὶ ἡμῖν εὐπρεπὲς, καὶ πρὸς τούτοις ῥᾴδιον, τὸ τὴν ἕνωσιν ἤδη, τῶν πολλῶν ἀφεμένους λόγων διαπράξασθαι, καὶ μετὰ ταύτης ἐπανιέναι. καὶ οὐδὲν ἡμῖν ὅλως προσίσταται πρὸς τὸ πράττειν ὧν ἐπιθυμήσαντες ἥκομεν, τῆς μὲν δόξης Λατίνων ὑπὸ τοσούτων μαρτυρουμένης, καὶ πανταχόθεν ἀξίας οὔσης πιστεύεσθαι, ἡμῶν δὲ δυναμένων αὐτοῖς ἑνωθῆναι ἄνευ τοῦ καὶ περὶ τὸ σύμβολόν τι καινοτομεῖν. καὶ μὴν ἴστε πάντες καλῶς, ὅτι τὴν ἕνωσιν τῆς ἐκκλησίας Χριστοῦ, καίτοι πολλῶν ἄλλων ἕνεκα καὶ δικαιοτέρων μάλιστ' ἂν ὑπὸ παντὸς ζητηθεῖσαν, τὸ παρὰ τῶν ἀσεβῶν δέος καὶ τὰ πράγμαθ' ἡμῖν εἰς τοὔσχατον ἥκοντα δυστυχίας, ποθῆσαι καὶ σπουδάσαι διὰ πολλῶν, καὶ ὅτι μάλιστα τοῦ τέλους ἐγγὺς αὐτὴν ἀγαγεῖν, τὰ γὰρ μεταξὺ παραλείπω πάντα, ἡμᾶς ἰδίως ἐποίησαν. δεῖ τοίνυν τῆς προθέσεως ἐχομένους, ἐπεὶ δυνατὸν καὶ εὐπρεπές ἐστι, ταύτην εἰς τέλος ἐξενεγκεῖν. ἄλλως δ' ἂν ματαιότεροι πάντων ἀνθρώπων ἐδόξαμεν εἶναι, εἰ πολλὰ μὲν ὑπὲρ αὐτῆς ὑποστάντες, πολλῶν δὲ ἀγαθῶν ἐλπίσι κεκινημένοι, ἐπιδώσειν δὲ ἡμῖν τὰ δεινὰ, τοῦ σχίσματος βεβαιωθέντος, πάντες πιστεύοντες, εἶθ' ὥσπερ ἐπιλαθόμενοι τούτων ἁπάντων, κεναῖς, ὥς φασι, χερσὶ καὶ μηδὲν πράξαντες ἐπανέλθοιμεν, καὶ ταῦτ' εὐπρεπὲς οὕτω καὶ ῥᾴδιον ὂν, καὶ μηδενὸς ἡμῖν εὐλόγως εἰς τοῦτο προσισταμένου. Οὐδὲ προσέχειν δεῖ τοῖς μηδὲν ἀγαθὸν ἡμῖν ἐκ τῆς ἑνώσεως λέγουσιν ἥξειν· καὶ τούτου πρόφασιν οἰομένοις ἔχειν ἀρκοῦσαν, τά τε τῶν Λατίνων γένη τῇ κατ' ἀλλήλων μάχῃ φθειρόμενα καὶ ταῖς οἰκείαις προσέχοντα συμφοραῖς,

καὶ τὰ τοῦ πάπα πράγματα τάξιν οὔπω λαβόντα καὶ δύναμιν, ἀλλ' ἀσθενοῦντα καὶ πολλαχόθεν ἀκμὴν ἐπιβουλευόμενα. ἄνευ γὰρ τῆς ἄλλης ὠφελείας ἁπάσης, ἣν ὅ τε πάπας ἡμῖν καὶ τὰ λοιπὰ τῶν Λατίνων ἔθνη, καὶ τῶν πραγμάτων οὕτω σφίσιν ἐχόντων, παρέξονται· τὸ γὰρ ἡμέτερον ὀλίγον ὄν, ὡς καὶ ὑμεῖς ἴστε, δυσχέρειαν αὐτοῖς οὐ μεγάλην μέλλει παρέχειν, τέως γὰρ ἀσφαλείας μόνης καὶ τοῦ μὴ δεδιέναι τοὺς πολεμίους, ἡμᾶς οἴδασι χρῄζοντας· ὃ χρήμασι μὲν οὐ πολλοῖς, ναυσὶ δὲ ὀλίγαις δύνανται πράττειν· ἐγώ φημι καὶ τὴν τῆς ἑνώσεως φήμην ἀρκέσειν ἡμῖν πρὸς τὸ μηκέτι δεδιέναι τοὺς πολεμίους. οὐδὲ γὰρ δέος ἐστὶ λοιπὸν ἡμῖν αὐτοὺς ἐπιθήσεσθαι, ἐγγύθεν ἐσομένους ἡμῖν τοὺς συμμάχους εἰδότας· οἳ πολλάκις βεβοηθηκότες οὔπω διηλλαγμένοις, νῦν ἤδη πολλῷ μᾶλλον καὶ προθυμότερον τοῦτο πράττειν βουλήσονται, καὶ καθάπερ τι χρέος ἀποτινύναι τὴν συμμαχίαν. οὔτε γὰρ Λατίνων οὔτε βαρβάρων οὐδεὶς ἀγνοεῖ, πρώτην αἰτίαν ἑνώσεως τὴν τῆς βοηθείας οὖσαν ἐλπίδα, καὶ τὸ μηδένα ἄλλον ἡμῖν περιλειφθῆναι τρόπον, ᾧ μέλλομεν σώζεσθαι· τοὐναντίον δέ, τοῦ πρὸς Λατίνους μίσους καὶ τῆς ἀηδίας ἡμῖν αὐξηθέντων ἐκ τοῦ κενοὺς ἡμᾶς καὶ ἀπράκτους ἐντεῦθεν ἀπαλλαγῆναι, ὅπερ ἐκ τοῦ φαύλως καὶ ταπεινῶς καὶ μετὰ μικρᾶς δυνάμεως ἐπανήκειν εὐθὺς ἔσται πᾶσι κατάδηλον, καὶ ἡμῖν οὐκέτι περὶ τῆς σωτηρίας ἐλπίζειν ἐξεῖναι ἄν, καὶ τοὺς πολεμίους ἐπιθήσεσθαι, καὶ μὴ βουλομένους, ἡμῖν καιρὸν ἔχειν ἡγοῦμαι. λογίσασθε δὲ ἐπὶ πᾶσι καὶ τὴν παροῦσαν ἀνάγκην, ὁπόση τίς ἐστιν· ἀκούετε γὰρ τὸν βάρβαρον μεγίστῃ δυνάμει παρασκευάζεσθαι πεζῇ τε καὶ ναυτικῇ μετὰ τῆς ἡμετέρας πόλεως ἥξειν. καὶ ἴσως πρὶν ἡμᾶς σαφές τι μαθεῖν, ἀφίκετο ἢ ὅσον οὔπω μέλλει παρεῖναι. ἴστε δὲ πάντες ἐκείνην, ἄνευ τῆς ἔξωθεν συμμαχίας, οὐδὲ πρὸς τὴν ἔφοδον ἀντιστῆναι δυνησομένην, ἀλλὰ κινδυνεύουσαν ἕρμαιον γενέσθαι τῶν πολεμίων ἀμαχητί, πρὸς μόνην τὴν ὄψιν αὐτῶν καταπεπληγμένην. εἰ δ' ἀντισταίη μέχρι τινὸς πολιορκουμένη, ἀλλ' οὐδεμία μηχανὴ παντάπασιν αὐτὴν ἀπαθῆ δυνηθῆναι διαγενέσθαι· ἀλλ' ἀνάγκη πᾶσα ταύτην ἐνδοῦναι. μέμνησθε γάρ, ὅτι τῶν αὐτῶν τούτων βαρβάρων ποτὲ πολιορκούντων ἡμᾶς ἀπὸ γῆς, τοῦ δὲ πρὸς θαλάσσης τείχους, ὃ διπλάσιόν ἐστι τοῦ λοιποῦ, μένοντος ἀφυλάκτου, οὐδεὶς γὰρ ἐκεῖθεν ἠνώχλει, εἰς πόσον ἡμῖν φόβου καὶ ἀνάγκης ἦλθε τὰ

πράγματα. νῦν δὲ ἅπαν μὲν τὸ τεῖχος ἀνάγκη φυλάττειν· τὸ δὲ νῦν στρατιωτικὸν καὶ τὸ λοιπὸν ἅπαν τῆς πόλεως πλῆθος, οὐδ' ἥμισυ τῶν τότε ὄντων ἐστίν· οἳ τὴν τρίτην τοῦ τείχους μοῖραν φυλάττοντες καὶ προπολεμοῦντες, οὐκ ἐδόκουν πρὸς τοσοῦτον πλῆθος καὶ τοσαύτην παρασκευὴν τῶν πολεμίων ἀρκεῖν. ὁ γὰρ τοσούτοις ἔτεσιν ὑμᾶς πιέζων λοιμὸς δεινῶς πάντας ἀνάλωκεν. ἥμισυ δ' εἶναί φημι, καὶ ἡμῶν ἐκεῖσε παρόντων καὶ συναριθμουμένων. νῦν δὲ ἄπεστι μὲν βασιλεὺς, ὃς εἷς ὢν, ἐν πᾶσι πράγμασι τὰ μέγιστα δύναται. ἄπεστι δὲ τοσοῦτοι τὸν ἀριθμὸν καὶ οὕτω καλοὶ, ὥστ' ἀρκέσαι ἂν ὑμᾶς ἀντὶ συμμαχίας μεγίστης, αἴφνης προσγενομένους. οἱ δὲ μισθοφόροι τοξόται, πλὴν εἴκοσι καὶ πέντε, πάντες ᾤχοντο φεύγοντες· τὰς δ' αἰτίας πρέπει σιγᾶν· ἴσως δὲ κἀκεῖνοι τοῖς ἄλλοις ὁμοίως ὑπὲρ σφῶν αὐτῶν ἄχρι νῦν ἐβουλεύσαντο. πῶς οὖν ἐλπίς ἐστιν; ἐρημίᾳ τοσαύτῃ σωμάτων οὕτω φρικώδη πόλεμον διακρούσασθαι; εἰ τοίνυν μήθ' ὑπὲρ τῆς ἑνώσεως ἐτύχομεν ἀφιγμένοι, μήτε τὴν ἕνωσιν ἕνεκα τοῦ τῶν κινδύνων ἀπαλλάχθαι καὶ φόβων μάλιστα ἐποθοῦμεν, ἀλλ' ἄλλο τι καὶ δι' ἄλλην αἰτίαν πράττοντες ἐκαθήμεθα, ἔδει μετὰ τὴν πικρὰν ἀγγελίαν ἐκείνην, πάντα ῥίψαντας τὰ ἐν χερσὶ, καὶ πᾶσαν πραγματείαν ἧς χάριν ἀφίγμεθα, παριδόντας, ζητῆσαι μὲν, εἰ δυνάμεθα Λατίνους προσδέξασθαι, καὶ κοινωνῆσαι σφίσι καλῶς. τοῦτο δ' ἐστι, τῇ τε θείᾳ γραφῇ καὶ τοῖς διδασκάλοις τῆς ἐκκλησίας συμφώνως. τοῦτο δ' εὑρόντας, αὐτίκα τὴν πρὸς αὐτοὺς φιλίαν ἀνανεώσασθαι· εἶτα ναῦς ἑτοιμάσαντας, τὰς μὲν διδόντων αὐτῶν, τὰς δὲ καὶ ἡμῶν ὠνουμένων, εἰ οἷόν τε καὶ σώματα αὐτὰ πιπρασκόντων, μήτε τροφὴν αἱρουμένους μήθ' ὕπνον λαμβάνοντας, ἀλλ' ἐν τῷ πράττειν ὄντας νύκτωρ τε καὶ μεθ' ἡμέραν, πρὸς τὴν βοήθειαν τῆς ἡμετέρας ἐπείγεσθαι πόλεως. ἀρκοῦντι γὰρ παραγενόμενοι ναυτικῷ, καὶ φυλάξειν αὐτὴν, καὶ τοὺς πολεμίους ἀπράκτους ποιήσειν καὶ ἀποσοβήσειν, καὶ συμβαλεῖν αὐτοῖς εἰ δεήσει, καὶ πάντα τὰ τοιαῦτα ἠδυνήθημεν ἄν. πολλῷ δὲ μᾶλλον ταῦτα πράττειν ἀνάγκη, ὁπότε καὶ μηδὲν ἄλλο ζητήσοντες ἢ τὴν ἕνωσιν, οὐδ' ἑτέρου χάριν τινὸς ἀφῖχθαι, πάντες εἴποιμεν ἄν. τὴν δ' ἕνωσιν οὕτω ῥᾴστην καὶ εὐπρεπῆ καὶ Θεῷ καὶ πᾶσιν ἀνθρώποις ἀρέσκειν μέλλουσαν, ἤδη πράττειν δυνάμεθα. οὐ δεῖ τοίνυν μέλλειν οὐδ' ἀναβάλλεσθαι, ἀλλὰ καὶ τὴν ἕνωσιν πράτ-

τειν, καὶ ὅτι τάχιστα βοηθεῖν. ἐνθυμηθῆναι γὰρ ἑκάστους ἡμᾶς δεῖ καὶ γυναῖκας καὶ παῖδας ἑαυτῶν, καὶ ἁπλῶς συγγενεῖς καὶ πολίτας, οἰκτρῶς πολιορκουμένους καὶ ἀμηχανοῦντας καὶ θρηνοῦντας· καὶ φόνους καὶ δεσμὰ καὶ πληγὰς καὶ ὕβρεις καὶ λιμὸν καὶ δίψαν, καὶ οἰκτροτάτην περιαγωγὴν καὶ δουλείαν ἀπαραμύθητον, καὶ νηπίων ἑλκυσμὸν, καὶ γερόντων σφαγὴν, καὶ χωρισμὸν ἀλλήλων ἐλεεινότατον, καὶ ἱερῶν ἀτιμίαν, καὶ βλασφημίαν εἰς ὕψος αἰρομένην κατὰ Θεοῦ· καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ ἄκοντας τὸν μὲν Ἰησοῦν ἀποβαλλομένους τὸν ἀληθῆ θεὸν καὶ μόνον διδάσκαλόν τε καὶ νομοθέτην, τῇ δὲ Μωάμεθ φλυαρίᾳ καὶ ὀργίοις ἐκείνου προστιθεμένους, καὶ τὴν ἀσέβειαν ἐπιδιδοῦσαν, τὴν δὲ πίστιν διωκομένην· καὶ τὰ τοιαῦτα πάντα φανταζομένους, καὶ ἐπὶ πᾶσιν ἡμᾶς ἀνακαλουμένους, καὶ τὴν ἡμῶν ἀμέλειαν ὀνειδίζοντας· ὑφ' ὧν οὐδεπώποτε προσεδόκησαν οὑτωσὶ καταφρονηθήσεσθαι· οὓς ἐν τάξει δεσποτῶν καὶ πατέρων καὶ διδασκάλων εἶχόν τε καὶ ἐτίμων· καὶ οὓς ἐπίστευον τῆς αὐτῶν ἀσφαλείας καὶ σωτηρίας πάντα θήσεσθαι δεύτερα· ὑπὲρ ὧν ἀποδημεῖν αὐτοί τε ἐνόμιζον, καὶ ὑμεῖς ἐλέγετε φανερῶς. ἐκεῖνοι μὲν οὖν τὰ ἑαυτῶν μόνον δεινὰ φανταζόμενοι θρηνήσουσι, καὶ ἡμᾶς ἀνακαλέσονται γοερῶς· καὶ ταῖς ἐλπίσι τοῦ σήμερον, αὔριον, ἡμᾶς ἥξειν μόναις ψυχαγωγήσουσιν ἑαυτούς. ἃ πρὶν ἐκείνους παθεῖν, ἡμᾶς γένοιτο πάντας ἀποθανεῖν. οὐδὲν γὰρ ἐλεεινότερον, οὐδὲν ὅλως αἴσχιον, οὐδὲν βδελυκτότερον καὶ Θεῷ καὶ ἀνθρώποις ἡμῶν ἔσται, ἂν ἐκείνους συμβαίη ταῦτα παθεῖν· ἡμᾶς δὲ καὶ μέχρι τῶν ἄλλων Χριστιανῶν ἀφικέσθαι πρέπει τῷ λογισμῷ, καὶ ἅπερ ὑπὲρ ἑαυτῶν ἐκεῖνοι δεδίασι, ταῦθ' ἡμᾶς ὑπέρ τε ἐκείνων καὶ τῶν ἄλλων Χριστιανῶν καὶ ἡμῶν αὐτῶν λογίζεσθαι χρή. τὰ αὐτὰ γὰρ ταῦτα τοῖς ὁπουδήποτε γῆς οἰκοῦσι Χριστιανοῖς, καὶ ὑπὸ τὴν βάρβαρον τελοῦσιν ἀρχὴν, ἀνάγκη πᾶσα συμβῆναι, καὶ τὸ τοῦ Χριστοῦ σέβας πανταχόθεν ἐξαλειφθήσεσθαι. ἐγὼ δὲ καὶ διὰ πάντων Χριστιανῶν ἐντὸς ὀλίγων ἐτῶν ἀφίξεσθαι τὸν κατακλυσμὸν ἐκεῖνον ἡγοῦμαι, καὶ πάντα νεμηθήσεσθαι τὴν ἀσέβειαν, καὶ τοῖς βαρβάροις πάντα δουλεύσειν. δεῖ δὲ εἰ μηδὲν ἄλλο, καὶ τὰς μέμψεις αἰδεσθῆναι τουτωνὶ τῶν Λατίνων· οἳ καὶ μετὰ τὰς πονηρὰς ἀγγελίας καὶ τὸν ἐπισεισθέντα φόβον ἡμῖν, ἔτι καθημένους ὁρῶντες, καὶ μάτην τρίβοντας τὸν καιρὸν, καὶ ὥσπερ παίζοντας ἐν οὐ παικτοῖς,

καὶ τῶν δεινῶν ἐγγιζόντων οὐδ' ἐπιστρεφομένους, λιθώδεις καὶ ἀνοήτους καὶ προδότας τῶν ἰδίων ἀποκαλοῦσι· καὶ ὅλως τῆς ἀνθρωπίνης φύσεως ἔξω τὸ ἡμέτερον τίθενται, οὔτε πρόνοιαν τῶν οἰκείων, οὔτε σπουδὴν ἀνθρώποις προσήκουσαν ἡμῖν ἐνορῶντες. πῶς δὲ νομίζετε τούτους ἡμῖν χρήσασθαι ἄν, ἡμῶν τοὺς μὲν τῶν ἁγίων ἀτιμαζόντων, τοὺς δὲ ἐκκρινόντων· καὶ τὰ μὲν τῶν ἀξιωμάτων νενοθεῦσθαι λεγόντων, τὰ δ' ἁπλῶς ουτωσὶ μὴ προσιεμένων, καὶ ἀεὶ μελετώντων ὅ, τι γε σοφιούμεθα· καὶ πρὸς ἀλλήλους στασιαζόντων, καὶ πρὸς τὴν τῶν δογμάτων κρίσιν ἡγουμένων ἀρκεῖν ἀμαθίαν τε καὶ τὸ τοὺς πολλοὺς φάναι, ἢ τὸν δεῖνα ἀρνήσασθαι, ἐπιστήμην δὲ καὶ νοῦν καὶ σοφίαν ἀποκλειόντων, καὶ Λατίνων ταῦτα ἀνεχομένων; οὐ γάρ δήπου σφίσι κινδυνεύει τὰ πράγματα, ἂν ταῦτα ποιούντων ἡμῶν ἀγγελθῇ τι δεινόν· ὃ μὴ γένοιτο, θεὲ βασιλεῦ, μηδὲ φάνηθι μᾶλλον ἡμῖν δίκαιος δικαστής, ἢ φιλάνθρωπος πατὴρ καὶ δεσπότης. οὐδεὶς λόγος ἐξαρκέσαι τὴν τόθ' ἡμᾶς καταληψομένην αἰσχύνην δηλῶσαι· μᾶλλον δὲ οὐδὲ τὴν νῦν οὖσαν οὐδεὶς ἀρκεῖ παραστῆσαι. τότε δὲ καὶ πλέον τι συγχωριοῦσιν ἡμῖν οὐ προσέξουσιν, οὐδὲ παύσονται διὰ τοῦτο μισοῦντές τε καὶ προδότας τῶν οἰκείων αἰσχρῶς, καὶ τοῦ Χριστοῦ πολεμίους ἀποκαλοῦντες· εἰ δὲ λέγει τις, ἡμᾶς μὲν οὕτω δεῖν ἐνταῦθα καθῆσθαι, ἐλπίζειν δὲ τὸν θεὸν ἀμυνεῖσθαι τοὺς πολεμίους, καὶ τὴν ἡμετέραν διαφυλάξειν πόλιν ἡμῖν, οὗτος καὶ ἑαυτὸν ἀπατᾷ, καὶ τοῦ θεοῦ καταψεύδεται πάντως. οὐδενὶ γὰρ εἴωθε βοηθεῖν ἀμελοῦντι, ἀλλ' ὁπόταν τὰ κατὰ δύναμιν πράττων τις, ἔτι καὶ τῆς παρ' ἐκείνου δέηται βοηθείας, ἧς ἄνευ οὐδὲν ἀνύειν δυνάμεθα. ἐγὼ γὰρ οὐδ' ἂν πάντα πεποιηκότες ὦμεν τὰ δυνατὰ, εἴποιμ' ἂν πρὸς τὴν ἄμυναν τῶν πολεμίων τοῦτ' ἐξαρκεῖν· ἀλλ' ἂν πάντα μὲν χρήματα, ναῦς δὲ ἁπάσας ἐντεῦθεν εἰληφότες ἀπίωμεν, οὐδὲν ἔσεσθαι πλέον ἡμῖν, μὴ καὶ τῆς ἄνωθεν βοηθείας προσγινομένης· ἣν καλῶς ἐλπίσαντας καὶ πεπιστευκότας, ἀνάγκη πᾶσα λαβεῖν. ἀμελούντων δ' ἡμῶν καὶ ἀφροντιστούντων, ὧν ἐξήρτηται πάντα τἀκεῖ, οὐδὲ παρὰ θεοῦ τινα συμμαχίαν ἐλπίζειν εὔλογόν ἐστι. δῆλον τοίνυν ἐστὶν, ὅτι καὶ χωρὶς τῶν ἄλλων ἁπάντων, ὧν ἕνεκα δεῖ τι περαίνειν ἡμᾶς, καὶ τέλος τοῖς παροῦσι πράγμασιν ὁτιοῦν ἐπιθεῖναι, ἀρκεῖ τὸ νῦν ἐφιστάμενον δέος τῶν πολεμίων· τοῦτο γὰρ πρόδηλον ἔχει, καὶ ἀπαραίτητον τὴν

ἀνάγκην. διὰ τοῦτο βλάβας τε, καὶ ὠφελείας τὰς ἔκ τε τοῦ πράττειν, ἢ μὴ, συμβησομένας, καὶ αὖθις ἐκ τοῦ προσήκασθαι Λατίνους, ἢ μὴ, οὐκ ἔδει λέγειν ἡμῖν, πρὸς τὸ πείθειν τῆς ἀνάγκης ἀρκούσης. ὁπόσα δὲ λογίζεσθαι χρὴ πρὸς τὴν παροῦσαν ἀνάγκην, αὐτὸς μὲν μετρίως τούτων ἡψάμην, ὑμῖν δὲ ἱκανὰ πάντως λαβεῖν εἰς νοῦν, καὶ ἀναπολῆσαι· μᾶλλον δὲ πάντα σαφῶς οὑτωσὶ καὶ σχεδὸν ὁρώμενα πρόκειται, ταύτῃ μόνον οὐ φαινόμενα καθαρῶς, ὅτι δύναταί τις ἐπισκοτούμενος ἰδίῳ πάθει τινὶ, μηδὲ τὰ φανερώτατα καλῶς συνορᾷν. καὶ πρὸς τούτοις, ὅτι μήτε νῷ, μήτε λόγῳ περιλαβεῖν ἐστι δυνατὸν, ὁπόσα πάρεστι μὲν ἐφ' ἑκάτερα καὶ φαῦλα, καὶ ἀγαθὰ, μέλλει δὲ θάτερα ἐξ ἀνάγκης συμβαίνειν. Συμβουλεύω δὴ, καὶ δέομαι πάντων ὑμῶν, πρῶτα μὲν τῆς χρείας, ἔπειτα τοῦ πρέποντος, πρὸς δὲ τούτοις τῆς ἀνάγκης, ἐπὶ πᾶσι δὲ καὶ τῆς ἡμετέρας προθέσεως γενομένους, ἅμα ἀθροισθέντας, λόγων μὲν παύσασθαι, ἅψασθαι δὲ ἔργων· ἐν διὰ πάντων σκοποῦντας, ὅπως καὶ πατρίδα καὶ ἔθνος καὶ ἱερὰ καὶ τάφους καὶ ἀεὶ μὲν, νῦν δὲ μάλιστα διασωσώμεθα. καὶ Λατίνους μὲν φημι δεῖν προσδέξασθαί τε καὶ κοινωνεῖν, οὐδὲν ἁμαρτάνοντας ἐν τῇ πίστει, εἴπερ μηδ' οἱ τῆς πίστεως ἡμῖν ἡγεμόνες γεγενημένοι. καὶ τὸ τούτοις ἐμπνεῦσαν πνεῦμα, ἡμάρτανον· καὶ ἔτι τὰ αὐτὰ φρονεῖν ἡμῖν λέγοντας, καὶ πρὸς τούτοις διαλλάττοντας ἀλλήλοις τοὺς διδασκάλους, οὓς ἐκ τῆς ἡμετέρας ἀντιλογίας ἐκπεπολεμῶσθαι μᾶλλον συμβαίνει· ὃ καὶ ὑμεῖς ἴστε καλῶς· κἀγὼ πᾶσιν ἑτοιμός εἰμι τοῦτο δῆλον ποιεῖν, ὁπόταν κελεύσητε· ἐπὶ δὲ πᾶσιν ἀναθέματι καθυποβάλλοντας, ὥσπερ αὐτοὺς ἐνομίζομεν ἐκ τῆς δόξης ταύτης ὁμολογεῖν· καὶ μὴ μόνον τοῦτο ποιοῦντας, ἀλλὰ καὶ δεικνύντας ὅπως ἐκεῖνα τῇ δόξῃ σφῶν πολλοῦ δέουσιν ἕπεσθαι. τούτους μὲν οὖν προσδεκτέον· ἀναγνωστέον δὲ τὸ σύμβολον, καθάπερ εἰώθαμεν· τοῦτο γὰρ δοκεῖ καὶ πρὸς τοὺς ὅρους ἀρκεῖν, οὓς φαμὲν δεδιέναι, καὶ πρὸς τὸ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐκκλησίαν ἔθνεσι τὴν εἰρήνην ταύτην ἀρέσαι, συμφέρειν. νῆες δὲ παρασκευαζέσθωσαν ὁπόσαι δυναταί· μεταξὺ δὲ ὁπόσα δεῖ, διαθέσθαι περί τε βοηθείας τῆς εἰς τὸ μέλλον, καὶ βεβαιώσεως τῆς εἰρήνης, καὶ τινων ἄλλων· τὰ μὲν δι' ἑαυτῶν πράττοντας ὁπόσα νῦν ἔξεστι, τὰ δὲ τρίσι τισὶν ἢ τέταρσιν ἐπιτρέψαντας πράττειν, οὓς ἀνάγκη καταλιπεῖν ἐν τῇ πό-

ρούσῃ συνόδῳ τοὺς τῶν ἄλλων βελτίστους τε καὶ σοφωτάτους. εἶτα καὶ αὐτοὶ ἔλθωμεν εἰς Βενετίας, κἀκεῖ πάντα ποιήσαντες ὁπόσα δεῖ καὶ συμφέρει, εὐθὺ τῆς ἡμετέρας ἴωμεν πόλεως, ἅμα τε ἐπανήκοντες καὶ σύμμαχοι ἥκοντες οἱ αὐτοί· ταῦτα δὲ πάντα δεῖ πράττειν μετὰ τῆς γιγνομένης ἐν πᾶσι σπουδῆς. δυνάμεθα γὰρ τὰ μὲν ἐνταῦθα μέχρι πεντεκαίδεκα ἡμερῶν, κἂν ὦμεν οἱ νωθέστατοι, συμπεράνασθαι. τούτων δὲ συναριθμουμένων μέχρις ὅλων τεσσαράκοντα, καὶ αὐτοὶ ἐντὸς εἶναι τῶν νεῶν ὁποσωνδήποτε οὐσῶν· ἂν καὶ πλείους δυνησόμεθα κατὰ τὸν πλοῦν προσλαμβάνειν, πάντων ἡμῖν κατ' εὔνοιαν καὶ τῶν σφετέρων ἀρχόντων ἐπιταγὴν, εἵνεκα τῆς παρούσης χρείας προστιθεμένων, εἴρηκα δ' ἄχρι τοσούτων ἡμερῶν τῶν πασῶν, ὅτι πάντα ἅμα δεῖ καὶ δυνατόν ἐστι γίνεσθαι, καὶ τὴν ἕνωσιν πράττειν καὶ τὴν βοήθειαν ἀπαιτεῖν, καὶ τὸν παρασκευασόμενον τὰς ναῦς ἐκπέμπειν, καὶ πρέσβιν πρὸς τὸν βάρβαρον αἱρεῖσθαι καὶ ἀποστέλλειν, καὶ τὸ ναυτικὸν ἐξαρτύεσθαι, καὶ ἡμᾶς ἐντεῦθεν εἶναι ἀπηλλαγμένους· καὶ οὕτω τουτωνὶ τῶν ἡμερῶν συναριθμουμένων μέχρις ἑβδομήκοντα τῶν πασῶν ἢ μικρόν τι πρὸς, τῷ λιμένι τῆς ἡμετέρας πόλεως ἐξέσται ἡμῖν προσορμίσασθαι. εἰ δ' ἀρκεῖν ἡγεῖσθε τὸ πέμπειν βοήθειαν μόνον τὴν ἱκανὴν, καὶ οὕτω τὴν ἕνωσιν πράττειν, ὅτι τάχιστα δεῖ· ἄλλως γὰρ ἀδύνατον ἱκανῶς βοηθεῖν. κἀκείνην μὲν πέμψομεν, ἡμεῖς δὲ πάντα τὰ μετὰ ταῦτα σχολῇ βέλτιον διαθέμενοι, καὶ ἐπ' ἀσφαλέσι τοῖς πράγμασι καὶ ἐλάττονι ναυτικῷ ἅμα φθινοπώρῳ διὰ τοῦ Ἑλλησπόντου πλευσόμεθα. εἰ δὲ κατ' οὐδένα τρόπον τὴν πρὸς Λατίνους βούλεσθε πράττειν εἰρήνην, ἐγὼ μὲν ἀπεύχομαι ταύτην ἐν ὑμῖν νικῆσαι τὴν γνώμην· ἄνευ γὰρ τῶν ἄλλων δεινῶν, ἴστε πλὴν ὀλίγων τοὺς πάντας οὐκέτι τὴν αὐτὴν πρὸς τὰ τῶν Λατίνων ἕξοντας ἀηδίαν ἥνπερ καὶ πρότερον, ἀλλ' εὐσεβεῖν αὐτοὺς καὶ ὀρθὰ φρονεῖν ὑποληψομένους. καὶ οὕτως ἡ μὲν ἕνωσις ἐν ταῖς τῶν ἀνθρώπων ἔσται ψυχαῖς, ὧν δ' ἐκ τῆς ἑνώσεως ἠλπίζομεν ἀπολαύσεσθαι, καὶ ὧν μάλιστα χάριν αὐτῆς ἐπιθυμῆσαι προήχθημεν, τούτων στερησόμεθα πάντων. εἰ δ' ὅλως ταύτης μέλλοιτε γενέσθαι τῆς γνώμης, δεῖ καὶ τοῦτο αὐτίκα ψηφισαμένους τε καὶ κυρώσαντας τῆς ἐπανόδου φροντίζειν, λαμβάνοντάς τε ὁπόσα ἡμῖν ὁ πάπας φιλανθρωπευόμενος ἢ καὶ τὰς ὑποσχέσεις πληρῶν ἐθέλοι διδόναι, καὶ οἴκοθεν ἀναλίσκοντας, καὶ ἔτι κοινοῖς καὶ

ἰδίοις ἐνεχύροις πλείω δανειζομένους. πάντως δὲ δεῖ ἢ αὐτοὺς ἀφικνεῖσθαι, ἢ τὴν ἀρκοῦσαν πέμπειν βοήθειαν. τοῦτο γὰρ ἔν τε τῷ παρόντι καὶ πρὸς τὸ μέλλον οἶμαι λυσιτελήσειν, καὶ πρὸς πᾶσαν τύχην αὖθις ὠφέλιμον ἔσεσθαι· οὐδὲ δεῖ λέγειν ὅτι κατόπιν ἥξομεν, ἢ ἥξουσιν οἱ πεμπόμενοι, χρείας· εἰκὸς γὰρ μηδὲ σφόδρα κατόπιν ἐλθεῖν· εἰ δὲ καὶ τοῦτ' ᾔδειμεν ἀκριβῶς, ἀλλ' ἡμᾶς οὐ δίκαιον, οὔτ' εὔλογόν ἐστι, τῶν ἡμῖν τέως δυνατῶν τινος ἀμελεῖν. ὥσθ' ἕν τι τῶν δύο τούτων δεῖν φημι πράττειν ἡμᾶς· ἢ Λατίνοις ἑνωθέντας αὐτοὺς ἐπανήκειν, ἢ πέμπειν μετὰ τὴν ἕνωσιν ἢ τὴν πρὸς αὐτοὺς εἰρήνην καθάπαξ ἀπεγνωκότας, μήτε κενοὺς καθῆσθαι, καὶ τοῖς οἰκείοις πάσῃ πειρᾶσθαι δυνάμει βοηθεῖν, κἂν μυρίοις εἰδῶμεν κινδύνοις περιπεσούμενοι, ὅ, τι δ' ἂν ἄλλο βουλευσαίμεθα πράττειν, τὸ προδότας γενέσθαι τῶν ἡμετέρων, ἢ τοὐλάχιστον δόξαι τοῖς τε ἡμετέροις αὐτοῖς καὶ πᾶσιν ἀνθρώποις, οὐκ ἐκφευξόμεθα. ἂν δὲ καὶ τοῦ αἴσχους τούτου καταφρονήσωμεν, καὶ θεὸς παρ' ἐλπίδα πᾶσαν φιλανθρωπευσάμενος χεῖρα ὑπέρσχῃ, καὶ τῆς παρὰ τῶν πολεμίων βλάβης ἡ πατρὶς ἡμῶν ἐλευθέρα εἴτ' ἐπελθόντων αὐτῇ, εἴτε καὶ μὴ διαγένηται, ἀλλ' οὐδὲ πρὸς ἄλλο τι τῶν ἁπάντων συνοίσειν ἡμῖν τὸ τὰ πράγματα ἀναβάλλεσθαι πέπεισμαι· πάντα μὲν οὖν διὰ τοῦτο χείρω γενήσεται, ὅπερ αὐτοῖς καὶ μέχρι τοῦ νῦν ἐκ τῆς προτέρας ἀμελείας συνέβη. εἴρηκα, ἕτοιμος ὢν ὑπὲρ τῆς ἀληθείας καὶ τοῦ καλοῦ καὶ πᾶσιν ὑμῖν συμφέροντος, ὃ καὶ ἐμοὶ καὶ τοῖς οἰκείοις ἔσται συμφέρον, πάντα ἂν ὑποστῆναι· καὶ ἔτι πρὸς πᾶσαν τύχην ἐμοὶ νομίζων ἀρκεῖν, τὸ μὴ κρύψαι τὰ παριστάμενα· ὑμεῖς δὲ ἕλοισθε τὰ συνοίσοντα, πάντες μὲν θεὸν ἡγεμόνα καὶ βουλῆς καὶ λόγου καὶ ἔργου παραλαβόντες· εἰ δέ τίς ἐστιν ὁ τὰ χείρω θέλων κρατεῖν, οἱ πλείους τε καὶ σοφώτεροι καὶ νοῦν μάλιστα ἔχοντες πράττοντες τὰ βελτίω· οὗτος γὰρ συνόδου καὶ πολιτείας ἁπάσης καὶ συλλόγου παντὸς καὶ ὅλως ἀνθρώπων πέφυκε νόμος.

Τοῦ αὐτοῦ πρὸς τὴν ἐν Φλωρεντίᾳ οἰκουμενικὴν σύνοδον ὑπὲρ εἰρήνης.

Ὅτι δογματικὴν ἕνωσιν δεῖ ποιεῖν, οὐκ εἰρήνην οἰκονομικὴν, ὥς τινες βούλονται· καὶ τίς ἐστιν αὕτη.

Παρακαλεῖν μὲν ἐπὶ τὴν εἰρήνην ὑμᾶς, οὐκ οἶδ' ὅτι χρὴ, οἴκοθεν ἐπ' αὐτὴν καὶ πρὸ πολλοῦ παρακεκλημένους καὶ δι' ὅσης ἄγετε ταύτην σπουδῆς, ἔργοις αὐτοῖς ἐπιδεδειχότας· ἄλλως τε καὶ πολλῶν ὑπὲρ αὐτῆς εἰρηκότων ὅσα μὲν αὐτῇ συνοίδασιν ἀγαθὰ, ὁπόσας δὲ τοῖς αἱρουμένοις οἶδε τίκτειν τὰς ὠφελείας· ἂν δὲ δι' ὧν ἂν γένοιτο ταύτης τυχεῖν, καὶ ποταπήν τινα συνοίσει ταύτην κατασκευάζειν, καὶ τὰ τοιαῦτα ἤδη λέγῃ τις ἀναστὰς, τῷ καιρῷ τε προσήκοντα, καὶ ὑμῖν ἀρέσκοντα λέγειν οὗτος εἰκότως ἔμοιγε δόξει. τοῦτο τοίνυν, ἂν ὑμῖν ᾖ βουλόμενον, ἐγὼ ποιήσω. οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι καὶ ταύτης τῆς ὑποθέσεως ποικίλης τε οὔσης καὶ πολὺ τὸ πρόσαντες κεκτημένης, ἀνάγκη καὶ λόγους ὑπὲρ αὐτῆς καταβληθῆναι πολλούς· καί τινας ἀναστάντας γνώμας ἂν εἰσενέγκασθαι καὶ ἴσως ταυτησὶ τῆς ἡμετέρας ἀμείνους. ἀλλ' ἐπεὶ περὶ μὲν εἰρήνης ἁπάντων ἀκούω λεγόντων, καὶ τοὺς πεπεισμένους πείθειν ὡς ἔοικε πειρωμένων· πάντες γὰρ ὡς ὑπὲρ ἀγαθοῦ τῆς εἰρήνης δήπου συνῆλθον, καὶ οὐδεὶς ἦλθε διδαχθησόμενος, εἰ τῶν καλῶν ἐστιν αὕτη καὶ τιμίων. οὐδένα δὲ περαιτέρω που προχωροῦντα ὁρῶ· ἀλλὰ τῶν καιρῶν τριβομένων, ἐν οἷς εἰκός τι καὶ τῶν ἀξιολόγων ἀνύσαι, πάντας ἀνεχομένους, ἀπαγαγεῖν μὲν ἐκείνων τὸν λόγον, ἐπὶ δ' ἑτέραν ὑπόθεσιν μεταστῆσαι βούλομαι· καὶ καθάπερ ἀρχήν τινα καὶ παράκλησιν εἰσενεγκεῖν τοῖς βουλομένοις ἅπτεσθαι ταύτης. ἀξιοῦν δ' ὑμᾶς ὡς ἔθος ὑπὲρ τῶν λόγων καὶ σὺν εὐμενείᾳ τούτους προσδέξασθαι, εἴπέρ ποτε καὶ νῦν παρέλκον οἶμαι τυγχάνειν. οὐ γὰρ ὑπὲρ ἀγαθοῦ τινος ἰδίου συνήλθομεν ἕκαστος, σκεψόμενοί τε καὶ λόγον ἐροῦντες, ὥστε καὶ δεῖν τὰς τῶν ἀκουόντων γνώμας προκαταστήσασθαι, καὶ τοῖς λόγοις αὐτοῖς τὴν ἀσφάλειαν ὁμοῦ καὶ τὴν πειθὼ προνοῆσαι, ἀλλὰ τὰς ἁπάντων γλώττας ἡ τῶν κοινῶν καλῶν ἐπιθυμία κινεῖ, ἡ καὶ πρότερον οὐδὲν ἧττον τὰς ψυχὰς αὐτοῖς διεγείρασα· καὶ κέρδος

οὐδὲν ἴδιον οἴκαδε πλὴν τῆς ποθουμένης πᾶσιν εἰρήνης οὐδεὶς ἐντεῦθεν φέρων ἀφίξεται. ἀνάγκη τοίνυν ἅπαντας λέγειν· καὶ τοῖς μὲν εὐφρόνως λεγομένοις ὡς ἄνωθεν ἥκουσι προσέχειν τὸν νοῦν ὑμᾶς, καὶ ταῦτα αἱρεῖσθαι, καὶ τῷ δεδωκότι καὶ ὑπὲρ τούτων χάριν ὁμολογεῖν. ποῦ γὰρ ἄλλοθι τὸν θεὸν μᾶλλον ἢ περὶ αὐτοῦ τῆς σκέψεως οὔσης καὶ τῆς σπουδῆς, τὰς τῶν ἀνθρώπων εἰκός ἐστιν ἐμπνεῖν διανοίας; τῶν δ' ὡς ἑτέρως ἐχόντων, καὶ οὐ μετὰ πονηρᾶς τινος γνώμης προτιθεμένων, ὡς γνώσεως οὐ προαιρέσεως ὄντων ἐλαττωμάτων, μηδενὶ τὴν μέμψιν ἐπάγειν. πρὸς δὲ τούτοις, μηδ' εἴ τις ἡμῖν φαύλη περὶ τῶν λεγόντων ἔνεστι δόξα, καὶ τῶν λόγων, ἂν ἀμείνους τύχωσιν ὄντες, καταφρονεῖν· ὃ μηδ' ἐν ταῖς ἀνθρωπικαῖς πραγματείαις εὔλογόν ἐστι φάσκειν τοὺς τὸ συμφέρον ἐξ ἅπαντος θηρωμένους. ἐπεὶ περί γε τῶν προκειμένων, τοῖς ἀδόξοις καὶ ταπεινοῖς πολλῷ μᾶλλον ἁρμόττει τὴν ἀπὸ τοῦ κατορθῶσαι δόξαν ἐλπίζειν· καὶ παρὰ τούτων γὰρ γένοιτ' ἄν τί ποτε σπουδαῖον· οὕτω τῆς προνοίας οἰκονομούσης, μὴ καὶ λάθῃ τις τῇ τῶν ἀνθρώπων δεινότητι καὶ μηχανῇ τὴν τοῦ μεγίστου τε καὶ δυσχεριστάτου τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἐγχειρημάτων ἔκβασιν ἐπιγράφων. διὰ ταῦτα τοίνυν ἐκεῖνό τε τοῦ λόγου τὸ μέρος ἐξέφυγον, καὶ προσέχειν ὑμᾶς βούλομαι τοῖς λεγομένοις ἐντεῦθεν ἤδη. Τὸ μὲν δὴ τὴν ἱερὰν ταύτην σύνοδον ἐξ ἁπάσης σχεδὸν τῆς οἰκουμένης πεποιηκὸς καὶ πεῖσαν ἅπαντας μετὰ προθυμίας ἐνταῦθα συντρέχειν, τῶν ἄλλων ἁπάντων ἥκιστα λόγον πεποιημένους, ἡ τῶν Χριστιανῶν ἁπάντων ὁμόνοια καὶ ἡ τῆς ἀληθείας γνῶσίς ἐστιν· ὧν οὐδὲν ἥδιον γένοιτο τοῖς τὰ καλὰ καὶ φιλεῖν καὶ εὔχεσθαι καὶ σπουδάζειν ἐπισταμένοις. ἥτε γὰρ ἀλήθεια φῶς ἄντικρυς τῆς λογικῆς καθέστηκε φύσεως, οὗ χωρὶς ἀνάγκη ταύτην ἐν σκότῳ καλινδουμένην μηδὲν ἀπόνασθαι τῆς ἀξίας καὶ τοῦ δεδομένου αὐτῇ χαρίσματος· καὶ ἧς δραττομένη συνεχῶς ἐν τῇ περὶ τῶν ἀνοουμένων ζητήσει ἑαυτῆς τε γίνεται λαμπροτέρα, καὶ θεοῦ τῆς πρώτης ἀληθείας ὅσον ἔξεστιν ἐγγυτάτω. εἰρήνης δὲ καὶ τῆς ἐν τῷ καλῷ συμφωνίας, τῶν ἐν κόσμῳ πραγμάτων μεῖζον οὐδέν· ἀρχομένης μὲν ἀπὸ ψυχῆς καὶ τῶν αὐτῆς νοημάτων, καθάπερ δέ τισι τεκμηρίοις τοῖς ἔξω χρωμένης, καὶ διὰ τούτων πᾶσι φανερουμένης. εἰκὸς μὲν οὖν ἐστι καὶ ὑπ' ἄλλων ἐνίους ἄγεσθαι λογισμῶν, καὶ σωματικά τινα φαντα-

ζομένους καλὰ, ἃ τὴν ὁμόνοιαν ἐλπὶς ἐστιν ἀποτίξειν, προθυμοτέρους ἐπὶ ταύτην ὦφθαι τὴν χρείαν. ἀλλ' ἔμοι γε τὸ μὲν τοὺς Χριστιανοὺς κοινῇ εἰληφέναι, περὶ ὧν ἠμφισβήτουν πρότερον, γνώμας, πολλῶν ἀγαθῶν καὶ μεγάλων αἴτιον σφίσι γενήσεσθαι, εἴπερ καὶ ἄλλῳ τῷ τῶν ἁπάντων δοκεῖ· ὑπὸ δὲ τῆς τούτων ἐπιθυμίας οὐδένα τῶν σπουδαιοτέρων οἶμαι δεῖν κεκινῆσθαι, μηδὲ σκοπὸν τοῦ μεγίστου καὶ θειοτάτου τῶν ἔργων, τὰ φαυλότερα τῶν ἀγαθῶν προτιθέναι, καὶ ὧν ἄν τις ῥᾷστα καταφρονήσειεν· ἀλλὰ τὴν μὲν γνῶσιν τῆς ἀληθείας ἀντὶ πάντων ἀρκεῖν, ὑπὲρ δὲ τῆς ὅλων εἰρήνης καὶ τὰ πλεῖστα τῶν ὑπαρχόντων χρῆναι προέσθαι. δυοῖν τοίνυν τούτων, ὧν ἕνεκα καὶ τοὺς πολλοὺς ὑπέστημεν πόνους, θάτερον μὲν κατωρθωκόσιν ἡμῖν, τὴν γνῶσιν λέγω τῆς ἀληθείας, ἀνάγκη πᾶσα καὶ τὸ λοιπὸν ἐπακολουθεῖν. οὐδὲν γὰρ ἔσται, τῆς ἀληθείας περὶ τῶν ἀμφισβητουμένων ἐπιγνωσθείσης, ὃ καὶ πάλιν ἡμῖν σχίσει τὰς γνώμας, καὶ τὴν οἰκουμένην ὁμοίως ἅπασαν διελεῖται. οὔτε γὰρ περὶ γῆς ὅρων ἢ χρημάτων ἢ νήσων καὶ πόλεων δίκας πράττοντες καθεδούμεθα, οὐδ' ἥκομεν τούτων ἕνεκα τὴν ἀρχὴν, οὔτε δυνατόν ἐστι περὶ τούτων πάντας πᾶσιν ἀμφισβητεῖν· εἰρηνεύσαντες δὲ πρὸς ἀλλήλους ἄνευ τοῦ περὶ τὰ δόγματα παντάπασι συμφωνεῖν, καὶ τὴν αὐτὴν παρὰ πᾶσι κρατῆσαι δόξαν, περὶ ὧν σκοπεῖν πρόκειται, πρὸς τῷ μηδὲ τὴν εἰρήνην ἂν δυνηθῆναι σῶσαι μέχρι πολλοῦ, ἐπὶ σαθροῦ τινος ἱδρυνθεῖσαν, καὶ τῆς ἀληθείας ἄλλο τι δόξομεν προτιμᾶν, ἣ μόνη τῶν πολλῶν ἀναλωμάτων καὶ πόνων τέλος γένοιτ' ἂν ἄξιον· καὶ πρόφασιν μὲν τοῦ συνελθεῖν ἐνταῦθα τὴν περὶ τῶν δογμάτων ἔρευναν εἶναι, τὸ δ' ἀληθὲς ἥκειν ἑκάστους ἑαυτοῖς ἀγαθόν τι περιποιησομένους, καὶ τὸν μετὰ ταῦτα βίον ἀμείνω κατασκευάσοντας. ταῦτα δ' ὑμᾶς ἡγοῦμαι πάντως φυλάξεσθαι, ὡς πᾶσι μᾶλλον ἢ ἀνθρώποις ὑπὸ τοῦ πνεύματος ἀγομένοις καὶ τὴν ἀλήθειαν προτιμῶσι πάντων, ἁρμόττοντα. οὐκοῦν ἐκείνου καὶ πρώτου καὶ μᾶλλον πρέπει φροντίσαι, οὗ τὸ προσῆκον πέρας ἀπειληφότος, αὐτίκα τὰ κρείττω καὶ περὶ τῶν ὑπολοίπων ἔξεστι προσδοκᾶν. ἂν γὰρ τὴν ἀλήθειαν πᾶσι μὲν ζητῆσαι τρόποις θελήσωμεν, φανεῖσαν δὲ ἁρπάσαι καὶ κατασχεῖν, ἀναλάμψει μὲν τὸ τῆς ὁμονοίας καλὸν, τὸ δὲ τοῦ σχίσματος λυθήσεται νέφος· καὶ οὐκέτι προστιθέντες κακῶς ἢ φιλονεικοῦντες ἀλόγως, τῶν ἀδελφῶν ἀπορ-

ῥαγησόμεθα. τοῦ δὲ μίσους καὶ τῆς ἀηδίας οὕτω λυθέντων, μεταδώσομεν ἀλλήλοις τῶν παρ' ἡμῖν ἀγαθῶν, καὶ καθάπερ οἰκείοις καὶ συγγενέσι χρησόμεθα· καὶ ὅλως οὐκ ἔσθ' ὅ, τι τῶν ἀγαθῶν οὐχ ἕψεται παραχρῆμα. ἐγὼ δ' εἴποιμ' ἄν, ὡς εἰ καὶ τῶν ὑπαρχόντων ἐμέλλομεν ἐκπίπτειν ἁπάντων, καὶ πένητες καὶ ἄδοξοι τὴν οἰκουμένην περινοστεῖν ἐφ τοῦ πλείστην φροντίδα θέσθαι τῆς ἀληθείας καὶ περὶ ταύτης σκέψασθαι προὔργου, μηδ' οὕτω δεῖν τῆς περὶ ταύτην σπουδῆς ὁτιοῦν καθυφεῖναι· μηδὲ νομίζειν ἄλλο τι τὸ ἡμέτερον ἀγαθὸν πλὴν ταύτης, καὶ τὴν ἀνθρωπίνην εὐδαιμονίαν. ὅπου δὲ καὶ τἄλλα διὰ ταύτην ἡμῖν περιέσται, οὕτω τε τῆς τῶν πραγμάτων φύσεως ἀπαιτούσης, καὶ τοῦ θεοῦ χάριν ἡμῖν τῆς περὶ τὸ κάλλιστόν τε καὶ θειότατον πραγματείας ἐκτίνειν ἐθέλοντος, πῶς οὐ καὶ ταύτῃ μάλιστα τοῦ χρήματος φροντιστέον, καὶ σπουδαστέον αὐτὸ λαβεῖν ὅση δύναμις; Ὅτι δὲ οὐδὲ τῆς εἰρήνης ἄλλον τινὰ τρόπον καθισταμένης, ἀσφαλῶς ἡμῖν ἀπολαύειν ἐξέσται, ἀλλ' ἑνός τινος ἀηδοῦς ὁποτέρωθεν, οἷα φιλεῖ γίνεσθαι, συμπεπτωκότος, πρόφασιν ποιησόμεθα πολέμου καὶ μάχης τὴν ἐπὶ τῶν δογμάτων ἀσυμβασίαν, καὶ πάλιν ὀνείδη καὶ συγγραφαὶ κατ' ἀλλήλων ἕξουσι χώραν, καὶ τὸ μάταιον εἶναι δοκεῖν πᾶσαν ταυτηνὶ τὴν καινοτομίαν, ἐγὼ μὲν καίτοι ῥᾴδιον ὂν οὐ βούλομαι δεῖξαι, αὐτὰ δὲ τὰ πράγματα μαρτυρεῖ, εἴ τις οἶδεν ἀνεγνωκὼς ὁσάκις τοῦτον τὸν τρόπον συνθέμενοι πρὸς ἀλλήλους πρὸς τὸ μηδέν τι κερδάναι, καὶ τὸ δεινὸν ἐλάθομεν ηὐξηκότες· σιγῶ δὲ καιροὺς καὶ πράγματα καὶ ὑφ' ὧν' ἐπράχθη, εἰδότας τε τοὺς πλείστους ἀναμιμνήσκων, καὶ τὸ δοκεῖν καθάπτεσθαί τινων εὐλαβούμενος. εἰ μὲν τοίνυν μὴ πρόδηλον ἦν ἐκ πολλῶν τῶν πρόσθεν γεγενημένων, ὅποι τῆς εἰρήνης ὁ τρόπος οὗτος πέφυκε τελευτᾶν, ἀλλὰ νῦν πρῶτον ἐπειρώμεθα τούτου, ἴσως ἄν τις ἡμῖν συνεγίνωσκεν, ἐν ἀδηλίᾳ πραγμάτων τοῦ πρέποντος ἁμαρτοῦσι· τοσούτων δὲ ὄντων τῶν δυναμένων πείθειν αὐτὸν παραιτεῖσθαι, πάντας οἶμαι δικαιότατ' ἂν μέμψασθαι, ἂν συμβαίη τοῦτον ἑλομένοις σφαλῆναι, καὶ ταὐτόν τι παθεῖν τοῖς καὶ πρότερον εἰρημένοις· ὃ πᾶσα παθεῖν ἀνάγκη· ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον· διὸ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν, πᾶσαν δεῖ καταβαλέσθαι σπουδὴν, ὡς ταύτῃ μόνῃ ὧν εἵνεκα συνεληλύθαμεν διαπραξομένους, καὶ τῆς σὺν θεῷ γενησο-

μένης εἰρήνης μέχρι παντὸς ἀπολαύσοντας· μᾶλλον δ' εἰπεῖν, ὡς τοῦτο κεφάλαιον ὂν τῆς ἡμετέρας σπουδῆς· καὶ οὐ γενομένου μὲν, καὶ τἄλλα πάνθ' ἕξει καλῶς· ἠμελημένου δὲ οὐδ' ἐκείνων ἂν εἴη τοσοῦτος τοῖς νοῦ μετέχουσι λόγος, οὐδ' ἂν μέλλοι κάλλιστα καὶ λυσιτελέστατα ἕξειν. δεύτερον δὲ, ὅτι τὸ μὲν εἰρήνην ἄγειν ἡδὺ πᾶσιν ἀνθρώποις, καὶ πάντων ἥδιστον· τούτῳ γὰρ σύνεστι μὲν τὸ μηδένα ζημιοῦν ἀναγκάζεσθαι, τὸ δὲ τοῖς ὑπάρχουσι χρῆσθαι μεθ' ἡδονῆς ἐνυπάρχει, καὶ τὸ σὺν ἡμερότητι ζῆν· ὃ μάλιστα τῆς ἀνθρωπίνης διαίτης πέφυκε γνώρισμα. καὶ ὅλως ὅπλα τε καὶ μάχαι καὶ παρατάξεις καὶ φρουραὶ πόλεων καὶ πᾶσαι πολέμων παρασκευαὶ τῆς εἰρήνης χάριν εἰσὶ, καὶ τοῦ μετὰ ταύτης δύνασθαι ζῆν ἕνεκα γίνονται. ἔστι δὲ καλῶς εἰρηνεύειν τοὺς ἢ μηδόλως ἐν οὐδενί ποτε διαφερομένους, ἢ συνθήκαις λύοντας τὰς διαφορὰς, καὶ τὴν αὐτὴν περὶ τῶν δικαίων ἔχοντας γνώμην, μήτ' ἀδικεῖν ἀλλήλους νομίζοντας. τοὺς δὲ σωζομένων ἔτι τῶν ἐγκλημάτων διαλλαττομένους ἀλλήλοις, εἴποι τις ἂν οὐ παύειν ἀλλ' ἀναπαύειν τὸν πόλεμον, καὶ ὅπλων ἀνακωχὴν οὐ μάχης κατάλυσιν οὐδ' εἰρήνην εἶναι τὸ πρᾶγμα· οὐδὲ γὰρ προσέσται ταῖς φαινομέναις διαλλαγαῖς καὶ τὸ κατὰ ψυχὴν εὐνοεῖν, ἕως ἂν συνειδῶσιν ὑπ' ἀλλήλων ἠδικημένοι· εἰ μή τις ὑπὸ ῥαθυμίας οὐχ ὧν ἁρπάζουσιν ἄχθεσθαι τοῖς ἐπιβουλεύουσιν, ἀλλ' ὧν αὐτῷ καταλείπουσιν, ὀφείλειν βούλοιτο χάριν. οὕτω τοίνυν ἔχει κἀνταῦθα. τὸ μὲν κρίσει τε λόγων καὶ τῆς ἄνωθεν βοηθείας συνεφαπτομένης ἡμῖν τὰς τοῦ μακροῦ πολέμου καταλῦσαι προφάσεις, καὶ ἅπερ ἀλλήλοις ἔχομεν ἐγκαλεῖν ἐκ μέσου καθάπαξ πεποιημένους, πρὸς ἓν φρόνημα καὶ μίαν γνώμην ἅπαντας συνελθεῖν, τοῦτ' εἰρήνην ἀληθινὴν, καὶ ψυχῶν ἄρρηκτον σύνδεσμον, καὶ σύμπνοιαν ἀδελφικὴν, καὶ πνευματικὴν ἕνωσιν, καὶ σκανδάλου παντὸς πρόρριζον ἐκκοπὴν, καὶ εἴ τι τοιοῦτον, ἔξεστιν ὀνομάσαι. καὶ μετὰ τοιαύτης ἐπανιόντες εἰρήνης, αὐτοί τε χαιρήσομεν ἀληθῶς, καὶ τοὺς ὑποδεξομένους πείσομεν χαίρειν. ἂν δ' ἄλλο τι γίνηται, εἰρήνης σκιὰν, καὶ διαλλαγῶν εἴδωλον, καὶ δογμάτων ἀσυμφωνίαν, καὶ σκανδάλων ἀρχὴν, καὶ δεύτερον πλοῦν, καὶ συνθήκην ἀνάγκης ἅπαντες προσεροῦσι. καὶ τοῖς μὲν ἁπλουστέροις ἴσως τι δόξομεν ἠνυκέναι, καὶ τῷ τῆς εἰρήνης ὀνόματι πείσομεν αὐτοὺς ἀγαπᾶν, μηδενὸς φροντίζοντας ἄλλου· τὰ δὲ παρὰ

τῶν νοῦν ἐχόντων ὀνείδη δικαίως ὑποστησόμεθα, τὸ σεμνὸν ὄνομα τῆς εἰρήνης προφερόντων ἡμῖν, καὶ τὰς ἀνηνύτους ἐλπίδας, καὶ τὰς μέχρι τοῦ φαινομένου διαλλαγάς· εἰ μὴ καὶ προδότας ἡμᾶς ἐροῦσι τῆς ἁπάντων εὐδαιμονίας, ὅτι γενομένης ἐγγὺς, καὶ ὥσπερ χειρῶν ἐκτάσει προσκαλουμένης, οὐκ ἠθελήσαμεν δράξασθαι, πρὸς ἄλλο τι ῥᾴδιον ἀποκλίναντες. καὶ χωρὶς δὲ τούτων τῶν ὀνειδῶν, οὐδ' ἡμᾶς αὐτοὺς πείθειν ἕξομεν δεόντως μὲν χρήσασθαι τοῖς συμπεσοῦσι καιροῖς, ἑλέσθαι δὲ τῶν εἰς δύναμιν ἡκόντων τὰ κρείττω, καὶ μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ καταπράξασθαι. παρίημι δὲ τὰς μετὰ ταῦτα συμβησομένας ἀμφιβολίας, ὧν αἴτιοι δόξομεν ἡμεῖς γεγενῆσθαι, τὰ τῶν σκανδάλων ὑπολειπόμενοι σπέρματα· καὶ πρόῤῥιζον ἀνασπᾶν τὸ δεινὸν ἐξὸν, οὐ βεβουλημένοι. καὶ μὴν πολλοῖς ἄλλοις τρόποις ἀπονωτέροις καὶ ῥᾴοσι τὴν θρυλλουμένην πράττειν ἔχοντες ἕνωσιν, ἐκείνους πάντας ἀφέντες, οἰκουμενικὴν σύνοδον συγκροτεῖν, καὶ ταύτῃ τὸ πᾶν ἐπιτρέπειν ἐβουλευσάμεθα· οὕτω γὰρ μόνον μενεῖν τὰ δόξαντα κύρια, μηδενὸς ἀντιλέγειν τολμῶντος, οἷς ἂν τοιαύτη σύνοδος ἀποφήναιτο· καὶ πανταχοῦ τῶν περὶ τῆς ἑνώσεως συνθηκῶν συνεχῶς ἐστιν ἰδεῖν τὸ πρόσρημα τοῦτο· καὶ τοὺς ἑκατέρωθεν πρέσβεις μέμνησθε δήπου κἂν τοῖς λόγοις αὐτῶν κἂν τοῖς γράμμασιν ἄνω καὶ κάτω τοὔνομα στρέφοντας, καὶ δι' ὄχλου τότε τοῖς ἀκούουσι γενομένους. τὴν δ' ἱερὰν ταύτην σύνοδον, τὸ μὲν ἐξ ἁπάντων ἢ τῶν γε πλείστων τῆς οἰκουμένης μερῶν ἐλθεῖν τινας, τῶν ἐνταῦθα λόγων καὶ πράξεων κοινωνήσοντας, καὶ μιᾷ χρησομένους γνώμῃ περὶ τῶν ὅλων, οἰκουμενικὴν ἀναμφιβόλως ποιεῖ· ἀνάγκη δὲ κἂν τοῖς ἄλλοις αὐτῇ τὸ σχῆμα τῶν οἰκουμενικῶν συνόδων ἀκριβῶς περισώζειν· ὧν ἕν ἐστι καὶ τὸ προὔργου μὲν περὶ τῶν ἑκάστοτε ζητουμένων σκοπεῖν, καὶ τῶν αἰτίων τοῦ σχίσματος· καὶ μετὰ πολλοὺς ἀγῶνας καὶ λόγους ἑκατέρωθεν γινομένους, τῇ μὲν τἀληθὲς ἀνευρίσκειν, τῇ δὲ τοὐναντίον· κἀκεῖνο μὲν ἀναγορεύειν, τὸ δὲ ψεῦδος ἀποκρύπτειν· καὶ τοὺς μὲν πειθομένους, ὀρθοδόξους εἶναι λοιπόν· τοὺς δ' ἔτι φιλονεικοῦντας, ταῖς τῶν αἱρετικῶν εὐθύναις ὑπάγεσθαι. ὥστε δύνασθαι τὴν οἰκουμένην πᾶσαν ἐκεῖθεν ἁπλῆν περὶ τῶν πρότερον ἀμφισβητουμένων δόξαν φυλάττειν, καὶ τοὺς ἄλλο τι λέγοντας μὴ προσίεσθαι. τοῦτο μὲν πρὸ πάντων τῶν ἄλλων· μετὰ δὲ ταῦτα, καὶ τῆς ἄλλης εὐταξίας τῶν ἐκκλησιῶν προ-

νοεῖν καὶ τὸν τῶν ἀνθρώπων βίον ῥυθμίζειν κανόσι καὶ νόμοις πρὸς τοῦτο φέρουσι· κἂν τινες ἰδίας δέωνται δίκης, μηδὲ τούτων καταφρονεῖν. ἂν τοίνυν καὶ αὕτη παράδειγμα τὰς τοσαύτας συνόδους προστησαμένη ἄρξηται μὲν ἀφ᾽ ὧν ἐκεῖναι, καὶ περὶ ταῦτα τὴν ἴσην, ἵνα μὴ λέγω πλείω σπουδὴν, ἐνδείξασθαι βουληθῇ· ἑπομένως δὲ καὶ περὶ τῶν ἄλλων, ὁπόσα δεῖται προνοίας, τὸν αὐτὸν ἐκείναις σκέψηται τρόπον, οὐδεὶς ἂν ἀντείποι μὴ καὶ ταύτην οἰκουμενικὴν εἶναι, καὶ ταὐτὸ ταῖς ἄλλαις ἔχειν ἀξίωμα· οὐδ᾽ ἕξει τις εἰς ὅ, τι καταφυγὼν, ὧν ἂν αὕτη ψηφίσαιτο, καταφρονεῖν βουληθείη ἡγούμενος ἴσον εἶναι, ταύτην τε καὶ τὰς πρὸ αὐτῆς ἀτιμάζειν· καὶ δεδιὼς μὲν τὰς ἐκ τῶν ἀνρθώπων ἀρὰς, τρέμων δὲ τὰς ἄνωθεν δίκας. ἄλλως τε πολλοὺς ἕξειν * τοὺς ἐπιβούλους· καὶ νῦν μὲν ἴσως οὐδεὶς ἀντερεῖ, μὴ καὶ δόξῃ τὸ τῆς ὁμονοίας ἀγαθὸν ἐμποδίζειν, καὶ ἅμα εἰδὼς ὡς χαλεπόν ἐστι τοσούτων περιγενέσθαι, ἐφ᾽ ἅπερ οὐ προθυμοῦνται, τοῖς λόγοις πείθειν πειρώμενον· οὐκ ὀλίγοι δὲ τοῦ χρόνου προβαίνοντος τὰ μὲν ὑμῖν δόξαντα σαλεύειν θελήσουσι, τῷ τὴν σεμνὴν ταύτην προσηγορίαν ἡμῶν ἀφελέσθαι· ἀφαιρήσονται δὲ, πλήθει μόνον σώζειν ὑμᾶς τὸν τῶν οἰκουμενικῶν συνόδων λέγοντες χαρακτῆρα, ἐν δὲ τοῖς ἀναγκαιοτάτοις καὶ σφόδρα τὴν ἐναντίαν ἐκείναις ἐλθεῖν, ὡς περὶ πάντων μᾶλλον ἢ περὶ τῆς τῶν δογμάτων ἀληθείας τὸν σύλλογον πεποιημένους· καὶ οὕτως αὐτοὶ μόνοι τῆς εἰρήνης ἀπολαύσομεν ἴσως, τοῖς δὲ μεθ᾽ ἡμᾶς εὐθὺς καὶ χείρω τοῦ προτέρου καταλείψομεν πόλεμον· καὶ οὕτως ἡμῖν ἀνόνητος ἔσται ἡ περὶ ταυτησὶ τῆς προσηγορίας πᾶσα σπουδή. ὅπερ ἵνα μὴ γίνηται, τὸ τῶν οἰκουμενικῶν συνόδων ἀξίωμα τῷ πρὸς ἐκείνας ἀκριβεῖ ζήλῳ καὶ ταύτῃ προσαρμοστέον· καὶ ὅπως μηδεὶς ἐκ τῆς ἀνομοιότητος ἕπεται κίνδυνος αὐτῇ, φροντιστέον. εἰ γὰρ μὴ καὶ τὰς τῶν εὐγνωμόνων ψυχὰς αἱ προφάσεις αὗται ταράξουσι, μηδ᾽ ἔσται μηδεὶς ὁ τοῦ καλοῦ χάριν τὸν πρὸς αὐτὴν ἀναδεξόμενος πόλεμον, ἴστε δήπου καλῶς τοῖς μεγίστοις καὶ λυσιτελεστάτοις τῶν ἔργων οὐ τοὺς πονηροτάτους μόνον ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἀνέκαθεν δυσμενεῖς ἡμῖν ἐπιβουλεύοντας δαίμονας, ὁμοίοις ἀνθρώποις συνεργοῖς πρὸς τοῦτο χρωμένους· δαίμοσι δὲ ἄρα τῆς τῶν ἐκκλησιῶν εἰρήνης οὐδὲν ἀηδέστερον, ἧς ἅπας ὁ τῶν ἀγαθῶν ἀπήρτηται κύκλος, καὶ ἣν ὁ σωτὴρ ἀνῆλθε τοῖς ἀνθρώποις καταλιπὼν,

* Ἴσ. ἄλλως δὲ πολλοὺς ἕξει.

ὡς ἴσον ὂν ταύτην τε χαρίσασθαι, καὶ πάντων ἀθρόων μεταδοῦναι τῶν ἀγαθῶν, ὁπόσα παρὼν ἡμῖν παρέχειν ἠδύνατο. καθάπερ οὖν οἱ τῆς εἰρήνης ἐχθροὶ πᾶσαν ἐπὶ τῇ ταύτης ἀνατροπῇ κινήσουσι μηχανὴν, καὶ προφάσεις πάσας διερευνήσονται, οὕτω δεῖ καὶ ἡμᾶς τὸ μέλλον προορωμένους, πᾶσαν μὲν αὐτοῖς ὁδὸν ἀποκλεῖσαι τῆς κακουργίας, πανταχόθεν δὲ τὸ τῆς εἰρήνης ἀγαθὸν ἀσφαλίσασθαι· ἐξ ὧν ἢ πειθομένους ἡσυχάζειν ἀνάγκη τοὺς πονηροὺς, ἢ προσβάλλοντας ἀσθενεῖν, καὶ πείρᾳ μανθάνειν, ὡς ἄρα τῇ κεφαλῇ τὸν οὐρανὸν ἐγνώκασι προσαράττειν. πρὸς δὲ τούτοις κἀκεῖνο πρέπει σκοπεῖν· οὐ γὰρ μόνον ταῖς ἡμετέραις ἐνοχλήσουσι ψήφοις οἱ πονηροὶ τῶν ἀνθρώπων, καὶ πάλιν τὰς αὐτὰς μετὰ περιουσίας εἰσάξουσιν ἀμφισβητήσεις καὶ μάχας, ἐάν τις αὐτοῖς τῶν καθ' ἡμῶν ἐγκλημάτων πρόφασις ᾖ, ἀλλὰ καὶ πολλοὺς ἄλλους ἐγεροῦσι πολέμους, καὶ πολλῶν συγχύσεων τὴν ἀληθινὴν ἐμπλήσουσι πίστιν· καὶ νῦν μὲν εἰς ἀνατολικὴν καὶ δυτικὴν ἐκκλησίαν τὸ τῶν Χριστιανῶν διήρηται πλῆθος· τότε δὲ οὐδὲ ἀριθμεῖν ἐξέσται τὰ τμήματα, ἑκάστου πρὸς ἑαυτὸ τεμνομένου καὶ στασιάζοντος, ἄλλων ὑπ' ἄλλου φιλονεικίας ἀφορμῶν σπειρομένων. εἰ γὰρ ἔτι τῆς συνόδου ταύτης προσδοκωμένης, ἥτις ἔμελλε τὰς μεγίστας τῆς οἰκουμένης μοίρας συνάψασα, εἶτα καὶ περὶ τῶν ἑκασταχοῦ καινοτομηθέντων ἐπιμελῶν σκοπουμένη, τὴν ἀληθῆ καὶ βεβαίαν ψῆφον πᾶσιν ἐπάγειν, διῄρηντο μὲν οἱ πρότερον ἡνωμένοι, ἡ δ' ὅπως ποτὲ κρατήσασα μοῖρα τοὺς ἡττημένους ἐπαράτους καὶ τῶν ἀπίστων χείρους ἡγήσατο, καὶ μέχρι τοῦ νῦν ἀπὸ τῶν τῆς ἔριδος ἐκείνης ἀρξαμένων καλοῦσα, καὶ σχίσμα ἐν σχίσματι παλαιῷ γέγονε νέον, ἐν ἐλάττοσι μὲν, πολὺ δὲ νικῶν τῇ τε ὕλῃ τῶν ζητουμένων καὶ τῷ μίσει τῷ πρὸς ἀλλήλους. ἥδιστα γὰρ ἂν ἐγεύσαντο καὶ σαρκῶν· τί χρὴ προσδοκᾶν, ὁπότε σύνοδον οἰκουμενικὴν ἐλπίζειν οὐκ ἔσται; ἧς μόνης ἔμελλον δεδιέναι πάντες τὰς ψήφους, ἀδήλους ὁποτέροις ἀρέσκειν μέλλουσιν οὔσας. τοιαύτην δὲ σύνοδον τίς νοῦν ἔχων ἐλπίσει ποτὲ, τὴν τοσούτοις ἤδη χρόνοις μελετωμένην, καὶ μετὰ τοσαύτης ἑκατέρωθεν δυσχερείας συστᾶσαν, ἐκ τοῦ μὴ δυνηθῆναι διασῶσαι ταύτην αὐτῇ τὴν προσηγορίαν βλέπων ἀκυρουμένην; οὐκοῦν τοῦ χρόνου καινὸν ἀεί τι προσεξευρίσκοντος, καὶ τῶν ἀνθρώπων δι' ἄγνοιαν ἢ φιλονεικίαν ἐχομένων τοῦ ψεύδους, καὶ τὰς ἐν δόγμασι διαφοράς ἐστιν ὅτε

προφάσεις τοῦ πρὸς ἀλλήλους ποιουμένων πολέμου, ἐφ' ὃν δ' οἱ μετὰ τῆς ἀληθείας ἱστάμενοι καταφεύξονται, καὶ οὗ τὴν ψῆφον ἁρμόττει πάντας αἰδεῖσθαι, μήτ' ὄντος μήτε προσδοκωμένου, ἀνάγκη πάντας δεινῶς ἀλλήλοις συῤῥήγνυσθαι· καὶ διδασκάλους τῆς ἀληθείας ἑκάστους ἑαυτοῖς γινομένους, τῶν ἄλλο τι φρονούντων καταψηφίζεσθαι, καὶ τὸ δὴ πάντων χείριστον, καὶ ἀπίστους αἱρετικοὺς ἀποκαλεῖν, οὐ καθάπερ νῦν διαφερομένους καὶ σχισματικοὺς καὶ τὰ τοιαῦτα προσαγορεύουσι, τὰς συνοδικὰς ὑποστελλόμενοι ψήφους. τούτων δὲ τί ἂν γένοιτο χεῖρον; οὔτε γὰρ εἴσεταί τις τῶν ἁπλουστέρων, τί ἂν δέοι φρονεῖν καὶ τίτι προσθέσθαι, οὔτ' ἀκίνδυνον ἔσται τοῖς ὁποιονοῦν ἑλομένοις, εἰς πολλὰ νενεμημένου τοῦ ψεύδους· καὶ τὸ μέγιστον εἰς σωτηρίαν, ἡ πίστις, ἐκ τῶν ἀνθρώπων κατ' ὀλίγον οἰχήσεται, καὶ νῦν μὲν ἀκούοντες εἶναί που καὶ σώζεσθαι τὰς ἐξ ἀρχῆς γεγενημένας αἱρέσεις ἡγούμεθα θαυμαστὸν, εἰ τοσαῦτα διαφερόμενοι πρὸς ἀλλήλους, καὶ οὕτω πολλαῖς καὶ ποικίλαις ἐναντιότησι συζῶντες ἄνθρωποι δύνανται συνοικεῖν. τότε δὲ τουτὶ τὸ δεινὸν τὴν οἰκουμένην πᾶσαν ἐμπλήσει· καὶ οὐδ' ἂν εἴ τις ἐκ τῶν ἐθνῶν πρὸς τὴν ἀληθινὴν ἐπιστρέφειν βούλοιτο πίστιν, τίσι χρήσεται τῆς ἐπιθυμίας ὁδηγοῖς τε καὶ διδασκάλοις εἰδείη καλῶς· μᾶλλον δὲ τὴν τοσαύτην ἀσυμβασίαν ὁρῶν, οὐδ' ἂν βουληθείη. ἃ δεῖ μετὰ τῶν ἄλλων ἁπάντων προειδομένους ἡμᾶς, καὶ νομίσαντας ἐκεῖνον εἶναι τὸν χρόνον, ἐν ᾧ καθάπερ ἐν νυκτομαχίᾳ πάντες φυρόμενοι συμπίπτουσιν ἀλλήλοις καὶ συναπόλλυνται, καὶ τῶν μὲν ἀπολλυμένων οἶκτον λαβόντας, τῷ δὲ κατειληφότι τὴν ἐκκλησίαν δεινῷ τὴν ὀφειλομένην ἀντιτάξαντας πρόνοιαν, τὴν μόνην ἁπάντων αἰτίαν περιελεῖν. ἐπὶ γὰρ ταύτην οὐκ ἰδίας δεῖ πραγματείας, οὐδὲ πόνων ἄλλων, οὐδὲ χρόνου τριβῆς· οὐδὲ τὰ παρόντα διοικουμένους καλῶς δεήσει περὶ τούτων καθημένους σκέπτεσθαι πάλιν· ἀλλ' ὃ πρὸς τὰ παρόντα δεῖ προελέσθαι, τοῦθ' ὑμῖν καὶ τῶν μελλόντων φάρμακον ἔσται. ἂν γὰρ ὅπως ἀληθῶς οἰκουμενικὴ νομισθήσεται σύνοδος διαπράξησθε, ἐξ οὗ καὶ τὰ περὶ τῶν προκειμένων δόξαντα κρατεῖν ὑμῖν περιέσται, οὐδείς ποτε κινῶν τι τῶν καθεστώτων, σχίσματος ἀρχὴ γενέσθαι βουλήσεται· οὔτε περιοψομένην τὴν ἐκκλησίαν εἰδὼς, καὶ τὰς ἐκ τῆς οἰκουμενικῆς συνόδου φυλαττόμενος δίκας, ἣν τότε * μᾶλλον ἢ νῦν, ἅτε τῆς οἰκουμένης

* ἴσ. ὃ τότε.

ἁπάσης ὁμονοούσης προσδοκᾶν ἐστιν εὔλογον. καὶ μὴν τὴν μὲν σύνοδον ταύτην ὑπὸ τοῦ πνεύματος οὐδὲν ἧττον ἢ περὶ τοῦ πνεύματός φαμεν συναθροῖσθαι, τὰ ἐκείνῳ δοκοῦντα ψηφιουμένην. πῶς δ᾽ ἂν ἄλλως ἐπ᾽ αὐτῶν τῶν πραγμάτων τοῦτο δειχθείη, ἢ τὰ μὲν ἄλλα περιϊδόντων ἡμῶν, τὴν δὲ περὶ τῆς αὐτοῦ προόδου πᾶσι τρόποις ἐξηταχότων ἀλήθειαν, καὶ τούτου χάριν μηδ᾽ ἀπελθεῖν ἐντεῦθεν ἀνασχομένων; ἢ πῶς ἂν δυνηθείημεν αὐτῷ χαρίσασθαι μᾶλλον, παρ᾽ οὗ μόνου καὶ τὸ τῆς ὁμονοίας εἰκός ἐστιν ἐλπίσαι καλὸν, ἀγάπης ὄντος καὶ λεγομένου, ἢ τὰς ὑγιαινούσας ὑπὲρ αὐτοῦ θηρώμενοι δόξας, καὶ τὴν εἰς αὐτὸ πίστιν εἰλικρινῆ καὶ ἀκίβδηλον εὑρεῖν καὶ σώζειν βουλόμενοι; ἐκεῖνο γὰρ ἀληθείας ὂν πνεῦμα, καὶ πάσης μὲν ἀληθείας ἐραστὰς ἡμᾶς εἶναι βούλεται, καὶ τὴν πρὸς αὐτὴν ὁδὸν ἡμῖν ὑφηγεῖται, ὡς ἄνευ αὐτοῦ μὴ δυναμένοις ἀκινδύνως ταύτην ὁδεύειν· τοῖς δ᾽ ὅ, τι δεῖ φρονεῖν ὑπὲρ αὐτοῦ καὶ τῶν ὁμοουσίων τούτῳ προσώπων ἐξετάζειν ἐθέλουσι, τούτοις ὡς τῆς μεγίστης καὶ πρώτης ἀληθείας ἐφιεμένοις πάντων μάλιστα χαίρει· κἂν ταῖς τοιαύταις ἐννοίαις οὐ συγχωρεῖ τούτους ταῖς πλοκαῖς τοῦ ψεύδους ἁλίσκεσθαι. ἂν δέ τις ἀμφισβήτησις ᾖ, συλλέγει μὲν πανταχόθεν τοὺς ὁλοψύχως τὴν ἀληθῆ γυμνάσοντας δόξαν, καὶ ταύτῃ προσθησομένους ἄνευ φιλονεικίας· ὅπως δ᾽ ἂν τῆς ἀληθείας τύχωσι πράττει· ἂν μόνον οὐκ ἀλαζόνες τινὲς ὦσιν αὐτῆς θηραταὶ, καὶ τῇ σφῶν δυνάμει τὸ πᾶν ἐπιτρέποντες. ἢ τί βουλόμενον ἡμᾶς συνῆξε τὸ πνεῦμα, ἢ τί τῶν ἀληθῶς ἀγαθῶν τὴν οἰκουμένην πᾶσαν εὐεργετῆσον, ὅθεν ὑμεῖς συνελέγητε; οὐ γὰρ δὴ χρήματα προσθῆσον ὑμῖν, καὶ δυναστείας κατακτησόμενον, ὧν ἐνίοις καὶ τῆς τῶν ὑπαρχόντων οἰκονομίας ἴσως ἔχει τι μέμψεσθαι· οὐδὲ τὰς σεμνὰς ταύτας ἀποδῶσον ἐπωνυμίας, καὶ τὰς πολυσυλλάβους ἐπιγραφὰς ὑπὸ τοῦ σχίσματος καλῶς περιαιρεθείσας· αἳ τύφου μᾶλλον καὶ ὑπερηφανίας ἀπόδειξιν ἔχουσι τῶν ἀντικαθισταμένων τῷ πνεύματι. ἀλλὰ ταῦτα μὲν ὥσπερ ἐπεισόδια τῶν ὡς ἀληθῶς εἰσιν ἀγαθῶν, ἅπερ ἡμῖν παρὰ τοῦ πνεύματος ἥξει· καὶ ἆθλά τινα τῶν ὑπὲρ τῆς ἀληθείας καμάτων, τὴν ἡμετέραν μικροψυχίαν παραμυθούμενα· ὧν οὐκ ὀλίγους οἶμαι τῶν νοῦν ἐχόντων καταφρονήσειν, καὶ διδόμενα μὴ προσήσεσθαι, τῇ γνώσει τῆς ἀληθείας ἀγαπήσαντας μόνῃ; καὶ ταύτην τοῦ παντὸς ἄξιον γέρας νομίζοντας τοῖς ὑπὲρ ταύτης

ἠγωνισμένοις· εἰ δέ τι καὶ ἄλλο προσδοκᾶν ἐστιν ἆθλον, τὴν μέλλουσαν εὐδαιμονίαν καὶ τὴν τότε καθαρωτέραν γνῶσιν τῆς ἀληθείας τοῦτ' εἶναι πιστεύοντας· καὶ γὰρ καὶ τῇ γνησίᾳ τῶν ἀνθρώπων ζωῇ μέγα ταῦτα ἐμπόδιον ἴσμεν ἅπαντες ὄντα· οὗ χάριν καὶ τοὺς ἐκείνης ἐφιεμένους ὁρῶμεν ἥκιστα τῇ τούτων κτήσει προσέχοντας. ταῦτα μὲν οὖν τοιαύτην ἔχοντα φύσιν, οὔθ' ἡμῖν εὐπρεπὲς ἂν εἴη προὔργου ζητεῖν, οὔτε τὸ πνεῦμα χαίρειν δωρούμενον, ὥστε καὶ ἡμᾶς νῦν ἐνταῦθα συναγαγεῖν, τούτων μάλιστα τῶν ἀγαθῶν μεταδῶσον· ἀλλ' ὧν ἕνεκα συνηγμένοις ἐφίσταται τοῖς ἀνθρώποις, καὶ τούτων γίνεσθαι μέσον οὐκ ἀπαξιοῖ, ἐπὶ τούτοις δὴ καὶ συνάγει, καὶ ταῦτα δίδωσι φιλοτίμως τοῖς λαμβάνειν προαιρουμένοις, ὁπόσα δηλονότι πρὸς δόξαν φέρει Θεοῦ, καὶ τὴν ἀληθῆ τῶν λαμβανόντων ὠφέλειαν. οὐκοῦν καὶ ἡμᾶς τοὺς ἐνταῦθα συνήθροισε, διδάξον μὲν τὴν ἀλήθειαν, ἧς ἄνευ σωθῆναι τῶν ἀμηχάνων ἐστὶν, εἰρήνην δὲ πρὸς ἀλλήλους κατασκευάσον, ἣν οὔτ' ἀγνοουμένης τῆς ἀληθείας ἐστὶ μένειν ἐν τοῖς ἀνθρώποις, κἀκείνης γνωριζομένης ἀνάγκη πᾶσα καὶ ταύτην ἐπανιέναι, καὶ τὴν ἐκκλησίαν ἀπαλλάξον σκανδάλων, ἅπερ ὁ τῶν ζιζανίων σπορεὺς αὐτῇ συνήθως ἐπισπείρας πένητα καὶ στεῖραν ἐποίησε, καὶ πάλιν δεῖξον εὐθηνουμένην, καὶ τοὺς αὐτῆς συνάγουσαν παῖδας, καὶ μέχρι κόρου τούτους ἐκτρέφουσαν· οὐ τοίνυν λόγον ἔχον ἐστὶν ὑπὸ μὲν τοῦ πνεύματος συνῆχθαι νομίζειν, ὧν δὲ μόνον χάριν εἰκός ἐστιν ἡμᾶς ἐκεῖνο συναγαγεῖν, ταῦτα περιιδόντας ὅπως ποτὲ ἄλλο τι σκέπτεσθαι καθημένους· τοῦτο γὰρ καὶ τὸ πνεῦμα πειραζόντων ἂν εἴη, καὶ σφίσιν αὐτοῖς ἐν ποιουμένων. ἐῶ γὰρ ὅτι καὶ τὸ τῆς ὁμονοίας καλὸν, δι' οὗ τῷ πνεύματι συναπτόμεθα, περισώζειν οὐκ ἔστιν ἐπὶ τῆς ἰδίας ἱσταμένους ἑκάστους δόξης, ἀλλὰ μὴ μίαν αἱρεῖσθαι πάντας τὴν ἀληθῆ, καὶ ταύτην κρατύνειν ἐθέλοντας. χωρὶς δὲ τούτων ἡμῖν μὲν ὑπὲρ εἰρήνης ἐστὶν ἡ πᾶσα σπουδή· ταύτην δ' ἂν ἀληθὴς ᾖ καὶ τελεία, καὶ Θεῷ μὲν ἀρέσκουσα, ἡμῶν δὲ καὶ τῶν ἡμετέρων πόνων ἀξία, οὐδεὶς ἀγνοεῖ τριπλῆν οὖσαν τὴν μίαν, καὶ τρισὶν ἡμᾶς διαλλάττουσαν. ἄνευ γὰρ τῶν φαινομένων διαλλαγῶν, καὶ τοῦ παύεσθαι λοιπὸν ἐπαρωμένους τὰ χείριστα, καὶ χεῖρα καὶ γλῶτταν ὁπλίζοντας κατ' ἀλλήλων, δεῖ μὲν πρὸς τὸν Θεὸν εἰρηνεύειν τἀληθῆ περὶ ἐκείνου φρονοῦντας· ἐπεὶ τὸ τῆς ἀληθείας διαμαρτάνειν, καὶ πρὸς τὸν θεόν ἐστιν

ἀπεχθῆσθαι· ἀνάγκη καὶ πρὸς αὐτὸν ἕκαστον τὸ τῆς εἰρήνης σώζειν καλὸν, τοῖς ἔνδον νοήμασι τῆς ψυχῆς τοὺς ἔξω λόγους παρέχοντα συμφωνοῦντας καὶ μηδ' ἴχνος ἀμφιβολίας περὶ τῶν προκειμένων ἐν αὐτῷ καταλείποντα. δεῖ γὰρ τὴν πρὸς τοὺς ἄλλους εἰρήνην ἐν ἡμῖν αὐτοῖς ἱδρύεσθαι πρῶτον· ἄλλως δ' εἰρηνεύειν προσποιησόμεθα, καὶ σχῆμα περικείμενοι φίλων τὰς τῶν ἐχθρῶν ἀηδίας ἔνδον κρύπτοντες λήσομεν. οὐ γὰρ δήπου περὶ πραγμάτων ἠμφισβητοῦμεν ἀλλήλοις, ἃ συγχωρήσαντας τοῖς ἀφελομένοις, ἢ λαβόντας δικαίως, εἰκός ἐστι μηδ' ἐνοχλεῖν ἀλλήλοις λοιπὸν μηδ' εἶναί τι τὸ τὴν εἰρήνην τελείαν ἔργον νομίζεσθαι· ἀλλὰ περὶ δοξῶν ἡμῖν ἡ μάχη καὶ ὁ πόλεμος ἦν, καὶ δοξῶν, αὐτοῦ τῆς ἡμετέρας πίστεως ἁπτομένων τοῦ κεφαλαίου, καὶ ὧν τοὺς θατέρῳ προστιθεμένους οὐκ ἔστι φαντάσασι τῆς ἑτέρας καταφρονεῖν, πολλῶν ἑκατέρῳ συνηγορούντων, τῶν μὲν κειμένων ἐν ταῖς γραφαῖς, τῶν δ' ὑπὸ τῆς ἀνθρωπίνης ἐξευρημένων μελέτης, καὶ ποιούντων ἅπασι δυσχερῆ τὴν περὶ τούτων φαίνεσθαι κρίσιν· καὶ περὶ τούτων γε τῶν δοξῶν ἀλλήλοις πρόσθεν διεφερόμεθα μετὰ τοῦ καὶ πρὸς αὐτοὺς τεταράχθαι, καὶ τὴν ἀπὸ τῆς ἀληθείας ἔκπτωσιν τρέμειν, καὶ συμφορὰν ἡγεῖσθαι μεγίστην, ἂν συμβῇ τινι τοῖς ἀδελφοῖς μαχομένῳ, καὶ θεῷ πολεμεῖν, καὶ τῆς ἀληθείας διαμαρτάνειν, ὑπὲρ ὧν ὁ πόλεμος ἦν. ταῦτα δὲ περὶ τῶν νοῦν ἐχόντων φημί· τοὺς γὰρ ἰσχυρογνώμονας καὶ φιλονείκους παραιτητέον, καὶ τοὺς οὕπερ ἂν λάβωνται, τοῦτ' εἶναι μόνον τἀληθὲς ἡγουμένους, καὶ τοῖς ἐναντίοις λόγοις τὰς ἀκοὰς ἀποκλείοντας· οὓς οὐχ ὅτι συνοίδασιν ἀληθέσιν οὖσι, καὶ κρείττοσι πάσης ἀντιλογίας, ἀλλ' ὅτι σφίσιν ἀρέσκουσιν οἷς ἂν φρονήσωσιν, πιστεύειν εἴποι τις ἄν. Τούτων τοίνυν οὕτως ἐχόντων, εἰ μὲν ἐμέλλομεν τὸν πρὸς ἀλλήλους παύσαντες πόλεμον, εὐθὺς καὶ πρὸς ἡμᾶς αὐτοὺς εἰρηνεύειν καὶ τὰ πρὸς θεὸν εὐτυχεῖν, ἢ τύχῃ τινὶ τῆς ἀληθεστέρας δόξης ἐπειλημμένοι, ἢ καὶ τούτου χωρίς, οὐδὲν δεδιότες, μηδὲ κίνδυνόν τινα, καὶ ζημίαν ἐκ τοῦ τῆς ἀληθείας ἐκπεσεῖν ὑφορώμενοι, ἀντὶ πάντων ἂν ἀπέχρησεν ἡμῖν ἡ πρὸς ἀλλήλους εἰρήνη, καὶ ταύτην ὅπως ποτὲ καταπράξασιν οὐκ ἂν ἔδει ἔτι τῆς περὶ τἄλλα σπουδῆς. ἐπεὶ δὲ τῆς φαινομένης καταλυθείσης φιλονεικίας, ἕτεροι χείρους ἡμῖν ὑπολειφθήσονται πόλεμοι, καὶ τὰ τῆς εἰρήνης ἡμῖν ἀπέσται καλὰ οὐδὲν ἧττον ἢ πρότερον, ἄλλο τι μᾶλλον ἢ

τὴν εἰρήνην, δόξομεν πραγματεύεσθαι, ἢ μηδὲ συνορᾶν τὴν ἀρχὴν ὅπως δεῖ τυγχάνειν τοῦ ποθουμένου, εἰ μόνον τὰ πρὸς ἀλλήλους εὖ διαθέμενοι ἡγησόμεθα τὸ πᾶν ἠνυκέναι. εἰ δὲ τοὐναντίον τὴν ἀρχὴν ἐκ τῶν δογμάτων λαβοῦσι, καὶ τὴν πρὸς Θεὸν εἰρήνην προὔργου ζητήσασιν αὐτίκα τἄλλα πάντα ὑπείξει, καὶ γαλήνη σφόδρα πανταχόθεν ἔσται καὶ ἡδονή τις ἄῤῥητος, πάντων ἅπασι συμφωνούντων, τῶν ἔξω, τῶν ἔνδον, τῶν πρὸς ἀλλήλους, τῶν πρὸς Θεόν, καὶ ταύτην οὕτω μὲν βεβαίαν καὶ μόνιμον, οὕτω δὲ λαμπρὰν ἕνωσιν οὖσαν οὐδὲν ἀμαυροῦν, οὐδὲν σαλεύειν ὅλως δυνήσεται, πρόδηλον δήπου καθέστηκεν ὡς ἐκεῖθεν ἄρξασθαι δεῖ. μᾶλλον δὲ οὐδ' ἀρχὴν εἰρήνης ἐκεῖνο πρέπει καλεῖν, ἀλλ' εἰρήνην ἀληθῆ καὶ τελείαν, καὶ πᾶν ὅ, τι ἂν εἴποι τις τῶν πρὸς αὐτὴν ζητουμένων περιλαμβάνουσαν. τίνες γὰρ οὕτως ἀναιδεῖς καὶ τῆς σφῶν σωτηρίας πολέμιοι, ὥστε καὶ μετὰ τοιαύτην εἰρήνην ἄλλην τινὰ συμπλασάμενοι πρόφασιν τῆς τῶν ἀδελφῶν ἀποῤῥήγνυσθαι κοινωνίας; μᾶλλον δὲ οὐδ' ὁρῶ τινα πρόφασιν τοῖς ἐθέλουσι κακουργεῖν ὑπολειπομένην. τίνα δ' οἴεσθε φρενῶν οὕτω παντελῶς ἐστερῆσθαι, ὡς καὶ μετὰ τὴν ὑμετέραν ψῆφον, ἣν περὶ τῶν προκειμένων ἐξοίσετε, μᾶλλον δ' ἣν ἐξοίσει Θεὸς ἐν ὑμῖν, ἔτι πρὸς ἑαυτὸν περὶ τούτων ἀμφισβητοῦντα πράγματα ἔχειν; οὐκοῦν τριῶν ὄντων τῶν πρὸς τὴν ἄκραν ζητουμένων εἰρήνην, τῷ μετὰ Θεοῦ γενέσθαι τῇ τῆς ἀληθείας εὑρέσει, καὶ πρὸς ἐκεῖνον ἑνῶσθαι καλῶς, καὶ τὰ λοιπὰ δύο σύνεστιν. ἐκεῖνο τοίνυν σπουδαστέον λαβεῖν τοὺς τῆς ἀληθοῦς εἰρήνης ἐπιθυμοῦντας. ταύτης δ' ἐπιθυμεῖν ἀνάγκη, καὶ πάντα ἐλάττω τοῦ τοσούτου νομίζειν καλοῦ τοὺς ἀρετῇ καὶ λόγου δυνάμει τῶν ἁπανταχοῦ διαφέροντας, καὶ κινδύνων καὶ πόνων ἀνασχομένους, ὧν ἄν τις τοιοῦτος ὢν ὑπὲρ τῶν μεγίστων μόνων ὑφίστασθαι βουληθείη. καὶ ζηλωτέον μὲν τοὺς ἐπὶ τῶν προτέρων χρόνων πατέρας καὶ διδασκάλους, οἳ πλεῖστα μὲν ὑπὲρ τῆς τῶν ἀδελφῶν ἠγωνίσαντο σωτηρίας, τὸ καθ' αὑτὸν ζητεῖν ἕκαστος καὶ πόνων ἀπηλλάχθαι δυνάμενοι, τὰ δὲ τότε τὰς τῶν ἀνθρώπων θορυβοῦντα ψυχὰς ἐκ μέσου περιελόντες, καὶ τῇ μαχαίρᾳ τοῦ πνεύματος τὸ ψεῦδος τοῦ ἀληθοῦς διακρίναντες εἰρήνην εἰλικρινῆ τοῖς μετὰ ταῦτα κατέλιπον· ἣν ὁ μακρὸς οὐ συνέχει χρόνος, οὐδ' αἱ τῶν πονηρῶν ἀνθρώπων φιλονεικίαι· καὶ τὴν εἰρήνην ἄλλον τρόπον οἰκονομεῖν ἐξὸν,

οὐκ ἠνέσχοντο. οὐ γὰρ ᾔδεισαν αὐτοῖς τι προσῆκον, καὶ τοῦ κινοῦντος ἐπὶ ταῦτα πνεύματος ἄξιον· καὶ μᾶλλον ᾤοντο δίκας ὑφέξειν ὧν δυνάμενοι σὺν πόνῳ πράττειν ἠμέλησαν ἄν, ἢ τῶν ἀφελῶς οὑτωσὶ πραττομένων ἕνεκα μισθούς τινας λήψεσθαι. ὑμῖν δ᾽ εἰ καὶ μηδεμία τοιαύτη σύνοδος ἦν, πρὸς ἣν ἔδει βλέποντας κατορθοῦν, οἴκοθεν εὑρεῖν τὸ πρέπον ἥρμοσεν ἄν, καὶ παράδειγμα καὶ τύπον ἄλλαις ἱστάναι ταῖς ἴσως μετὰ ταῦτα γενησομέναις, σοφίᾳ μὲν οὐδεμιᾶς ἐκείνων ἔλαττον ἔχουσιν, ἀρετῇ δὲ ὀλίγα λειπομένοις ἑκάστης, τῷ δὲ πλήθει καὶ σφόδρα πασῶν ὁμοῦ διαφέρουσιν. ὅπου δὲ τοσούτοις παραδείγμασιν ἔχομεν χρῆσθαι, καὶ οὕτω καλοῖς, οὐδὲ βουλομένοις ἔξεστι ῥᾳθυμεῖν, ἕως ἂν ἡμῖν προσήκειν ἡγώμεθα τὰς παρὰ τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων μέμψεις φυλάττεσθαι. οὐ γὰρ δήπου τοὺς μὲν ἄλλους ἅπαντας ἐν οἷς πράττουσιν ἀξιώσομεν τοὺς ἐν ἐκείνοις διενεγκόντας ζηλοῦν, κἂν ὡς ἔξεστιν ἄριστα τοῦτο ποιῶσιν ἐπαινεσόμεθα, ἡμεῖς δὲ τηλικούτων ἡμελ.ηκότες πραγμάτων, ἔξω ψόγων ἐσόμεθα. τὸ γὰρ τῆς μιμήσεως ἐν ἅπασι τοῖς καλοῖς τὴν ἴσην δύναμιν ἔχει· καὶ τοὺς ἐν τοῖς μεγίστοις ταύτην παραιτουμένους, ἐν οἷς καὶ μείζων ὁ τῆς διαμαρτίας ὕπεστι κίνδυνος, οὐδὲν ἐξαιρεῖσθαι τῆς εὐλόγου μέμψεως δύναται. ἀλλὰ μὴν οὐδ᾽ ἔστιν εἰπεῖν, ἄλλο τι πρὸ τῆς ἀληθείας ὁ τῶν μακαρίων χορὸς ἐκεῖνος ἐσκέψατο, ἢ περὶ τῶν ἑκάστοτε ζητηθέντων, ἴχνος γοῦν ἀμφιβολίας τοῖς μετὰ ταῦτα κατέλιπον. φανερὰ γὰρ ἐκ τῶν ὑπομνημάτων ἡ περὶ τὴν ἀλήθειαν ἐκείνων σπουδή. καὶ τὰς τότε κινηθείσας αἱρέσεις οὕτως ἀπεστράφησαν ἄνθρωποι, ὥσθ᾽ οἱ μὲν πολλοὶ μήτ᾽ εἰδότες μήτ᾽ ἔχοντες ἐγκαλεῖν, ὡς τῆς ἀληθείας προμάχους ἀξιοῦσι τιμᾶν τοὺς κατ᾽ ἐκείνων ἠγωνισμένους. οἱ δ᾽ ἀκριβῶς εἰδότες, καὶ τῶν ἀπίστων ἡγοῦνται χείρους τοὺς ἐκείνων προστησαμένους. οὕτω παρὰ πᾶσιν ἀνθρώποις αἱ τῶν ἀνδρῶν ἐκείνων κρίσεις ἐκράτησαν. ἐκείνους τοίνυν ὅπερ εἶπον ζηλωτέον· καὶ μὴ ταῖς ἄλλαις μόνον τιμαῖς, ἀλλὰ καὶ τῷ μιμεῖσθαι καθόσον ἔξεστι, καὶ νομίζειν ἀρίστους εἶναι συμβούλους ἐν τοῖς τοιούτοις καὶ ὁδηγούς, τὴν πρὸς ἐκείνους ἐπιδεικτέον αἰδῶ· καὶ τί δεῖ φρονεῖν περὶ τοῦ πνεύματος, ἐξεταστέον μετὰ τοῦ πνεύματος· καὶ παυστέον μὲν θορύβου καὶ ταραχῆς τὰς τῶν ἀνθρώπων ψυχάς, τὴν δ᾽ ἐκκλησίαν ἔριδος ἀνοήτου, καὶ μακρῶν ἄλλων λήρων ἀπαλλακτέον, οἷς ἡ μακρὰ φι-

λονεικία καὶ τὸ μηδετέροις μέλειν τῶν ἀδελφῶν δίδωκε χώραν. μετὰ ταῦτα δὲ καὶ τῶν ὑπολοίπων φροντίζειν ἔγκαιρον ἔσται· καὶ τῆς παρ' ἀλλήλων τιμῆς τε καὶ ὠφελείας, καὶ τῶν ἐκ πολλοῦ θρυλλουμένων ἐκείνων, οὐδεὶς ἡμῖν ἐγκαλέσει πρόνοιαν ποιουμένοις. ἐγὼ γὰρ καὶ τὰς κατὰ τῶν ἀπίστων ἐλπίδας, ὑφ' ὧν ἐπείγεσθαί τινες λέγουσι, καὶ ἃς ἰσχυρίζονται τῶν ἡμετέρων ἔργων εἶναι κεφάλαιον, εἰ μὲν ἕνεκα τοῦ δύνασθαι ζῆν ἀσφαλῶς, καὶ τὰ τῆς δουλείας μὴ δεδιέναι δεινὰ, ἢ καὶ δίκας ἐκείνους εἰσπράξασθαι τῆς εἰς ἡμᾶς παροινίας, εἰς ἣν ἐκ πολλῆς ἠνέχθησαν ὕβρεως, εἰ μὲν δὴ τούτων ἕνεκα τρέφομεν τὰς κατ' ἐκείνων ἐλπίδας, μάταιον ταύτας ἡγοῦμαι χρῆμα, καὶ οὔτε πολλοῦ τινος ἀξίας, ἂν ὁπωσοῦν καὶ δυνηθῶσιν ἐκβῆναι, οὔτ' ἀνύεσθαι δυναμένας ἄνευ θεοῦ, ταὐτὸν δ' εἰπεῖν μὴ σκοποῦ τινος θεοφιλοῦς αὐταῖς ἡγουμένου. εἰ δὲ τῆς τῶν ἀνθρωπίνων ψυχῶν κηδόμενοι σωτηρίας, καὶ τὸ τοῦ ψεύδους αἶσχος ἐξελεῖν ἐκ μέσου πειρώμενοι, καὶ τοιούτων δή τινων χάριν ἐπὶ ταύτας ἄγεσθε τὰς ἐλπίδας, ἐπαινῶ μὲν ἐπὶ τούτοις οὔσας αὐτὰς, δευτέρας δὲ πραγματείας εἶναι νομίζω, καὶ μηδένα λόγον ἔχειν ἐπὶ ταύταις ὁρμᾶσθαι, πρὶν τὴν ἐν μιᾷ δόξῃ τῆς ἀληθείας τῶν ἀπὸ Χριστοῦ καλουμένων ἕνωσιν καταπράξασθαι. εἴτε γὰρ τὸ ψεῦδος μισεῖν δεῖ, καὶ τῆς ἐκκλησίας ἐκβάλλειν ὡς ποῤῥωτάτω, πολὺ τοῦτο κἀν τοῖς προκειμένοις ἐστὶν, ἐν οἷς δήπου φαινόμεθα τὰς ἀντικειμένας ἔχοντες δόξας, καὶ πλείστης τῶν ἀνθρώπων μοίρας κρατεῖ, ὁποτέραν ἂν εἴποι τις· εἴτε τῆς τῶν ἀδελφῶν προνοεῖν σωτηρίας ἐπάναγκες ἅτε τῆς πρὸς αὐτοὺς ἀγάπης ἔνδειξιν ἔχον, ἣν τῷ τὴν ψυχὴν ὑπὲρ αὐτῶν τιθέναι προθύμως τούτοις ὀφείλομεν, οἱ τουτὶ τὸ ψεῦδος γνωσόμενοι καλῶς καὶ μισήσοντες, τῶν τῆς ἀπιστίας ἀπαλλαξομένων οὐδὲν ἐλάττω τῆς σωτηρίας ἡμῖν ὀφλήσουσι χάριν· ἧς τῶν ἀμηχάνων ἐστὶ τυχεῖν τοὺς τῷ ψεύδει βεβιωκότας, ὁπόσον ἂν ᾖ, καὶ πρὸς ἥντινα τῆς πίστεως ἀλήθειαν διαμάχοιτο. ὥστε τὸ τὴν εἰρήνην ὃν συμβουλεύω τρόπον ποιεῖσθαι, καὶ τῆς τῶν ἀδελφῶν σωτηρίας φροντίζειν ἐστὶ, καὶ τὸ ψεῦδος ἐλαύνειν, καὶ τὴν δόξαν τῆς ἐκκλησίας τῇ τῶν σωζομένων αὔξειν προσθήκῃ. εἴ τις οὖν ἐκεῖνο πεισθεὶς, ἐπὶ τἄλλα τρέποι τὴν ἐπιμέλειαν, πρόφασιν ἄλλως τοὺς ἀδελφοὺς καὶ τὸ ψεῦδος δόξει ποιεῖσθαι, ἐλπίσι σωματικῆς εὐτυχίας ἀληθῶς πρὸς ταῦτα κινούμενος. πῶς γὰρ ἑκατέρωθεν ἴσης οὔσης τῆς ὠφελείας, καὶ δυ-

νάμενος ἐν τάξει πράττειν ἀμφότερα, θατέρου καθάπαξ ὑπεριδὼν τὸ λοιπὸν προθήσεται μόνον, καὶ τὸ ῥᾷστον εὐλαβηθεὶς ἐπιχειρήσει τῷ πολλὴν δυσχέρειαν ἔχοντι; τίς γὰρ οὐκ οἶδεν, ὅτι πρὸς μὲν τοὺς κατὰ τῆς ἀπιστίας πολέμους καὶ ὅπλων δεῖ καὶ χρημάτων καὶ δυνάμεως πεζῆς τε καὶ ναυτικῆς, καὶ στρατηγῶν καὶ καιροῦ καὶ χρόνου τῷ μεγέθει τοῦ πράγματος ἐξαρκοῦντος; ὥστε δὲ περὶ τῶν προκειμένων τἀληθῆ διορίσασθαι, καὶ μίαν περὶ τούτων πάντας γνώμην λαβεῖν, τὸ βουληθῆναι μόνον ἀπόχρη, καὶ θεὸς ἄνωθεν πρὸς τὸν σκοπὸν ἰθύνων τὴν βούλησιν, καὶ τῷ τέλει τὴν ἐπαινετὴν ἐπιθυμίαν προσάγων; ὥστ' εἰ καὶ τὰς κατὰ τῶν ἀπίστων μελέτας δευτέρας ἀξιοῦσθαι φροντίδος, καὶ τοῖς περὶ τῶν δογμάτων ἀγῶσιν ἕπεσθαι δεῖ, ποῦ τιμὰς καὶ προσόδων αὐξήσεις καὶ κοινωνίαν τῶν ὑπαρχόντων καὶ τἆλλα πάντα θετέον; ἃ τῆς εἰρήνης ἀποτελέσματα μᾶλλον ἤπερ εἰρήνην πρέπει καλεῖν· καὶ ὧν οὔτε τὴν τῶν ἀδελφῶν σωτηρίαν, οὔτε τὴν τῆς ἀληθινῆς πίστεως ὕψωσιν καὶ τοῦ ψεύδους ἀνατροπὴν ἔστιν αἰτιᾶσθαι· οὐ γὰρ δήπου πρὸς ταῦτα δύνανται φέρειν, οὐδὲ πάντας ἐκ τούτων ἔστιν ὠφελεῖσθαι Χριστιανοὺς, ἀλλ' ὀλίγους τοὺς αὐτῶν δεομένους, καὶ οἷς ἁρμόττει ταῦτα ζητεῖν. Ἀλλὰ μὴν ἐφ' ἅπασι τοῖς εἰρημένοις, τὴν μὲν παρασκευὴν πᾶσαν ὑμῶν ὁρῶ οἰκουμενικῆς ἀξίαν συνόδου, καὶ τῇ περὶ τῶν δογμάτων κρίσει καὶ λίαν ἀρκοῦσαν, οὐδενὸς ἡμῖν τῶν ποιησόντων ῥᾳδίαν ταύτην ἐλλείποντος· ἂν δέ τινες ἐπιθυμοῦσι πράττειν εἰρήνην, πολλοῦ δεῖ τηλικαύτης ἔργον εἶναι παρασκευῆς· ἐξῆν γὰρ καὶ πρέσβεσι ταύτην περαίνειν, αὐτοὺς πραγμάτων ἀπηλλαγμένους· καὶ οὔτ' ἀναλωμάτων ἔδει τοσούτων, ὁπόσα τοῖς μὲν διδοῦσιν εἶχε δυσχέρειαν, τοῖς δ' οὐκ ἔχουσιν οἴκοθεν καὶ δεομένοις ἄλλων, εἰ δεῖ τἀληθῆ λέγειν, αἰσχύνην μεθ' ὑποψίας, οὔτε πόνων καὶ κινδύνων τοσούτων τοῖς πανταχόθεν συνηθροισμένοις· μᾶλλον δ' οὖν ἔστιν ἰδεῖν τὰς ἑκατέρωθεν δυσχερείας, ἃς ἡ τῆς εἰρήνης ἐπιθυμία συνεργὸν εὑροῦσα τὸ θεῖον, πάσας ἐνίκησε· καὶ ὧν χαλεπῶς μὲν, ὑπερεῖδε δ' ὅμως. οὐκ οἶδα τοίνυν τί πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογήσεσθε, μάταιον δείξαντες τὴν τοιαύτην καὶ τοσαύτην παρασκευὴν, καὶ τὴν εἰρήνην πεποιηκότες ὄνομα μόνον καὶ φήμην ἄλλως κενήν· τὸ γὰρ βούλεσθαι καταλείπεται μόνον, τῶν ἄλλων ἐκπεσόντων ἄμεινον ἢ κατ' εὐχὴν, ὡς ἔξεστι βλέπειν, εὐτρεπισμένων.

θαυμάζω δὲ, εἰ μηδένα ὑμῖν ἐγκαλέσειν ἡγεῖσθε δικαίως, οὕτω τὰ τῇδε διῳκημένοις. καθάπερ γὰρ τὸ τοῖς μεγίστοις ἐπιχειρεῖν ἄνευ τῆς προσηκούσης παρασκευῆς, ἀπονοίας ἐστὶ σημεῖον, οὕτω τὸ πρὸς τὰ μέγιστα μὲν ἀρκούντως παρεσκευάσθαι, χρῆσθαι δὲ τῇ παρασκευῇ πρὸς τὰ τῶν ἔργων φαυλότερα, καὶ τὴν προθυμίαν ἄχρι τούτων ἐκτείνειν, ἐγὼ μὲν οὐ βούλομαι λέγειν, πολλῶν δ' ἐγκλημάτων τοῖς οὕτω προελομένοις πρόφασιν ἔχει. καὶ οὔτε στρατηγὸν νοῦν ἔχων ἡγεῖταί τις νοῦν αὐτὸς ἔχων, ὃς καὶ πλήθει καὶ ἀρετῇ καὶ ὅπλοις καὶ τοῖς ἄλλοις ἅπασιν ἀρκούντως ἐξηρτυμένος πρὸς ζήτησιν ἔξεισι τῶν ἐχθρῶν, καὶ πολὺν μὲν χρόνον ἀναλωκὼς, διὰ πολλῆς δὲ δυσχερείας ἐλάσας, εἶτα μόλις ἐντυχὼν αὐτοῖς ὀλίγοις τε καὶ πεφοβημένοις καὶ τὴν κατὰ πρόσωπον οὐ φέρουσι μάχην, τὸ τρέψαι τούτους ἀρκοῦσαν ἡγεῖται νίκην, παντάπασιν αὐτοὺς διαφθεῖραι, καὶ τοὺς μὲν συγκόψαι, τοὺς δὲ λαβεῖν αἰχμαλώτους δυνάμενος: οὐθ' ὑμεῖς τὰ παρὰ τῶν νοῦν ἐχόντων ὀνείδη δύναισθ' ἂν διαδρᾶναι, εἰ πρὸς τὴν τῶν ἐκκλησιῶν ἕνωσιν τοσοῦτον παρασκευαζόμενοι χρόνον, καὶ πάντα νῦν ἐνταῦθα συναγαγόντες, ἐξ ὧν αὐτὴν περαίνεσθαι δεῖ, εἶτα συνθήκας τινὰς καὶ σκιὰν εἰρήνης οἰκονομήσετε, σοφίαν καὶ ἀρετὴν καὶ πλῆθος τῶν ἐνταῦθα συνειλεγμένων, ὥσπερ ἄχθος ἄλλως καὶ ὕλην ἄχρηστον ἀποῤῥίψαντες. οὐ μὴν ἀλλ' εἰ μὲν τοῦ δόξαι τι κατορθοῦν καὶ τῆς ἐς ὕστερον εὐκλείας καὶ φήμης οὐδένα λόγον ποιεῖσθε, οὐδ' εὐλαβεῖσθε τὰς μέμψεις, ὧν ἐκ τοῦ μὴ πάντας ἀρέσκεσθαι τοῖς ἐνταῦθα γενησομένοις ὑμᾶς ἀνάγκη πειρᾶσθαι, οὐδὲ τοῖς ἄλλοις προσέχειν εὔλογον ἦν, ὧν ὀρεγόμενοι τῆς ἀληθοῦς εἰρήνης ἂν ὑπερίδοιτε· εἰ δ' ὑπὸ τῆς τούτων ἐπιθυμίας σφόδρα κατέχεσθε, πολὺ μᾶλλον ἔδει καὶ τῆς ἐκεῖθεν δόξης ἐπιθυμεῖν, καὶ πράττειν μὲν τὰ τῶν ἀθανάτων γερῶν ὑμᾶς ἀξιώσοντα, καὶ πάντας ἀνθρώπους πρὸς τὴν ὑμῶν εὐφημίαν διεγεροῦντα δικαίως· ὧν δ' ἕνεκα τὰς παρὰ πάντων μέμψεις ἐπάξεσθε, ταῦτα κατάπαξ εὐλαβηθῆναι. εἰ γὰρ καὶ μηδὲν ἄλλο, τοὺς ἡμῶν αὐτῶν αἰδεῖσθαι λόγους προσήκει, καὶ καθ' ἡμῶν μαρτυρίαν ἀρκοῦσαν εἶναι νομίζειν τοῖς ἐξελέγχειν βουλησομένοις. μέμνησθε γὰρ ἑκάτεροι δήπου καὶ λόγοις καὶ γράμμασι τοὺς ἄλλους ἐπὶ τὴν τῶν ἀδελφῶν προτρεπόμενοι σωτηρίαν, καὶ πάνθ' ὑπὲρ αὐτῆς ποιεῖν αὐτοὺς ἀναπείθοντες, μηδὲν ὑπειδο-

μένους τῶν ἄλλων· καὶ τοῖς ἐρωτῶσι, τί τῶν τοσούτων κινδύνων καὶ πόνων, ἐφ' οὓς προκαλεῖσθε, σφίσιν ὄφελος ἔσται, τὴν τῆς ἐκκλησίας ἀποκρίνεσθαι δόξαν, καὶ τὸ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν τοὺς φιλονείκως ταύτης ἀφισταμένους· ὑφ' ὧν τοὺς νοῦν ἔχοντας κινηθέντας, τοὺς μὲν εἰσενέγκασθαι χρήματα, τοὺς δ' ἀπὸ τῶν ἐσχάτων τῆς γῆς μεθ' ὅσης οὐδ' εἰπεῖν ἐστιν ἡδονῆς ἐνταῦθα παραγενέσθαι, τῶν οὕτω καλῶν ἐλπίδων θεμένους ἅπαντα δεύτερα. οὐ γὰρ ἵνα τῷ βασιλεῖ τῶν Ῥωμαίων ἐξῇ τὸν ὑπόλοιπον εὐδαιμόνως βίον ἀνύειν, καὶ τοῦ παρὰ τῶν πολεμίων ἔξω δέους ἑστάναι, καὶ τοῖς ἐν Κωνσταντινουπόλει πᾶσιν αἱ τῶν χρημάτων πλεονάσωσι πρόσοδοι, Ἴβηράς τε καὶ Ῥώσσους καὶ τοὺς ἀπὸ τῶν ἄλλων γενῶν ὑπακοῦσαι κληθέντας εἴποιμεν ἄν· τούτων γὰρ ἔνιοι καὶ ταπεινοτέρους ἂν εὔξαιντο Ῥωμαίους ἰδεῖν, οὐχ ὅπως ἐκείνοις γένοιτό τι καλὸν, αὐτοὶ πονεῖν καὶ κινδυνεύειν ἀνάσχοιντο. καὶ Γαλλοὺς δὲ οἶμαι καὶ Κελτοὺς καὶ τῶν ὑπὲρ τὰς Ἄλπεις τοὺς πλείους οὐδὲν μέγα ποιεῖσθαι τὴν τῶν Ἰταλικῶν πραγμάτων κατάστασιν· μηδ' εἰ Ῥώμην ἤ τινα τῶν πόλεων ὁ πάπας οἰκήσει καλῶς σφόδρα μέλειν αὐτοῖς, ὥσθ' ὑπὲρ τούτων καὶ χρήματα δοῦναι καὶ πόνων ὑπεριδεῖν, καὶ καθάπερ ἐπὶ βασιλείας μέθεξιν καλουμένους, οὕτω μετὰ πολλοῦ τοῦ γήθους ἕκαστον τρέχειν. ἀλλ' οὐδὲν ὡς ἔοικεν οὔτ' ἀληθείας ἥδιον ἀνθρώποις νοῦν ἔχουσιν, οὔτε τῆς τῶν ἀδελφῶν σωτηρίας ἀναγκαιότερον τοῖς γε θεὸν καὶ τὰς ἐκείνου ψήφους εὐλαβουμένοις· οὐδ' ἔστιν ὑπὲρ οὗ μᾶλλον βουληθείη τις ἂν καὶ τὴν αὑτοῦ προέσθαι ψυχὴν, ἢ τοῦ τὴν ἐκκλησίαν ἰδεῖν ἑνωθεῖσαν καὶ γαλήνης εἰλικρινοῦς ἀπολαύσασαν. ταῦτα τοίνυν ἐπαγγειλάμενοι, καὶ ταῖς τούτων ἐλπίσι τὰς ἁπάντων ψυχὰς γοητεύσαντες, πράγματι δυσχερεστάτῳ μεθ' ἡδονῆς ἐπιχειρεῖν ἀνεπείσατε. ταύτας αἰτήσουσι καὶ μάλα δικαίως τὰς ὑποσχέσεις· καὶ μηδὲν τοιοῦτον εὑρόντες, ἐξηπατῆσθαί τε νομιοῦσι, καὶ τὰ τῶν ἠδικημένων βοήσουσιν. εἰ δὲ καὶ τοὺς ἐνταῦθ' ἀφιγμένους μηχανῇ τινι καὶ πάλιν πείσετε μηδὲν ἀντιλέγειν, τούς γε πεπομφότας αὐτοὺς ἄρχοντας οὐκ οἶδ' ὅπως ἀγνοῆσαι μὲν τὰς ὑποσχέσεις ἐκόντας, χάριν δ' ὑμῖν ὑπὲρ τῶν πεπραγμένων εἰδέναι, τοὺς δὲ ταῦτα συγκαταπράξαντας πρέσβεις αὐτῶν ἐπαινεῖν, καὶ τιμᾶν ἐπανελθόντας ποιήσεται. μηδὲ καλῆς οὕτω καὶ γενναίας ἀμελητέον παρασκευῆς,

μηδ' ἐγκλημάτων ἀφορμὰς τὰς ὑποσχέσεις ἐκείνας δεικτέον· τοὐναντίον δὲ μᾶλλον κατὰ τῶν ἴσως ἀντιλέγειν πειρασομένων αὐτὰς φυλακτέον. εἰ γὰρ ὑπὲρ εἰρήνης ἀληθοῦς ἦν καὶ τῆς τῶν ἀδελφῶν σωτηρίας ἥθ' ἡμετέρα κλῆσις ἥτ' ἐκείνων ὑπακοὴ, οὐκ ἂν εἴη δίκαιον δυσχεραίνειν κατὰ γνώμην ταῦτα προβαίνοντα· μηδ' εἰ τοὺς ἀδελφοὺς ἐβούλοντο σώζειν ἑκάτεροι τὴν ἀληθῆ διδάσκοντες δόξαν, τὴν αὐτῶν αὐτοὺς ἀπαναίνεσθαι σωτηρίαν, ἵνα μὴ δόξωσιν ὑπὸ τῶν ἀδελφῶν ὠφελεῖσθαι καὶ ὅπερ ἐν τοῖς ἄλλοις ἐμέμψαντο πρὸς τὴν ἀλήθειαν φιλονεικοῦσιν ἐναργῶς δεικνυμένην, τοῦτ' αὐτοὺς ἀνέχεσθαι πάσχοντας. μᾶλλον δ' εἰ δεῖ τἀληθῆ λέγειν, ἂν μόνον εὐθὺς ἐξ ἀρχῆς τῆς ἀληθείας πεφροντικότες φανῶμεν, καὶ θεὸν συνεργὸν εἰληφότες ταύτην ἀνεύρωμεν, τῶν τῷ ψεύδει συνηγορούντων λογισμῶν ἁπάντων ἀνατραπέντων, οὔτ' εἰς τοσαύτην ἀναισθησίαν οἶμαί τινα τῶν ἁπάντων ἐλάσειν, ὥστε ταῖς τοῦ θεοῦ καὶ ταῖς ὑμετέραις ψήφοις καὶ τῷ φωτὶ τῆς ἀποδείξεως ἀντιλέγοντα τοῖς ἀνηνύτοις ἐπιχειρεῖν, οὔθ' ὑμᾶς πρὸς τὸ πείθειν ἐκεῖνον λόγων δεήσεσθαι, τῇ τῶν οἰκουμενικῶν συνόδων ῥάβδῳ χρωμένους, ἣν κἀκεῖναι τοῖς οὕτω θρασυνομένοις ἐπανετείναντο. Ἀλλ' ἀδύνατον ταύτην τὴν ἕνωσιν ὁρῶμεν οὖσαν ἴσως ἐροῦσί τινες, καὶ βέλτιόν ἐστιν ὁπωσοῦν εἰρηνεύειν, ἢ τὰς μὲν ἀκριβεῖς διαλλαγὰς μὴ δυναμένους εὑρεῖν, τῶν δ' ἐνδεχομένων ὑπεριδόντας, κενοὺς καὶ μηδὲν εἰργασμένους τὸ σύνολον ἀπαλλάττεσθαι. ἐγὼ δὲ πρῶτον μὲν οὐδ' ἡγοῦμαι δεῖν ἀδύνατόν τι τῶν πραγμάτων ἢ δυσχερὲς ἀποφαίνεσθαι, πρὶν ἄν τις καὶ λάβοι πεῖραν ἐκείνου, τὸ πρέπον ἅπαν πεποιηκώς· μικροψυχίας γὰρ τοῦτ' ἂν εἴη τεκμήριον, καὶ τοῦ μὴ βούλεσθαι τὰ μεγάλα πράττειν τῶν ἔργων, οἷς ἡ δυσχέρεια σύνεστιν. ὑμῶν δὲ πολλὰ μὲν ἄξια λόγου καὶ σοφίας καὶ ἀρετῆς ἀπόδειξιν ἔχοντα καθ' ἡμέραν ἀκούω λεγόντων, τῶν δὲ τῆς ἐπὶ τὴν τοιαύτην εἰρήνην ἁψαμένων ὁδοῦ, καὶ τοὐλάχιστον πεποιηκότων, ἐξ ὧν οὐκ ἔστιν ὡς ἀδυνάτου ταύτης παντελῶς ἀπογνῶναι, οὔπω καὶ τήμερον ᾔσθημαι· ὁ γὰρ τῆς οἰκονομίας σκοπὸς, καὶ τὸ πάντα συγκαλύψαι τῷ τῆς εἰρήνης ὀνόματι βούλεσθαι, ὡς ἔοικεν ἀπάγει τούτων ὑμᾶς. ἐῶ γὰρ ὅτι καὶ ταῖς παροιμίαις ἁπάσαις τῶν ἀδυνάτων ὑπάγεσθαι κινδυνεύομεν, ἐὰν ἀληθῶς ἀδύνατον ᾖ. φανούμεθα γὰρ ἀδυνάτων πάντες ἐπιθυμήσαντες, εἰ μὴ προφάσεις ἄλλως καὶ εἰρωνεία

τις ἦν τὰ περὶ τῆς θαυμαστῆς εἰρήνης ᾀδόμενα. ὥστ' εἰ καὶ καθάπαξ ἀδύνατον ἦν, καὶ μηδέν τι τοιοῦτον πεπραχότες ὅλως ἐμέλλομεν ἀπιέναι, οὐχ ὁρῶ τὴν ἐκ τοῦ τἄλλα πράττειν ὠφέλειαν, ἕως ἂν αὐτὰ μὴ τῷ τῆς ἑνώσεως τιμῶμεν ὀνόματι. εἰ γὰρ διὰ φιλίαν ἁπλῶς ἢ κοινωνίαν ἢ χορηγίαν χρημάτων ἢ κατὰ τῶν πολεμίων βοήθειαν ἢ βεβαίωσιν τῶν ὁτουδήτινος πραγμάτων πρότερον κλονουμένων, ἢ τῶν τοιούτων τινὰ προσηγοριῶν αὐτῆς ἐπεθυμήσαμεν, εὔλογον ἂν εἴη τούτων γοῦν ἀπολαῦσαι βούλεσθαι τοὺς τῶν μεγίστων διαμαρτόντας, καὶ τῆς μὲν εἰρήνης οὐ τετυχηκότας ἀλγεῖν, ταῖς δ' ἐκ τῶν ἄλλων πραγμάτων ὠφελείαις τὴν ἐκεῖθεν λύπην ἀμῆ γέ πη παραμυθεῖσθαι. εἰ δ' ἕνωσιν ἐκκλησιῶν καὶ εἰρήνην καλέσομεν, ὥσπερ εἴ τις ἐν ψύχει τὸ ταῖς χιόσι βάλλεσθαι καὶ τοῖς ὄμβροις, διότι τις αὐτῷ παρέχει χρήματα, θερμαίνεσθαι λέγοι, οὐκ οἶδα τίς ὑπὲρ τοιαύτης εἰρήνης θύειν βουλήσεται· καὶ τὰ πράγματα ἐπὶ τῆς προτέρας ἀμφιβολίας ἱστάμενα καὶ πείθοντα σκυθρωπάζειν ἀφεὶς, τοὔνομα τῆς εἰρήνης εὐθυμίας λήψεται πρόφασιν, καὶ νομιεῖ τινος τῶν ἐλπισθέντων τυχεῖν ὥστε τῷ μὲν μηδὲ πρὸς ἄλλο τι καθάπαξ ἰδεῖν, ἡ τῆς τῶν ἀμηχάνων ἐπιθυμίας, αἰσχύνη πρόσεστι μόνον· τὸ δ' ἕνωσιν ἐπαινοῦντας κομίζειν οὐδὲν ἔχουσαν πλέον τῆς πρόσθεν διαφορᾶς, καὶ τῷ ταύτης ἐμπανηγυρίζειν ὀνόματι, δευτέρας καὶ χείρονος ἀπάτης ἔχει κατηγορίαν, καὶ τοῦ πρώτους αὐτοὺς ὑφ' αὑτῶν ἐξαπατωμένους καὶ τοὺς ἄλλους θέλειν ἐξαπατᾶν. οὐ μὴν ἀλλ' ὅπερ ἡγοῦμαι μόνον ἀρκέσειν πρὸς τοὺς ἐκεῖνα ἀντιτιθέντας, τἄλλα πάντα ἀφεὶς, καὶ βουλόμενος ἤδη παύειν τὸν λόγον, τοῦτο βούλομαι λέγειν· Ἀδύνατόν ἐστιν, ἀδύνατον, ὦ πατέρες σεβάσμιοι, τὴν εἰρήνην ἐκείνην ἀδύνατον εἶναι, εἴπερ τὸ πολλάκις γεγενημένον οὐδεὶς ἀδύνατον λέγει. τοιαύτη δ' ἕνωσις ἑπτάκις πέπρακται ἤδη· καὶ ὑμεῖς τῶν ἐκείνας διαπραξαμένων συνόδων οὐδεμιᾶς κατ' οὐδὲν ἐλάττους ἐστέ. δυσχερῆ μέντοι καὶ λίαν εἴποιμ' ἂν εἶναι· ἀλλὰ μεγίστην τε καὶ ποθεινοτάτην, καὶ ἅ τις ἂν ἀπεύξαιτο πάντα νικῶσαν, καὶ πολλῶν ὑμῖν στεφάνων αἰτίαν γενησομένην, καὶ ὑπὲρ ἧς ἀποδημίαι μακραὶ καὶ πόνοι καὶ κίνδυνοι καὶ χρήματα καὶ πάντα δὴ τὰ τοιαῦτα καταπεφρόνηται· καὶ δυσχερῆ μὲν ὁμοίως φανεῖσαν καὶ ταῖς ἄλλαις συνόδοις ἀλλ' ὅμως οὐκ ἀπέσχοντο διὰ τοῦτο ποθῆσαι ταύτην καὶ κατα-

φράξασθαι πρὸς θεοῦ. εἰ δέ τις ἀδύνατα τὰ πολλὴν δυσκολίαν ἔχοντα λέγοι, οὐ δεῖ τούτῳ προσέχειν. ὅτι δὲ τὸ μίαν τινὰ τὴν ἀληθῆ περὶ τῶν προκειμένων συμπεράνασθαι δόξαν, καὶ παῦσαι τὴν ἐκκλησίαν θεοῦ περὶ τῶν τηλικούτων ἀμφιγνοοῦσαν καὶ πρὸς ἑαυτὴν σχιζομένην, οὐχ ὅπως ἀδύνατον ἀλλ' εἴπερ ἄλλοτέ ποτε καὶ νῦν εὐχερὲς, δῆλον αὐτόθεν τοῖς γε ἄνευ πάθους λογιζομένοις. εἰ μὲν γὰρ οὐκ ἦν ἡμῖν ἐκ τῶν ὁμολογουμένων πολλὰ πρὸς τὴν περὶ τῶν ζητουμένων ἕλκειν ἐξέτασιν, ἀλλ' ἔδει τῶν οὔπω φανερωθέντων εὑρετὰς ἡμᾶς γίνεσθαι, καθάπερ στοχαζομένους τῆς ὑπερφυοῦς ἀληθείας· καὶ εἰ* κακοῖς τισιν ἡμετέροις οὐκ ἦν λύειν τὴν ἀμφισβήτησιν, οὐδ' οὕτως ἂν ἦν παντάπασι δυσχερὲς, τὸ μάλιστα τῇ πίστει συμβαῖνον καὶ μηδαμοῦ προσιστάμενον ἐκλεξαμένους, ὡς ἀληθεστέρῳ τούτῳ προσκεῖσθαι· εἰκὸς δ' ἦν τινας ἐνδοιάζειν καὶ τοὺς ἀνθρωπίνους φυλάττεσθαι λογισμοὺς ὡς ἐπισφαλεῖς, ἢ μηδὲ συμφωνεῖν ἀλλήλοις ἐθέλειν, τὰς ἑαυτῶν ὑπολήψεις ἑκάστους διαφυλάττοντας. ἐπεὶ δὲ τῶν εἰς ταῦτα φερόντων πλήρης μὲν ἡ θεία γραφὴ, γέμουσι δὲ τῶν ἁγίων οἱ λόγοι, καὶ τοὺς πλείστους διαῤῥήδην περὶ τούτων λέγοντας ἴδοι τις ἂν, καθάπερ ἐπίτηδες δικαστὰς ἡμῖν τῶν ἀμφισβητήσεων καθημένους, καὶ χαλεπόν ἐστιν ἀριθμεῖν ὁπόσα Γραικοὶ καὶ Λατῖνοι συνειλοχότες ἐκεῖθεν ὑπὲρ τῆς ἰδίας ἑκάτεροι δόξης προφέρουσι, τί χαλεπὸν, τὰ μὲν τῆς γραφῆς ὡς ἂν εἴη δίκαιον καὶ πρόσῆκον ἐξηγουμένους, μᾶλλον δὲ τοῖς ἐξηγησαμένοις ἄριστα πειθομένους, τοὺς δ' ἁγίους ἀλλήλοις συνάπτοντας, καὶ τοὺς μὲν ἐλάττους τοῖς πλείοσι, τοὺς δὲ σιγήσαντας τοῖς εἰποῦσι, τοῖς δ' ἀρχαιότητι διαφέρουσι τοὺς ὑστέρους, τοῖς δὲ σαφῶς ὁμιλήσασι τοὺς ἀσαφέστερον τῷ λόγῳ χρησαμένους προσθέντας, ὅπερ κἀπὶ τῶν πολιτικῶν ζητημάτων ἀξιοῦσιν οἱ νόμοι, καὶ ὃ κἂν αὐτοὺς οἶμαι ποιῆσαι πρὸς ἑαυτοὺς, εἴπερ οἷόν τ' ἦν εἰς ταὐτὸν συνελθόντας τὰς ἀλλήλων ἐπισκέψασθαι γνώμας, οὕτω δὴ καὶ ἡμᾶς ἀλλήλοις συμβῆναι, καὶ παύσασθαι τὸν ἡμέτερον πόλεμον ἐπὶ τοὺς τῆς εἰρήνης διδασκάλους διαβιβάζοντας; ἕως γὰρ ἂν ἡμεῖς στασιάζωμεν συμμάχους τὰς ἐκείνων ἐπαγόμενοι ῥήσεις, ἀδύνατον μὴ κἀκείνους τὸ καθ' ἡμᾶς κοινωνοὺς ποιεῖσθαι τῆς στάσεως. ταῦτ' οὐδεμίαν ἔχει δυσχέρειαν, εἰ μὴ μόνοις τοῖς φιλονεικεῖν βουλομένοις, καὶ τὰς ἰδίας μὲν προλήψεις φυλάττουσι,

* ἴσ. εἰ μή.

δι' ὧν δ' ἂν γένοιτο τῆς ἀληθείας τυχεῖν, τούτων οὐδὲν ὅλως προσηκμένοις· ὧν καταφρονεῖν τοὺς τῆς ἀληθείας ἐπιθυμοῦντας πέφυκε δίκαιον, ἀλλ' εἰ καὶ δυσχερῆ ταῦτ' ἦν ἄντικρυς, καὶ μηδέποτε πρὸ ἡμῶν ἑτέροις μήτε σπουδασθέντα, μήτ' ἀνυσθέντα, τήν γε παρὰ τοῦ πνεύματος συμμαχίαν οὐκ εὔλογον ἀπελπίζειν, ᾧ καὶ κατὰ τῶν ὡς ἀληθῶς ἡμῖν ἀδυνάτων ὑπερβάλλουσα πρόσεστι δύναμις· ἀλλὰ πιστεύειν ἐκεῖνο τῶν πόνων ὑμᾶς καὶ τῶν κινδύνων ὧν ὑπέστητε κατοικτίσαν, καὶ τὸν σφοδρὸν ἐν ὑμῖν τῆς ἀληθείας πόθον ἀποδεξάμενον, ἀρκοῦσαν παρ' ἑαυτοῦ προσθήσειν ῥοπήν. εἰ γὰρ τοὐναντίον μὴ προχειρότατα ἦν, ἐκεῖθεν τὴν τοῦ κατορθώσειν δύναμιν ἐλπίζειν προσῆκεν, οὗ χωρὶς οὐδὲν ἀνύειν ἐστίν. αὐτοῦ τοίνυν γένοιτ' ἂν ἔργον, τό τε μάλιστα συνοῖσον ἡμᾶς ἑλέσθαι, καὶ ὡς ἐλάχιστα πεπονηκότας αὐτὸ καταπράξασθαι.

Τοῦ αὐτοῦ λόγος δεύτερος, ἐν ᾧ ἀναιρεῖται τὰ κωλύματα τῆς τοιαύτης εἰρήνης.

Πρῶτον μὲν ὦ πατέρες σεβάσμιοι, χάρις θεῷ τῆς θ' ὑμετέρας περὶ τὰ καλὰ προθυμίας, δι' ἣν τοῖς ἀγαθόν τι λέγουσι προσέχειν ἀξιοῦτε τὸν νοῦν, οὐκ αὐτοὺς τοὺς λέγοντας ἐξετάζοντες, τὴν δὲ τῶν λόγων ἐπισκεπτόμενοι δύναμιν· τῆς τε περὶ ἐμὲ φιλανθρωπίας αὐτοῦ· ἧς ἔργον τὸ γνώμης ἐπιτυχεῖν καὶ τοσούτοις ἀρέσαι πατράσι γέγονεν ἄντικρυς. οὔτε γὰρ ὑμῖν τῆς ἐν τῷ καλῷ συμφωνίας καὶ τοῦ πάντων ἁπλῶς λογισμῶν τὸ συμφέρον καὶ τὴν εἰρήνην, ὑπὲρ ἧς ἥκομεν σκεψόμενοι προτιθέναι, οὐθ' ἑνί τινι περὶ τηλικούτων γνώμην εἰσφέροντι, τοῖς πᾶσι δόξαι δίκαια λέγειν, ἄλλο τι πλὴν τῆς ἐκεῖθεν ῥοπῆς νομίζειν ἔξεστιν αἴτιον. ἔπειτα πρῴην οὐ μόνον ὅντινα τῆς εἰρήνης τρόπον ἡγοῦμαι λυσιτελέστερον ἔσεσθαι, ἀλλὰ καὶ δι' ὧν ἂν γένοιτο τούτου τυχεῖν, συμβουλεύσειν ἐπαγγειλάμενος, καὶ θάτερον ἀποδεδωκώς, νῦν ἥκω καὶ τὸ λοιπὸν τοῦ χρέους ἐκτίσων. καὶ οἶδα μὲν δυσχερεστάτης ὕλης ἁπτόμενος, κἂν συμβῇ μηδετέροις ὑμῶν ἢ τοῖς ἑτέροις μόνοις τοὺς λόγους ἀρέσκειν, κίνδυνον οὐκ ὀλίγον ἐχούσης τῷ ταύτην ὑφισταμένῳ· ἀλλ' ὅμως τὸ μὲν τολμῆσαί τι περὶ ταύτης εἰπεῖν, οὐ μᾶλλον θράσους καὶ προ-

πειθοῦς ἢ τῆς ἀγαθῆς ἐλπίδος δόξειν ἅπασιν οἶμαι· ἂν ἐκ τῶν προτέρων λαβόντα, εὔλογόν ἐστι κἀπὶ τῶν παρόντων διαφυλάττειν, καὶ ταύτην προβαλλόμενον αὖθις ἐπιχειρεῖν· τῆς δ' ἀπὸ τοῦ μηδετέροις ἀρέσκειν ἢ τοῖς ἑτέροις φαίνεσθαι φορτικὸν ἀηδίας συμβησομένης, πρῶτον μὲν τὸ τῆς ἀληθείας χάριν αὐτῆς ἀνασχέσθαι καὶ τοῦ φαινομένου καλοῦ, ἀρκοῦσαν ὑπάρξειν ἡγοῦμαι παραμυθίαν· ἔπειθ' ὅτι καὶ τῶν ὑμῖν ὕστερον ἀρεσάντων ἔσομαι κοινωνὸς, καὶ τὸ περὶ τούτων ἄλλο τι πρότερον πεφρονηκέναι πρὸς τὸ ταῖς ὑμετέραις τίθεσθαι ψήφοις οὐδὲν ἐμπόδιον ἔσται· ὥσθ' ἡγοῦμαι τὰ δίκαια ποιοῦντας ὑμᾶς ἢ μηδὲ τὴν ἀρχὴν, ἄν τι τῶν οὐχ ὑμῖν ἀρεσκόντων φαίνωμαι λέγων, δυσχεραίνειν, πρὸς τὴν γνώμην ἀποβλέποντας μᾶλλον, ἢ καὶ μετὰ ταῦτ' ἀντιλέγειν * ἀξιοῦντι μηδὲ θέλοντι τοῖς ἐγνωσμένοις ἐμμένειν, καὶ ταῦτ' ἀντὶ τῶν ἅπασι δοκούντων αἱρεῖσθαι, συγγνώμης τε μεταδώσειν καὶ λύσειν τὴν ἀηδίαν. τούτους ἐγὼ τῷ τῆς ὑποθέσεως ἐργάδει τοὺς λογισμοὺς ἀντιτάξας, καὶ πρὸ πάντων τὴν ὑμετέραν προστησάμενος εὔνοιαν, ᾗ θαρροῦντα δεῖ τι καὶ παρακινδυνεύειν, καὶ ἣν προσήκει διαφυλάττοντα τοῖς χαλεπωτάτοις ἐπιχειρεῖν, τὰς δευτέρας ὑποσχέσεις ἀποτίσαι πειράσομαι, ὧν ἄνευ οὐδὲν ἂν ἐκ τῶν προτέρων μήτε λέγοντος ταῦτα μήτε πείθοντος ὄφελος εἴη. Πολλὰ μὲν οὖν τὰ τὴν θαυμαστὴν ταύτην εἰρήνην εὐχερῆ καὶ ῥᾳδίαν ἡμῖν, ἂν βουληθῶμεν μόνον, δείξοντα πέφυκεν· οὐκ ὀλίγων δὲ γέμουσαν ἐναντιωμάτων αὖθις ἐστιν ἰδεῖν τοῖς μὴ καθαρῶς ἐπισκεπτομένοις· ἃ οἶμαι περὶ τῶν κωλυόντων πρῶτον εἰπὼν καὶ ταῦτ' ἐξορίσαι ὡς πορρωτάτω τῶν ὑμετέρων ψυχῶν. ἥδοισθε γὰρ ἂν καὶ αὐτοὶ τῶν τοῖς καλοῖς ἐπιβουλευόντων λογισμῶν γενναίως ἐλαυνομένων καὶ πρὸς τὰ ποιοῦντα ταύτην εὐκολώτερον βαδιεῖσθε, καθάπερ ἐν ὁδῷ τινι τῶν ἐν αὐτῇ δυσκόλων ἀφαιρεθέντων. ἀνάσχεσθε δὲ μικρὸν λαμβάνοντος ἄνωθεν. Τὸ μὲν οἰκονομικήν τινα καὶ φαινομένην ἕνωσιν καταπράξασθαι, τῶν ἀμφισβητουμένων ὡς ἔχει τέως μενόντων, οὔτε συμφέρον οὔτ' εὐπρεπὲς ἐδείξαμεν ὄν, ἀλλ' ἀνάξιον μὲν τῆς ἡμῶν ἀρετῆς, πόῤῥω δὲ τῆς ἡμετέρας προσηγορίας· καὶ τῷ πνεύματι μὲν ἥκιστ' ἀρέσκον, ὑφ' οὗ καὶ συνῆχθαί φαμεν, οὐκ ὀλίγας δὲ τὰς παρὰ τῶν ἀνθρώπων μέμψεις ἐπάξον ἡμῖν· πρὸς δὲ τούτοις οὔτε ταῖς ἀγαθαῖς ἐλπίσι συμβαῖνον ὑφ' ὧν κεκινήμεθα τὴν ἀρχὴν, οὔτε τῇ διὰ πάντων

* ἴσ. ἀντιλ. μὴ ἀξιοῦντι, καὶ θέλοντι τοῖς ἐγν. ἐμμ. καὶ μὴ ταῦτα κτλ.

παρασκευῇ προσῆκον ἢ καὶ πρὸς ἄλλο τι μεῖζον, εἴπερ ἦν, τοῦ παρόντος ἤρκεσεν ἄν· καὶ χείρονος πολέμου καὶ μάχης ἄρξον μετὰ ταῦτα Χριστιανοῖς· τὴν δὲ τῆς ἀληθείας εὕρεσίν τε καὶ ζήτησιν καὶ τὴν ἀπ' αὐτῆς τοῦ ψεύδους τομὴν, μόνην ἀληθῆ καὶ τελείαν ἕνωσιν εἶναι, καὶ πάντων μὲν ἐλαττωμάτων ἀπηλλαγμένην, καλοῦ δὲ παντὸς γέμουσαν, καὶ πρὸ πάντων θεοφιλῆ, οὗ μάλιστ' ἐν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις πρέπει στοχάζεσθαι. αὕτη δ' ἂν γένοιτο, ἢ Λατίνων τὴν προσθήκην ἀτιμαζόντων, καὶ παυομένων μετὰ ταύτης τὴν πίστιν ὁμολογεῖν, ἢ καὶ τῶν Γραϊκῶν αὐτὴν προστιθέντων ὡς ἀναγκαίαν. μᾶλλον δ' εἰπεῖν, τὰ μὲν τῆς ὁμολογίας ἕπεσθαι δεῖ, τὴν δὲ τῆς καρδίας πίστιν ἡγεῖσθαι, καὶ πρὸς αὐτῇ παγῆναι πρώτῃ τὴν γνῶσιν τῆς ἀληθείας καὶ τὴν ἐν αὐτῇ πάντων ἕνωσιν. οὐκοῦν ἢ Λατίνους ἀγνοῆσαι παντελῶς ἣν ἐφρόνουν κατάφασιν, καὶ παρὰ μόνου τοῦ πατρὸς πιστεύειν εἶναι τὸ πνεῦμα, ἢ Γραϊκοὺς καὶ ἐκ τοῦ υἱοῦ φρονεῖν ἐκεῖνο δεήσει· ἄλλος γὰρ οὐχ ὑπολείπεται τρόπος τοῖς γε κατ' ἀλήθειαν ἀλλήλοις συνδεῖσθαι θέλουσιν. ἐπεὶ νῦν ἐν ἀντιφάσει τούτων ἡ πίστις, ἧς οὐδέν ἐστιν εὑρεῖν μεταξὺ, ἀλλ' ἀνάγκη θάτερον αὐτῆς ἀμφοτέρους μέρος ἀπωσαμένους, τοῦ λοιποῦ καὶ ἀμφοτέρους ἔχεσθαι μόνου· εἶτα τὴν πίστιν ἀπὸ καρδίας ἐπὶ τὰ χείλη προάγοντας, διὰ τούτων ἐπὶ σωτηρίᾳ ταύτην ὁμολογεῖν, καὶ οὕτως ὑπὸ μίαν καθολικὴν ἐκκλησίαν πάντας τελεῖν, ἣ τὴν τῆς ἀληθοῦς ὁμολογίας καὶ δόξης δηλοῦν ἑνότητα βούλεται. ταύτην ἐγὼ τὴν ἀληθινὴν ἕνωσιν ὑπάρχειν ὁρίζομαι, ἣν εἰσηγησάμην μὲν πρώην αὐτὸς, ἔπεισα δ' ὑμᾶς οὐκ ἂν εἴποιμι, καὶ πάλαι πεπεισμένους ὑφ' ἑαυτῶν μᾶλλον δ' ὑπὸ τοῦ πνεύματος τοῦτ' εἶναι τὸ καλόν τε καὶ δίκαιον διδαχθέντας. ἀλλὰ ταύτην τοὺς πολλοὺς ἡ τῆς μεταβολῆς αἰσχύνη δυσχεραίνειν ποιεῖ. καὶ τῶν μὲν Λατίνων ἀκούω λεγόντων, ὡς δεινὸν ἂν εἴη τῆς δόξης ταύτης τοσούτοις ἔτεσιν ἐχομένους, καὶ πιστεύοντας μὲν αὐτοὺς, κἂν τῷ τῆς πίστεως ὁμολογοῦντας συμβόλῳ, διδάσκοντας δὲ τοὺς ἄλλους μετὰ σπουδῆς, κἂν τοῖς συγγράμμασιν ὥς τι τῶν πρὸς τὴν σωτηρίαν ἀναγκαιοτάτων ταύτην κυροῦντας καὶ λόγοις ἀποδεικνύοντας, νῦν ὥσπερ τινὰς παῖδας τὴν ἀλήθειαν ὑπ' ἄλλων δεδιδαγμένους αὐτῶν καταγνῶναι· καὶ παθεῖν μὲν πρώτους αὐτοὺς τὸ δεινὸν, μεταδοῦναι δὲ τῆς αἰσχύνης τοῖς μετὰ ταῦτα, τῶν δὲ

τῆς ἀγνοίας καὶ τυφλώσεως ἐγκλημάτων καὶ τοὺς πρὸ ἡμῶν πάντα ποιήσασθαι κοινωνούς, ἐν οἷς πολλοὶ τοῦ τῆς ἀγιωσύνης ὀνόματος ἔτυχον· καὶ τοσαύτην ἀδοξίαν τῆς Ῥωμαϊκῆς καταχέαντας ἐκκλησίας οἴεσθαί τι κατωρθωκέναι· καὶ τὸ δὴ χείριστον ἄδηλον εἶναι, πότερον ὡς ὑπὲρ ὀρθοδόξων εὔχεσθαι δεῖ τῶν ἡμετέρων προγόνων, καὶ τὰς ὀφειλομένας αὐτοῖς ἀφοσιοῦσθαι τιμάς, ἢ ὡς αἱρετικῶν καὶ τῷ ψεύδει συμβεβιωκότων καταφρονεῖν, τὴν αὐτῶν σωτηρίαν ἀπογινώσκοντας, καὶ τὴν πρὸς ἐκείνους σχέσιν ἀρνεῖσθαι. εἰ μὲν γὰρ ἐπιστεύομεν μόνον καὶ ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, μὴ προσῆν δὲ καὶ ἡ τῆς γλώττης ὁμολογία, ἀνεκτὸν ἂν ἦν δόξαν δόξης ἀντιλαβεῖν· ἐνδέχεται γὰρ καὶ ἄλλο τι τῶν οὐ καλῶν μετὰ τὸ σχίσμα δοξάσαντας ἑκατέρους, νῦν ἀποθέσθαι τοῦτο παρ' ἀλλήλων ὠφεληθέντας, καὶ τὴν αἰσχύνην μὴ προσεῖναι τῇ μεταθέσει, ἅτε μηδετέρων ὡς ἀκίνητόν τι καὶ πρὸς τὴν σωτηρίαν ἀναγκαῖον ἐγνωκότων διαφυλάττειν, οὗ σημεῖον τὸ μηδ' ἐν τῇ τῆς πίστεως ὁμολογίᾳ τοῖς οὕτως ἔχουσιν αὐτὸ συνομολογεῖν. ἐπεὶ δὲ τὴν τῶν ἀκινήτων δογμάτων τῆς πίστεως παρ' ἡμῶν ἀπείληφε τάξιν, καὶ πάσης ἄνευ ἀμφιβολίας τοσούτοις ἤδη χρόνοις κηρύττεται, ὡς μηδ' εἰδέναι δύνασθαι σχεδὸν ἀκριβῶς μήτε τοὺς προσθέντας, μήθ' ὑφ' ὧν πρὸς ταῦτα ἐκινήθησαν, ἀλλ' ἄλλους ἄλλο τι διηγεῖσθαι, τίς ἂν ἀνάσχοιτο τοῦτο κινεῖν, μὴ πρότερον ἀδοξίαν ἐσχάτην καὶ τὸ γέλως ἅπασιν εἶναι καταδεξάμενος; οὐδεμία γὰρ ἂν αἰσχύνη γένοιτο μείζων τοῦ μαρτυρεῖν ἡμῖν αὐτοῖς τὴν ἀπάτην, καὶ τὴν μακρὰν τοῦ ψεύδους ὁμολογίαν· καὶ ταῦτα σοφίᾳ καὶ λόγων δεινότητι διδασκάλους ἄλλοις τῆς ἀληθείας γίνεσθαι δυναμένους. Λατίνους μὲν ταυτὶ πυνθάνομαι λέγειν. τοὺς δὲ Γραϊκοὺς οἶμαι σφόδρα τὴν τῆς φιλονεικίας δόξαν φυλάττεσθαι, καὶ αὐτοὺς ἐπὶ σοφίᾳ φρονοῦντας· καὶ νομίζειν αἰσχρὸν ἂν φανῶσι τοσοῦτον χρόνον ληροῦντες, καὶ τὴν ἀληθεστάτην δόξαν ἐλαύνοντες, καὶ τὴν τῶν ἀδελφῶν παραιτούμενοι κοινωνίαν· ἐξ οὗ δὴ καὶ πολλῶν δεινῶν πειραθῆναι σφίσι συνέβη, πρὸς τὸν τῆς ἀπιστίας κατακλυσμὸν ἄνευ συμμάχων πολεμεῖν ἀναγκαζομένοις. κοινῇ δ' ἀμφοτέρους ἡγοῦμαι τὴν ἀπὸ τῆς ἥττης αἰσχύνην ἐκτρέπεσθαι, ἣν τῷ τε μαθεῖν τὴν ἀλήθειαν καὶ τῷ τὸ ψεῦδος ἀπομαθεῖν νομίζουσι συνεζεῦχθαι· ἑκάτεροι γάρ, ὥς ἐστιν ὁρᾶν, ἐπὶ ταῖς τοῦ διδάξαι μᾶλλον τοὺς

ἄλλους καὶ σφίσι δεῖξαι συμφώνους ἦλθον ἐλπίσιν. ἐγὼ δὲ τὴν μὲν φαινομένην αἰσχύνην ἥκιστα ἂν φαίην Γραϊκοὺς ὑπολογίζεσθαι δεῖν ἐπὶ τῷ μὴ παραδέχεσθαι δόξαν ἤδη πρῶτον εἰσαγομένην, κἂν ἀληθὴς ἔτυχεν οὖσα, καὶ ταύτην φιλονεικεῖν, τὸ γὰρ πιστεύειν τὸ ψεῦδός ἐστιν αἰσχρότερον, καὶ φιλονεικία ψευδοῦς ὁμολογίας ἔλαττον εἰς ἁμαρτήματος λόγον. καὶ Γραϊκοῖς μὲν ἔστιν εἰς τὴν ἀσφάλειαν τοῦ συμβόλου καταφυγεῖν, καὶ τὴν κοινὴν ὁμολογίαν ἑαυτῶν προβάλλεσθαι· ἣν, εἰ μηδὲν ἄλλο, βουλομένους σφᾶς αἰδεῖσθαι καὶ σώζειν φαῖεν ἂν μέχρι τοῦ φιλονεικεῖν. τοῖς δὲ Λατίνοις τὸ τῆς καινοτομίας ὕπεστιν ἔγκλημα· καὶ τὸ μόνους ἅψασθαι τῶν κοινῶν ἐφ' ἑαυτοῖς θαῤῥήσαντας, τὴν πλάνην σφίσι χείρω ποιεῖ. καὶ πολλοῖς ἄλλοις τρόποις ἔλαττον τὸ τῆς αἰσχύνης δέος τῇ τῶν Γραϊκῶν ὑπάρχειν ἡγοῦμαι μεταβολῇ, ὡς μηδ' αἰσχύνην ὅλως ἐξεῖναι ταύτην καλεῖν. ποῦ γὰρ αἰσχρὸν τὸ τῆς ἀληθείας ἀκριβῶς περιέχεσθαι, καὶ τοῖς κοινῇ δεδογμένοις ἐμμένοντας τὴν περὶ τῶν ἰδίᾳ τισὶν ἀρεσάντων ψῆφον συνόδῳ κοινῇ πάντων ἀνατιθέναι; καὶ μήθ' ἑαυτοῖς μόνοις μήτ' ἄλλοις ἄνευ αὐτῶν τὰ τοιαῦτα θέλειν πιστεύειν; τί δὲ καὶ δεινὸν ἐρεῖ τις, τὸ τὰ δέος ἔχοντα δεδιέναι; ἐδεδίεσαν γὰρ καὶ αὐτοὶ φωνὴν οὔπω πᾶσιν ἀρέσκουσαν ἐπαινεῖν, καὶ πρὸ τοῦ δοκιμάσαι ταύτην κηρύττειν. τοῦτο δὲ τὸ δέος λόγον ἔχον ἐστίν. ἐπεὶ μετ' ἀσφαλείας ἐπὶ τὰς περὶ Θεοῦ δόξας πρέπει χωρεῖν, ἅτε πολλῶν κινδύνων, καὶ μεγίστου τοῦ τὴν σωτηρίαν καθάπαξ ἀποβάλλειν, ἑπομένων τῇ προπετείᾳ. εἰ γὰρ μὴ τοῦτ' ἦν, ἀλλὰ τῆς δόξης παντάπασι κατεγίνωσκον, οὐδενὸς ἂν αὐτοῖς πρὸς ὑμᾶς ἐδέησε λόγου· ὥσπερ οὐδὲ τοῖς ἄλλο τι τῶν ἀνηκέστων φρονοῦσιν ἀνάσχοιντ' ἂν ὑπὲρ αὐτοῦ συζητεῖν. ἀλλὰ μὴν οὐδ' αἰσχρόν ἐστιν οὐδετέροις, ἀγνοοῦντας μαθεῖν, εἰ μὴ καὶ πᾶσαν ἀτιμάζειν μέλλομεν ἐπιστήμην· ἣν οὐκ ἔστι λαβεῖν μὴ πρότερον τὴν ἀντικειμένην ἀποβάλλοντας ἄγνοιαν· καὶ τῶν ὁτιοῦν ἐπισταμένων κατηγορεῖν, ὅτι μὴ τῆς ἀγνοίας ἔχεσθαι μέχρι παντὸς ἠβουλήθησαν, τὴν ἐκ τοῦ δόξαι μανθάνειν δεδιότες αἰσχύνην. τοὐναντίον γὰρ μᾶλλον αἰσχρὸν, ἅπαντ' εἰδέναι νομίζοντας, μηδὲ βουλομένους χάριν τινὶ τῆς ὠφελείας ὁμολογεῖν, μετ' ἀγνοίας ἀπαλλάττειν τοῦ βίου. πρὸς δὲ τούτοις ὑπὲρ ἀληθείας ὄντων ἡμῖν τῶν ἀγώνων, ἡδὺ μὲν δήπου μετὰ ταύτης νικᾶν· τὸ δὲ ταύτῃ εὑρίσκοντας ἡττᾶσθαι δοκεῖν,

πάσης αἰσχύνης ἀπήλλακται. τοὺς γὰρ τοῖς τῆς ἀληθείας ὅπλοις ἐνδιδόντας ἑτοίμως, καὶ φανείσῃ μόνον ὑπείκοντας, οὐδεὶς ἂν εἴποι νικᾶσθαι παρ' οὐδενὸς τῶν ἀνθρώπων, ὧν αἰσχρόν ἐστι καὶ χείρους ὀφθῆναι, ἀλλ' ὑπὸ τῆς ἀληθείας αὐτῆς, ὑφ' ἧς εὐχὴ πᾶσιν ἀνθρώποις ἐστὶ τὸ νικᾶσθαι. νικᾶν δὲ τὸ ψεῦδος αὐτοὺς καὶ μάλα δικαίως εἴποι τις ἄν, ἅτε μετὰ τῆς ἀληθείας ἐπιόντας τῷ ψεύδει, ᾧ τὸν πρόσθεν χρόνον ἐδούλευσαν. καὶ μὴν οὐδὲ τῷ δόξαν δόξης νουνεχόντως ἀλλάξασθαι, καὶ ὅλως πρὸς τἀγαθὸν ἐκ τοῦ χείρονος μεταβαλεῖν, αἰσχύνη τις πρόσεστιν· οὐ γὰρ ἡ τοῦ κακοῦ μετάθεσις, ἀλλ' ἡ τοῦ κακοῦ τήρησις τὸ αἰσχρὸν, ὡς εἶπέ τις, ἔχει. τοὺς μὲν οὖν Γραϊκοὺς διὰ ταῦτα φημὶ δεῖν ἐκ τοῦ πεισθῆναι Λατίνοις, ἂν ἀληθῆ λέγωσι, καὶ τοῦτο πᾶσι τρόποις ἐργάζεσθαι φανερὸν, μηδεμίαν ὑποψίαν ἔχειν αἰσχύνης, μηδ' εἵνεκα τούτου τὴν ἀληθῆ προΐεσθαι δόξαν· ἣν ὁμολογοῦντάς τε καὶ πιστεύοντας, καὶ ταύτῃ δι' ἀμφοτέρων τούτων συναπτομένους, ἀνάγκη τούς τε τῆς ὁμονοίας καὶ τῆς ἀληθείας μισθοὺς βεβαίως ἄνωθεν προσδοκᾶν. Λατίνοις δὲ, εἰ καί τινα τῶν εἰρημένων ὁρῶ σαθροὺς ἐκείνων δεῖξαι τοὺς λογισμοὺς, καὶ τὸ τῆς αἰσχύνης δέος οὐ παντάπασιν ἄλογον, καί τι πλέον τῶν ἄλλων αὐτοῖς εἰκότως ὑπὸ τούτων ταραττομένοις, κἀκεῖνα προσενθυμεῖσθαι δίκαιον, ὅτι τοὺς μὲν προγόνους οὐδὲν ἐκ τοῦ τὴν ἀλήθειαν φρονεῖν αὐτοὶ παραβλάψουσιν, εἰ μὴ καὶ μᾶλλον ὠφελήσουσιν, ἴσως ὑπὲρ ἀνθρώπων ἑαλωκότων τῷ ψεύδει, καί τι παθόντων ἀνθρώπινον, αὐτοὶ κατὰ καθαρᾶς καὶ ἀκιβδήλου δόξης εὐχόμενοι, καὶ τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων μισθὸν αἰτοῦντες παρὰ θεοῦ τὴν εἰς ἐκείνους φιλανθρωπίαν. καὶ τὰ ἐκείνων δὲ συγκαλύψαι κατὰ μικρὸν ὀνείδη δυνήσονται, ἅπερ ἔμελλον αὔξειν, ἧς ἐκληρονόμησαν ἐχόμεναι πλάνης, καὶ τὸ δεινὸν ἐν σφίσι διαφυλάττοντες. εἰ δὲ μὴ δόξης ἐπιθυμίᾳ καὶ τῷ βούλεσθαι πρωτεύειν τῶν ἀδελφῶν, καὶ τἀληθῆ καὶ δίκαια πᾶσιν ὁρίζειν, ἀλλ' ἔκ τινος ἐχούσης λόγον ἀνάγκης καὶ λογισμῶν ἡττηθέντες, ὧν οὐκ εἶχον ὑπερορᾶν, τὴν δόξαν ταύτην εἰσήνεγκαν, εἰκός ἐστι καὶ σιγώντων ἡμῶν αὐτοὺς φιλανθρωπίαν εὑρέσθαι καὶ θεοῦ τυχεῖν ἵλεω, ὃς καὶ τῶν χειρίστων ἁμαρτημάτων, ἂν οὐκ ἐξ ὁμοίας ἁμαρτάνηται γνώμης, φιλάνθρωπος γίνεται δικαστής· ὃ καὶ μᾶλλον ὑπὲρ τῶν ἀνδρῶν ἐκείνων ἔγωγε πείθομαι. οὐ γὰρ ἂν τοὺς ὀρθότητι

βίου τῶν ἄλλων διενεγκόντας καὶ πρὸ πάντων αὐτὸν ἀγαπήσαντας ἔδοξε ταῖς τῶν γνησίων ἀμείψάμενος δωρεαῖς καὶ τῷ τῶν μακαρίων καταλέξας χορῷ, μὴ πρῶτον αὐτοῖς τὰς ἐκ τῆς πλάνης ὀφειλομένας δίκας ἀφεὶς, αἳ δικαίως τοὺς ἑαλωκότας τῆς τῶν μακαρίων εἴργουσι λήξεως. ὅτι δὲ πολλοῖς τὴν ἁγιωσύνην καὶ ζῶσι καὶ τελευτήσασι μεμαρτύρηκεν ὁ θεὸς δι' ὧν εἴωθεν αὐτὴν μαρτυρεῖν, ἥ τε τῶν Λατίνων ἐκκλησία τιμῶσα τούτους καὶ σέβουσα δείκνυσι, καὶ Γραϊκοὶ πάντως ἂν συγχωρήσαιεν· οὐδὲ πλάνην φαῖεν εἶναι τὸ πρᾶγμα, καὶ μάτην ὑμᾶς ἐκείνοις τὴν τῆς ἁγιωσύνης δόξαν προσάπτειν, τῶν εἰς ταύτην ζητουμένων οὐδ' ὁτιοῦν αὐτοῖς συνειδότας. ὥστ' ἐλπίς ἐστι καὶ πάνυ βεβαία, μηδὲν αὐτοῖς πρὸς τὴν σωτηρίαν τὴν ἐν τῷ συμβόλῳ προσθήκην λυμανεῖσθαι, ὑπ' ἀνάγκης μόνον τινὸς καὶ λόγων δεικνύντων ταύτην ἀκίνδυνον προαχθεῖσι, μηδὲ τῶν ὑμετέρων εὐχῶν δεήσειν αὐτοῖς· καὶ πολλῷ μᾶλλον ἂν μὴ καὶ τὸ ὑμέτερον αὐτοῖς προστεθῇ, ἀλλὰ τὴν ἀλήθειαν ὑμῶν ἐπιγνόντων, μέχρις αὐτῶν μόνον τὸ παρὰ τοῦ ψεύδους βλάβος ἐκτείνηται, τὸν γὰρ ὑπὲρ σφῶν αὐτῶν, οὐχὶ δὲ καὶ τῶν ὑμετέρων ψυχῶν ὀφλήσουσι λόγον· ὃς εἰκός ἐστιν αὐτοῖς ἀφεθῆναι, εἰς ἐλάττους τὴν τῆς κακοδοξίας λύμην ἐκχέασιν. ἀλλ' εἰ καὶ μὴ παντελῆ τῆς δίκης ἀπαλλαγὴν, ἀνάψυχὴν γοῦν τινα καὶ παραμυθίαν αὐτῆς ἡ τῶν ἐκγόνων οἴσει διόρθωσις, φροντίζουσι δήπου περὶ ὑμῶν, καὶ ὑμᾶς γοῦν εὐχομένοις ἔξω τῶν αὐτοῖς ἐπενεχθέντων ἑστάναι. οὔτε τοίνυν ἐκείνοις ὅπερ εἶπον, οὔτε πολλῷ μᾶλλον τοῖς μετὰ ταῦτα τὴν ὑμετέραν διόρθωσιν αἰσχύνης ὑπόθεσιν ποιησόμεθα. πῶς γὰρ αἰσχυνθήσονται δι' ἡμᾶς, οἱ μεθ' ὑμῶν κἀκείνους τῆς ἐκ τοῦ ψεύδους αἰσχρότητος ἀπαλλάξομεν, καὶ οἷς εὐγνώμονες ὄντες ἀθάνατον τῆς ὠφελείας εἰδέναι χάριν βουλήσονται; οὐδὲ γὰρ αὐτοὶ μὲν χαιρήσουσι τοῦ ψεύδους ἀπηλλαγμένοι, τοὺς δὲ τοῦτο διαπραξαμένους σφίσι μισήσουσι, καὶ τὰς τῶν ἀδίκων καὶ πονηρῶν εἰσπράξονται δίκας. καὶ μὴν οὐδ' ὀνειδιεῖ τις αὐτοῖς τὴν ὑμετέραν ἐπὶ τὰ κρείττω μεταβολὴν καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἕως ἂν μηδ' αὐτοὺς ὡς πλανωμένους ἐλαύνῃ ἢ πονηρός τις ἢ καὶ ἀνόητος, τὰ στεφάνων ἄξια ψέγων, καὶ νοῦν ἔχειν τοὺς μετὰ τῆς ἀληθείας καὶ τὴν σφῶν σωτηρίαν προϊεμένους ἀλαζονείας χάριν οἰόμενος· πολὺ δὲ μᾶλλον αὐτοὺς τῶν ὑμετέρων κληρονομήσειν ἐγκωμίων ἡγοῦμαι, καὶ τοῖς ὑμετέροις ἐγκαυχήσε-

σθαι πόνοις, οὓς ὑπὲρ τῆς ἀληθείας ὑφίστασθε. ὅλως δὲ τὸ μὲν τὴν αἰσχύνην τοῖς μετέπειτα παραπέμψειν ὑμᾶς, οὐδὲ λόγον ἔχειν ἡγοῦμαι, τούς γε μὴ πρῶτον αὐτοὺς ἀξίους ὄντας αἰσχύνεσθαι· οὔτε γὰρ τὸ μανθάνειν αἰσχρὸν, καὶ τῆς ἀληθείας ἡ κτῆσις εὐπρεπεστέρους μᾶλλον ἀποτελεῖν καὶ λάμποντας εἴωθεν. οὐ μὴν ἀλλ᾽ εἰ καὶ τοῖς ἐφ᾽ ἑκατέρους τῶν χρόνων ἐμέλλομεν ἀδοξίαν τινὰ καὶ ὀνείδη, ἔκ γε τοῦ γνῶναι τὴν ἀλήθειαν αὐτοὶ, προξενεῖν, μήτ᾽ ἐκείνοις αἴτιοι γεγονότες τοῦ ψεύδους, καὶ τούτοις δυνάμενοι τῆς ὑγιαινούσης δόξης εἶναι καθηγηταὶ, οὐκ ἐχρῆν ἡμᾶς τῆς τῶν ἄλλων προνοοῦντας τιμῆς, τῆς οἰκείας ὑπερορᾷν, καὶ τὴν ἐκ τῆς ἀληθείας δόξαν προΐεσθαι, εἰ δὲ καὶ καθ᾽ ἡμῶν αὐτῶν ᾔδειμεν ἅπαν μέμψεως ἐφεθησόμενον βέλος, ὁμόσε πᾶσιν ἔδει χωρεῖν, οὐδὲν τοῦ μετὰ τῆς ἀληθείας ἀτιμάζεσθαί τε καὶ θνήσκειν εἰ δέοι, νομίζοντας αἱρετώτερον· καὶ λογιζομένους μὲν τὴν ἐν οὐρανοῖς παῤῥησίαν καὶ δόξαν, ἣν ἕνεκα τῶν ὑπὲρ τῆς ἀληθείας καμάτων ὀφειλομένην ἡμῖν, αἱ τῶν ἀνθρώπων μέμψεις ἔμελλον αὔξειν· ἐνθυμουμένους δὲ τὸ, ὅπως ἡμεῖς βίῳ καὶ πίστει διορθωθέντες σωζώμεθά τε καὶ δοξαζώμεθα, πᾶν ἀδοξίας εἶδος ἐφ᾽ ἑαυτοὺς προσηκάμενοι. ὅλως δὲ οὐχ ὁρῶ τοὺς ὑμῖν ὀνειδιοῦντας οἵτινες ἔσονται, καὶ ὧν αἰδεῖσθε σφόδρα τὰς μέμψεις. τοὺς μὲν γὰρ μεθ᾽ ὑμᾶς καὶ φρίττειν τὰς ὑμετέρας ψήφους ἀνάγκη, τὴν ἀξίαν εὐλαβουμένους, ἣν τοῖς τε ἄλλοις καὶ τῷ τῆς ἀληθείας ὡς ἔδει πεφροντικέναι περικείμενοι δείξετε· καὶ τηλικαύτῃ συνόδῳ προπετὲς ἡγουμένους καὶ κινδύνου γέμον διακυρίττεσθαι· ἐμμένοντας δὲ τοῖς ὑφ᾽ ὑμῶν ἐγνωσμένοις, καὶ τιμᾶν εἰκὸς ταῦτα καὶ τοῦ παντὸς ἄξια κρίνειν, καὶ χάριν ὑμῖν ὑπὲρ τούτων ὁμολογεῖν, καὶ ταῖς τῶν μακαρίων ὑμᾶς ἀγάλλειν τιμαῖς, ὧν ἀξιοῦσι τοὺς τοῖς ὁμοίοις ἀγῶσιν ἐνδιαπρέψαντας. εἰ δέ τινες παῤῥησίᾳ ταῦτα τιμῶντες, ὑμῖν ὡς τῆς ἐκ τοῦ νικᾶσθαι καταφρονήσασιν ἀτιμίας μέμφεσθαι βούλοιντο, ἀλλ᾽ ὑμῖν ἡ παρὰ τῶν ἔργων δόξα, καὶ τὸ σώζεσθαι μὲν αὐτοὶ, σώζειν δὲ καὶ τοὺς ἄλλους ἑκόντας τῇ γνώσει τῆς ἀληθείας, ἀρκέσει. ἀλλὰ μὴν καὶ τῶν νῦν ὄντων οὐδεὶς ὑμᾶς αἰτιάσεται· οὔτε γὰρ οἱ Γραικοὶ, οἷς καὶ πολλῶν ἐγκωμίων ἄξιοι δόξετε, καὶ παρ᾽ οἷς ἀθανάτου τεύξεσθε μνήμης, ἅτε καὶ χρήμασι καὶ σώμασι καὶ σοφίᾳ καὶ τὸ τελευταῖον ταπεινοφροσύνῃ, καὶ λογισμοῖς τισι θειοτέροις

τὸ τῆς εἰρήνης χρῆμα μόνοι σχεδὸν ἁπάντων καταπραξάμενοι· οὐθ' ὑμεῖς ἑαυτοὺς, οὔτε τις τῶν ὑμῖν προσκειμένων. πάντες γὰρ ὡς ἠκούσας ἀπὸ θεοῦ τὰς ὑμετέρας ψήφους ἁρπάσουσι, τοῦτο μὲν ἅτε τῆς ἐκκλησίας ἁπάσης οὔσης ὁμοῦ, ἣν οὐκ ἔνεστι πλανηθῆναι, τοῦτο δὲ καὶ ὡς εἰρήνης αἰτίας, ἣν ἐπιθυμοῦσι πάντες ἰδεῖν· ταύτῃ τῶν ἀνηκέστων, ὧν παρ' ἑκατέροις ἦρξε τὸ σχίσμα, προσδοκῶντες πάντων ἀπαλλαγήσεσθαι. εἰ δὲ καὶ μὴ πάντας ἐπαινοῦντας ἕξετε καὶ ταῖς ὑμετέραις χαίροντας ψήφοις, ἀλλ' ἔσται τις, ᾧ φιλονεικοῦντες μᾶλλον ἠρέσατε ἂν καὶ πάντ' ἀνατρέποντες, ὥστε μὴ δόξαι τὸν ἔμπροσθεν χρόνον ἠγνοηκέναι τὸ δέον, ἀλλ' οὐ δεῖ τοὺς παρὰ τῶν ὀλίγων καὶ ταῦτ' ἐπὶ κακῷ γινομένους ἐπαίνους, τῆς παρὰ τῶν πλείστων τε καὶ βελτίστων καὶ τοῦ βελτίστου χάριν ἀηδίας ἀλλάξασθαι· ὅπου γε καὶ πάντων ἅμα διεφθορότων καὶ δεινὸν ποιουμένων τὸ πρᾶγμα, οὐδένα λόγον ἔχειν, τοῦ δὲ καλοῦ καὶ τῆς ἀληθείας φροντίζειν μόνον ἐχρῆν· εἰδότας ὡς ἅπασα μέμψις καὶ πᾶν ἐναντίωμα σαθρόν ἐστιν, ἂν τὰ ὑμέτερα μόνον κρατῇ. εἰ γὰρ δεῖ με τἀληθῆ λέγειν μηδὲν ὑπολογιζόμενον, ὑμᾶς δεῖ μόνον κοινῆς δόξης καταφρονῆσαι καὶ πάνθ' ἕξει καλῶς· κἂν ὑμεῖς βεβαίως ὑποθήσησθε, μηδέποτ' ἂν ἑαυτοὺς αἰσχυνθῆναι, μηδὲ θόρυβόν τινα παθεῖν ἐπὶ τῇ μεταθέσει τῆς δόξης, τὸ περὶ τῶν ἄλλων δέος οὐδέν ἐστιν. ὑμᾶς τοίνυν οὔτε δίκαιον οὔτε προσῆκόν ἐστι τῆς ἀληθείας ἄλλο τι προτιμῆσαι, καὶ τὴν μόνην σώματα καὶ ψυχὰς δυναμένην σώζειν ὁμόνοιαν, ἐπειδὰν μόνον οὐκ ἐν χερσὶν ὑμῖν ᾖ καὶ τὸ λαβέσθαι λείπηται μόνον, φιλονεικίας αἰσχρᾶς εἵνεκα καὶ πάθους ἀνθρωπίνου προέσθαι. οὐ γὰρ πατέρων οὐ διδασκάλων, οὐ σοφίᾳ κεκοσμημένων, οὐ πᾶσαν ἀρετὴν μετιόντων, οὐκ ἐπιτρόπων θεοῦ, οὐ διαδόχων τῶν ἀποστόλων, οὐ τὸ τελευταῖον ὑπὲρ τῆς ἀληθείας συνηθροισμένων, καὶ πρὸς τούτοις τοσούτων, ἄξια ταῦτα. ἀλλὰ μὴν οὐδ' εἴποι τις ἂν οὐδετέρους ὑμῶν τὰς ἀγαθὰς ἐλπίδας προδοῦμαι, ἃς ἔχοντες ἥκετε. τῆς γὰρ δόξης προπολεμήσαντες ἑκάτεροι τῆς ἑαυτῶν, καὶ τῶν ἐλπίδων πεῖραν λαβόντες, ἐπειδὰν φανερὸν τὸ πολέμου γένηται πέρας ἐπὶ τὸ λοιπὸν τῆς προθέσεως βαδιεῖσθε, καὶ τὴν εἰρήνην ὅπως ἔσται προβλέψεσθε, καὶ τὴν ἀλήθειαν ὅπως πάντῃ τὸ ψεῦδος καταγωνίσηται, φροντιεῖτε. οὐδὲ γὰρ ἐξ ἅπαντος ἑκάτεροι τοὺς ἑτέρους νικήσοντες ἥκετε· τοῦτο γάρ ἐστι καὶ

τὸ ψεῦδος θέλειν νικᾶν, ἐπεὶ περὶ τῶν ἀμφισβητουμένων οὐ διώρισται τἀληθὲς, καὶ τῆς ἀληθείας ἐν ἀδήλῳ δήπου κειμένης, ἀνάγκη καὶ τῇ τοῦ ψεύδους ὑποψίᾳ παρ' ἑκατέροις εἶναι χώραν τινά. ἀλλ' ἥκετε πρῶτα μὲν ὑπὲρ ὧν διεφρονήκατε πρὸς ἀλλήλους ἀγωνιούμενοι, καὶ τοῦτον πρῶτον ἐκτελέσοντες ἆθλον· εἶτα ψεύδει καὶ ἀληθείᾳ δικάσοντες, καὶ ταύτην στεφανώσοντες καὶ περιπλεξόμενοι πάντες· ἐξ ἧς καὶ αἱ διαλλαγαὶ καὶ τὰ τῶν ἐλπίδων κεφάλαια μεθ' ὑπερβολῆς ὑμῖν ἀναλάμψουσιν. οὐδεὶς τοίνυν ὑμῖν ἐγκαλέσει δικαίως, ὧν χάριν συνήλθετε καταπράξασι, καὶ ταύτην ἀρκοῦσαν νίκην ἀνῃρημένοις. ἐπὶ πᾶσι δὲ τούτοις οὐδ' εἰκός ἐστι τοὺς μεταβαλόντας πλείω χάριν ὀφείλειν τοῖς πεπεικόσιν, ἢ τοὺς ἐπὶ τῆς προτέρας μείναντας δόξης τοῖς πεπεισμένοις· ἵνα τις καὶ τὴν ἀπὸ τοῦ δοκεῖν ὠφελῆσθαί τε καὶ μαθεῖν ὁτιοῦν, αἰσχύνην φυλάττοιτο. ἑκάτεροι γὰρ ἐπίσης ὑπ' ἀλλήλων ὠφεληθήσεσθέ τε καὶ τιμηθήσεσθε· πρῶτον μὲν τῆς ἐκ τοῦ νικᾶν ἡδονῆς γινόμενοι κοινωνοί· ἐπεὶ τῆς παρὰ πάντων σπουδῆς καὶ τῶν κοινῶν ἀγώνων καὶ διαλέξεων ἔσται τέλος ἡ τῆς ἀληθείας ἀνάδειξίς τε καὶ νίκη· καὶ τῆς ἑτέρας μοίρας, ὁποτέραν ἂν εἴποι τις, μὴ πρὸς τὴν τῆς ἀληθείας ζήτησιν συμπραττούσης, καὶ δειχθῆναι ταύτην καὶ τοῦ ψεύδους περιγενέσθαι, τῶν ἀμηχάνων πέφυκεν ὄν. ἔπειτα καὶ τὸ τῆς δόξης βεβαίως ἔχεσθαι τῆς αὐτῶν, παρὰ τῶν πεπεισμένων τοῖς πεπεικόσιν ὅλως ὑπάρξει· ὧν ἀντιλεγόντων, κἀκεῖνοι πάντως ἔμελλον ἀμφιβάλλειν, ὃ καὶ πρότερον ἔπασχον. Ὅτι μὲν οὖν οὐδετέροις ὑμῶν ἡ φανερὰ τῆς δόξης μετάθεσις αἰσχύνην ἔχει τινὰ, οὔτ' εἴ τίς ἐστιν, ἁρμόττει ταύτης φροντίσαι· ἀλλὰ δεῖ τὴν φαινομένην ἀλήθειαν ἐν τῷ συμβόλῳ τῆς πίστεως ἐπίσης πάντας ὁμολογεῖν, οὔτε προστιθέναι πᾶσιν ἀρέσκον ὀκνοῦντας οὔτε τὸ προσιστάμενόν που διαγράφειν αἰσχυνομένους, καὶ οὕτω τὴν ἀληθῆ καὶ βεβαίαν εἰρήνην πᾶσι κηρύξαντας μεθ' ἡδονῆς ἐπανήκειν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἡγοῦμαι δῆλον ὑπάρχειν· καὶ ὅτι τοῖς ἄλλο τι θορυβοῦσιν οὐδὲ προσέχειν ἄξιον, οὐθ' ὑμᾶς αὐτοὺς ὑπ' ἐκείνων ἐνοχλεῖσθαι τῶν λογισμῶν. ἤδη δὲ καὶ πρὸς τὰ λοιπὰ τῶν κωλυμάτων ἰτέον. Φήσουσι τοίνυν ἑκατέρωθεν οἶδ' ὅτι καὶ μάλα πολλοὶ, ὡς οὐ μόνον ἡμῖν τοῖς ἐνταῦθα συνειλεγμένοις δεῖ τὸν τῆς εἰρήνης τρόπον ἀρέσκειν, ἀλλὰ καὶ πᾶσιν, ὁπόσα τοῖς τῶν ἐκκλησιῶν ἀμφοτέρων νέμοις ὑπείκουσιν ἔθνη· καὶ

μὴ μόνον ὅπως ἡμεῖς συνθώμεθα πρὸς ἀλλήλους, σκοπεῖν, ἀλλὰ καὶ ὅπως κἀκεῖνοι ταῖς ἡμετέραις ψήφοις συνθήσονται· εἰ δὲ μὴ, λήσομεν ἀντὶ εἰρήνης μάχην ἐγείραντες, καὶ τῷ συνάπτεσθαι τοῖς πόῤῥω κακῶς τῶν οἰκειοτάτων ἀποῤῥηγνύμενοι· ὃ πλείω τοῦ προτέρου δεινοῦ τὴν ἀνίαν τε καὶ τὸν θόρυβον ἐμποιήσει τοῖς πεπονθόσιν. ἴσμεν δ᾽ αὐτῶν πλὴν ὀλίγων τοὺς πάντας δυσχερῶς περὶ τὴν μετάθεσιν ἔχοντας, καὶ τὸ δόξαι τι καινοτομεῖν ἀσεβείας ὑπερβολὴν ἡγουμένους. ἔνιοι δ᾽ αὐτῶν καὶ μέχρι μόνου τοῦ διδάσκαλοι γενέσθαι τοῖς ἄλλοις τῆς ἀληθείας, συνόδου τε οἰκουμενικῆς καὶ τῶν ταύτης ἔργων ἐφίενται· οὐδ᾽ ἐγχωρεῖν φασιν ὧν αὐτοὶ πιστεύουσιν, ἄλλο τι βέλτιον οὐδ᾽ αὐτῷ δοκεῖν τῷ θεῷ. πῶς οὖν οὕτως ἔχοντες γνώμης, ἀφαιρούντων ἡμῶν ἢ προστιθέντων ὅλως ἀνέξονται; ἢ ποῦ δίκαιον τοὺς ἡμετέρους συμμάχους καταλιπεῖν, οἷς τὴν πρὸς ἀλλήλους ἔχθραν συνδιεφέρομεν, καὶ τοὺς τῶν δυσχερῶν ἡμῖν πρότερον συμμετέχοντας, μὴ καὶ τῶν ἀμεινόνων ποιεῖσθαι βούλεσθαι κοινωνούς; μηδ᾽ ὡς ἂν αὐτοὶ συνθοῖντο καὶ κατανεύσειαν, οὕτω τὴν εἰρήνην πράττειν ἐπιχειρεῖν; τίς οὖν ἔσται καὶ πρὸς τούτους ἀπολογία, μᾶλλον δὲ τί ποτε καὶ περὶ τουτωνὶ τῶν λόγων ἔχω συμβουλεύειν ὑμῖν, προσέχοιτ᾽ ἂν ἤδη λέγειν ἐθέλοντι. Τοὺς πόῤῥω καὶ τοὺς ἐγγὺς, ὦ πατέρες ἐμοὶ αἰδεσιμώτατοι, οὐ γῆς διαστήμασι δίκαιόν ἐστι κρίνειν, ἀλλὰ τρόπων καὶ ἠθῶν ὁμοιότητι, καὶ τοὐναντίον, καὶ γλώττης ἐφ᾽ ὧν ἐστι δυνατόν· καὶ ὃ μέγιστον ἁπάντων εὐνοίᾳ καὶ κοινωνίᾳ καὶ τῷ συμπράττειν ἀλλήλοις ἐν οἷς ἂν δέοι καὶ συνεργεῖν. τούτῳ τοίνυν τῷ κανόνι χρωμένους ὑμᾶς, παντάπασιν ἐναντίως οἷς ἀξιοῦσιν ἐκεῖνοι, περὶ τῶν προκειμένων ἐστὶ βουλεύσασθαι. τίς γὰρ οὐκ οἶδε τὰ τῶν Λατίνων γνωριμώτατα γένη, ὡς ἂν πρὸς Γραϊκοὺς ὁ λόγος γίγνοιτο πρῶτον, ἐν πᾶσιν ὁμοῦ τοῖς προειρημένοις ἀκριβεστάτην τὴν πρὸς ὑμᾶς ἐγγύτητα σώζοντα; καίτοι τούτων ἔνια πλεῖστον ἡμῶν ἀπέχει τῇ γῇ. τίς δ᾽ ἀγνοεῖ πολλοὺς τῶν ἡμῖν τέως ὁμοδοξούντων, ἐγγὺς μὲν συνῳκισμένους ἡμῖν, ἤθεσι δὲ καὶ τρόποις οὐδ᾽ ὅσον εἰπεῖν ἐστι διαφέροντας, καὶ τῶν ἡμῖν ἑκάστοτε συμπιπτόντων οὐδ᾽ ἐπιστρεφομένους; ἐνίους δ᾽ αὐτῶν ἴσμεν ἐπιβουλεύοντας καὶ φθονοῦντας. οἱ δὲ καὶ τὰ τῶν ἐθνῶν πράττειν ἐθέλοντες, ἐν ἴσῳ τοῖς μὴ βουλομένοις εἰσὶν, ὅμοια δυσπραγοῦντες ἡμῖν καὶ χεῖρον, καὶ μηδὲ σφίσιν αὐτοῖς ἀμύνειν δυνάμενοι.

ἐῶ γὰρ ὅτι πλὴν Γαλλῶν τε καὶ Ἱσπανῶν, καὶ τὰ λοιπὰ τῶν Λατίνων ἔθνη καὶ τόπῳ διέστηκεν ἡμῶν ἔλαττον ἢ τούτων τινὲς, οὐ γὰρ βούλομαι ταὔνομα λέγειν, ὧν σφόδρα περιεχόμεθα. τοῖς δὲ αὐτοῖς καὶ καθάπερ γείτοσι χρώμεθα, ἀποικίαις τισὶ καὶ νήσοις ὑπ' αὐτῶν ἀρχομέναις μάλιστα συναπτόμενοι· ἐνίοις δὲ καὶ τῶν παρ' ἡμῖν μεταδεδωκότες ἁπάντων, ὁπόσα γνησίοις καὶ πολίταις ἄντικρυς προσφερόμεθα τὰς παρ' ἡμῶν ἀμοιβάς. πρὸς δὲ καὶ τὸ ἀλλήλων ἤθεσι χαίρειν πρὸ τῶν οἰκείων, μαθήματά τε καὶ λόγους καὶ δογμάτων ἐπιστήμην σὺν ἀκριβείᾳ, καὶ τἆλλα δι' ὧν συναπτόμεθα καταλέγειν ἕκαστα, τῶν δυσχερεστάτων εἶναι νομίζω. εἰ μὲν οὖν τῆς πρὸς Λατίνους εἰρήνης καὶ πάντες ἡμῖν βουλήσονται κοινωνεῖν, εὔδαιμον ἂν εἴη τοῦτό γε, καὶ λαμπρὰ τῆς ἀληθείας νίκη κατὰ τοῦ ψεύδους; καὶ εἰρήνη πλατεῖα καὶ πάντα διαλαμβάνουσα. εἰ δὲ καὶ κινδυνεύομεν τῶν ἑτέρων περιεχόμενοι τοὺς ἑτέρους ἀποβαλεῖν, σωφρόνων ἂν εἴη τοὺς μάλιστα πλησιάζοντας τῶν ἄλλων προελέσθαι καὶ οὓς προτιμήσασι, τό τε τὴν ἀλήθειαν ὁμολογεῖν καὶ τὸ τὴν εἰρήνην ὡς ἂν μάλιστα διαρκοίη, πράττειν προσέσται. ἴστε γὰρ ὅτι καὶ νῦν αὐτόνομοι τούτων οἱ πλείους, καὶ οὔτε τῶν ἄλλων ἡμῖν ἐν οὐδενὶ κοινωνοῦσιν, οὔτε τῆς ἐκκλησίας ἡμῶν ἐπακούουσιν, ἀλλ' οὐδὲν ἡμῖν ἐντεῦθεν γίνεται βλάβος· οὐδὲ τοίνυν παντάπασιν ἀπερρωγότες ἡμῶν, ἕξουσιν οὗ χάριν λυπήσουσιν. εἰ δέ τι καὶ ζημιοῦν ἡμᾶς ἔχοιεν, ἀλλ' ἡ τῶν Λατίνων ἀκριβὴς κοινωνία τοσούτων ὄντων μετὰ πολλῆς τῆς περιουσίας τὴν ἐκεῖθεν ἀηδίαν λύειν ἀρκέσει, ὡς μηδ' αἰσθάνεσθαι λοιπὸν, εἴ τινος τῶν πρώην φκειωμένων κατέστημεν ἔρημοι. ἀλλὰ μὴν οὐδ' ἀδικήσομεν ὅλως αὐτοὺς, θεῷ δικαστῇ καὶ τοῖς νοῦν ἔχουσι τῶν ἀνθρώπων· τοὐναντίον γὰρ μᾶλλον, αὐτοὶ καὶ τὴν ἐκκλησίαν θεοῦ καὶ σφᾶς αὐτοὺς ἀδικήσουσιν. οὐ γὰρ ἡμῖν μόνοις λοιπὸν ἀντεροῦσιν, οὓς καὶ πρότερον τῆς καθολικῆς ἐκκλησίας μοῖραν ᾔδεσαν ὄντας, ἀλλὰ πρὸς πᾶσαν ὁμοῦ τὴν ἐκκλησίαν φιλονεικήσουσι, καὶ πάσης ἀποῤῥαγήσονται. τῆς γὰρ κατὰ Κωνσταντινούπολιν ἐκκλησίας κατὰ τῶν ἄλλων τριῶν τῇ Ῥώμης συναπτομένης, οὐδὲν τῆς καθολικῆς ἐκκλησίας ἔξω καταλείπεται· ἧς ἀποσχίζοντες ἑαυτοὺς, καὶ τὰς αὐτῆς ἐπαναινόμενοι ψήφους, οὐκ οἶδ' εἴ τινος ὑπ' ἄλλου, τούτου πάσχειν δύναιντο χεῖρον. οὐθ' ἡμᾶς ὀφείλειν εἴποι τις ἂν ἄχρι καὶ τοῦ

τῆς ἀληθείας καταφρονεῖν, καὶ τὸ τῆς εἰρήνης παραιτεῖσθαι καλὸν, καὶ ἡμᾶς αὐτοὺς ζημιοῦν, τὰ σφῶν θεραπεύειν, ὃ καὶ δεσπόταις λίαν ἄτοπόν ἐστι συγχωρεῖν. ἀλλ' οὐδ' ἄηθές τι καὶ νῦν πρῶτον συμβαῖνον ἡ πρὸς τὴν οἰκουμενικὴν σύνοδον καὶ τὰς ψήφους αὐτῆς ἐνίων ἀπείθεια, ἵνα τις καὶ τῆς ἡμῶν οἰκονομίας ἔχῃ κατηγορεῖν, οὐ δυνηθέντων πάντας ἔχειν ὑπείκοντας. πολλὰ γὰρ ἔθνη καὶ πόλεις ὅλαι ταῖς τῶν προτέρων συνόδων γνώμαις ἀντέλεγον, ἀνθρώπινόν τι παθεῖν ἐκείνας ἡγούμενοι, καὶ τὸ δόξαν αὐταῖς τοῦτ' εἶναι τἀληθὲς ἀποφηναμένας· ἕως ἡ τῆς ἀληθείας ἰσχὺς τὰς ἁπάντων εἰσδοῦσα ψυχὰς, πάντας ἔδειξε πειθομένους, καὶ ὡς θεοῦ φωναῖς ταῖς τῶν ἀνδρῶν ἐκείνων προσέχοντας. καὶ τοῦτ' ᾔδεσαν ἀκριβῶς οἱ τῆς ἀληθείας ἐξετασταί· ἀλλ' οὐδέ που τοῦτ' εὐλαβούμενοι, καὶ τὴν τινων εἴτ' ἀναίδειαν εἴτ' ἀπιστίαν δεῖν ἡγούμενοι θεραπεύειν, τὰς τῶν εὐγνωμόνων ψυχὰς ἀφῆκαν σαλεύεσθαι, καὶ τὴν ἀλήθειαν περιεῖδον ὑπὸ τοῦ ψεύδους πολεμουμένην, καὶ τὴν ἐκκλησίαν θεοῦ τὰ χείριστα πάσχουσαν, καὶ σφᾶς αὐτοὺς ἁπάντων τούτων αἰτίους εἶναι δοκοῦντας· ἀλλὰ τούτων μάλιστα καὶ προὔργου πεφροντικότες, αὐτίκα μὲν τῶν ἄλλων ἠμέλουν, εἶτα κἀκείνους εὐχαῖς τε καὶ ταῖς ἄλλαις ἐπιμελείαις ἰῶντο, καὶ πρὸς τὴν τοῦ καλοῦ καὶ δικαίου γνῶσιν ἐπέστρεφον. οὐ τοίνυν οὐδ' ἡμᾶς νῦν τοῦ δεῖνος καὶ τοῦ δεῖνος πρέπει φροντίσαι, ὅπως μὴ γένηται πονηρὸς ἀμείνων εἶναι δυνάμενος, ἀλλὰ τὸ δέον αὐτοὺς διαπραξαμένους, τοῖς νοῦν ἔχουσι καταλείπειν αἱρεῖσθαι τοῦτο καὶ στέργειν· οὓς εἰκὸς εἶναι τοὺς πιστούς τε καὶ δοκιμωτάτους τῶν ἡμετέρων· τοῖς δ' ἀντιβαίνειν ἴσως βουλησομένοις τὸν μετὰ ταῦτα καιρὸν ἀφορίζειν εἰς ἰατρείαν, καὶ μηδὲ τὴν ἐκείνων ἐπιστροφὴν παντελῶς ἀνέλπιστον οἴεσθαι. εἰσὶ γὰρ, εἰσὶ πολλοὶ παρ' ἡμῖν, οἱ παύσουσι φιλονεικοῦντας, τἀληθῆ καὶ δίκαια λέγοντες. οὐ γὰρ τῇ τῆς Κωνσταντινουπόλεως ἐκκλησίᾳ μόνον οἱ ἄνθρωποι πολεμῆσαι. τούτους ἐροῦσιν, ἀλλὰ τὴν καθολικὴν ἐκκλησίαν ἀτιμάζειν ὡς ἔοικε βούλεσθαι· ὃ καὶ τῆς ἀληθείας ἐστὶ καταφρονεῖν, καὶ τὴν πρὸς θεὸν αἰδῶ παραιτεῖσθαι, ἐφ' ἧς ἡμῖν αἱ τῆς σωτηρίας ἐλπίδες. πᾶσα γὰρ νῦν ἡ τῶν Χριστιανῶν ἐκκλησία, τὴν αὐτὴν περὶ τῶν πρώην ἀμφισβητουμένων γνώμην προείλετο· καὶ πλὴν ὑμῶν ἅπαντες τὰς τῆς οἰκουμενικῆς ταυτησὶ συνόδου ψήφους τιμῶσιν, ἀδύνατον πλα-

νηθῆναι ταύτῃ ἡγούμενοι· εἰ δὲ καὶ τοῦτ᾽ ἦν δυνατὸν, ἄμεινον ἡγούμενοι μετὰ πάντων ὁμοῦ κινδυνεύειν, ἱκανὴν τοῦ ψεύδους παραίτησιν τὴν πειθὼ καὶ τὴν πρὸς ἅπαντας ἔχοντες ὁμογνωμοσύνην, ἢ μόνοι τῶν ἄλλων δῆθεν ἀσφαλεστέρας δόξης ἐχόμενοι, ἐκ τοῦ θαῤῥεῖν ἑαυτοῖς καὶ σοφώτεροι πάντων εἶναι νομίζειν, ἂν συμβῇ τι σφαλῆναι, καὶ τὰς τῆς γνώμης ἐλπίδας προσαφῃρῆσθαι, καὶ πάσης ἀπολογίας ἐκβαλεῖν ἑαυτούς. οὐ γὰρ δήπου τοῦ τὴν οἰκουμενικὴν σύνοδον κατασχεθῆναι τῷ ψεύδει, καὶ μηδὲν ἐκείνῃ συσπεύσων, παραγγελίας τινὰς προβαλοῦνται καὶ φήμας ἐξ οὐρανῶν αὐτοῖς ἀφιγμένας, ἃς πρὸ πάντων ἔπρεπε τίθεσθαι. οὐ μὴν ἀλλ᾽ εἰ μὲν ἁπλῶς οὑτωσὶ πᾶσι προείλεσθε φρονεῖν ἐναντία, καὶ τῆς καθολικῆς συνόδου καταφρονεῖν, μήτ᾽ ἀληθείας μήτ᾽ ἐπαίνων μήτε τῆς μετὰ ταῦτ᾽ ἀσφαλείας μήτε τῶν ὑπὲρ τῆς εἰρήνης πόνων, ὧν καὶ ὑμεῖς ἐν τῷ μέρει μετέσχετε, λόγον ποιούμενοι, ἀργεῖ μὲν ἅπασα συμβουλὴ, εὐχῶν δὲ δεῖσθε μόνον, ἃς ὑπὲρ ὑμῶν τὸ κοινὸν τῆς ἐκκλησίας οὐκ ὀκνήσω ποιεῖσθαι· τῆς μὲν ὑμετέρας σωτηρίας σφόδρα ἐφιέμενον, ἐκπίπτειν δὲ αὐτῆς κινδυνεύοντας βλέπον, καὶ τούτου χάριν ἀλγοῦν, τοῦ δὲ λόγοις πείθειν καὶ συμβουλαῖς καθάπαξ ἀπεγνωκός. εἰ δὲ τῆς μὲν παλαιᾶς ὁμολογίας ἔχεσθε πάντως, νομίζοντες ἐπ᾽ ἀσφαλοῦς τινος βεβηκέναι, τὴν δὲ τῆς συνόδου προσθήκην οὐκ ἔχοντες αὐτοὶ συνιδεῖν, εἰ τῶν ἀληθῶν καὶ πρὸς σωτηρίαν ἀναγκαίων ἐστὶν, οὔτ᾽ ἄλλοις περὶ ταύτης σφόδρα θαῤῥοῦντες, ἀλλὰ τὸ πάντας ἐξαπατῆσθαι τῶν ἐνδεχομένων εἶναι νομίζοντες, ὁμολογεῖν αὐτὴν κατοκνεῖτε, ἴστε τὸ μηδένα φόβον ἔχοντα δεδιότες. ἵνα γὰρ τὰ μόνον ὑμᾶς τοῦ παρόντος δέους ἀπαλλάττειν δυνάμενα λέγωμεν, τῶν πολλῶν καὶ οὐδὲν ἧττον ἀναγκαίων ἀποδείξεων τέως ὑπεριδόντες· τὸ μὲν μοῖράν τινα τῆς ἐκκλησίας θεοῦ λαθεῖν τῷ ψεύδει δουλεύσασαν, οὔτ᾽ ἀπεικὸς, καὶ τῶν πολλάκις γεγενημένων ἐστίν. ἕως γὰρ ἐν τῇ σφῶν φύσει διαμένουσιν ἄνθρωποι καὶ πράττουσι μὲν ἑκόντες, δοξάζουσι δὲ αἱρούμενοι, ἀδύνατον μὴ καὶ πολλοὺς ἔν τε ταῖς πράξεσι καὶ ταῖς δόξαις ὁμοίως τοῦ τε πρέποντος ἀποτυγχάνοντας εἶναι, καὶ δοξάζοντας μὲν τὰ ψευδῆ, τὰ δὲ ψόγων ἄξια πράττοντας· καὶ τοῦτ᾽ ἀπαιτεῖ μὲν ἡ τῶν πραγμάτων δήπουθεν φύσις, συγχωρεῖ δὲ καὶ θεὸς ἄνωθεν ἰάσιμον τὴν ἀπὸ τούτου βλάβην εἰδώς. τῷ γὰρ ὑγιαίνοντι τῆς ἐκκλησίας

πρὸς τὴν τοῦ νενοσηκότος χρῆται διόρθωσιν. καὶ πολλὰ τοιαῦτα τὴν ἐκκλησίαν θεοῦ παθοῦσαν εὕροι τις ἂν, ἐξ ὧν οὐχ ὅπως ἔλαβέ τι δεινὸν, αὐτίκα καὶ πρὶν φῦναι σχεδὸν τὸ ψεῦδος ἐκκόψασα, καὶ τῶν ἀπ' αὐτοῦ θορύβων ἀπηλλαγμένη, ἀλλὰ καὶ λαμπροτέρα δέδεικται πάντως· καὶ τοὺς τότε πολέμους μέγα πρὸς τὴν μετὰ ταῦτα γαλήνην ἔσχεν ἐφόδιον. πᾶσαν δ' ὁμοῦ πλανηθῆναι τὴν ἐκκλησίαν, καὶ τὸ τῆς ἀληθείας φῶς ἐκ μέσου γενέσθαι ταύτης, ἀδύνατον. καὶ χωρὶς γὰρ τῶν ἄλλων, τίς ἂν πιστεύσειε πάντας ὁμοῦ Χριστιανοὺς ἢ τὸ ψεῦδος ἑκόντας ἑλέσθαι, ἢ τὴν ἀλήθειαν ἀγνοεῖν, τοσούτων ὄντων τῶν πρὸς ἐκείνην χειραγωγούντων, καὶ τοσαύτην ὑπὲρ αὐτῆς φροντίδα πεποιημένων; τὸ γὰρ ὑμέτερον λείπεται μόνον· ὃ πρὸς μὲν εὐνοίας λόγον ἡμῖν καὶ πάνυ μέγα δοκεῖ, τάξει δὲ καὶ ποσότητι οὐδ' εἰπεῖν ἔστιν ὁπόσον τι τοῦ παντός ἐστι. τίς δ' ἂν εἴη λοιπὸν ἐλπὶς τῆς πρὸς τὴν ἀλήθειαν ἐπανόδου, μηδενὸς τοῦ πρὸς ταύτην ἡγησομένου τοῖς ἄλλοις ὑπολειφθέντος; οὐ γὰρ ὑμεῖς γε τοῦτο δυνήσεσθε μόνοι, κἂν νοῦν ἔχοντες αὐτοὶ, τοὺς ἄλλους πείσετε σωφρονεῖν· ὥσπερ εἴ τις ὄνυξ ὢν τοῦ παντὸς ἄρχειν βούλοιτο σώματος, καὶ κινεῖν αὐτὸ καὶ ἰατρεύειν καὶ τὰ πρὸς ὑγείαν φέροντα συμβουλεύειν. οὐ μὴν ἀλλ' ἐκεῖνο προσήκει σκοπεῖν ὑμᾶς, ὅτι τὴν ἐκκλησίαν οὕτως ἐπ' ἀσφαλοῦς ὁ δεσπότης ἡμῶν ᾠκοδόμησεν, ὡς μηδέποτε πύλας ᾅδου κατισχύσειν αὐτῆς, τὰς ἐπανισταμένας δηλονότι τῇ ἀληθείᾳ, καὶ πρὸς ᾅδου βάραθρον τοὺς πειθομένους κατασπώσας αἱρέσεις. καὶ καθάπερ τι δῶρον ἐξαίρετον αὐτῇ τοῦτο δέδωκεν, οὗ χώρις οὐδ' ἂν ἦν μετὰ τὸ τῆς οἰκονομίας, εἴπερ ἤμελλε καὶ μετ' αὐτὴν ἀνιάτως νοσήσασα καὶ τῷ ψεύδει κατασχεθεῖσα ἢ περιῶφθαι παντάπασιν, ἢ φαρμάκων δεῖσθαι δραστικωτέρων. καὶ ὑπὸ μὲν τοῦ ψεύδους ταύτην ἐνοχληθήσεσθαι συγχωρεῖ, ὅπως δὲ καὶ καθάπαξ ἁλῷ, καὶ δούλη γένηται τῆς ἀπάτης, οὔ φησιν ἐπιτρέψειν. ἐκκλησίαν δέ γε θεοῦ τοὺς πέντε τῶν πατριαρχῶν εἶναι θρόνους καὶ τοὺς αὐτοῖς ὑπακούοντας, οἵ τε τῶν συνόδων κανόνες, καὶ τὸ μακρὸν αὐτῆς ἔθος, καὶ τῶν πραγμάτων ἡ φύσις ὑπαγορεύουσιν. εἰ γάρ τινες τῶν ὁπουδήποτε γῆς ἀρχόντων ἀλογίᾳ καὶ τυραννίδι τὴν τούτων ὁμοῦ πάντων τῶν θρόνων ποιμαντικὴν ἀπωνήναντο, καὶ χαίρουσιν ὑφ' αὐτῶν ποιμαινόμενοι, καὶ νόμος ὄντες σφίσιν αὐτοῖς, οὐκ ἐπαινούσης τοῦτο τῆς ἐκκλησίας

καὶ βουλομένης ἐξεῖναι πᾶσιν οὕτω ποιεῖν, ἀλλὰ συγκαταβαινούσης τῇ τόλμῃ καί τι μεῖζον εὐλαβουμένης, ἐκράτησεν. οὓς εἴποι τις ἂν καὶ νῦν ἀντιλέγειν ἐθέλοντας, οὐ λογισμῷ τινι καὶ καιρὸν ἔχοντι φόβῳ προῆχθαι, ἀλλὰ πάλαι μεμαθηκότας ἀναισχυντεῖν, μηδὲ νῦν ἀφιέναι τὸ ἦθος. Τούτων τοίνυν οὕτως ἀναμφιβόλως ἐχόντων, καὶ τῆς μὲν ἐκκλησίας Χριστοῦ ταύτην, ἥν ποτε καὶ εἵλετο, δόξαν στεργούσης, καὶ μέχρι παντὸς ἀποδεξομένης, ἐκείνου δὲ μηδέποτε τὸ ψεῦδος κατακρατήσειν αὐτῆς ἐπαγγειλαμένου, οὐκ ἔσθ᾽ ὅπως, εἰ ταῖς ὑποσχέσεσι, μᾶλλον δὲ ταῖς εὐεργεσίαις τὴν τῆς ἀληθείας δόξαν μὴ διαφυλάξετε, ἡγούμενοι τῆς ἀληθείας κατισχῦσαι τὸ ψεῦδος, ἢ μενουσῶν ἐκείνων κυρίων, τοῦτ᾽ αὐτοὶ νομίζοντες οὐ ματαιόν τι δόξετε λέγειν. ἢ γὰρ ἀνάγκη τὴν τῆς ἀληθείας λόγον διαπεσεῖν, τῆς ἐκκλησίας ὑπαχθείσης τῷ ψεύδει, ἢ παρελθεῖν ἐκεῖνον οὐ δυνατὸν ὄν, καὶ ταύτην τῆς τῶν χειρόνων ὑποψίας παντελῶς ἀπηλλάχθαι. εἰ τοίνυν ἐκεῖνο βλασφημία, μᾶλλον δὲ μανία σαφής. τοῦτ᾽ ἂν αἰνετὸν εἴη καὶ πισταῖς ἀκοαῖς, καὶ γνώμαις εὐπρόσδεκτον· καίτοι τῶν θείων ἄνευ χρησμῶν καὶ τῆς ἐξ αὐτῶν ἀσφαλείας, οὐδ᾽ ὅλως ἐχρῆν ἀμφιβάλλειν ἀπλανῆ μέχρι παντὸς τὴν ἐκκλησίαν θεοῦ τηρηθήσεσθαι, καὶ τὸ τῆς ἀπάτης δεινὸν ἅπασαν μηδέποτ᾽ ἂν αὐτὴν ὑποστῆναι. οὔτε γὰρ ἀληθείας χώρις εἶναί τι καὶ συστάναι καθόλου, οὔτε μάτην τὴν τῶν ἀνθρώπων γένεσιν εἶναι τῶν εὐλόγων ἐστὶ, μηδενὸς ἐρήμου τῆς ἀληθείας σώζεσθαι δυναμένου, καὶ πρὸς τὰς ἐν οὐρανοῖς ἀφικνεῖσθαι διατριβὰς, ἃς τέλος τῆς ἀνθρωπίνης φύσεως ἴσμεν. εἰ δ᾽ ὑμεῖς τῆς καθολικῆς ἐκκλησίας σφᾶς αὐτοὺς ἀποσχίσαντες, μόνοι καὶ τἀληθῆ φρονεῖν καὶ τὴν σωτηρίαν ἀσφαλῶς ἐλπίζειν νομίζετε, ὃ καὶ τῷ τὴν ἀλήθειαν σώζεσθαι καὶ τῷ τὴν φύσιν μὴ διαμαρτάνειν τοῦ τέλους εἴποιτ᾽ ἂν ἐξαρκεῖν, οὐκ ἐπαινοῦμεν τοὺς λογισμούς· χωρὶς γὰρ τοῦ μηδ᾽ εἶναί τι σχεδὸν τὸ ὑμέτερον, μηδ᾽ ἐν μόνοις ὑμῖν τήν τ᾽ ἀλήθειαν χαίρειν φυλαττομένην, τήν τε φύσιν τῶν εἰκότων τυγχάνουσαν, οὐδ᾽ ὑμεῖς μέχρι τέλους τῆς εὐτυχίας ἀπολαύσεσθε ταύτης, μόνοι τὸν πρὸς τὸ ψεῦδος ὑφιστάμενοι πόλεμον, καὶ πολλάκις ἐνδώσοντες ἐρημίᾳ τε συμμάχων καὶ ὅπλων ἀδυναμίᾳ. εἰ γὰρ ἡ καθολικὴ τῶν Χριστιανῶν ἐκκλησία, καίτοι τοσαύτην ἐπαγομένη πανταχόθεν ἰσχὺν, οὐκ ἴσχυσεν ὡς ἂν φαίητε περιγενέσθαι τοῦ ψεύδους, πῶς ὑμᾶς μηδὲ

πολλοστοὺς αὐτοῖς ὅλοις τυγχάνοντας, εἰκός ἐστιν ἀντιστῆναι, κἀκείνη μὲν ἔν τι τοῦτο σφαλεῖσα, περὶ τῶν μετὰ ταῦτα βέλτιον ἴσως βουλεύσεται· ὑμεῖς δὲ καθάπερ ἐν σκότῳ διάξετε, μηδ' εἰδότες ὅπως χρήσεσθε τοῖς συμπίπτουσιν· οὐ γὰρ γεγόνατέ ποτε τῶν τοιούτων ἐξετασταὶ καὶ κριταὶ, ἀλλὰ καλῶς ποιοῦντες εἵπεσθε τοῖς ταῦτα κρίνειν εἰδόσι καὶ δυναμένοις· συμπεσοῦνται δὲ καὶ μάλα πολλὰ, ἅτε τοῦ τῆς ἀληθείας ἐχθροῦ καιρὸν ἔχοντος ὑμῖν ἐπιφύεσθαι, βοηθείας ἁπάσης ἔξω καθεστηκόσι· καὶ οὕτως ὑμῖν ἡ πρὸς τὸ παρὸν ἀσφάλεια δῆθεν ἀφορμὴ κινδύνων γενήσεται· οὔτε γὰρ φροντιοῦσιν ὑμῶν οἱ νῦν καταφρονηθέντες, οὔθ' ὑμεῖς πρὸς πάντα ἀρκέσετε. ἂν δὲ τότε μόλις νοῦν εἰληφότες, τὴν καθολικὴν ἐκκλησίαν ζητήσητε, καὶ πᾶν ὅ, τι ἂν ἐπιτάξειεν αὕτη τιμᾶν ὑπόσχησθε καὶ φρονεῖν, πολλὰ τῆς προτέρας ἐνστάσεως καὶ τῶν ὑπερηφάνων καταρώμενοι λογισμῶν, ἐκείνη μὲν ἀντιλήψεται πάντως, ἀλλ' ὑμῖν οὐκ ἄνευ αἰσχύνης ὁ μετάμελος ἔσται, ἣν φεύγοντας, βέλτιόν ἐστι μηδὲ τὴν ἀρχὴν ἐθέλειν φιλονεικεῖν. παύσασθε τοίνυν τὴν τῶν ἀδελφῶν παραιτούμενοι κοινωνίαν, καὶ λυποῦντες μὲν αὐτοὺς, τὸ δὲ τῆς ἀγάπης παροξύνοντες πνεῦμα· καὶ καταψευδόμενοι μὲν ἐφ' ὑμετέρῳ πάντως κακῷ τῆς καθολικῆς ἐκκλησίας, ἣν ἀμήχανον τῆς ἀληθείας διαμαρτεῖν, πολλῶν δ' ἀποριῶν γέμειν ὑμῖν τὸν μετὰ ταῦτα βίον ποιοῦντες. Τοιαῦτα λέγοντες πρὸς αὐτοὺς πείσουσιν οἶμαι μηδὲν ἀντιλέγειν, καὶ εἰ μὴ καὶ οἴκοθεν ταυτὶ συνορῶντες, τὴν περὶ τῶν ἐνταῦθα διωρισμένων φήμην ἄσμενοι δέξονται, ἃ μηδὲ σφόδρα σοφοὺς ὄντας, ὡς ἁπλᾶ τε καὶ δίκαια λογιεῖσθαι καὶ λίαν ἔγωγε πείθομαι. Τοὺς μὲν οὖν Γραϊκοὺς διὰ ταῦτα τὸ τῶν ἀντιστησομένων τυχὸν ἐν αὐτοῖς εἴποιμ' ἂν οὐχ ὑπολογίζεσθαι δεῖν, μηδ' ἐκείνοις δῆθεν χαριζομένους τῆς τ' ἀληθοῦς ὁμολογίας καὶ τῆς πρὸς Λατίνους εἰρήνης στερεῖν ἑαυτούς· ἐξὸν καὶ σφᾶς ὠφελεῖν, κἀκείνους ἄν τι λέγωσι μεταπείθειν. τῇ δὲ Λατίνων ἐκκλησίᾳ τὰς τοιαύτας ὑποψίας οὐδὲ προσποιεῖσθαι γοῦν ἔξεστι. πρῶτον μὲν γὰρ οὐδέν ἐστι γένος Λατίνων, ὃ μὴ τοῖς αὐτῆς ὑπείκῃ προστάγμασι· μᾶλλον δ' οὐδέν ἐστιν, ὃ τῆς πρὸς ταύτην αἰδοῦς τοῖς ἄλλοις παραχωρεῖν ἂν ἀνάσχοιτο τῶν πρωτείων. οὕτω πολλῆς παρὰ πάντων ἀπολαύει τιμῆς, καὶ τοσοῦτον ἀπέχει, περὶ ὧν ἂν βούλοιτο τάττειν, ἔνστασίν τινα καὶ φιλονεικίαν ὅθεν οὖν ὑποπτεύειν. ἄνευ γὰρ τῆς

περὶ τὴν πνευματικὴν ἀρχὴν ἀκριβείας, δι' ἣν τῷ ἠπίῳ καὶ θεραπευτικῷ τὸ στύφον κεράσασα, οὐδένα τῶν ὑπ' αὐτῇ τεταγμένων ἐᾷ κατὰ τῶν αὐτῇ δοκούντων στρατεύεσθαι, καὶ προπετές τι κατὰ τῆς δεσποίνης καὶ μητρὸς ἐνθυμεῖσθαι· καὶ Λατῖνοι πάντες ἑκόντες καὶ μηδενὸς ἀναγκάζοντος πρὸς τὴν αὐτῆς εὐλάβειαν ὥρμηνται, σοφίᾳ καὶ φρονήσει πλέον τῶν ἄλλων κεκοσμημένοι, κὰν ταῖς συνεχέσι τῶν διδασκάλων δημηγορίαις ὁπόσον τι ταύτῃ σέβας ὀφείλεται διδασκόμενοι. ὥστε τῇ πρὸς αὐτὴν αἰδοῖ καὶ τῇ πίστει πολλὰ καὶ τῆς αὐτῆς προστάταις συγκεχωρήκασιν· ἃ τῆς τῶν δεδωκότων εὐγνωμοσύνης ἀπόδειξις ὄντα, τοῖς οὐκ εἰδόσι χρῆσθαι καλῶς ὀνειδῶν ἀρχὴ καὶ σκανδάλων εἴωθε γίνεσθαι. οὐκοῦν καὶ νεώτερόν τι νομοθετούσῃ μηδὲν πολυπραγμονοῦντες πάντες προσέξουσι· καὶ νῦν οὐχ ἧττον ἐπιδείξονται τὴν αἰδῶ, ὅτε καὶ πειθομένοις εἴπερ ποτὲ λυσιτελήσειν ἡγοῦνται, καὶ ἀντιλέγοντες δριμυτέρας τῶν συνήθων δώσειν εὐθύνας. ἔπειτα καὶ βουληθέντες φιλονεικεῖν οὐδεμίαν ἕξουσι πρόφασιν, οὐ γὰρ ἂν νεωτέρα τις εἰσάγοιτο δόξα, ἀλλ' ἀφαιροῖτο προστεθειμένη· ὃ ταὐτόν ἐστι καὶ πρὸς τὴν ἀρχαίαν ἐπανιέναι καὶ πάσης ὑποψίας ἀπηλλαγμένην ὁμολογίαν. ἄτοπον οὖν ἂν εἴη καινοτομούσῃ μὲν πρότερον πείθεσθαι, ἐχομένης δὲ τῶν ἀρχαίων καὶ ταῦτα βεβαιούσης ἀφίστασθαι· καὶ μόνης μὲν τὰ τοιαῦτα πραττούσης μηδὲν ὑποπτεύειν, μετὰ δὲ τῶν ἀδελφῶν ἀνευρισκούσης τὸ δέον, ἀμφιγνοεῖν. καὶ τιμᾶν μὲν αὐτοὺς ὑπὸ τῶν ἄλλων πολεμουμένην, τοῖς δὲ πρότερον δυσμενέσι νῦν συμμάχοις χρωμένην, καταφρονεῖν. εἰ γὰρ ἔμελλόν ποτε τὴν εὐλάβειαν ἀποῤῥίψαντες, αὐθαδές τι καὶ προπετὲς ἐγχειρεῖν, τῇ πίστει προστιθείσης ἄνευ τῶν ἀδελφῶν καὶ τοσοῦτόν τι θαῤῥούσης, εὔλογον ἦν. ἐπεὶ δὲ τότε πάντες ὑπεῖξαν, παντὸς λογισμοῦ τὴν εἰς αὐτὴν προθέντες εὐλάβειαν, οὐδὲ νῦν εἰκός ἐστιν αὐτοὺς ἀντιλέγειν. εἰ δὲ καί τινες παντὸς δικαίου καὶ λόγου πρὸς δὲ καὶ τῆς ὑμετέρας ὑπεριδόντες ὀργῆς, τοῖς ὑφ' ἡμῶν ὁρισθησομένοις μὴ προσέχειν τὸν νοῦν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐμμένειν βουλήσονται, ἃ τοῖς Γραϊκοῖς περὶ τῶν ἀντερούντων αὐτοῖς ἔφθην εἰπών, ταῦτα καὶ ὑμῖν πρὸς τοὺς τοιούτους ἀρκέσειν ἡγοῦμαι. καὶ καθάπερ τὴν τῶν Γραϊκῶν ἐκκλησίαν, οὕτω δεῖ καὶ τὴν ὑμετέραν μὴ παύσασθαι τοῖς σωφρονοῦσι κτωμένην τἀγαθὰ, φόβῳ τῆς τῶν ἀνοήτων ἐνστάσεως· ἣν ἐλπὶς μὲν δήπου

καὶ μὴ συμβήσεσθαι· γινομένην δὲ, ἢ λυθῆναι καλῶς, ἢ κολασθῆναι δικαίως ἀνάγκη. παρίημι δ' ὅτι καὶ ῥᾷον ὑμεῖς τοὺς ἐν ὑμῖν φιλονεικήσοντας πείσετε, σοφοὺς ὄντας καὶ τῆς ὑμῶν φωνῆς ἐπαΐοντας, καὶ τοῖς ἀναντιῤῥήτοις τῶν λόγων πείθεσθαι δυναμένους· ἢ Γραϊκοὶ τοὺς ἀλλοθρόους τούτους καὶ ἀπαιδεύτους, καὶ οἷς πρὸς λόγων καὶ νοημάτων ὕψος καὶ μέγεθος πάντα ἁπλῶς ἀποπέφυκεν, οὐδὲν ἧττον ἢ πρὸς τὴν δι' ἀέρος πτῆσιν ἡ τῶν σωμάτων κατασκευή. καὶ ὅτι Γραϊκοὶ μὲν ἓν ἢ δύο τῶν τοιούτων ἐθνῶν οὐκ ἂν ἀδακρυτὶ πρόοιντο, καὶ χωρὶς τοῦ δοκεῖν ἠτυχηκέναι τὰ μέγιστα, ὀλίγων ὄντων τῶν ὑπολοίπων καὶ οἷς τῆς εἰρήνης συναπολαύσονται· ὑμεῖς δ' ὁπόταν τι καὶ καθάπαξ ἀποῤῥαγῇ τῶν ὑμετέρων ἐθνῶν, καὶ δόξῃ νοσηκὸς ἀθεράπευτα, δυσχερῶς μὲν οἴσετε τὴν ἔκπτωσιν αὐτῶν καὶ τὴν πλάνην· ἣν οὐδένα τινὰ παθεῖν τῶν ἁπάντων εὐχῆς ἔργον τίθεσθε· τὴν δὲ τῶν φίλων τε καὶ γνησίων ἐρημίαν οὐδαμῶς ὑπολογιεῖσθε, πολλῶν ἐσομένων ὑμῖν καὶ παντὸς ἀριθμοῦ κρειττόνων, οἳ τὴν εὐπείθειαν, καθάπερ ἄλλοι τὴν παρακοὴν, ἐπιδείξονται, καὶ οἷς τῆς πρὸς Γραϊκοὺς εἰρήνης χρήσεσθε κοινωνοῖς. οὐ γὰρ δὴ πάντας ἢ τοὺς πλείστους κατὰ τῆς σφῶν ὁπλίσεσθαι κεφαλῆς, καὶ καθ' ἑαυτῶν ὠθήσειν τὸ ξίφος ἐστὶν εἰπεῖν. οὕτω καὶ τοῦτο τὸ δέος, καίτοι τῶν οὐ τυχόντων εἶναι δοκοῦν, φαῦλόν τι καὶ μὴ δυνάμενον ἀπάγειν τῶν προκειμένων καλῶς τοὺς αὐτοῦ τῇ φύσει προσέχοντας, ὅ τε λόγος ἔδειξεν ἤδη, καὶ ὑμεῖς ἄμεινον ὄψεσθε, τὸν λογισμὸν αὐτῷ καλῶς ἐπιστήσαντες. Παυσάσθων τοίνυν οἱ τὴν ἐνίων ἀποστασίαν ἡμῖν ἐπισείοντες, καὶ τὴν τῶν πονηρῶν ἀλαζονείαν καὶ τόλμην προσθεραπεύοντες, τοὺς εὐγνώμονάς τε καὶ τῶν καλῶν ἐραστὰς μάτην εὐξαμένους αὐτὰ περιϊδεῖν ἀξιοῦντες, καὶ ἡμᾶς οὐκ οἶδα τίνος οὐκ ἀργοτέρους καὶ κουφοτέρους ἀπανελθεῖν, ἵνα μηδὲν λέγω τῶν ἄλλων ὀνειδῶν, οἷς δικαίως ἐνέξεσθε. Τούτους γὰρ ἔδει πρότερον ὑποβάλλειν τοὺς λογισμοὺς, μᾶλλον δὲ τοῖς μορμολυκείοις τούτοις δεδίττεσθαι, καὶ πείθειν ἑκατέρους ἐφ' ὧν εἶχον μένοντας, ὡς ἀσυμφόρῳ διὰ ταῦτα καὶ ἀδυνάτῳ τῷ τῆς εἰρήνης τρόπῳ μὴ ἐγχειρεῖν· οὐ τότε πᾶσι τρόποις ἐπὶ τὴν εἰρήνην παρακαλοῦντας, καὶ τί μὲν οὐ λέγοντας, τί δ' οὐ ποιοῦντας τῶν δυναμένων κινεῖν, τίνος δ' οὐ ῥᾷστην αὐτὴν ἀποφηναμένους, καὶ τῷ συνελθεῖν μόνον ἀλλήλοις ἀκολουθήσουσαν,

νῦν δυσχερῶν τινων μεμνῆσθαι καὶ φόβους ἐπανατείνεσθαι; τούτων γὰρ εἰ καὶ τὴν ἀρχὴν ἐξῆν ἀλλ' οὐκ ἐν τῷ παρόντι φροντίζειν ἔξεστι τοὺς ἐν τοῖς τοῦ πράττειν ἀφιγμένους καιροῖς. ὅπου δὲ οὐδὲ τότε χώραν ἔμελλεν ἔχειν τὰ τοιαῦτα τῶν κωλυμάτων παρά γε τοῖς καλῶς εἰδόσι βουλεύεσθαι, πῶς ἂν δοίη τις τῷ παρόντι καιρῷ τὴν περὶ τούτων σκέψιν ἁρμόττειν; ἢ πῶς οὐκ ἐμφράττεσθαι, μὲν τοὺς λέγοντας· νῦν, ἐγκαλύψεσθαι δὲ τοὺς, ὃ μὴ γένοιτο, πεισθησομένους πᾶσα ἀνάγκη; οὐδὲ γὰρ τὴν ἴσην ἔχει κατηγορίαν οὔτε τοῖς βουλεύσασιν οὔτε τοῖς πεπεισμένοις τό τε περὶ τηλικούτων ἔτι βουλευομένους, ἀλόγῳ δέει τοῦ καλοῦ καὶ συμφέροντος ὑπεριδεῖν, καὶ τοῦ πράττειν ἀρξαμένους ἐπισχεθῆναι. τῷ μὲν γὰρ ἡ τῆς ῥᾳθυμίας ὕπεστι δόξα, τὸ δὲ οὐδὲ τῶν τῆς ἀνοίας ἐγκλημάτων ἀπήλλακται· κἀκείνῳ μὲν οὐδεὶς συνέζευκται κίνδυνος, τούτου δ' ἕνεκα καὶ περὶ τῶν ὑπαρχόντων κινδυνεύειν ἀνάγκη. τούτων τοίνυν ἀμφοτέρων τῶν κωλυμάτων σαφῶς ἐξελεγχθέντων ὑπὸ τοῦ λόγου, οἷς τι καὶ μετεῖναι λόγου δοκεῖ, τοῖς ἄλλοις οὐδὲ προσέχειν δίκαιον ὅλως· ὧν τὴν σαθρότητα πόῤῥωθεν ἔξεστι τοῖς βουλομένοις πᾶσι φωρᾶν. αὐτίκα τίς οὐκ οἶδε τοὺς θρυλλουμένους περὶ τοῦ μὴ δεῖν μήτε προστιθέναι μήτ' ἀφαιρεῖν τοῦ συμβόλου διορισμοὺς, ὑπόρειαν ἄλλως ὄντας ὡς οἱ λέγοντες αὐτοὺς ἐκλαμβάνουσι, καὶ χάριν τοῦ συγκαλύπτειν τὴν ἐκ τῆς φιλονεικίας αἰσχύνην ἐξευρημένους; εἰ μὲν γὰρ ἔσται τι πεῖθον Γραικοὺς τὴν τῶν Λατίνων ἀπαναίνεσθαι δόξαν, καὶ προστιθέναι τῷ συμβόλῳ ταύτην ἀπαξιοῦν, ἄλλος ἂν εἴη λόγος· καὶ τὴν τῆς συνόδου ψῆφον ἐκείνην ὑγιῶς νοσοῦντας οὐδεὶς αἰτιάσεται. κατὰ γὰρ τῶν ὑφαιρέσεσί τισι καὶ προσθήκαις τὴν πίστιν λυμαινομένων, καὶ νόθον εἰσαγόντων θεολογίαν, ἐξενήνεκται τὴν ἀρχήν. ἣν αἰδουμένους, αὐτούς τε μηδὲν τοιοῦτον τολμᾶν, καὶ τοῖς τετολμηκόσι μὴ κοινωνεῖν φαῖεν ἂν ἅπαντες. ἂν δὲ τοὐναντίον μᾶλλον ἀληθεστάτην καὶ τοῖς τῆς πίστεως θεμελίοις σφόδρα συμβαίνουσαν, καὶ τοῖς ἁγίοις δοκοῦσαν τὴν δόξαν ταύτην εἶναι πεισθῶσι, ματαίως ἡ πρὸς ἐκεῖνα καταφυγή. οὐ γὰρ λέγουσι τὴν τῶν πατέρων διαστρέφοντες ψῆφον, ἕως ἂν ἐκεῖνοι τὸ ψεῦδος προαναιροῦντες, οὐ τὰς ἀληθεῖς ἐκβάλλοντες δόξας, ταύτην ἐξήνεγκαν. τοῖς γὰρ ἄλλην πίστιν συγγράφουσιν ἀπειλοῦσι, καὶ τοὺς ὁτιοῦν τῶν ὡμολογημένων προσθήκαις τισὶν ἐναντίαις

καὶ ὑφαιρέσεσι δολεραῖς ἀνατρέπειν βουλησομένους ἀνείργουσιν. ὥστε καθὰ προσήκει νοουμένης τῆς ψήφου, οὔτε Λατῖνοι τἀληθὲς προστιθέντες ἐγκαλοῖντ᾽ ἂν δικαίως, καὶ Γραϊκοὺς συμφωνοῦντας μὲν οὐδὲν ἁμαρτάνειν, ἄλλο δέ τι λέγοντας ἐπηρεάζειν ἄντικρυς λείπεται. ἔπειτα εἰ καὶ Λατίνοις μόνοις ἢ Γραϊκοῖς Λατίνων χώρις οὐκ ἔξεστι καὶ ὁτιοῦν προστιθέναι, ἀλλά γε τὴν οἰκουμενικὴν σύνοδον οὐδεὶς τουτὶ τὸ γέρας ἀφελέσθαι δυνήσεται· ἐπεὶ καὶ τὰς ἄλλας συνόδους προσθήκαις τισὶ τὴν ἀληθινὴν ἀναδειξάσας οἴδαμεν πίστιν. καὶ ὁ τῆς προσθήκης καταψηφιζόμενος ὅρος, ἣν ἄν τις ἐξ ὧν καὶ δόξαν ἰδίαν δημοσιεύων ποιήσαιτο, οὐχ ἣν ἂν σύνοδος ὅλη βουληθείη προσθεῖναι, ταύτην ἐλαύνει· οὐδαμοῦ γὰρ ἐκεῖ συνόδου γίνεται μνήμη, ἀλλὰ μηδενί φησιν ἐξεῖναι. καὶ μὴν ἃ κωλύει πιστεύειν, ταῦτα καὶ προστιθέναι τῷ συμβόλῳ τῆς πίστεως οὐκ ἐᾷ· ταῦτα δέ ἐστιν, ὁπόσα τοῖς ἀληθέσιν ἐναντιοῦται, καὶ τοῖς μετὰ πολλοὺς ἀγῶνας κεκρατηκόσιν οὐ συμφωνεῖ· ἃ δὲ πιστεύειν ἔξεστι, ταῦτα καὶ ὁμολογεῖν συγκεχώρηται. τὴν γὰρ τοῦ συμβόλου δήπουθεν ὁμολογίαν, τὸ μὴ δεῖν λανθάνειν ἐνίους περὶ τὴν πίστιν διεφθαρμένους, ἀναγκαίαν πεποίηκεν· ἣν ἐφόσον τοῖς ἀκινδύνως πιστευομένοις συμφωνοῦσαν ποιῆταί τις, οὐκ ἂν δικαίως νομίζοιτο παραβλάπτειν. ἄλλως δὲ καὶ καταψευσόμεθα τοῦ συμβόλου τῆς πίστεως, καὶ μάτην ἀναγνωσόμεθα τοῦτο, τῆς ἐξ αὐτοῦ γινομένης ἀσφαλείας ἤδη πεπατημένης. οὔτε γὰρ σύμβολον ἔσται λοιπὸν μὴ πᾶσαν τὴν ἐν τῇ ψυχῇ πεπηγυῖαν περὶ τῶν τῆς πίστεως ἄρθρων δόξαν ἀνακαλύπτον, οὔτε τῶν ἀδυνάτων ἐστὶ καὶ ψευδῆ τινας πεφρονηκότας λανθάνειν· καὶ τῇ μὲν ὁμολογίᾳ μεθ᾽ ἡμῶν ἵστασθαι, τῇ δὲ πίστει διακεκρίσθαι, ἅπαξ τούτου συγχωρηθέντος. ποῦ δὲ καὶ τὴν τῆς πίστεως ἀκρίβειαν περισώσομεν, ἣν ἐν τῷ ταύτην ὁμολογεῖν παρειλήφαμεν συνεστάναι, αὐτοὶ τοῦ καὶ γλώττῃ κηρύττειν ταύτην φειδόμενοι, ἢ τίς ἡμῖν ἐκ τῶν ἀναγκαίως πιστευομένων ἔσται σωτηρίας ἐλπίς, εἴπερ εἵνεκα μὲν σωτηρίας ὁμολογεῖσθαι τὴν πίστιν ἀκούομεν, αὐτοὶ δ᾽ ὥσπερ αἰσχύνην τὸ τὴν ἀλήθειαν καὶ χείλεσιν ὁμολογεῖν νομιοῦμεν; ὥσπερ γὰρ οὐδὲ πιστεύειν χρὴ τὴν ἀρχὴν ὁπόσα τῶν τῆς ἀληθείας κανόνων ἔξω χωρεῖ, οὕτω τοῖς καλῶς πιστευομένοις καὶ τὴν ἔξωθεν ὁμολογίαν ἀνάγκη πᾶσα προσεῖναι. εἰ τοίνυν τὴν τῶν Λατίνων δόξαν δεικτέον τῆς ἀληθείας πόῤῥω που

βάλλουσαν, ἢ τοῦτο μὴ δυναμένους, ὡς ἀληθῆ τιμητέον, καὶ φρονητέον οὕτω, καὶ τῷ συμβόλῳ τὴν πίστιν φανερωτέον. Λατῖνοι μὲν γὰρ ἀποδεχομένοις τὴν δόξαν ἡμῖν, καὶ κυρίαν εἶναι ψηφιζομένοις, περὶ τῆς ὁμολογίας τυχὸν οὐ σφόδρα διοίσονται· ἀρκεῖ γὰρ αὐτοῖς τὸ δεῖξαι σφᾶς τὰ ὄντα πεφρονηκότας, καὶ ἡμᾶς παῦσαι φιλονεικοῦντας, καὶ τἀληθὲς ὡς ψεῦδος διώκοντας· ἀλλ' ἡμῖν μόνη τῆς καρδίας ἡ πίστις οὐκ ἀρκέσει πρὸς σωτηρίαν, μὴ καὶ τῆς ἔξωθεν ὁμολογίας συνεζευγμένης. καὶ οὓς τινες δεδίασιν ὅρους, ὑπὲρ ἡμῶν μᾶλλον καὶ τῆς καλῆς προσθήκης ὑποληπτέον, καὶ νοητέον αὐτούς, ὡς ἂν αὐτοὶ βουληθεῖεν ὑπὲρ ἑαυτῶν καὶ τῶν ἄλλων οἱ θέμενοι. οὔτε γὰρ ἑαυτούς, οὔτε τοὺς ἴσον περικειμένους ἀξίωμα, τῆς περὶ ταῦτ' ἐξουσίας καὶ τοῦ τὰ περὶ τὴν πίστιν ὁρίζειν ἤθελον ἀποκλείειν, ἄλλως δὲ καὶ τοὺς ὅρους τούτους σαθρόν τι χρῆμα δεικνύντες καὶ παραβαίνεσθαι δυναμένους ἔλαθον ἄν. καὶ οὗτοι γὰρ προσθήκη τίς εἰσι, καὶ γνώμη τῶν τῆς πίστεως τότε πρῶτον ἐξενεχθεῖσα, καὶ μηδεμιᾷ τῶν πρὸ αὐτῆς συνόδων ἀρέσασα. πᾶσαι γὰρ, ὡς δῆλον πέφυκε, προσετίθουν. ἀλλὰ μὴν καὶ Λατῖνοι εἰ μὲν οὔτ' οἰκουμενικὴν, οὔθ' ἁπλῶς ἀπαραίτητον τὴν σύνοδον ἐκείνην, ἧς γέγονεν ἡ προσθήκη, νομίζουσιν, οὐδ' ἂν εὐλαβηθεῖεν τοὺς ὅρους, τῆς προσθήκης κατεγνωκότες καὶ ταύτην θέλοντες ἀφαιρεῖν· τὰ γὰρ οὐ πάνυ βεβαίως διωρισμένα ἔξεστι μεταποιεῖν τοῖς μείζω δύναμιν ἔχουσιν. εἰ δ' οἰκουμενικὴν ἐκείνην ἡγοῦνται, καὶ ἅπερ ἔγνωκε κρατεῖν ὀφείλοντα μέχρι παντὸς οὐδὲν ἧττον ἢ τὰ ταῖς ἄλλαις οἰκουμενικαῖς συνόδοις διωρισμένα, εὔδηλον ὅτι προβαλοῦνται καὶ οὗτοι πάντως τοὺς ὅρους· καὶ τὴν ἴσην Γραϊκοῖς τε προστιθέναι, καὶ αὐτοῖς ἀφαιρεῖν βουλομένοις ἐροῦσιν εἶναι δυσχέρειαν. ἐγὼ δὲ τὸ μὲν πότερον οἰκουμενικὴν ἢ μὴ τοιαύτην τὴν σύνοδον ἐκείνην οἴεσθαι χρὴ, αὐτοῖς ἀφίημι Λατίνοις σκοπεῖν· συμβουλεύσαιμι δ' ἂν αὐτοῖς πρῶτον μὲν μᾶλλον νομίζειν τοὺς ὅρους διαφυλάττειν τῇ μετὰ τῶν προτέρων ἐκείνων συνόδων ἱστάναι τῇ γνώμῃ, ἢ τῷ περιϊδεῖν μὲν ἐκείνας ἁπάσας, μιᾷ δέ γε τῇ πασῶν ἐσχάτῃ προσέχειν· ἔπειτα μηδὲ πρὸς Γραϊκοὺς περὶ τῆς συνόδου διαφερομένους ἐκείνης, τῶν προκειμένων ἐθέλειν ἀφίστασθαι· ἐγὼ γὰρ οἶδα Γραϊκοὺς οὐδέποτε ταῖς οἰκουμενικαῖς συνόδοις συντάττειν ἐκείνην ἀνεξομένους, καὶ πρὸς τοῦτο μᾶλλον ἤπερ ἄλλο τι τῶν ἁπάντων ἐνστησομένους· εἰδέναι

ὡς ἀνάγκη πανταχόθεν αὐτοὺς ζημιοῦσθαι, καὶ νομίζεσθαι χείρους εἰ ταῦτα βούλοιντο συγχωρεῖν. διὰ δὴ ταῦτα τὴν μὲν σύνοδον ἐατέον ἐκείνην, ὅπως ποτὲ βουληθεῖεν ἑκάτεροι τοιαύτην εἶναι δοκεῖν· τὴν δὲ τοῦ σχίσματος αἰτίαν προσθήκην, ἂν φαίνηταί που λυμαίνεσθαι, μηδὲ Λατίνοις ὀκνητέον ἐκβάλλειν· μηδ' εἰ προστιθείσῃ τῇ παρούσῃ συνόδῳ δίκαιον ἡγοῦνται Γραϊκοὺς ἅπαντας πείθεσθαι, αὐτοὶ νομιζέτωσαν ἀδικεῖσθαι ἀφαιρούσης οὐ παρακούοντες· ἐπίσης γὰρ ἄμφω καὶ ἔξεστιν οἷς ἂν ἐξῇ, καὶ κεκώλυται. οὔτε τοίνυν τοὺς ὅρους ἐκείνους εὐλαβουμένους, παντὶ μᾶλλον ἢ τῇ παρούσῃ χρείᾳ συμβαίνοντας, τὴν μόνην ἀληθῆ καὶ βεβαίαν εἰρήνην πρέπει προΐεσθαι· οὔτε τῷ φθάσαντας ἐκείνης ἢ ταύτης ἐμπλῆσθαι τῆς δόξης εὔλογόν ἐστι δυσχεραίνειν πρὸς τὴν μετάθεσιν. αἰσθάνομαι γὰρ ἐνίων καὶ ταῦτα λογιζομένων, καὶ δεινὸν ἡγουμένων, δόξαν τοσούτοις χρόνοις κεκρατηκυῖαν ἀμεῖψαι. οὐ γὰρ καθάπερ θέαν ταῦτα κρίνεσθαι δεῖ· οὐδὲ τῷ χρόνῳ τὰ τοιαῦτα πιστεύειν, ὃς καὶ τῶν φαυλοτέρων εὑρετής ἐστι δεξιός· οὐδ' αἰδεῖται τῷ ψεύδει κατὰ τῆς ἀληθείας συμπράττων· καὶ πολλάκις μὲν τοῖς σπουδαίοις ἐπανέστησε τὰ μέμψεως ἄξια, πολλάκις δὲ τοῖς χείροσι κρατήσασιν ἤδη καὶ πιστευθεῖσι σφοδροτέραν τὴν παρὰ τῶν ἀμεινόνων μάχην ἐπήγαγε. καὶ νῦν οὖν οὐδὲν ἀπεικός ἐστιν ἐπὶ τοσοῦτον χρόνον τὴν πλάνην * ἐλθεῖν, ἢ τοῦ ψεύδους ἀληθείας φαντασίαν λαβόντος καὶ μετὰ ταύτης κηρυττομένου, ἢ τὴν αὐτοῦ φαντασίαν ταύτῃ περιτιθέντος καὶ φιλονεικοῦντος οὕτως ἐκβάλλειν. ὅμως δὲ τῶν μὲν ἡμῖν προκειμένων μεγίστων ὄντων, καὶ πρὶν ἐς τόδε σχίσματος ἥκειν σχεδὸν ὑφ' ἁπάντων ἀπιστουμένων, οἳ τὰς πολλὰς δυσχερείας συνήθεσαν, εἰκός ἐστι καὶ πολλῷ πλείω τῶν εἰρημένων νῦν ὑμῖν φανεῖσθαι κωλύματα· καὶ πολλάκις ἐγγυτάτω τοῦ καλοῦ γινομένους, ὑπὸ τούτων ἐνοχλουμένους ἀποστήσεσθαι πάλιν. οὐ γὰρ γέγονεν, εἰ δεῖ τἀληθῆ λέγειν, οὐδ' ἔσται πρᾶγμα πλείους καὶ μείζους ἔχον τὰς δυσκολίας τῆς πάντα καλλίστης καὶ χρησιμωτάτης ταύτης εἰρήνης. ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν, καί μοι μηδεὶς ὑμῶν ὀργισθῇ, μᾶλλον ἂν ἑλέσθαι μηδὲ τὴν ἀρχὴν ἐπιχειρῆσαι τῷ πράγματι, ἀλλ' ὥσπερ καθ' ἱστορίαν συνεληλυθότας ἐνταῦθα, οὕτως ὁμιλήσαντας καὶ γνωρισθέντας ἀλλήλους ἐπανελθεῖν, ἢ μετὰ προθυμίας ἁψαμένους ἐνδοῦναι, καὶ μικρᾶς τινος ἢ μείζονος δυσχερείας ἥττους ὀφθῆναι.

* Ισ. λαθεῖν.

εἰ γὰρ ἐλάττους ἦτε τὸν ἀριθμὸν, ἢ τῆς χρείας ἐνδεέστερον παρεσκευασμένοι, ἢ σύνοδος ἐπαρχικὴ καὶ μὴ πᾶσαν τὴν ἐκκλησίαν θεοῦ παριστάνουσα, ἢ δι' ἄλλο τι προὔργου συνειλεγμένοι, ἔπειτα καὶ περὶ τῆς εἰρήνης σκοπεῖν παρέργως ἐμέλλετε, τό γε τοῖς μεγίστοις ἐπιχειρήσαντας ἀπογνῶναι, καὶ δόξαν φρονήματος ὑμῖν ἤνεγκεν ἄν. ἐπεὶ δὲ καὶ πλήθει καὶ ἀρετῇ καὶ σοφίᾳ καὶ πάσῃ παρασκευῇ, εἴπερ τις τῶν πώποτε γενομένων οἰκουμενικῶν συνόδων, ἐξήρτυσθε, αἳ τῶν ἴσων δυσχερειῶν μετὰ τῆς ὁμοίας ἰσχύος τότε περιεγένοντο, πρόσεστι δὲ καὶ ἡ σφοδρὰ τῆς εἰρήνης ἐπιθυμία, καὶ τὸ μηδενὸς ἄλλου χάριν ἐλθεῖν ἀγωνιουμένους, αἰσχρόν ἐστιν, ὦ σεβάσμιοι πατέρες, αἰσχρὸν τὴν τοῦ σχήματος καὶ τῆς ἐπωνυμίας τάξιν λιπεῖν, καὶ τῶν ἄλλοτε κατωρθωκότων ἐν τοῖς ὁμοίοις ἀγῶσι χείρω λαβόντας δόξαν ἀπαλλαγῆναι. οὐδεὶς γὰρ ὑμῖν τὰ κωλύματα καὶ τὰς δυσχερείας ἀπολογίαν προτείνουσι προσέχειν ἐθελήσει τὸν νοῦν, τὴν ὑμετέραν εἰδὼς διὰ πάντων παρασκευὴν πασῶν οὖσαν ἰσχυροτέραν, ῥᾳθυμίᾳ δὲ μόνῃ προδεδομένην. πρὸς δὲ τούτοις οὐδὲ τοῖς ἄλλοις ὀνείδεσιν ἔσθ' ὅπως οὐχ ὑποκείσεσθε, ἃ τῶν τῆς εἰρήνης ἔχεται κωλυμάτων· τῷ μὲν γὰρ αὐτῶν τὸ τῆς ὑπερηφανίας ὕπεστιν ἔγκλημα, τοῦ δ' ἡ τῆς δειλίας ἤρτηται μέμψις, τῷ δὲ τὸ τῆς φιλονεικίας συνέζευκται, καὶ ἄλλοις ἄλλα σύνεστιν αἴσχη· οἷς ὅπως οὐκ ἐνέξεσθε δικαίως, ἑκάστῳ τε ὑμῶν καὶ πᾶσιν ἅμα πρέπει φροντίσαι· πάντα γαρ ὁμοίως τῆς ὑμετέρας ἀρετῆς καὶ τῶν ἐφ' ὑμῖν ἐλπίδων πλεῖστον ἀπέχει. ἁπάντων δὲ τῶν εἰρημένων ἐστὶ κεφάλαιον· Οἱ μὲν ἄλλοι πάντες ἄνθρωποι, τῶν ὁμολογουμένων τούτων καὶ πᾶσι προδήλων ἐκ τῆς εἰρήνης ἀγαθῶν ἀπολαύσονται, ὧν ἡ γνῶσις τῆς ἀληθείας καὶ ἡ τῶν ψυχῶν αὐτοῖς σωτηρία, τὸ κάλλιστον ἔσται· ὑμεῖς δὲ πρῶτοι τῶν ἀγαθῶν ἀπονάμενοι, καὶ τῷ τοῖς πᾶσι γενέσθαι τούτων αἴτιοι κοσμηθέντες, καὶ τῆς τῶν ἄλλων ὠφελείας ἀφέξετε τοὺς μισθούς· πρὸς δὲ τούτοις καὶ θεὸς πάρεστιν ἤδη τῶν ὑμετέρων ἐνθυμημάτων ἐπόπτης καὶ δικαστής· ὃν οὐκ ἔστιν οὐδένα λαθεῖν ἢ ῥᾳθυμοῦντα καὶ βλακευόμενον, ἢ σωματικούς τινας λογισμοὺς καὶ προσκαίρους αὐτοῦ τοῖς ἔργοις ἀναμιγνῦντα. τοῦτόν τε τοίνυν πρὸ ὀφθαλμῶν ἀεὶ καὶ τὴν ἐκ τοῦ κατορθοῦν ὠφέλειάν τε καὶ δόξαν ἅπαντες ἔχοντες, σαθρὸν μὲν δείξετε πᾶν ἐναντίωμα, τὴν δὲ ποθουμένην εἰρήνην ὅτι τάχιστα καὶ λυσιτελεστάτην ψηφιεῖσθε.

Τοῦ αὐτοῦ λόγος τρίτος, ἐν ᾧ τίθεται τὰ ποιήσοντα τὴν τοιαύτην εἰρήνην.

Ἃ μὲν τοίνυν νενόμικα τῶν τῆς εἰρήνης ταυτησὶ κωλυμάτων μέγιστα καὶ δυσχερέστατα δόξειν, καὶ ἃ σκοπουμένους αὖθις ὑμᾶς περὶ οὐδενὸς ἂν ἐκεῖνα λόγου ποιήσασθαι, ἀλλ' ἀμφοτέραις, ὃ λέγεται, καὶ γενναίως ἀντιλήψεσθαι ταύτης τῶν εἰς δύναμιν ἡκόντων οὐδοτιοῦν παριέντας, ταῦτα ἐστί· τῶν μὲν πολλῶν κωλυμάτων τρισὶν ἢ τέτταρσι τούτοις συνεξαιρεθέντων· ἃ δὲ κατὰ τούτων τοσούτων ὄντων ἐξῆν εἰπεῖν, τῶν πλείστων τοῖς ἕκαστα βουλομένοις ἐπισκέπτεσθαι παρειμένων, * ἐμοὶ γὰρ τὴν ἐκείνων ὑπογράφοντι φύσιν, καὶ ταῦτ' ἔδοξεν ἀποχρῆν. ἐπ' αὐτὸ δὲ λοιπὸν τὸ τῶν λόγων βαδιοῦμαι κεφάλαιον· καὶ τὰ ποιήσοντα τὴν εἰρήνην ταύτην ὑμῖν, μετὰ τῆς ἄνωθεν βοηθείας, ὑπομιμνήσκων ὡς οὕτως εἰπεῖν καὶ μόνον ἐπιτόμενος, ἔρχομαι δείξων. τῶν μὲν γὰρ ὑποσχέσεων αὕτη λοιπὴ καὶ μείζω δύναμιν ἔχουσα. οὔτε δὲ ἡγοῦμαι σοφοῖς ἀνδράσι καὶ πνεύματος γέμουσι καὶ φρονήσει διοικουμένοις μακροτέρων ὑπὲρ ἑκάστου λόγων δεήσειν, οὔτ' αὐτὸς τῆς χρείας περισσοτέροις χρώμενος λόγοις οὐχὶ καὶ προσενοχλεῖν ἂν ὑπειλῆφθαι. Ἐγὼ γάρ, ὦ πατέρες σεβάσμιοι, θεωρῶν εὑρίσκω, πόῤῥωθεν τὴν ἡμετέραν διάστασιν ἀρξαμένην ἄχρι τοῦδε παρ' ἡμῖν καὶ βλάβους πολλοῦ καὶ ὠφελείας οὐχ ἧττονος αἰτίαν οὖσαν· καὶ τοῦ μὲν ἄλλου μετασχόντας τοὺς πρὸ ἡμῶν, τῆς δ' ὠφελείας πρώτους ἡμᾶς, ἂν μόνον θελήσωμεν, ἀπολαύσοντας· ἐν γὰρ τῷ τοσοῦτον ἤδη χρόνον ἀλλήλοις πολεμεῖν ἀδιάλλακτα, προσεῖναι δὲ ἑκατέροις δόξαν ἐπὶ σοφίᾳ καὶ τὸ διὰ πάντων ἀξίωμα, καὶ διὰ ταῦτα βούλεσθαι νικᾶν ἐκ περιουσίας, οὐδ' ἀριθμεῖν ἐστιν ὁπόσα κατ' ἀλλήλων συγγεγραφότες ἐπὶ καιρῶν οὐκ ὠκνήσαμεν ἀλλήλους τοῖς ἀνηκέστοις περιβαλεῖν, καὶ δεῖξαι πάντων ἀνθρώπων χεῖρω νοσήσαντας. ταῦτα δὲ πάντα συκοφαντίαι τινές εἰσιν ἐκ τῆς περὶ τὴν μάχην ἀνάγκης, καὶ λόγων ὑπερβολαί, καθάπερ ἐπὶ πάσης συμβαίνειν εἴωθεν ἔριδος· ὑφ' ὧν δήπου τοὺς ἁπλουστέρους ἀναπεισθέντας μέχρι καὶ τῶν ἔξω τούτων καὶ φαινομένων ἐκτεῖναι τὴν ἔχθραν, ἔθη τινὰ καὶ τὰ περὶ τὴν θρησκείαν ἔχοντα διασύροντάς τε καὶ μισοῦντας, οἷς ἀνεξετάστως

* ἴσ. ἐμοί γε.

πρότερον ἔχαιρον. τὸ δ' αὐτὸ τοῦτο καὶ πρὸς τὴν παροῦσαν χρείαν λυσιτελέστατον ἔτυχεν ὄν, καὶ πρὸς τὴν εἰρήνην μέγα βοήθημα. πᾶσαν γὰρ γραφὴν διερευνησάμενοι, καὶ τὸν νοῦν ἐπιβαλόντες τῇ σκέψει, τὰ δυνάμενα τῇ σφῶν δόξῃ συνηγορεῖν, ὅσα τε εἰς λογισμοὺς ἥκει, καὶ ὅσα πρὸς τὴν ἐκ τῶν γραφῶν συμμαχίαν, ἐξεῦρον, ὡς μηδόλως ὑπολείπεσθαι τοῖς μετὰ ταῦτα προσεπινοῆσαί τι καὶ προσεξευρεῖν· ἐξ ὧν ὑμεῖς δυνηθεῖητ' ἂν σὺν ἐλάττονι πόνῳ γενέσθαι τῆς ἀληθείας εὔστοχοι δικασταί· οὐδὲ δεήσει βίβλους ἀναλεγομένοις, κἀκεῖθεν τὰ πρόσφορα προσλαμβάνουσιν, ἢ παρ' ἑαυτῶν σοφόν τι πορίζομένοις καὶ τοῖς γεγραμμένοις ἑπόμενον, τὰς δόξας ἄμφω γυμνάζειν· ἀλλ' ἀρκεῖ τοῖς ὑπὸ τῶν ἄλλων ἐξευρημένοις χρωμένους, καὶ ταῦθ' ἕκαστα σκοπουμένους, τὴν ἀληθῆ καὶ δικαίαν ψῆφον ἐκφέρειν. οἶμαι δὲ καὶ θεὸν αὐτὸν συνειδότα δυσχερῆ τὴν περὶ τῶν προκειμένων κρίσιν ὑπάρξουσαν, τοῖς τε πρώτοις εὐθὺς ἀρξαμένοις περὶ τούτων ἀμφισβητεῖν, καὶ πολλῷ μᾶλλον τοῖς ἐκδεξαμένοις τὴν ἀμφισβήτησιν, ὧν οἱ μὲν ὑπὸ τῶν ἀντικειμένων φωνῶν, οἱ δ' ὑπὸ τῶν ταύταις συνηγορούντων λόγων ἐθορυβοῦντο, οὓς πλείους ἀεὶ καὶ σφοδροτέρους ἀνεύρισκον, μέχρις ὑμῶν τὴν εἰρήνην ἀναβαλέσθαι, ὧν μάλιστ' ἂν ἔργον αὕτη γένοιτο. οὔτε γὰρ ἡ τῶν ἀγώνων φιλοτιμία τοὺς εἰρηνικοὺς ὑμῶν λογισμοὺς ἀφελεῖται· οὔθ' ὑπὸ τῆς φαινομένης διαφορᾶς ταραττόμενοι, καὶ τὰς ἑκατέρωθεν ὑποπτεύοντες δυσχερείας καὶ τοὺς κινδύνους, προπετές τι τὸ περὶ τούτων ἀποφαίνεσθαι νομίζετε. ὥστ' ἔκ γε τῶν τοιούτων ἀπὸ τοῦ χρόνου βοηθημάτων τό τε τῶν δικαζόντων ἀκραιφνῶς ὑμῖν περιγίνεται σχῆμα, ἄλλων τοῖς ἀγῶσιν ἐμφιλοτιμησαμένων, καὶ μόνην ὡς εἰπεῖν τὴν ὑμετέραν ψῆφον ἀναμενόντων, καὶ τὸ γνώμην ἀποφαίνεσθαι πόνον ὑμῖν οὐ μέγαν παρέξει. Δεῖ τοίνυν ὕβρεων καὶ λοιδοριῶν καὶ τῶν εἰς ἄτοπα ἀπαγωγῶν, καὶ ὧν ἡ μακρὰ διάστασις πεποίηκε πάντων, αὐτούς τε ἀποσχομένους, καὶ τοῖς εὑροῦσι πρώτοις ἐπιτιμήσαντας, μᾶλλον δὲ συνεγνωκότας ὑπὸ φιλανθρωπίας, μόνῳ τῷ παρὰ τοῦ χρόνου χρήσασθαι βοηθήματι, καὶ ὑπὲρ τούτου μόνου χάριν εἰδέναι τοῖς ἀνδράσιν ἐκείνοις, ὅσοι παρ' ἑκατέροις τὸν ἀγῶνα τοῦτον ὑπέστησαν· μηδὲ πλέον τι νέμειν αὐτοῖς ἀξιώματος, ἢ ὅσον τοῖς δικαζομένοις ἁρμόττει. οὐ γὰρ τῆς ἀληθείας ἐξετασταὶ καὶ κριταὶ τῷ κοινῷ τῶν ἀνθρώπων ὑπῆρ-

ξαν, τοῦτο δὴ τὸ ὑμέτερον, ὥστε καὶ δεῖν αὐτοῖς τὴν μεγίστην ἀποδιδόναι τιμὴν, καὶ νομίζειν ἃ φασι κύρια. ἀλλὰ τῆς οἰκείας ἕκαστοι προὔστησαν μοίρας, καὶ ταύτῃ τὸν δυνατὸν συνηγωνίσαντο τρόπον, τοῖς τὰ τοιαῦτα δικάσουσι τὴν ὑπὲρ ὧν εἶπον ψῆφον καταλιπόντες. τῶν μὲν δὴ καλῶς εἰρημένων, καὶ ὅσα πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν ὑμῖν μέλλειν λυσιτελεῖν, ἰστέον τε χάριν αὐτοῖς καὶ θαῤῥούντως σφίσι χρηστέον· ἐφ' ἃ δ' ὑπὸ φιλονεικίας προήχθησαν, καὶ ἃ σιγᾶσθαι βέλτιον ἦν, τούτων καθάπαξ ἀποστατέον. μᾶλλον δὲ καὶ παντάπασιν οἶμαι τὰ τῶν ἀνδρῶν ἐκείνων παρέλκον εἶναι μεταχειρίζειν ὑμᾶς, ἅτε μηδὲν πρὸς τὴν παροῦσαν σκέψιν ἐξ αὐτῶν ὠφελησομένους. οὐδὲ γὰρ τὸν τῆς εἰρήνης τρόπον ὑμῖν ὑφηγοῦνται, ἢ ὡς ἂν ἀμφοῖν συνενέγκαι μάλιστα· ἀλλ' ἢ παρῆκαν πάντῃ τοῦτο τὸ μέρος, ἢ τὰ χαλεπώτατα ἀξιοῦσιν, ὅπως περιέσονται τῶν ἑτέρων πανταχόθεν μόνον φροντίζοντες· ὑμεῖς δὲ τὴν εἰρήνην καὶ τὴν τῆς ἀληθείας γνῶσιν προὔργου ζητεῖτε. ἐπεὶ τοίνυν τὴν τοῦ ζητουμένου φύσιν ἐξ ὧν ἄλλοι τε ἠγωνίσαντο καὶ αὐτοὶ δύνασθε συνορᾶν, καὶ οἴκοθεν ἥκετε κατειληφότες ἤδη, οὐ μόνον τὰ ἑαυτῶν εἰδότες, ἀλλὰ καὶ τὰ τῶν ἄλλων ἑκάτεροι, τῶν μὲν ἀγωνισμάτων τούτων καθάπαξ ὑπεριδεῖν· δι' ὧν δὲ μόνον ἔνεστιν εἰρήνης τυχεῖν, τούτων εὐθὺς ἅψασθαι δεῖ. τὰ δ' ἔστιν ὡς ἐμοὶ δοκεῖ σκοπουμένῳ· πρῶτον μὲν πρὸς τοὺς θεμελίους ἀναδραμόντας τῆς πίστεως, καὶ τὰς τῆς ἀληθοῦς θεολογίας ἀρχὰς, τούτοις ἑκατέραν δόξαν προσάγειν, καὶ ἥτις ἂν ἐκείνοις συμβαίνοι μάλιστα θεωρεῖν· ἔτι γε μὴν οἱ τῆς ἐκκλησίας διδάσκαλοι πῶς ἐξειλήφασι τὰ τῆς γραφῆς ἀξιώματα, ἃ πρὸς ταύτην τὴν ὕλην τείνειν δοκεῖ· πρὸς δὲ τούτοις, τί περὶ τοῦ ζητήματος ἐθεολόγησαν ἕκαστοι. ὧν ἐκ μὲν τοῦ πρώτου ῥηθέντος πολλὴν ἡγοῦμαι δυσχέρειαν ἀνακύπτειν· περὶ γὰρ τὰς τῆς πίστεως ἀρχὰς εἰκὸς εἶναι πλείους διαφορὰς, ἐξ ὧν ἡ τῶν συμπερασμάτων ἐναντιότης συνάγεται· ἃς οὔτ' ἀναιρεῖν εὐπρεπὲς, λήσομεν γὰρ πολλαπλασιάσαντες τὸ δεινὸν, καὶ πολλοῖς τισιν αἰτίοις ἀποῤῥαγέντες ἀλλήλων, ἐν οἷς ἔσται τις καὶ χαλεπωτέρα τῆς παρούσης διαφορᾶς· οὔτ' εἰκός ἐστι συγχωρεῖν οὔτε τοὺς ἑτέρους τοῖς ἄλλοις, τοῦτο γὰρ ταὐτὸν ἔσται καὶ τὴν ἧτταν ὁμολογεῖν, οὔτ' ἀλλήλοις· καὶ ταύτῃ γὰρ ἀσύμβατοι μέχρι παντὸς ἐσόμεθα, τὰ ἀντικεῖσθαι δοκοῦντα συμπεραίνοντες ἐξ ἀντικειμένων

ἀρχῶν, καὶ πρὸς ἑαυτοὺς τὴν τῶν ἑτέρων δόξαν ἀντιμεθιστάντες ἑκάτεροι. συμφέρει δὴ τὰς μάλιστα ἀρεσκούσας ἀλλήλοις ἐκλεξαμένους ἀρχὰς ἐκ τούτων ἐπιχειρεῖν· εἰ δ' οἷόν τε καὶ περὶ πάσας τὰς ἄλλας δείκνυσθαι συμφωνοῦντας, σκέψασθαι μετὰ ταῦτα· εἰ μή τις οἴοιτο περιττὸν εἶναι τοῖς περὶ τὸ συμπέρασμα συμφωνεῖν συνηθεῖσι τὰς ἀρχὰς ἐξετάζειν, ἐξ ὧν ἡ προτέρα μάχη συνήπτετο. περὶ δὲ τὰ λοιπὰ δύο μηδεμίαν εἴποιμ' ἂν εἶναι δυσχέρειαν· τάς τε γὰρ ἐξηγήσεις τῶν διδασκάλων ῥᾴδιον οἶμαι χρῆμα τοῖς γε τὰ τοιαῦτα μάλιστα δεινοτέροις ἀκριβῶς συνιδεῖν, ὁπόσας τοῖς τῆς γραφῆς χωρίοις ἀπέδωκαν· εἰ δέ τινες ἐν ὑμῖν διαφόρως καὶ ταύτας νοοῖεν, τοῖς σοφωτέροις καὶ πλείοσι τὴν νίκην ἀφορίζεσθαι δεῖ, τοῦτο γὰρ καὶ δίκαιον καὶ προσῆκον ἂν εἴη· τάς τε τῶν ἁγίων περὶ τῶν προκειμένων δόξας ἐφαρμόττειν ἀλλήλαις, καὶ πρὸς μίαν ἁπάσας γνώμην συνάγειν, κἂν ἔστιν οὗ δοκῶσι διενηνέχθαι, καὶ προσῆκον οἶμαι καὶ ῥᾴδιον. οὐ γὰρ δεῖ γε προσέχειν, εἴ τις καταψηφίζεσθαί τινος βούλοιτο τῶν ὑπὸ τοῦ κοινοῦ τῆς ἐκκλησίας τετιμημένων, ἢ διεφθάρθαι τὴν ἐκείνου θεολογίαν ὑπὸ τῶν οἰκείων τιθεὶς τὰς παρ' αὐτοῦ μὴ προσίοιτο μαρτυρίας· πλὴν ἂν μή τί που φανερῶς διεφθορὸς ᾖ, καὶ συγχωρῆτε μὲν ἑκάτεροι, μαρτυρῇ δὲ καὶ τὰ παρ' ἑκατέροις βιβλία τῆς λύμης ταύτης ἀπηλλαγμένα, καὶ τὸ γνήσιον ἑαυτοῖς περισώζοντα. καθόλου μὲν οὖν ἐπὶ τὴν γνῶσιν τῆς ἀληθείας τρισὶ τούτοις ὁδηγηθήσεσθε· τοῖς τῆς γραφῆς ἀξιώμασι δηλονότι, ταῖς αὐτῶν ἀναπτύξεσι, καὶ ταῖς ἰδίαις τῶν διδασκάλων γνώμαις, ἃς ὁπουδήποτε τῶν οἰκείων λόγων τοῖς ἄλλοις κατέμιξαν, μνησθῆναι τῆς τοῦ πνεύματος προόδου δεῆσαν. ὡς ταῦτα πάντα διάθησθε κάλλιστά τε καὶ προχειρότατα, τάς τε προλήψεις καὶ φιλονείκους ἐνστάσεις ἐξαιρετέον, καὶ τὰς σαθρὰς καὶ ῥᾳδίως ἐξελέγχεσθαι δυναμένας ἀποφυγάς, καὶ πανταχοῦ μετὰ τῆς ἰσότητος χωρητέον· οὐ γὰρ μᾶλλον νῦν ἀλλήλοις καθήμεθα δικασταὶ περὶ τῶν ἀμφισβητουμένων, ἢ τῇ τε θείᾳ γραφῇ καὶ τοῖς ταύτης ἐξηγηταῖς τε καὶ διδασκάλοις τῆς ἀναγκαίας συμφωνίας ἐφευρεταὶ καὶ συνήγοροι. ὅθεν οὐκ ὀρθῶς κεχρημένοι τοῖς προκειμένοις, πολλοῖς καὶ ποικίλοις ἀδικήμασιν ἐνεχόμεθα. οὐκοῦν ὡς τῆς φιλονεικίας ἐπὶ πλεῖον τῶν ἀνηκέστων ἡμᾶς δυναμένης ἐκφέρειν ἀπέχειν μὲν αὐτῆς παντελῶς, συμμάχους δὲ ἐπὶ τοῦτο τήν τε πρὸς

ἀλλήλους εὔνοιαν, καὶ τὸ μετὰ τῆς ἀληθείας ἅπαντα λέγειν πειρᾶσθαι, πρέπει καλεῖν. καὶ πρῶτα μὲν μὴ πάντα βούλεσθαι διαῤῥήδην λαμβάνειν ἐκ τῆς γραφῆς, τούτῳ γὰρ καὶ πολλοὺς τῶν αἱρετικῶν ἴσμεν χρησαμένους τῷ προκαλύμματι, ἀλλ' ἄν τι τοῖς οὕτω λεγομένοις ἀκόλουθον ᾖ, καὶ τοῦτο τῆς ἴσης τιμῆς ἀξιοῦν. ὡσαύτως εἴ τι τοῖς ἀληθέσι καὶ ἀναντιῤῥήτοις ἐναντιούμενον φαίνοιτο, τοῦτο μηδένα παραδέχεσθαι τρόπον· ἔπειτα τῶν μὴ σαφῶς εἰρημένων αὐτὴν τὴν γραφὴν λαμβάνειν διδάσκαλον, ἐξ ὧν ἄλλοθί που σαφέστερον πραγματεύεται· πρὸς δὲ τούτοις τὴν δοκοῦσαν διαφωνίαν ἐξηγουμένους λύειν πειρᾶσθαι, καιρούς τε καὶ χρείας καὶ διαφόρους ἐννοίας καὶ τὰ τοιαῦτα παραλαμβάνοντας. οὐ γὰρ πιστεύειν ὅλως εἰκὸς ἀσυμφωνίας τι καὶ σαθρότητος τῇ τοῦ πνεύματος διδασκαλίᾳ προσεῖναι· καὶ ὅλως πῶς δεῖ τὰ τοιαῦτα τέμνειν ἡμᾶς, οὐ μόνον τῷ κατὰ τοὺς κοινοὺς διδασκάλους παραδείγματι καὶ οἷς ἐπὶ τῆς ἴσης εἵλοντο χρείας, ἀλλὰ καὶ οἷς εἶπον περὶ τούτων ἐπίτηδες, οὐδὲ τοῦτο τὸ μέρος ἀβοηθήτους ἐῶντες, συμβάλλειν τε καὶ εἰδέναι δυνάμεθα. ἵνα γὰρ Κύριλλον καὶ Χρυσόστομον καὶ Αὐγουστῖνον καὶ τοὺς ἄλλους τῶν θεολόγων παρῶ, μακρὸν γὰρ ἂν εἴη τὰ πάντων ἐξαριθμεῖν, οἷς εἴπερ ἄλλου τοῦ καὶ τῆς τῶν γραφῶν ἐμέλησε συμφωνίας, οὕτω κἀκείναις τὴν παρὰ πάντων αἰδῶ τηρήσειν δικαίως, καὶ σφᾶς εὐγνώμονας καὶ σοφοὺς ἐκείνων ὁμιλητὰς δείξειν ὑπειληφώς, τῶν τοῦ μακαρίου Νύσσης ὑμᾶς ἀναμνῆσαι βούλομαι· ἃ τὸν μακάριον Στέφανον ἐγκωμιάσαι προθέμενος, ἐπεὶ καὶ τὴν ὀπτασίαν ἐκείνου τοῦ λόγου μέρος ἔγνω ποιήσασθαι, κατὰ τῶν αἱρετιζόντων εὐφυῶς ἀποπέμπει, πρόφασιν εἰκαιολογίας καὶ ψεύδους ἐκείνην πεποιημένων. ἐκθήσομαι δὲ αὐτὰ σχεδὸν ἐκείνου τὰ ῥήματα. ἐπειδὴ γὰρ ἐκ τῆς θεωρίας ἐκείνης οἱ λυσσῶντες κατὰ τοῦ πνεύματος ᾤοντο βοηθεῖσθαι, λέγοντες· Εἰ μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ δεῖ πάντως ἀριθμεῖσθαι τὸ πνεῦμα, πῶς οὐκ εἶδε Στέφανος ἐν τῇ ὀπτασίᾳ μετὰ τοῦ υἱοῦ καὶ τὸ πνεῦμα; ἐξ αὐτῶν τῶν τῆς θεωρίας ῥημάτων αὐτοὺς ἀνατρέπει, τὰ ἑπόμενα τοῖς ἡγουμένοις συνάπτων· καὶ δείκνυσιν ἀριθμούμενον μὲν ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον, αὐτοὺς δ' ἅτε τυφλώττοντας ὑπὸ τῆς πονηρίας παριέντας αὐτό. εἰ γὰρ τῷ ὁμοίῳ, φησὶ, καθορᾶται τὰ ὅμοια, καὶ οὐκ ἔστι τὸ φῶς ὀφθῆναι μὴ ἐν τῷ φωτὶ καθορώμενον, εὔδηλον ὅτι καὶ Στέφανος

προκαταυγασθεὶς τῇ δόξῃ τοῦ πνεύματος, ἐν περινοίᾳ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ δόξης ἐγένετο. Στέφανος γάρ, φησι, πλήρης ὢν πνεύ-
* Πράξ. 7, 55. ματος ἁγίου, εἶδε τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν μονογενῆ τοῦ θεοῦ.* ὃ γὰρ σεσίγηκεν ἡ γραφὴ ἐν τῇ τῶν φανέντων ἀπαριθμήσει, τοῦτο τέθεικε πρότερον· τῆς τοῦ πνεύματος χάριτος ἔργον εἶναι τὴν ὕψωσιν καὶ τὴν θεωρίαν ἐκείνην τοῦ μάρτυρος ἀποφηναμένη καὶ δυνάμεως εἶναι θείας, οὐκ ἀνθρωπίνης μηχανῆς τὸ κατόρθωμα. ὥστε πανταχόθεν συλλέγειν δεῖ τἀληθὲς καθάπερ τὰς φιλοπόνους μελίττας· διὰ γὰρ
* 'Ιω. 5, 39. τοῦτο καὶ ἐρευνᾶν τὰς γραφὰς προστεττόμεθα* ὡς οὐκ προχείρου τῆς ἀληθείας ἐν ταύταις κειμένης, ἀλλὰ σπουδῇ καὶ πόνοις ἀνευρίσκεσθαι δυναμένης. ἀλλ' οἱ πνευματομάχοι μέρει τῶν λεγομένων προσέχοντες, τὰ λοιπὰ καὶ δι' ὧν πρὸς τὴν γνῶσιν ἔμελλον ἀφικέσθαι τοῦ ζητουμένου, κακουργοῦντες παρέλιπον. ὁ δὲ μακάριος Νύσσης, οὐ μόνον αὐτὰ τὰ μέρη τῆς θεωρίας ἀλλήλοις συνάπτει καλῶς, ἀλλὰ καὶ ταῖς ἄλλαις γραφαῖς αὐτὰ συμβαίνοντα δείκνυ-
* 'Ιω. 1, 18. σιν· ἔνθεν μὲν τῷ τοῦ εὐαγγελίου· Θεὸν οὐδεὶς ἑώρακε πώποτε* ἐκεῖθεν δὲ τῷ τοῦ ἀποστόλου· Οὔτε τις εἶδεν ἀνθρώπων θεὸν, οὔτ'
* Τιμ. ά, 6, 16. ἰδεῖν δύναται.* εἰ γὰρ ἀνθρωπίνῃ φύσει καὶ δυνάμει, φησὶν, ἡ τοῦ πατρὸς καὶ υἱοῦ δόξα χωρητὴ κατέστη, ψευδῆ πάντως ἑκάτερα. ἀλλὰ μὴν οὔτ' ἐκεῖνα ψεύδεσθαι, καὶ τὴν ἱστορίαν ἀληθεύειν ἐπάναγκες. ὥστε δι' οὗ τὸ θεῖον ὁρᾷν περιγίνεται μόνου, καὶ αὐτὸ θεός ἐστιν ἄντικρυς. Τὰ δ' αὐτὰ καὶ τῶν Ἀρειανῶν κακουργούντων ἐκ τῆς αὐτῆς θεωρίας, καὶ τὸ παρεστάναι λέγεσθαι τῇ δόξῃ τοῦ πατρὸς τὸν υἱὸν, τῆς τοῦ μονογενοῦς ἐλαττώσεως ἀπόδειξιν ποιουμένων, μετὰ τῆς ἴσης ἀποκρίνεται σοφίας καὶ χάριτος· καὶ τὸν ἀπόστολον μετὰ τοῦ Δαβὶδ ἀφορίζοντα τοῦτο παράγει, τὴν ἐκ
* Ψαλμ. 109, 1. Έβρ. 1, 13. δεξιῶν τοῦ πατρὸς καθέδραν, ἣ τῆς ὁμοτιμίας ἐστὶ σημεῖον.* εἶτά φησιν· Ἡ τοίνυν παραγραφέσθωσαν τὰς μεγαλοπρεπεῖς μαρτυρίας, δι' ὧν τὸ ὑψηλὸν τῆς ἀξίας διασημαίνεται, ἢ καὶ ταύτην εὐσεβῶς ἐκδεξάσθωσαν· εἷς γὰρ ἐφ' ἑκάστου τῶν εἰρημένων διδάσκαλος, ἡ τοῦ πνεύματος χάρις. ἀλλ' εἴπερ εἷς, φησιν, ὁ διδάσκαλος τὸ πνεῦμα τῆς ἀληθείας ἐστὶ, τὸ ἐν τοῖς θεοφορουμένοις γινόμενον, πῶς ἄν τις διαφωνίαν τινὰ τῶν δογμάτων καθυποπτεύσειεν; οὐκοῦν τὴν μὲν ἑτερότητα τῆς καθέδρας τε καὶ τῆς στάσεως κατὰ τὸ προχείρως νοούμενον τοῖς σώμασι φυλακτέον· τῆς δ' ἀσωμάτου φύσεως

οὐδὲν ὅλως προσηρμένης, ἐξ ὧν ἡ τῶν ὀνομάτων τούτων εἰσάγεται διαφορὰ, λείπεται δι' ἑκατέρας φωνῆς τὸ ἐν τῷ ἀγαθῷ στάσιμόν τε καὶ ἀμετάθετον ἐννοεῖν εὐσεβῶς. ὅ τε γὰρ ἑστάναι καὶ ὁ καθῆσθαι τὸ θεῖον λέγων, οὐδὲν πρὸς ἀλλήλους ἐν τῇ τῶν ῥημάτων ἑτερότητι περὶ τὸν νοῦν διαφέρονται· ὁ μὲν βεβηκέναι παγίως, ὁ δὲ καθιδρῦσθαι ἀμεταθέτως τὸ θεῖον ἐν τῷ ἀγαθῷ δογματίζοντες. Πῶς οὖν ἄν τις ἄμεινον ὑφηγήσαιτο τὰ τῆς γραφῆς ὅντινα χρὴ τρόπον νοεῖσθαι, καὶ τὰς ἐν αὐτῇ φαινομένας λύειν διαφωνίας; μᾶλλον δὲ τίς ἂν ἐγένετο βελτίων ἀπόδειξις τοῦ φαῦλον μὲν χρῆμα καὶ τῆς τῶν αἱρετικῶν κακουργίας τὴν τῶν γραφῶν διαίρεσιν καὶ τὸν συγκρουσμὸν, τὴν δὲ τούτων συνεισαγωγὴν θεοφιλὲς εἶναι καὶ τοῦ παντὸς ἄξιον; εἰ δὲ καὶ μόνος ἂν ἤρκεσεν ἡμῖν οὗτος, οὕτω μὲν σαφέστατα περὶ τούτων ἀποφαινόμενος, ἀξιώματι δὲ μηδενὸς τῶν τῆς ἐκκλησίας διδασκάλων ἡττᾶσθαι δίκαιος ὢν, τίς ἂν μετὰ τούτου καὶ τοὺς ἄλλους πάντας περιϊδὼν τὴν ἴσην ἔσχοντας γνώμην, καὶ τὰ τῆς γραφῆς ἄλλον τινὰ τρόπον αὐτὸς θέλων ἐκδέχεσθαι, ὑγιές τι καὶ νοῦ μετέχον πράττειν δόξειεν ἄν; οὐ μόνον δὲ τῶν ἁγίων ἕκαστος οὕτω τῇ γραφῇ προσηνέχθη, αὐτός τε οἴκοθεν τὸ δέον εὑρίσκων, καὶ τοὺς φθάσαντας ζηλοῦν ἀξιῶν, ἀλλὰ καὶ πάντες ὁμοῦ ταυτησὶ τῆς γνώμης ἐγίνοντο, ὁπότε τῶν ὑπὲρ τῆς ἀληθείας ἀγώνων αὐτοὺς ἡ χρεία συνῆγεν. αὐτίκα γὰρ οἱ τὸ πρῶτον συνελθόντες ἐν Νικαίᾳ πατέρες, πρὸς τὸν πατέρα τοῦ μονογενοῦς ἰσοτιμίας κινδυνευούσης ἐκβάλλεσθαι, τοῦτον τὸν τρόπον προέστησαν· οὐ γὰρ ἠξίουν προσέχειν ἁπλῶς τοῖς εἰς ἀπόδειξιν τοῦ ψεύδους βιαζομένοις τὰ τῆς γραφῆς ἀξιώματα· ἀλλὰ δόξῃ μὲν δόξαν μαχομένην ὁρῶντες, τὸν δὲ πόλεμον τοῦτον καὶ πρὸς τὴν γραφὴν διαβαίνοντα, ἢ ταῖς ἐναντίαις δόξαις ἐδόκει συνηγορεῖν, τὴν μὲν μόνην τῆς ἀληθείας διδάσκαλον ἀδύνατον ἐνόμισαν εἶναι περιϊστᾷν αὐτῇ· οὔτ' ἠξίωσαν ἄλλα μᾶλλον ἄλλων τιμᾶν αὐτῆς μέρη· τὴν δ' ἁπάσῃ τῇ γραφῇ συμφωνοῦσαν δόξαν ἀνεῦρον, ἥτις ἦν ἡ τῷ πατρὶ τὸν υἱὸν ἴσον εἶναι τιθεῖσα, καὶ θεὸν ἀληθῆ. τῆς γὰρ τῶν θείων προσώπων ἰσοτιμίας ἀναιρουμένης, ἔδοξε μὲν ἂν ἴσως τὰ περὶ τοῦ Χριστοῦ ταπεινότερόν τε καὶ ἀνθρωπικώτερον λεγόμενα σώζεσθαι, τοῖς δὲ τὴν θεότητα μαρτυροῦσι μάτην ἀνῃρῆσθαι περιγεγόνει· ἐκείνης δ' ἀκινήτου μενούσης, καὶ ἀμφοτέροις τούτοις

ὑπῆρχε κρατεῖν. ταύτην οὖν τῆς τὸν πόλεμον ἀνεγειρούσης προὐτίμησαν, οὐδ' ἀπέστησαν ἕως ταύτῃ μὲν τὸ νικᾶν, τῇ δὲ γραφῇ τὸ γινόμενον δι' αὐτῆς καὶ τὴν συμφωνίαν ἀπέδωκαν. τούτων ἄλλοι τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας καὶ τὴν προθυμίαν ἐκδεξάμενοι, πρῶτοι καὶ τῆς περὶ ταῦτα μεθόδου κατέστησαν ζηλωταί· τοῖς γὰρ τότε ζητηθεῖσι καὶ οὗτοι μετὰ τῆς αὐτῆς ἀκριβείας καὶ τοῦ πανταχόθεν τὴν γραφὴν φυλάττειν ἀσάλευτον, τὴν κρίσιν ἀπέδωκαν. καὶ πᾶσα σύνοδος ἐφεξῆς μετὰ τῆς αὐτῆς διανοίας περὶ τῶν ἄλλοτε ἄλλως ζητουμένων ἐσκέψατο, ὡς διὰ πασῶν μίαν τινὰ χρυσῆν ὡς ἀληθῶς ἀποτελεσθῆναι σειρὰν, ἴσην ἅπασι τοῖς καλοῖς, πρὸς δὲ καὶ τῇ περὶ τῶν γραφῶν γνώμῃ συμβεβηκυῖαν ἄριστα καὶ συνηρμοσμένην. εἰ γὰρ καὶ μὴ παρ' ἑαυτῶν ἕκαστοι τὸ καλὸν καὶ δίκαιον εἶχον εὑρίσκειν, ἀλλ' ἦν ἐκ τῶν προτέρων τοῖς ὑστέροις τὰ παραδείγματα· εἰ δὲ καὶ τούτων ἠπόρουν, ἀλλ' οἴκοθεν αὐτοὶ κατορθοῦν ἠδύναντο τῷ πνεύματι βοηθούμενοι. ὥστ' οὐ μόνον ἕκαστοι τῶν ἁγίων χωρὶς, ἀλλὰ καὶ πάντες ὁμοῦ μετὰ τῆς τῶν γραφῶν συμφωνίας πάντα ἐποίησαν· καὶ μὴ μόνον καθ' ἕνα, ἀλλὰ καὶ κατὰ πλείους τὴν αὐτὴν περὶ τῶν αὐτῶν προείλοντο γνώμην· οὐδ' ἠγήσαντο τοὺς μὲν οἰκείους διδάσκοντες τῆς τῶν γραφῶν συμφωνίας στοχάζεσθαι πανταχοῦ, τοὺς δὲ πρὸς τοὺς ἐναντίους ἀγῶνας ἄλλον τινὰ διατίθεσθαι τρόπον· τοὐναντίον γὰρ μᾶλλον καὶ τῶν προτέρων αὐτοῖς τῶν ὑστέρων χάριν ἐδέησε. καὶ ὥστε μηδένα τῷ φαινομένῳ μόνον προσέχοντα, τὸν δ' ἐγκείμενον οὐκ ἀνορύττοντα θησαυρὸν, πλάνης αἴτιον αὐτῷ γεγενῆσθαι, καὶ οἴεσθαι τῷ φωτὶ χρῆσθαι πρὸς τοὺς κρημνοὺς ὁδηγῷ, καὶ τὰς ἀνοδίας τὰς δοκούσας διαφωνίας ἐξήρουν, καὶ τὸν αὐτὸν διὰ πάντων σώζεσθαι νοῦν ἀπεδείκνυον. οὕτω καθάπερ ἀπὸ συνθήματος καὶ κοινῇ καὶ ἰδίᾳ καὶ πανταχοῦ καὶ πρὸς πᾶσαν χρείαν τούτου μάλιστα πάντων ἐφρόντισαν, ὡς τοῦτο κεφάλαιον ὂν αὐτοῖς τῆς σπουδῆς· τὸν γὰρ αὐτὸν ὑπέρ τε τούτου καὶ τῆς ἀληθείας καὶ τῆς αὐτῶν σωτηρίας ᾔδεσαν ὄντα σφίσιν ἀγῶνα· καὶ μετ' αὐτοῦ μὲν τὰ λοιπὰ κατορθώσειν, ἂν δὲ τούτων περιϊδόντες καὶ τῶν λοιπῶν ἐκπεσεῖσθαι πάντως ἐνόμιζον. Τούτων τοίνυν οὕτω κειμένων, καὶ μηδενὸς ἄλλως ταῦτ' ἔχειν εἰπόντος ἂν, κἂν σφόδρα φιλόνεικος ᾖ, καὶ ὑμᾶς τὴν αὐτὴν ἑλέσθαι πρὸς τὰ παρόντα γνώμην ἐπάναγκες, καὶ τοῦ ταῖς γραφαῖς γε-

νόμενον διασώσασθαι πάντα ἄγειν ἐλάττω. εἴτε γὰρ πρὸς ἕκαστον τῶν μακαρίων ἐκείνων χρὴ ἀπιδεῖν, ὑμεῖς ὄντες τοσοῦτοι δικαιότερον ἂν καὶ βουληθεῖτε ταῦτα, καὶ καταπράξαισθε, εἴτε πάντας ὁμοῦ λογιεῖταί τις, τὸ μετ' ἐκείνους εἰς τὴν αὐτὴν καταστῆναι χρείαν ὑμᾶς, καὶ ζηλοῦν βούλεσθαι λυσιτελές· καὶ τὴν ἐναντίαν ἰοῦσι, ψόγων αἴτιον ἔσται. καί τοι τοῖς μὲν, εἰ καὶ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε προτέροις αἱ γραφαὶ μόνον προὔκειντο, ἃς δυσχερὲς μὲν ἦν, ὅμως δ' ἴσχυσαν συμβιβάσαι· ὑμῖν δ' οὐ μικρὰ βοηθείας προσθήκη, ἀλλὰ σχεδὸν αὐτὴ τὸ πᾶν οὖσα, αἵ τε τῶν διδασκάλων ἐπὶ ταῖς γραφαῖς ἐξηγήσεις, καὶ ἄλλοι τούτων ἀγῶνες οὓς καὶ ἐλέγχῳ μὲν τῶν ἀνθισταμένων τῇ ἀληθείᾳ, βεβαιώσει δὲ τῶν οἰκείων καὶ πειθομένων αὐτοῖς ἐνεστήσαντο. ὧν τοσούτων ὄντων καὶ μαρτυρούντων ἀλλήλοις, τὴν συμφωνίαν ὥσπερ ὁδηγόν τινα ἀπλανῆ τῆς ζητουμένης ἀληθείας λαβεῖν πρόχειρόν ἐστιν οὐδὲν ἧττον ἢ δίκαιον. ἀλλὰ τὰ μὲν περὶ τῶν διδασκάλων, αὐτίκα· τὰ δὲ τῶν γραφῶν ἀξιώματα δεῖ συνάπτεσθαι πρῶτον. ἔχει γὰρ οὕτω· τὸ μὲν ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, κεῖται μὲν διαῤῥήδην ἐν τῇ γραφῇ, ὁμολογεῖται δὲ παρὰ πάντων ἡμῶν, καὶ οὐ μᾶλλον πρὸς Γραϊκῶν ἢ Λατίνων ἕστηκε τοῦτο, οὐδ' ἔστιν ἐκ τούτου λύειν τὴν ἀμφισβήτησιν. οὔτε γὰρ ἀνάγκη καὶ ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα τούτου κειμένου, οὔτ' ἀδύνατον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι· ἡ γὰρ κατάφασις αὕτη τὴν ἑτέραν κατάφασιν οὔτε τίθησιν οὔτ' ἀναιρεῖ· ἀλλ' ἐνδέχεται μὲν ἐκ τοῦ υἱοῦ προϊέναι, ἐνδέχεται δὲ καὶ μὴ προϊέναι ὅσον ἔκ γε τοῦ λόγου. ὥσπερ εἴ τις λέγοι τὸν ἄνθρωπον εἶναι ζῶον, οὔτε λογικὸν εἶναι τίθησιν ἐξ ἀνάγκης, οὔτε τοῦτ' ἀναιρεῖ. καί τοι πρὸς τὸν τῆς προόδου τῶν θείων προσώπων τρόπον ἀφορῶσιν ἡμῖν, καὶ ἣν οἱ θεῖοι πατέρες τούτοις ἀπέδωκαν τάξιν, τίθησι καὶ πολὺ μᾶλλον ἡ κατάφασις τὴν κατάφασιν. τῶν γὰρ τῷ πατρὶ προσόντων καὶ τὸν υἱὸν δεῖ κοινωνεῖν, ἂν μή τι κωλύῃ· καὶ τὸ διά τινος ἔκ τινος οὐσιωδῶς προϊὸν, αἰτίαν ἔχει καὶ τὸ δι' οὗ πρόεισι· καθάπερ εἴ τις τὴν θέρμην ἐκ τοῦ ἡλίου προέρχεσθαι λέγοι, τὸ καὶ ἐκ τῆς ἀκτῖνος προϊέναι αὐτὴν οὔτε τίθησιν οὔτ' ἀνατρέπει· οὔκουν ἔκ γε τοῦ λόγου· καί τοι τίθησι μᾶλλον, ἄν τις τὸν τῆς προόδου τρόπον λογίζοιτο, καὶ τὸ μεσιτεῦον ἥντινα τάξιν πρὸς ἑκάτερον ἔχει· τότε γὰρ τὸ διὰ τῆς

ἀκτῖνος φυσικῶς προϊὸν, καὶ ἐξ αὐτῆς ὡς ἐκ προσεχοῦς αἰτίας προέρχεσθαι πάντως ἐρεῖ· τέως δὲ τὸν λόγον μόνον σκοποῦντες, οὐδέτερον ἐξ ἀνάγκης ἀποφαινόμεθα. ἆρ' οὖν οὕτω κἀπὶ τοῦ πράγματος ἔχει; οὐμενουν· ἐκπορεύεσθαι γὰρ αὐτὸ παρὰ τοῦ υἱοῦ, καὶ πάλιν οὐκ ἐκπορεύεσθαι, καθάπαξ ἀδύνατον. λείπεται τοίνυν θάτερον τούτων ἀληθὲς εἶναι· ἀλλ' οὐδέτερον τούτων ἐκ τῆς γραφῆς διαῤῥήδην ἐστὶ λαβεῖν· οὐκοῦν ἔκ τινων ἄλλων τοῦτο συνάγεσθαι δεῖ, φανερῶς ἐκεῖ λεγομένων. ταῦτα τοίνυν δίκαιόν ἐστι θεωρεῖν· καὶ εἰ μὲν πάντα τὰ τῆς γραφῆς τῇ τῶν Λατίνων βοηθεῖ καταφάσει, ταύτην ἑλέσθαι· εἰ δὲ τῇ τῶν Γραϊκῶν ἀποφάσει, τὴν κατάφασιν ἀτιμάζειν. οἷον εἰ τὸ πέμπεσθαι παρὰ πατρὸς καὶ υἱοῦ· εἰ τὸ καὶ ἀμφοτέρων λέγεσθαι πνεῦμα, οὐ μόνον δηλονότι πατρὸς, ἀλλ' ἔνθα μὲν ἀληθείας ἔνθα δὲ Χριστοῦ καὶ υἱοῦ· εἰ τὸ πάντα τὰ τοῦ πατρὸς ἔχειν καὶ τὸν υἱόν· εἰ τὸ παρὰ τοῦ υἱοῦ λαμβάνειν καὶ ἀναγγέλλειν· εἰ τὸ τοῖς μαθηταῖς ἐμφυσήματι σωματικῷ τὸ πνεῦμα δίδοσθαι· εἰ τὸ πέμπειν αὐτὸ τὸν υἱὸν παρὰ τοῦ πατρὸς, ὥσπερ ὁ πατὴρ αὐτὸ πέμπει ἐν τῷ ὀνόματι τοῦ υἱοῦ· εἰ τὸ πεμπόμενον ἐκ τοῦ υἱοῦ δοξάζειν αὐτὸν, ὥσπερ ὁ υἱὸς ἀποσταλεὶς ἐκ τοῦ πατρὸς δοξάζει τὸν ἀποστείλαντα· εἰ τὰ τοιαῦτα πάντα τῇ καταφάσει συνᾴδει, ἀληθῆ καὶ κυρίαν αὐτὴν πρέπει νομίζειν. καὶ πάλιν, εἰ τῷ μὴ ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, διαῤῥήδην ἐν τῇ γραφῇ τινα κείμενα συνηγορεῖ, τῇ ἀποφάσει προστίθεσθαι. εἰ δὲ καὶ πάντα πλὴν ἑνός τινος,* δραξαμένους ἄλλοθεν ἠρτημένου τυχὸν, ἢ διὰ πολλῶν ἄλλων φανερουμένου, καὶ τούτῳ βεβαιοῦντας τὴν δόξαν ὁποτέραν ἂν εἴποι τις, τῶν ἄλλων ὑπερορᾶν, ἃ τῇ μὲν ἀντικειμένῃ δόξῃ βοηθεῖν ἔχει, τὸ δὲ δοκοῦν ἀνθίστασθαι φίλον καὶ σύμμαχον* ἐπάγεται, μὴ συκοφαντοῦντας, ἀλλὰ μᾶλλον ἅπανθ' ὡς ἂν ἀλλήλοις συνάπτοιντο καὶ συνᾴδοιεν ἐξηγησαμένους καὶ τοῖς πλείοσι καὶ φανερωτέροις τὰ ἐλάττω καὶ ἀσαφέστερα κρίναντας, ἐκεῖθεν καὶ περὶ τῶν δοξῶν ἀσφαλῶς ἀποφαίνεσθαι· καὶ τὴν μὲν αἰτίαν γινομένην τοῦ διὰ πάντων ἑαυτῇ τὴν γραφὴν συμφωνεῖν, ταύτην αἱρεῖσθαι, τὴν δ' ὡς ἑτέρως ἔχουσαν ἀποπέμπεσθαι, καὶ ταῖς εἰς ἄτοπον ἀπαγωγαῖς ἐπὶ τούτου μάλιστα χρῆσθαι· ἓν ἄτοπον διὰ πάντων φυλαττομένους, τὸ τὰ τῆς γραφῆς συγκρούειν πρὸς ἄλληλα, καὶ δόξαν τιμᾶν πολέμου καὶ μάχης

* ἴσ. οὐ χρὴ τούτου δραξαμένους,

* ἴσ. οὐκ ἐπάγεται. ταῦτα οὖν μὴ συκοφαντοῦτας.

τούτοις αἰτίαν· ἐπεὶ τά γε ἄλλα σαθρὰς ἡγοῦμαι τὰς τοιαύτας μεθόδους ἐπὶ τῶν προκειμένων, καὶ τὸ πᾶν εἰπεῖν ἐπιβούλους· καὶ ῥᾴδιον μὲν ἀπαγαγεῖν ἀλλήλους ἐπὶ τὰ χείριστα, τὸ δὲ πάντα ἐκκλίνειν, μείζονος εὐκολίας· καί τοι καὶ μηδενὸς ἐκ τούτων ἑπομένου κινδύνου, οὐκ ἂν εὐλόγως ταύτας προσίεσθαι. περὶ μὲν γὰρ ὧν οὐκ ἔστι λαβεῖν ἐκ τῆς γραφῆς ἀξιώματα, ἀλλὰ δεῖ τοῦ εἰκότος στοχαζομένους ἡμᾶς ἀποφαίνεσθαι, πρὸς ταῦτα καὶ ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς ἀνέγκλητόν ἐστι χρῆσθαι, καὶ πάσαις ἄλλαις μεθόδοις, αἳ πρὸς τὴν τοῦ δοκοῦντος ἀληθεστέρου κατάληψιν ἡμᾶς μέλλουσιν ὁδηγεῖν· τοσούτων δὲ νῦν ὄντων ἀξιωμάτων, ὧν τὰ μὲν αὐτὰ καὶ μόνον ἀρκεῖ, τείνοντα πρὸς τὸ προκείμενον ἄντικρυς, ἐκ δὲ τῶν ἔξεστι τὴν ἀλήθειαν ἡμῖν συμπεραίνεσθαι, περιττόν τι χρῆμα καὶ μάταιον ἡ τῶν μεθόδων τούτων καθέστηκε χρῆσις, καὶ φιλοτιμία μόνον κενή. οἶδα δὲ καὶ ὑμᾶς, ὦ Γραϊκοὶ, οὐδὲ ταῖς ἀποδείξεσιν ἔν γε τοῖς τοιούτοις θαῤῥοῦντας, ἀλλ᾽ οἰομένους αὐτὰς ὕποπτόν τι χρῆμα καὶ σφαλερόν· πολλῷ μᾶλλον τοίνυν τοῖς δι᾽ ἀδυνάτου συλλογισμοῖς αὐτοί τε εὐλαβηθήσεσθε. εἶεν· οὐ τοίνυν τὰ μὲν τῆς γραφῆς ἀξιώματα συνάπτειν ἀλλήλοις καὶ συμβιβάζειν, ὡς ἂν μάλιστα συνάπτοιντο, δεῖ, τοὺς δὲ τούτων ἐξηγητὰς ἐν οἷς ταῦτά τε διαλευκαίνοντες, καὶ ἄλλως περὶ τῶν τοιούτων ἀγωνιζόμενοι λέγουσι, διαιρεῖν ἀξιώσομεν· ἀλλὰ καὶ τούτοις μετὰ τῆς ἴσης εὐνοίας χρήσασθαι δεῖ, καὶ μηδένα τῆς ὀφειλομένης πᾶσιν ἀποκλείειν αἰδοῦς. εἰ γὰρ τοὺς μὲν στέργειν καὶ τιμᾶν ψηφισαίμεθα, τοῖς δὲ δεῖν ἡγησόμεθα μὴ προσέχειν, νομίζοντες αὐτοὺς διαφέρεσθαι, πρῶτον μὲν οὐδὲ τῆς περὶ τὰς γραφὰς εὐλαβείας ἀπολαύειν τι δυνησόμεθα, τῆς ἐξ ἐκείνων περιγενομένης εἰρήνης ἐκ τῆς φαινομένης τῶν διδασκάλων διαφωνίας πάλιν συγχεομένης, καὶ τῶν ἐκεῖθεν μισθῶν ἡμῖν διὰ τὴν κατὰ τῶν ἁγίων συκοφαντίαν ἀπολλυμένων, οὓς εἰκός ἐστι τὴν τῆς ἀληθείας εἶναι φανέρωσιν. ἔπειτα καὶ τὸ δεινὸν διπλῶς ἡμῖν ἀπαντᾷ· ἢ γὰρ ἐνίους αὐτῶν τῆς ἐν ἁγιότητι στερήσομεν δόξης, ἵνα καὶ τῷ ψεύδει συγχωρήσαι τις αὐτοὺς ὑποκεῖσθαι, καὶ δικαίους παρεωρᾶσθαι· ἢ τὸ τῆς διαφωνίας ἔγκλημα καὶ ἄκοντες ἀπ᾽ αὐτῶν ἐπὶ τὰς γραφὰς μεταστήσομεν πάλιν· καὶ τὸ πνεῦμα τὸ ἅγιον· οὗ τυγχάνουσιν αἱ γραφαί· κἀκείνους μὲν καλῶς ἐπιστῆσαι πᾶσι καὶ νουνεχόντως, τὴν

δὲ γραφὴν τὰς τῆς διαφορᾶς αἰτίας σφίσι προβάλλεσθαι νομιοῦμεν· πρὸς δὲ τούτοις, σοφωτέρους ἡμᾶς καὶ ἁγιωτέρους ἐκείνων δείξομεν ὄντας, εἴπερ ἡμεῖς μὲν καὶ τῇ παρὰ τῶν γραφῶν ἀληθείᾳ, καὶ τοῖς ἄλλοις τῶν διδασκάλων δυνάμεθα συμφωνεῖν, αὐτοὶ δὲ καὶ τούτων ἀμφοτέρων διήμαρτον· καὶ νενομίκασι μὲν ἅπερ οὐκ ἔδει, ἀθάνατον δὲ πρὸς τοὺς ἀδελφοὺς ἐνεστήσαντο πόλεμον. μᾶλλον δὲ ταῦτα μὲν οὔτε τις ὑπὲρ ἡμῶν ἀξιώσει, οὔθ' ἡμᾶς ὑπὲρ ἑαυτῶν λογίζεσθαι χρή· ἀλλὰ δείξομεν ἀληθῶς ἀφυεῖς ὄντες αὐτῶν μαθηταί, καὶ πάντα μᾶλλον ἢ τοῖς τῶν διδασκάλων λόγοις προσέχοντες, εἴπερ ἐκείνων ὅπως ἁρμόττει τοῖς ὑπὸ τοῦ πνεύματος λεγομένοις προσφέρεσθαι, καλῶς ἡμῖν ὑφηγησαμένων, καὶ παραδείγμασιν ἱκανοῖς τὴν διδασκαλίαν βεβαιωσάντων, αὐτοὶ παντάπασιν ἐναντίως χρῆσθαι βουλόμεθα. καὶ μὴν οὐδὲ δίκαιον ὅλως, ἐκείνους μὲν ἐξηγητὰς ἄλλων καθισταμένους, ὡς μέγιστόν τι τῶν ἀγαθῶν αὐτοῖς ἀπονεῖμαι τὴν συμφωνίαν, ἡμᾶς δὲ τἀκείνων αὖθις ἐξηγουμένους, τῆς τηλικαύτης ὥσπερ φθονῆσαι φορᾶς· καὶ ὧν αὐτοὶ τοῖς ἄλλοις μετέδωκαν, τούτων ὑφ' ἡμῶν στερηθῆναι· ἀλλ' εἰ καὶ μηδενὸς ἄλλου χάριν χαλεπῶς ἡμῖν ἕξουσι, τό γε καταψεύδεσθαι τῆς αὐτῶν σοφίας καὶ ἀρετῆς, καὶ ταῦθ' ὑπ' αὐτῶν ὠφελημένους τὰ μέγιστα, καὶ πάντων αὐτοῖς δικαίαν χάριν ὀφείλοντας, δεινὸν οὐ φαῦλον ποιήσονται. οὔτε γὰρ ἁγίοις οὔτε σοφοῖς δοκεῖν αὐτοῖς περιέσται, τἀναντία τοῖς ἀληθέσι φρονοῦσί τε καὶ συγγράφουσι· πρὸς δὲ τούτοις, καὶ πολλὰς ὑπὲρ τῶν ἠπατημένων δίκας ὀφείλειν. ἄνευ δὲ τούτων οὐδ' οἱ παρ' ἡμῶν τιμῆς ἀξιούμενοι χάριν εἴσονται μᾶλλον ἡμῖν, ἢ δικαίως ὀνειδιοῦσι καὶ μέμψονται, τοῦτο μὲν καὶ αὐτοὶ κοινωνοῦντες τῆς τῶν ἀδελφῶν ἀτιμίας, καὶ νομίζοντες ἐκείνων ἀμελουμένων μηδ' αὐτοὶ τῶν εἰκότων τυγχάνειν κἂν σφόδρα δοκῶσι· τοῦτο δὲ εἰ δόξουσιν ἠπατῆσθαι, καὶ ταῖς τῶν διδασκάλων τιμαῖς τοὺς τῇ πλάνῃ κατασχεθέντας ἀποσεμνῦναι· ἀγνοεῖ γὰρ οὐδεὶς ὁπόσα μεμνημένοι μετ' εὐφημίας ἀλλήλους ἰδίᾳ τε καὶ κοινῇ τετιμήκασι. τούτων τε τοίνυν εἵνεκα καὶ πολλῶν ἄλλων ὁμοίων· οὐ γὰρ οἶμαι δεῖν ἀποκναίειν τὰς ὑμῶν ἀκοὰς ἕκαστα καταλέγων· δεῖν φημι πάντας τοὺς τῆς ἐκκλησίας διδασκάλους τιμᾶν ὑμᾶς, καὶ μηδένα τούτων πεπλανῆσθαι νομίζειν, μηδ' ἴχνος τι μάχης ἐν τούτοις ὑπονοεῖν· ἀλλὰ τὴν ὑμῖν ποθουμένην ὁμόνοιαν πολλῷ

μᾶλλον ἐκείνοις καὶ σπουδασθῆναι καὶ κατωρθῶσθαι δικαίως ὑπειληφότας, πρῶτα μὲν ἐκείνους ἀδελφὰ φρονοῦντας καὶ ἀλλήλοις συμβαίνοντας ὑποθέσθαι, ἔπειτα τὸ πᾶσιν ἐκείνοις ἀρέσκον καὶ ὑμετέραν γνώμην θαῤῥούντως ποιήσασθαι. τοῦτο δὲ εἰ καὶ παντάπασι δυσχερὲς ἐτύγχανεν ὄν, αὐτοὺς οἶμαι τοὺς διδασκάλους συνηφασμένους ὑμῖν ῥᾴδιον ἀποδείξειν. ἀλλὰ μὴν καὶ τῶν εὐκολωτάτων ἐστὶ, καὶ πόνου μὲν οὐδενὸς, προθυμίας δὲ μόνης δεόμενον. εἰ μὲν γὰρ ἀντιφάσκειν ἀλλήλοις ἐδόκουν οἱ ἅγιοι, καὶ λόγοις γοῦν ἀντικειμένοις περὶ τῶν προκειμένων ἐχρῶντο, οὐδ' οὕτω μὲν χαλεπὸν ἂν ἦν συνάπτειν αὐτοὺς, καὶ τὴν περὶ τοὺς λόγους ἀντίθεσιν τῇ τῶν φρονημάτων ἀναιρεῖν συμφωνίᾳ. οὐ γὰρ ἂν ἐνέλιπον ἡμῖν ὁδοί τινες ἐπὶ τοῦτο καὶ μηχαναὶ, ἃς ἡμῖν ἡ τῆς φιλοσοφίας εὐπορία παρέχει, τὰς φαινομένας ἐναντιότητας λύειν μετὰ τῆς ἀληθείας ἐθέλουσιν· ἀπώκνησε δ' ἄν τις ὅμως πρὸς τοῦτο, πολλῆς πραγματείας ἔργον καὶ πόνων εἰδώς. νῦν δ' οὐχ οὕτω τὰ τῶν ἁγίων ὁρῶμεν ἅπαντες ἔχοντα, ἀλλὰ πολλῆς γέμει γαλήνης, καὶ πόῤῥωθεν ἡμῖν ἐφιᾶσι τὰς τῆς ὁμονοίας ἀκτῖνας. εἰ δέ τι καὶ παραλλάττον αὐτοῖς ἀναμέμικται, ἐπιπόλαιόν ἐστι καὶ μέχρι τοῦ φαινομένου. ἡ γὰρ διάφορα περὶ τῶν αὐτῶν ἀξιοῦσιν οἱ πλείους, ὃ τοῖς μὲν σοφωτέροις οὐδένα παρέχειν δύναται θόρυβον, ταράξειε δ' ἂν τοὺς ἁπλουστέρους εὐθὺς, ἢ λόγῳ καὶ σιωπῇ τὰ τούτων διῄρηται· οὕτω δὲ συμβαίνειν ἀλλήλοις οὐδέν ἐστι χαλεπόν. καὶ ἡμεῖς γὰρ καθ' ἑκάστην διάφορα περὶ τῶν αὐτῶν φρονοῦντες καὶ λέγοντες, οὐδὲν ἧττον μένομεν ἡνωμένοι· καὶ περὶ τούτων οὐδεὶς ἡμῖν συῤῥήγνυται πόλεμος· καὶ εἰκότως. πολλῶν γὰρ ἐφ' ἑκάστου θεωρουμένων, καὶ ἀλλοτρόπως ἄλλου προσιόντος αὐτῷ, καὶ διαφόροις ἀνάγκη ταῦτα λόγοις σημαίνεσθαι· ἢ τοῖς αὐτοῖς μὲν, διαφόρως δὲ δήπου λαμβανομένοις, ἕως ἂν τῇ τῶν πραγμάτων ὑπάρξει τοὺς περὶ τούτων λόγους συνᾴδειν βουλώμεθα· ὃ ταὐτόν ἐστι καὶ ἀληθεῖς εἶναι θέλειν αὐτοὺς, ἐφόσον τὴν τῶν λόγων ἀλήθειαν τῷ εἶναι τῶν πραγμάτων ἴσμεν ἀκολουθεῖν. εἰ δ' ἐκ τοῦ διάφορα λέγειν περὶ τῶν αὐτῶν, ἐμαχόμεθα, καὶ πρὸς τὴν ἀλήθειαν αὐτὴν ἠναντιούμεθα ἄν· ἣ τὰς τῶν ὄντων ὑπάρξεις ἐκ πολλῶν τινων καὶ διαφόρως ἐνυπαρχόντων αὐτοῖς συνίστασθαι βούλεται. οὔτε τοίνυν ἐπὶ τούτοις διαφερόμεθα, οὔτε λόγος καὶ σιωπὴ πεφύκασιν ἡμᾶς συῤῥηγνῦναι· τοὺ-

ναντίον γὰρ μᾶλλον καὶ διαλλάττειν δοκοῦσιν, εἴπερ ἐν ἴσῳ τῇ συγκαταθέσει τὸ τῆς σιγῆς καὶ ὑπὸ τῶν πολιτικῶν λαμβάνεται νόμων· πρὸς δὲ τὸν συναινοῦντα πόλεμος οὐδεὶς οὐδὲ μάχη τῷ γε νοῦν ἔχοντι. εἰ μὲν οὖν ἄλλον τινὰ τρόπον ἐκ τῶν τῆς ἐκκλησίας διδασκάλων ἔχομεν εἰληφότες, ᾧ τὰς ἐξ ἐκείνων ἡμῖν ἀποτικτομένας ἀμφισβητήσεις λύεσθαι δεῖ, καὶ ᾧ δυνησόμεθα συνάπτειν ἐκείνους ἐν οἷς ἂν διαφερόμενοι φαίνοιντο, τῶν ἡμῖν ἐγνωσμένων τούτων ἠμελημένων καὶ οἷς χρῆσθαι πρὸς ἀλλήλους εἰώθαμεν, ἐκείνῳ δὴ καὶ χρηστέον. εἰ δὲ τοῦτο μὲν οὐκ ἔστιν εὑρεῖν, οὐ γὰρ ἠδύναντο ἀνθρώποις τε διαλεγόμενοι καὶ αὐτοὶ τὴν ἡμετέραν ἔχοντες φύσιν, οἷς δ' ἐπὶ τῶν γραφῶν αὐτοὶ τοῖς εἰωθόσι τούτοις τῶν διαλλαγῶν ἐχρήσαντο τρόποις, καὶ ἡμῖν ἐοίκασι συμβουλεύειν μηδ' ἐπ' αὐτῶν βελτίους ἄλλους ζητεῖν, ἡνίκα ἂν δέῃ συμφωνοῦντας ἀλλήλοις δείκνυσθαι, οὔτε παραιτεῖσθαι δεῖ τὴν ἐκείνων εἰρήνην, ἧς ἤρτηται τὰ τῆς ἡμῶν ὁμονοίας, οὔτε δυσχερές ἐστιν οἷς ἐφ' ἡμῶν ἐχρησάμεθ' ἂν τῆς ὁμονοίας σημείοις, διὰ τούτων τὴν σύμπνοιαν καὶ τὸ φρονεῖν ἀδελφὰ κἀκείνοις ψηφίζεσθαι. οὔτε κίνδυνόν τινα προσεῖναι τῷ πράγματι πιστεύειν ὅλως εἰκός. ἔμοι γε γὰρ τοὐναντίον μᾶλλον δοκεῖ, μηδὲν ἂν ἀσφαλέστερον τούτου γενέσθαι τοῖς εὐθύνας βίου τε καὶ δόξης ὁμοίως δώσειν ὑπειληφόσιν. εἰ γὰρ καὶ τῆς ἀληθείας ἐμέλλομεν ταύτῃ διαμαρτάνειν, ἱκανὴ πρὸς θεὸν ἡμῖν ἂν εἴη παραίτησις, τὸ βουληθῆναι μὲν εἰρήνην ἄγειν μετὰ πολέμους μακρούς, καὶ τὴν αὐτὴν περὶ τῶν πρὶν ἀμφισβητουμένων γνώμην λαβεῖν, ἑαυτοῖς δὲ θαῤῥεῖν οὐκ ἔχοντας ἐπὶ τὰς γραφὰς ἀπιδεῖν καὶ τοὺς διδασκάλους. φαινομένης δέ τινος κἂν τούτοις διαφορᾶς, ἐνθυμηθέντας ὡς ἀδύνατον τοῖς ὑπὸ τοῦ πνεύματος ἐνηχουμένοις ἐναντιότητός τι καὶ πλάνης ἴχνος προσεῖναι, καὶ βουληθέντας πᾶσιν ὁμοίως τὴν τῆς ἁγιωσύνης δόξαν τηρεῖν, διαλλακτὰς μᾶλλον ἢ δικαστὰς αὐτῶν γεγονέναι· καὶ συνάψαι μὲν ἀλλήλοις ἐκείνους ὡς ἐνεχώρει, συναφθῆναι δ' ἔπειτα καὶ αὐτοὶ καὶ ταύτην ὡς ἀσφαλεστέραν ἑλέσθαι τῆς εἰρήνης ὁδὸν, ταῖς ἄλλαις πολλῶν τε καὶ προφανῶν κινδύνων συνεζευγμένων. τούτοις ἡγοῦμαι καὶ πάνυ τὸν φιλάνθρωπον δυσωπηθήσεσθαι δικαστὴν, καὶ συγγνώμης ἀξιώσειν πολλῆς τοὺς ἐνθυμήσαντας μὲν τῶν μεγίστων, ἑλομένους δέ τι καὶ παρακινδυνεύειν ὑπὲρ αὐτῶν, τῶν δὲ κινδύνων συνιδόντας

τε καὶ στρέψαντας τὸν κουφότερον. οἷς γὰρ ἅπαντα θεμένοις καλῶς οὐκ ἐξεγένετο τῆς ποθουμένης ἀληθείας τυχεῖν, τούτων οὐ πονηρίᾳ γνώμης ἀλλὰ τῇ δυσχερείᾳ τῆς ἀληθείας ἐπιγράφεσθαι δεῖ τὸ ἀτόχημα. ὅτι μὲν τοίνυν τοὺς μὴ τὰ αὐτὰ τοῖς πλείοσι φάσκοντας θεολόγους οὐχ ὡς ἐκείνοις ἀντιλέγοντας, ἀλλ' ὡς ἄλλο τι βουλομένους τῶν ἀναγκαίων ἐπισημαίνεσθαι, περὶ δ' ὧν εἶπον ἐκεῖνοι τὴν ἴσην ἔχοντας γνώμην, πρέπει νοεῖν, ἐκ πολλῶν ἄλλων ὁμοίων συνάγεσθαι δυνατόν. τίς γὰρ οὐκ οἶδε πάντας ἁγίους αἴτιον καὶ αἰτιατὸν ἄνω καὶ κάτω στρέφοντας, καὶ πρό γε πάντων τὸν Νύσσης; ἀλλ' ὅ γε Κύριλλος χρῆσθαι τούτοις ἀπαγορεύει. ἆρ' οὖν ἀντιλέγων τοῖς ἄλλοις ταῦτά φησι, καὶ πρὸς τὸν αὐτὸν σκοπὸν ἀποβλέπων τῆς ἀντικειμένης γέγονε γνώμης, ὥστε καὶ δεῖν ἢ μετὰ τῶν ἄλλων πλὴν αὐτοῦ, ἢ μετ' αὐτοῦ μόνου τὴν ἀλήθειαν εἶναι; καὶ πῶς ἂν ἔχοι λόγον ἢ τοὺς ἄλλους τοσούτους ὄντας τὸ δέον μὴ συνιδεῖν, ἢ τοῦτον πλανηθῆναι τοσοῦτον, καὶ ταῦτα μετὰ πολλοὺς ἐλθόντα χρησαμένους τοῖς ὀνόμασι τούτοις; μᾶλλον δὲ τῆς τοῦ ψεύδους ὑποψίας ἐκεῖνοί τε πάντες ὁμοῦ καὶ οὗτος οὐδὲν ἧττον διὰ τὴν τῆς ἁγιωσύνης δόξαν ἀπήλλακται. οὐκοῦν οὔτ' ἀντιλέγουσι, καὶ ἀληθῆ λέγουσιν ἄμφω· εἰκὸς γάρ ἐστι πρὸς διαφόρους τῶν ὀνομάτων τούτων ἀπιδόντας ἐννοίας, τοὺς μὲν χρήσασθαι, τὸν δὲ φυλάξασθαι. οἱ μὲν γὰρ ἄλλοι δήπου πρὸς τὰς προόδους ἀπέβλεψαν, ὁ δὲ πρὸς τὴν Ἀριστοτελικὴν τεχνολογίαν ἀπεῖδεν· ὥστε τοὺς μὲν εἰπόντας φυλάξασθαι ἄν, τὸν δὲ δευλαβηθέντα θαῤῥῆσαι, εἴ τις αὐτῶν ἐπαλλάττων τὰς τοῦ λόγου καὶ τῆς σιωπῆς αἰτίας ἐπύθετο. Τί δὲ καὶ τῆς ἐν τοῖς θείοις προσώποις τάξεως εὐσεβέστερον, ἢ τῇ θεολογίᾳ πανταχοῦ συνηθέστερον; ἀλλ' ἔνιοι τῶν ἁγίων καὶ κατὰ τοῦ τῆς τάξεως ὀνόματος φέρονται· ἀλλ' οὐδέτεροι ψεύδονται. ἔστι γὰρ καὶ φρονεῖν τινα τάξιν ἐξ ἀνάγκης ἐπὶ θεοῦ, καὶ πάλιν ἄλλην ἐλαύνειν ἐκεῖθεν, ὡς τῇ κτιστῇ φύσει προσήκουσαν. ἀλλὰ μὴν καὶ εἰκόνα μόνου τοῦ πατρὸς τὸν υἱὸν εἶναι μόνον φασὶν Αὐγουστῖνός τε καὶ ἡ λοιπὴ τῶν δυτικῶν ἑταιρεία, καὶ τὸ τῆς εἰκόνος ὄνομα λέγουσιν ἴδιον εἶναι τῆς ὑποστάσεως τοῦ υἱοῦ. οἱ δὲ τῆς ἡμᾶς διδάσκαλοι καὶ τὸ πνεῦμα εἰκόνα τοῦ υἱοῦ καὶ μὴν καὶ τοῦ πατρός τε θαῤῥηκότως πάντες καλοῦσιν. ἀλλ' οὗτοι μὲν πρὸς τὴν κατ' οὐσίαν ταὐτότητα βλέποντες, ταῦτ' ἀξιοῦσι, καὶ τῷ τῆς εἰκόνος

ὀνόματι ἀντὶ τῆς τελείας ὁμοιότητος χρῶνται· ἐκεῖνοι δὲ τὴν κατὰ τὸ εἶδος ἐσκόπουν δήπουθεν ὁμοιότητα, ἥτις ἐν τῷ τοῦ υἱοῦ περιέχεται λόγῳ, τῇ γὰρ προόδῳ τοῦ λόγου ἡ τοῦ εἴδους ὁμοιότης * πρὸς τὸ ἀφ᾽ οὗ πρόεισιν ἰδίως ἀφώρισται. ὁ δὲ Βασίλειος καὶ γέννημα τὸν υἱὸν τοῦ Θεοῦ λέγειν οὐ συγχωρεῖ, καί τοι τῶν ἄλλων ἀδεῶς οὕτω καλούντων· ἆρ᾽ οὖν διαφωνεῖν ἐροῦμεν ἐκείνοις αὐτὸν, ἢ μᾶλλον καὶ τοῦτον τοῖς ἄλλοις πᾶσι συνάψομεν; ἐροῦμεν γὰρ τοὺς μὲν ὑπὸ τῆς τοῦ γεννήματος ἐννοίας ὀρθῶς ἐπὶ τοῦ υἱοῦ λεγομένης προτρεπομένους χρήσασθαι τῇ φωνῇ, τὸν δὲ πρὸς τὴν χρῆσιν ἀπιδόντα τῆς λέξεως, ἐπὶ κακοῦ γὰρ ἐξέλαβεν αὐτὴν ἡ γραφὴ, γεννήματα ἐχιδνῶν τοὺς Ἰουδαίους ἀποκαλοῦσα *, καὶ τοῖς ἀτελέσι ταύτην ἀπέδωκεν, αὐτόν τε φυλάξασθαι, καὶ τοῖς ἄλλοις πᾶσι συμβουλεύειν. τὸ δὲ δὴ μεῖζον, ὅτι τοῦτ᾽ αὐτὸ καὶ πρὸς ἑαυτοὺς παθόντας τοὺς διδασκάλους ἴδοι τις ἄν· ὥστ᾽ εἴ τις ἁπλῶς τἀκείνων ἐπίοι, καὶ τοῖς φαινομένοις μόνοις προσέχοι, παίζειν αὐτοὺς μᾶλλον ἐρεῖ. οὕτω τοῖς ἐναντίοις πολλαχοῦ καὶ πολλάκις λόγοις ἐχρήσαντο πρὸς διαφόρους ἀπιδόντες ἐννοίας. καὶ τί θαυμαστὸν, ὅπου καὶ τοῖς λογίοις τοῦτο συμβέβηκε, ποῦ μὲν μείζω τοῦ υἱοῦ τὸν πατέρα λέγουσιν ἐναργῶς, ποῦ δὲ τὴν ἐν σφίσιν ἰσότητα φανερῶς ἀποφαινομένοις; καὶ ταῦτ᾽ οὐ μόνον περὶ τῆς διπλῆς ἐν τῷ Χριστῷ νοοῦσι φύσεως οἱ διδάσκαλοι, ἀλλ᾽ ἔνιοι τούτων καὶ περὶ τὴν θείαν φύσιν αὐτοῦ συγχωροῦσιν ἀμφότερα· καὶ μείζω μέν φασι τῷ αἰτίῳ, οὐ μείζω δὲ πάλιν τῇ φύσει· καὶ περὶ τοῦ αὐτοῦ πράγματος τὰ ἀντικείμενα λέγουσι, πρὸς ἄλλο μέν τοι καὶ ἄλλο τούτων ἑκάτερον. καὶ τίς ἂν καταλέγοι τὰς ἐν τοῖς θείοις λογίοις δοκούσας διαφωνίας, ἄλλων δι᾽ ἄλλο τι καὶ πάντων ἀληθῶς λεγομένων, καὶ τῶν μὲν οἰκείως καὶ καταλλήλως τῇ τοῦ σωτῆρος θεότητι, τῶν δὲ ταπεινότερόν τε καὶ ἀνθρωπικώτερον νοουμένων; ἆρ᾽ οὖν ἀλλήλοις πάντα συγκρούσομεν, καὶ ἢ πιστεύσομεν τοῖς ἀντικειμένοις, ἢ τὰ δοκοῦντα τούτων ἑλόμενοι, καὶ τούτοις ἀποδεδωκότες τὴν πίστιν, τῶν λοιπῶν ὡς οὐχ ἡμῖν ἀρεσκόντων καταφρονήσομεν; ἀλλὰ δέδια μὴ μᾶλλον δίκας ὀφλήσωμεν τῆς * καταφάσεως, ἢ χάριτας λάβωμεν τῆς εὐλαβείας, μᾶλλον δ᾽ ὑπὲρ ἀμφοτέρων δίκας ἐκτίσωμεν, ἅ τε κακῶς καὶ ἄμφω ποιοῦντες· οὐ γὰρ ἡμῖν γε δικασταῖς εἶναι τούτων ἁρμόττει, οὐ μᾶλλον ἢ διδασκάλοις. οὐκοῦν πάντα μὲν ἐπίσης νο-

* Ὁ υἱὸς οὐχ ὅμοιος τῷ πατρὶ, ἀλλ᾽ ὁμοούσιος.

* Ματθ. 23,33.

* Ἰσ. καταφρονήσεως.

μίσαντας ἀληθῆ, ἑκάστου δ' αὐτῶν ἀποδιδόντας αἰτίαν· καί τοι καὶ τούτου χώρις ἁπλῶς οὑτωσὶ καὶ ἀνεξετάστως ἔπρεπε πείθεσθαι, ἀλλ' ὅμως οὐκ ἔστιν ἐφ' ὅτου τῶν λεγομένων ζητοῦντες αἰτίαν οὐκ ἐντευξόμεθα· καὶ ἡμᾶς αὐτοὺς τοῦ πολεμεῖν ἀλλήλοις, κἀκείνους τῆς ἀδυνάτου διαφωνίας ἀπαλλάξασθαι προσήκει. ἀλλὰ μὴν καὶ ὅτι τοὺς εἰπόντας τι περὶ τῶν προκειμένων τοῖς σεσιγηκόσι συνάπτειν οὐ χαλεπὸν, οὐδὲ λόγου δεῖν ἡγοῦμαι δεικνύναι. ἵνα γὰρ παρῶ λόγον καὶ σιωπὴν ἐξετάζειν, καὶ τίς ἑκατέρου τούτων ἡ φύσις, πρῶτον μὲν οὐδεὶς ἂν ἰσχυρίσαιτο κατεγνωκότας τοῦ δόγματος σιγῇ παρελθεῖν αὐτό. ὅπου γὰρ οὐδὲ τοὺς λέγοντας ἁπλῶς ἃ λέγουσι νομίζομεν ἐπαινεῖν, ἂν μὴ τῶν βελτίστων ὦσί τινες, καὶ ὧν ἀνάγκη τοῖς δόγμασι τοὺς λόγους συνᾴδειν, σχολῇ γ' ἄν τις δοίη τῷ σιγᾶν ἕπεσθαι τὸ κατεγνωκέναι. εἴτε γὰρ περὶ ὧν οὐδεὶς εἶπεν ἐσίγων, καὶ πολλῶν ἄλλων ἀληθῶν καταψηφιούμεθα· οὕτω ταῦτά γε κρίναντες * ἡ τοῖς διδασκάλων λόγοις πᾶσαν ὁριούμεθα τὴν ἀλήθειαν, καὶ μηδὲν εἶναι φήσομεν πλέον οὐδ' αὐτῷ τῷ Θεῷ. ὃ τοῖς ἀνθρώποις ἀποκαλύπτων προσθήσει τῇ τῆς πίστεως ἀληθείᾳ. εἴτε περὶ ὧν εἰρήκασιν ἕτεροι, εἰ μὲν οὐκ εἰδότες ἃ τοῖς ἄλλοις ἐδόκει, οὐκ ἀρετῆς ἄρα καὶ τῆς περὶ τὰς δόξας ὀρθότητος ἆθλον, ἀλλ' εὐνοίας ἀμοιβὴν, καὶ ὅλως πρὸς τὴν σφῶν αὐτῶν βούλησιν τὰς τιμὰς αὐτοῖς συνεχώρουν· καὶ ὡς ἔοικε τοὺς περὶ ταῦτα παρεξήεσαν νόμους, εἰ μὴ πρὸ τῶν γερῶν τὰς ἑκάστου πράξεις, καὶ τοὺς ἀγῶνας πρὸ τῶν στεφάνων ἐξήταζον. εἰ δὲ εἰδότες ὥσπερ ἄρα καὶ ᾔδεσαν, οὐκ ἔδει δημοσίᾳ τούτων μεμνῆσθαι, καὶ τῶν ἐπ' ἀρετῇ καὶ σοφίᾳ πρωτείων αὐτοὺς ἀπαραγράπτους μάρτυρας γίνεσθαι, καὶ τοῖς μὴ πείθεσθαι βουλομένοις ἃ καὶ τοῖς τὰς ἱερὰς γραφὰς ἀτιμάζουσιν ἀπειλεῖν. οὔτε γὰρ μικρόν τι τὸ δόγμα καὶ οἷον ἂν καταφρονηθῆναι, οὔτε τῇ περὶ τοὺς ἀδελφοὺς εὐλαβείᾳ δόξης οὕτως αὐτοῖς ἀπαρεσκούσης ὀλιγωρεῖν ἂν ἠβουλήθησαν, καὶ τῆς τῶν μετὰ ταῦτα πάντων φθορᾶς αὐτοὶ δοκεῖν αἴτιοι. ἀλλὰ μὴν εἰ τῷ σιγῆσαι μόνον ἤλπισαν περιέσεσθαι τῶν εἰπόντων, καὶ πείσειν πάντας τῆς ἐκείνων δόξης ἀφίστασθαι, οὔτε πρὸς σοφῶν οὔτε πρὸς διδασκάλων τοῦτο γ' ἂν ἦν· τά τε γὰρ ἀδύνατα γίνεσθαι προσεδόκων· οὔκουν οὐδὲ γεγόνασιν, ἀλλὰ τὸ πλεῖστον νῦν τῆς οἰκουμένης καὶ κάλλιστον μετὰ τῶν εἰρηκότων ἐστί. καὶ διδασκάλων εἴποιμ' ἂν

* Ισ. καὶ τοῖς.

οὐ τὸ τὰ μὲν ἀγαθὰ λέγειν, τὰ δὲ φαῦλα μόνον σιγᾶν, ἀλλὰ καὶ ταῦτα παράγειν εἰς μέσον, καὶ φεύγειν ἅπασι παραινεῖν· καὶ πολλῷ μᾶλλον ὁπόταν ὑπό τινων ἄλλων ἐπαινῆται ταῦτα, καὶ τοῦ παντὸς ἄξια κρίνηται, κἀκείνων σοφῶν καὶ πείθειν ὄντων ἀξίων. εἰ δὲ καὶ τὴν σιγὴν ὅλως ἐνόμιζον τοῦτ' αὐτὸ καταπράξασθαι, ἔδει φείδεσθαι τῶν ἀνακηρύξεων, καὶ μὴ τοῖς κατὰ τῶν εἰπόντων ἐπαίνοις πᾶσαν ὑπερβολὴν τιμῆς παρελθεῖν, εἰδότας ὡς λόγος μετὰ τιμῆς σιωπῆς ἀμαρτύρου βελτίων ἔσται. ἔδει γὰρ ἀγαπῆσαι μόνον σιγῶντας, εἰ τὰ τῶν εἰπόντων τοῖς ἱεροῖς λογίοις ἀνθίστατο, ἢ εἴ τι τῶν ὁμολογουμένων ἐξ αὐτῶν φανερῶς συνέβαινεν ἀναιρεῖσθαι· νῦν δὲ μηδενὸς ὄντος τοιούτου, ἀβοήθητος αὐτοῖς ἡ σιωπὴ κατελείπετο, καὶ συγκαταθέσεως μᾶλλον ἢ φυγῆς καὶ ἀρνήσεως φέρουσα δόξαν. κείσθω δὲ καὶ κατεγνωκότας μὲν οὐκ εἰπεῖν, φειδοῖ δὲ τῆς τῶν ἀδελφῶν ἀτιμίας καὶ τῷ μὴ βούλεσθαι πόλεμον ἐγείρειν καὶ μάχην, ἐπὶ τὴν σιγὴν ἀπιδεῖν καὶ τὴν ἐν τῷ βάθει κρύψαι διάστασιν. ἀλλὰ τοῦτο δειλίας ὁμοῦ καὶ πονηρίας ἔχον ὑπόνοιαν οὐ μᾶλλον ἔμελλεν αὐτοῖς προσάξεσθαι πάντας, ἢ περιφανῶς ἀποστήσειν· καὶ γὰρ πρὸ τῆς ἀληθείας οὐδενὸς φροντίζειν ἐχρῆν καὶ τῶν ἀγώνων οὐδὲν ἂν ἥδιον ἦν, ἐξ ὧν αὐτοί τε καὶ πάντες ἂν ὠφελοῦντο· οὓς ἀναδυόμενοι μέχρι παντὸς, οὔτε θαῤῥοῦντες σφίσιν αὐτοῖς, οὔθ' ὑπὲρ τῆς τῶν ὅλων σωτηρίας πονεῖν ἀνεχόμενοι πάντως ἔδειξαν ἄν. ἀλλ' οὐδὲν τούτων ἁπάντων τοῖς μακαρίοις ἐκείνοις προσάπτειν εὐσεβές ἐστιν ὅλως καὶ δίκαιον· τοὐναντίον γὰρ καὶ προνοίᾳ καὶ σοφίᾳ καὶ τῇ τῆς ἀληθείας σπουδῇ μέχρι τοῦ γινομένου παντὸς ἀφιγμένους δικαιότατ' ἂν ταῖς τῶν πατέρων καὶ διδασκάλων τιμαῖς αὐτοὺς περιέποιμεν· καὶ πάντων ὁμοίως ὧν τε εἶπον ὧν τε σιγῆσαι προείλοντο, δικαίαν αὐτοῖς εἰδείημεν χάριν, ὡς ὑπὲρ ἡμῶν προελομένοις ἀμφότερα, καὶ πάνυ σοφῶς. οὐκ ἄρα κατεγνωκότες ἐξ ἀνάγκης ἐσίγησαν, οὐδ' ἔχει τι πρὸς ἀνάγκης λόγον ἡ σιωπὴ τοῖς γε κατὰ τοῦ λόγου ταύτῃ χρωμένοις. εἰ δὲ λέγοι τις, μηδὲ τοὐναντίον δεῖν ἰσχυρίζεσθαι, ὡς ἄρα τῇ σιωπῇ τὴν δόξαν κρατύνουσι, καὶ δηλοῦσι ταύτην ἀποδεχόμενοι· μάλιστα μὲν καὶ τοῦτ' ἔστιν εἰπεῖν, ὡς εἰ καὶ μὴ παντάπασιν ἀκριβῶς ἀποδεχομένων ἦν τὸ σιγᾶν, ἀλλά γε μᾶλλον τοῦ συναινεῖν, ἢ τοῦ μισεῖν καὶ καταφρονεῖν ἀπόδειξιν ἔχει. ἐγὼ δὲ νομίζω, μήτε καθάπαξ ἀτιμαζόντων, μήτε σφόδρα θαῤῥούντων

εἶναι τῇ δόξῃ. παραιτοῦμαι δ' ὑμᾶς, ὦ Γραικοὶ, περὶ ὧν μέλλω λέγειν· οὐ γὰρ ἀποφαινόμενος οὐδὲ κρατεῖν βουλόμενος ταῦτα, οὐδὲ περὶ τουτωνὶ τῶν προκειμένων μᾶλλον ὑμῖν ἢ περὶ παντὸς ἐκείνοις σεσιγημένου τὴν ἐμὴν προτίθημι γνώμην. ὁρᾶτε γάρ με κἀν τοῖς ἔμπροσθεν εἰρημένοις τὸ δόξαν προσκρούειν ὑμῖν ἕως ἐξῆν φυλαξάμενον· καί τοι τοῖς τῆς ἀληθείας ἐξεταστοῖς οὔτε λέγουσιν οὔτ' ἀκούουσιν ἁρμόττει τούτου φροντίζειν. Ἐγὼ τοίνυν, ὅπερ εἶπον, τοὺς ἁγίους ἡγοῦμαι μηδὲν ἀποφαινομένους περὶ ὧν ἕτεροι λέγουσι φανερῶς, οὔτε σφόδρα συνηγοροῦντας, εἰ δεῖ λέγειν οὕτως, οὔτ' ἐναντιουμένους καθάπαξ τοῦτο ποιεῖν· τὸ μὲν γὰρ πόῤῥω τῆς ἐκείνων ἀρετῆς καὶ σοφίας ἐστὶ, τὸ δ' εἶχεν ἂν λόγον οὐδένα, πάντας ὁμοῦ καθάπερ συνθεμένους ἑλέσθαι, καὶ δόγματι παρὰ πολλῶν ὁμολογουμένῳ συνηγορίαν οὕτω νεκρὰν εἰσενέγκασθαι. ἀλλ' οἶμαι τούτους ἢ τὴν δόξαν ἀμφιγνοῦντας ὡς ἀκινδύνῳ χρήσασθαι τῇ σιγῇ, ἢ τῇ μὲν γνώμῃ μετὰ τῶν εἰπόντων ἱστάναι, τοῦ δὲ δημοσιεύειν αὐτὴν ἀποσχέσθαι, ἕτερόν τι προνοουμένους. καὶ τούτων ἑκάτερον εὐλαβείας τε καὶ προνοίας προσηκούσης ἁγίοις ἐστὶν ἀπόδειξις. εἴτε γὰρ ὃ μὴ παντάπασιν ἐθάῤῥουν εἰπεῖν, ἀλλ' οὐδὲ τῶν ἀνεκέστων ᾔδεισαν ὂν, τοῦτο σιγῇ παρελθεῖν, καὶ τάς ἔκ τε τοῦ μαρτυρεῖν ἔκ τε τοῦ διώκειν ὑποψίας φυγεῖν ἐβουλεύσαντο, θαυμαστοὶ τῆς εὐλαβείας εἰσὶ, δι' ἣν καὶ τοῖς ὑπ' αὐτῶν εἰρημένοις ἀναμφισβητήτως προσκεῖσθαι δίκαιον ἅπαντας· εἴτε ἐκ τοῦ φανερὰν ποιεῖσθαι τὴν δόξαν, συνεωρακότες τι τῶν οὐκ ἀμεινόνων ἑψόμενον, κατασχεῖν αὐτὴν ἐν σφίσιν ἐνόμισαν, ἐπαινετοὶ τῆς προνοίας. εἰ γὰρ τῶν λόγων αὐτοῖς ἅτε διδασκάλων καὶ πατέρων ἔχουσι τάξιν, ἡ τῶν ὑπ' αὐτοὺς ὠφέλεια τέλος ἔμελλεν εἶναι, οὐκ ἔδει τὰ βλάψοντα προτιθέναι· καὶ τὸν ἀληθῆ καὶ κοινὸν κἀνταῦθα διδάσκαλον προεστήσαντο, ὃς πολλὰ τῶν ἀξιολόγων κατεῖχε, μήπω δυναμένους ἐκεῖνα βαστάζειν τοὺς ἀποστόλους εἰδώς. τί γὰρ ὄφελος ἀληθείας ὑψηλοτέρας τοῖς ἐπὶ τῶν ταπεινοτέρων ἀβεβαίοις ἔτι καὶ κλονουμένοις; ὅτι δ' ἑκάτερον τούτων πολὺ τὸ εὔλογον ἔχει καὶ πολὺ μᾶλλον ἢ τὸ τἀναντία δοξάζειν τοὺς διδασκάλους, οὐκοῦν ὥστε καὶ παραβάλλειν ἐξεῖναι, καὶ ὅτι συνάπτειν ὡς εἴρηται τούτους οὐδέν ἐστι χαλεπὸν, ὁπότερον ἂν τούτων μέλλοι κρατεῖν, αὐτόθεν οἶμαι δῆλον ἅπασι καθεστάναι. εἰ μὲν γὰρ ἀγαθόν τι χρῆμα

καὶ πολλῆς ἄξιον εὐφημίας ἡ περὶ ταῦτ' εὐλάβεια πᾶσι δοκεῖ, πῶς οὐ δεῖ ταύτην τοῖς ἀρίστοις προσάπτεσθαι τῶν ἀνθρώπων; εἰ δὲ καὶ μὴ, καὶ πάντες ἅπαντα λέγουσιν οὔ γε μετὰ τῆς ἴσης σοφίας καὶ τῆς ἄνωθεν χάριτος, ἀλλ' ἔστι τις ἐν αὐτοῖς καθάπερ ἁγιωσύνης καὶ τῶν ὑπὲρ εὐσεβείας ἀγώνων, οὕτω καὶ σοφίας καὶ λόγων καὶ τῆς ταῦτα διδούσης καὶ βεβαιούσης χάριτος ἐκ Θεοῦ τάξις τις καὶ βαθμὸς, τί δεινὸν ἂν ἅ τις ἄλλος πλείονι τῷ τεθαῤῥηκότι χρώμενος εἶπε, ταῦθ' ἕτερον εὐλαβηθέντα σιωπᾶν ἀξιώσωμεν; ἐγὼ γὰρ, ἵνα τι καὶ μικρὸν προσδιατρίψω τῷ λόγῳ, τὰ μετὰ τοὺς ἁγίους οὕτως ἔχειν ἡγοῦμαι. Οὐ πᾶσιν ἀνθρώποις πάντα δίδωσιν ὁ Θεὸς, ἀλλὰ κοσμεῖ μὲν τοῦτον ἐκείνῳ, τιμᾷ δὲ ἄλλον ἄλλῳ τῶν ἀγαθῶν· καὶ τὸν μὲν ἑνὶ δωρησάμενος ἔστη, τῷ δὲ καὶ πλείω προστίθησι· καὶ καθάπερ ἄλλου πρὸς ἄλλο τῶν χαρισμάτων ἐστὶ διαφορὰ, οὕτω καὶ καθ' αὐτὸ τῷ τελειοτέρῳ τε καὶ εὐσεβεστέρῳ διενήνοχεν ἕκαστον. τῆς δὲ διαφορᾶς αὐτῶν καὶ τοῦ πλήθους ἐστὶ μὲν ἡ τοῦ διδόντος χάρις αἰτία κατά τινα προορισμὸν καὶ πρόγνωσιν ἄῤῥητον, ἐστὶ δὲ δήπου καὶ ἡ τῶν λαμβανόντων ἑκάστου πρὸς ταῦτα παρασκευή· ἵνα μήτε τι τῶν ἀγαθῶν κατὰ Παῦλον εἰπεῖν, ὡς ἀφ' ἡμῶν αὐτῶν ψευδώμεθα λογιζόμενοι*, καὶ τῶν ἡμετέρων πράξεων ταῖς μὲν συμβαίνωσιν αἱ ποιναὶ, αἱ δὲ τυγχάνωσιν ἄθλων. τοῖς μὲν οὖν ἀχαρίστοις ὀφθεῖσι περὶ τὴν δωρεὰν ὅντινα χρῆται τρόπον ὁ δεδωκὼς, ἄλλης ἂν εἴη μελέτης σκοπεῖν· τοῖς δὲ καλῶς αὐτῇ χρησαμένοις, καὶ τοῦτο μόνον παρ' ἑαυτῶν* εἰσφέρειν θελήσασιν, οὐ μόνον εὐεργέτης ἀλλὰ καὶ φύλαξ γίνεται τοῦ δοθέντος, καὶ πρὸς τὸν ἑκάστου σκοπὸν αὐτὸς ὁδηγεῖ, καὶ λύει τὰς δυσχερείας, καὶ ὅπως ἐν αὐτῷ προκόπτωσι πράττει, καὶ χάριτος ἀξιοῖ δευτέρας ὁπόταν καὶ τοῦτο δοκῇ· καὶ τὴν εὐδαιμονίαν ἐπὶ πᾶσιν, οὐχ ὧν αὐτοὶ κατεπράξαντο μᾶλλον ἢ σφίσιν ἐκεῖνος γέγονεν αἴτιος, ἆθλον προστίθησιν· ὥστ' εἶναι τὸ μὲν βούλεσθαι παρ' ἡμῶν, τὸ δ' ἀνύειν ἐκεῖθεν· καὶ τρέχειν μὲν ἡμῶν*, τὸ δ' ἐφικνεῖσθαι τοῦ ποθουμένου τῆς ἐκείνου μόνης εἶναι φιλανθρωπίας· μᾶλλον δὲ τὸ μὲν διαμαρτεῖν τοῦ καλοῦ μόνης εἶναι τῆς ἡμετέρας βουλῆς, τὸ δ' ἐγγίσαι τῷ ἀγαθῷ καὶ προσφῦναί πως ἐκ τῆς θείας χάριτος ἥκειν. ἐπεὶ δ' οὔτε πᾶσιν ἴση τῶν καλῶν ἡ βούλησις, οὔθ' ἡ περὶ ταῦτα σπουδὴ, οὔτε πᾶσιν ἡ φύσις τὸν ἴσον τρόπον συνα-

* Κορ. β'. 3, 5.

* Παρ' ἑαυτῶν οὐδὲ τοῦτο δύνανται, ἄνευ τῆς τοῦ Θεοῦ χάριτος.

* ἡμῶν τ. ἐ. βοηθηθέντων τῇ χάριτι.

γωνίζεται, ἀλλὰ δὴ καὶ ἡ παρὰ τῶν καιρῶν οὐχ ὁμοία πᾶσι ῥοπὴ καὶ τοῦ τέλους ἡ κτῆσις ἄλλοις ἄλλον περιγίνεται τρόπον, ἀπείρου τῆς τ' ἀληθείας τοῦ τε καλοῦ τὴν φύσιν τυγχάνοντος, ὧν τῆς μὲν ἐν τῷ θεωρεῖν, τοῦ δὲ ἐν ταῖς πράξεσι στοχαζόμεθα. κἀντεῦθεν αἱ διαφοραὶ τῶν μονῶν, καὶ τῆς ἐσχάτης εὐδαιμονίας ἡ ποικίλη τε καὶ πολυσχιδὴς προῆλθεν ἀπόλαυσις. καὶ τῆς ἐκκλησίας οὖν οἱ διδάσκαλοι τῷ τῆς σοφίας καὶ τῶν λόγων κοσμηθέντες χαρίσματι ἐπὶ τούτῳ συνῆψαν ἀρετήν· καὶ ταύτῃ πρῶτον ἔδειξαν ἄξιοι γεγονότες τοῦ δώρου, καὶ τοῦ τυχεῖν τῆς ἀληθείας ἀπέλαυον, ἣ μόνη σοφίας καὶ τῶν ἐπ' αὐτῇ σπουδασμάτων τέλος γένοιτ' ἂν ἄξιον· καὶ θεὸς ἦν ὁ ταῦτα διδοὺς, καὶ ταύτῃ προσάγων. ἀλλ' οὔτε πρὸς τὴν σοφίαν τὴν αὐτὴν εἰσενέγκαντο πάντες παρασκευὴν, οὔτ' ἀπὸ τῆς ἴσης σοφίας τὰ τῆς ἀληθείας ἐξήτασαν. διὸ σοφοὶ μὲν ἅπαντες ἦσαν, διενηνόχει δ' ἄλλος ἄλλου τῷ μέτρῳ· καὶ πάντες μὲν τῆς ἀληθείας ἐπέτυχον, οὐ τοσοῦτον μέντοι ταύτης οὗτος κατείληφεν ὅσον ἔσχεν ἐκεῖνος· ἀλλ' ἐν οἷς μὲν ἐθάῤῥησεν ἕκαστος, ἀραρότως εἶπε καὶ προσφυῶς, ἄλλος δ' ἄλλο τι πλέον ἐτόλμησε, καὶ τὸ μὲν θαῤῥῆσαι τῆς ἑκάστου σοφίας ἐτύγχανε, τὸ δὲ μὴ πλανηθῆναι τῆς ἀληθείας, τῆς τοῦ θεοῦ χάριτος ἦν, τήν τε γνώμην μεθ' ἧς ἐζήτουν ἀσπαζομένου, καὶ τὴν προθυμίαν καὶ τὸν πόνον οἰκτείροντος· καὶ τοῖς μὲν εὐλαβεστέροις οὐ μεμφομένου, τοῖς δὲ θαῤῥοῦσι καλῶς παρέχοντος τὴν ἀσφάλειαν. οὐκοῦν καὶ ἡμᾶς τῶν μὲν δεῖ τὴν εὐλάβειαν ἐπαινεῖν, τῶν δὲ θαυμάζειν τὴν παῤῥησίαν· καὶ νομίζειν μὲν ἀληθῆ τὰ κοινῇ παρὰ πάντων ἠξιωμένα, ἐφ' ἃ δὲ προεληλύθασιν ἔνιοι, σοφίᾳ τε μείζονι καὶ τῇ παρὰ τοῦ πνεύματος συμμαχίᾳ θαῤῥοῦντες, μηδὲ τούτων καταφρονεῖν· μηδ' ἢ προπετεῖς οἴεσθαι τοὺς εἰπόντας, ἢ νομίζειν ἐλαττοῦσθαί τι τοὺς σιγήσαντας ἐκ τῆς εἰς ἑτέρους τιμῆς, ἢ τὴν ἐν ἁγιότητι δόξαν αὐτῶν παραιρεῖσθαι ἂν καὶ ἄλλο τι νομίζωμεν ἀληθὲς, ὧν αὐτοὶ θαῤῥοῦσιν ἐπέκεινα. εἰ γὰρ μηδὲ τῆς ἐν ἁγιότητι δόξης καὶ τῶν δι' ἐκείνην στεφάνων ἐπίσης πάντες μετέσχον, καί τοι πάντες ᾠκειωμένοι τῷ θεῷ, καὶ γνήσιοι φανέντες ἐκείνου θεραπευταὶ, οὔτε βαθμοῖς τισι διαφέροντες ἀδικεῖσθαι νομίζουσιν, ἢ φθονοῦσι τοῖς ὑψηλοτέροις οἱ ταπεινότεροι, σχολῇ γε τῆς ἁγιότητος ἕνεκα καὶ τὴν τῆς ἀληθείας γνῶσιν ἐπίσης συμμεριοῦνται, ἢ χαλεπῶς οἴσουσιν, ἄν τις καὶ τῇ τῆς

ἀληθείας γνώσει τὴν διαφορὰν αὐτοῖς ἀφορίζοιτο. εἰ δὲ καὶ τὴν μέλλουσαν εὐδαιμονίαν τὴν τοῦ θεοῦ γνῶσιν ἀποφαίνονται πάντες, ἅς ἐστιν ἡ πρώτη καὶ καθαρωτάτη πάντως ἀλήθεια, τῆς δὲ διαφοραὶ πολλαὶ καὶ βαθμοὶ, εἴπερ καὶ τῆς εὐδαιμονίας εἶναι πιστεύονται, πῶς οὐ κἀνταῦθα τῆς ἀληθείας τὸ φῶς διαφόρως σφίσιν ἐπιλάμψειν, ὃ τοῦ φωτὸς ἐκείνου πρόδρομον καὶ σύμβολον; ἢν πῶς οὐχ ἡμῖν, ἂν ἄλλο τι λέγωμεν, ὡς καταψευδομένοις αὐτῶν ὀργιοῦνται; προφάσει τῆς εἰς ἐνίους αἰδοῦς ὁριζομένοις μέν που τὴν περὶ τῶν θείων ἀλήθειαν, ἣν οὐδ' ἐν τῷ μέλλοντι βίῳ περιλαβεῖν δυνατὸν τοὺς ταύτης ἐπόπτας· ἀτιμάζουσι δὲ τὴν τῶν ἄλλων ἁγίων σπουδὴν καὶ τὴν χάριν, καὶ ἣν ἐντεῦθεν ἀλήθειαν ἐπορίσαντο; ἄλλως τ' εἰ μὲν πάντα μέλλομεν ὑποπτεύειν, ἃ μὴ κοινῇ καὶ καθάπερ ἀφ' ἑνὸς στόματος πάντες ἠξίουν, ἄλλος ἂν εἴη λόγος· καί τοι τὰ μὲν παρόντα λύσομεν ἴσως καλῶς, καὶ πόνων ἡμᾶς αὐτοὺς ἀπαλλάξομεν, καταψηφιούμεθα δέ τινων παντελῶς, καὶ τοῦ χοροῦ τῶν διδασκάλων αὐτοὺς ἀποκλείσομεν, οἷς αἱ τῶν πατέρων σύνοδοι πᾶσαι καὶ τὴν τῶν κορυφαίων τάξιν ἀπένειμαν. ἃ γὰρ πλείω τῶν ἄλλων εἶπον ἐκεῖνοι, ταῦτα σχεδόν ἐστιν ἅπερ εἶπον· οὕτως ὀξύτητι διανοίας καὶ χάριτι πνεύματος ἐπὶ πλεῖστον προῆλθον. πάντ' οὖν ἐκεῖνα λῆρος δόξουσιν εἶναι. καὶ ἀληθῶς ληρήσουσιν οἱ ταῦτα λέγειν τολμῶντες. εἰ δ' ἐκεῖνα πάντα θαυμάζομεν, ποῦ δίκαιον μόνα ταυτὶ μὴ προσίεσθαι; ἢ γὰρ ἐπὶ πάντων μετὰ ὁμοίων δεῖ τὴν γνώμην ταύτην νικᾶν, ἢ μηδ' ἐφ' ἑνός τινος εἶναι κυρίαν·

Ὅτι μὲν τοίνυν τὴν σιγὴν οὐκ ἐναντιουμένων, ἀλλ' εὐλαβουμένων ὑπάρχειν εἰκὸς, καὶ μὴ σφόδρα θαρρούντων ἐφ' ἑαυτοῖς ἐν τούτῳ τῷ μέρει ἐκ τῶν εἰρημένων οἶμαι δῆλον ὑπάρχειν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὰ τῶν ἁγίων συγγράμματα, ἐν οἷς ἄλλοι μᾶλλον ἄλλων τεθαῤῥηκότες ὁρῶνται, ὡς ἕκαστος ἐπιστήμης ἢ χάριτος εἶχε· καὶ οὐδὲν μᾶλλον Λατῖνοι Γραϊκῶν, ἢ Γραϊκοὶ πρὸς ἑαυτοὺς ταύτῃ φαίνονται διενηνοχότες. ἀλλὰ μὴν καὶ τὸ ταὐτὰ τοῖς ἄλλοις φρονοῦντας ἀναμφιβόλως, τὴν ὁμολογίαν ὡς οὐκ ἀσφαλῆ τοῖς ἁπλουστέροις φυλάξασθαι, οὔτ' ἀδύνατον, οὔτε τῆς ἐκείνων τάξεως ἀπᾷδον εἶναι δοκεῖ. Οἱ γὰρ ἕνεκα τοῦ μηδένα ἂν ἐκ τῶν λόγων βλάβος τι παθεῖν, φανερῶς τοῖς λέγουσιν ἀντειπόντες, καὶ φρονεῖν καὶ λέγειν ἀπαγορεύσαντες ἃ τοῖς ἄλλοις καὶ τοῖς ἀναπνοῆς αὐτῆς. συνηθέ-

στερα, καί τοι παντὸς μᾶλλον αὐτοὶ ταῦτ' ᾔδεισαν ἀληθῆ, πῶς οὐκ αὐτοῦ δὴ τούτου χάριν προθυμότερον ἐσίγησαν ἄν; τὸ γὰρ σιγῆσαι τοῦ δοκεῖν ἀντιλέγειν δήπου πρᾳότερον. εἰκὸς γὰρ ἦν τοὺς ἀκούοντας ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, καὶ μὴ χωροῦντας πάνυ τὸν λόγον, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐνθυμηθῆναι, καὶ ταῦτα δὴ πρὸς ἃ Λατίνους ἀπάγουσιν οἱ τὰ μακρὰ κατ' αὐτῶν ἐκδεδωκότες συγγράμματα, καὶ ἅ φασιν ἀκολουθεῖν ἐξ ἀνάγκης τῷ δόγματι· οἷόν ἐστι καὶ τὸ διττὰς νομίζειν ἀρχὰς, καὶ τὸ τῶν ἄλλων θείων προσώπων εἶναι τὸ πνεῦμα καταδεέστερον, καὶ τἄλλα δὴ τὰ τοιαῦτα. εἰ γὰρ Λατῖνοι περὶ τούτων ἀπολογούμενοι, καὶ μήτε φρονεῖν αὐτὰ, μήτ' ἐξ ἀνάγκης ἕπεσθαι τῇ δόξῃ δεικνύντες, οὔπω καὶ τήμερον πεῖσαι Γραικοὺς ἠδυνήθησαν, ἀλλ' οἴονται πάντα μᾶλλον ἢ τῶν ἀτόπων ἀπηλλάχθαι τούτων τὴν δόξαν· οὕτως ἀκούουσι τῆς προσθήκης, οὐχ ὡς ἂν οἱ λέγοντες βούλοιντο· τί παθεῖν εἰκὸς ἦν τοὺς ἀνθρώπους, τῶν ἁγίων ἁπάντων ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα λεγόντων, καὶ τοῦτο δογματιζόντων ἁπλῶς ὡς ἔθος αὐτοῖς, μηδὲν δὲ προστιθέντων τῶν νῦν Λατίνοις εἰς ἀπολογίαν ἐξευρημένων τοῦ δόγματος, καὶ πρὸς τὰς τῶν ἀτόπων τούτων ἀποφυγάς; ἐγὼ γὰρ οἶμαι, τῇ μὲν δόξῃ νομίσαντας ἕπεσθαι τὰ τοιαῦτα, ἀντιλέγοντος δὲ μηδενὸς, μηδὲ ταῦτα φυλάττεσθαι παραινοῦντος, καὶ τὴν δόξαν ὡς οὐδαμόθεν τούτων αἰτίαν τιμᾶν, καὶ ὡς ἀληθέσι τοῖς ἀτόποις τούτοις ῥᾳδίως ἂν προσθέσθαι. ἃ δὴ πάντα προειδομένους εἰκός ἐστι φείσασθαι τῆς δόξης τοὺς διδασκάλους, καὶ σιγῆσαι τὸ μεγάλα βλάπτειν δυνάμενον. εἰ δὲ καὶ τῆς τῶν μαθητῶν ἀσφαλείας σφόδρα φροντίζοντες, πανταχοῦ παραινοῦσιν αὐτοῖς τῶν ἐν τῇ γραφῇ λεγομένων ἔχεσθαι μόνον, καὶ μηδὲν περιεργάζεσθαι πλέον· ὥστε καὶ πολλὰ τῆς γραφῆς ἐξηγοῦνται τῇ τε πάντων δόξῃ καὶ τῇ σφῶν αὐτῶν ἐναντίως, οὐδ' αἰδοῦνται τὸ δόξαι σαφεῖς τινες ὄντες καὶ ἐπιπόλαιοι τῶν τοιούτων ἐξηγηταὶ, μόνον ἵνα δυνηθῶσι πεῖσαι τοὺς ἄλλους εἴσω μένειν τῶν ὅρων, καὶ τῶν ἐκ τῆς προπετείας ἀπηλλάχθαι κινδύνων· τί θαυμαστὸν, εἰ τούτοις ἑπόμενοι τοῖς λογισμοῖς καὶ ταῦτα ἐσίγησαν, ὥσπερ εὕροι τις ἂν αὐτοὺς καὶ πολλὰ ἄλλα τῶν ἀκινδύνως ἂν εἰρημένων σεσιγηκότας; ἔδει γὰρ μὴ λόγῳ μόνον τὸ δέον ὑπαγορεύειν, ἀλλὰ καὶ ἔργῳ φανεροῦν αὐτὸ, καὶ παράδειγμα σφᾶς αὐτοὺς διδόναι τῆς

εὐλαβείας· τοῦτο γὰρ ἀληθινῶν διδασκάλων ᾔδεσαν ὄν. ἐπεὶ δὲ καὶ τὴν ἀλήθειαν ἀπό γε τῶν σοφωτέρων κρύπτειν οὐκ ἔδει· ἢ γὰρ ἂν ἠδίκουν τῇ τῶν ἀσθενεστέρων φειδοῖ τοὺς ἄμεινον παρεσκευασμένους ἀτελεστέρους ἐῶντες, μηδὲ καὶ τούτοις συμμετρεῖν τὸν τῆς διδασκαλίας λόγον ἐθέλοντες· ἄλλον τινὰ τρόπον καὶ τούτοις τὴν ἀληθῆ προὐτίθεσαν δόξαν ἀρκοῦντα σοφοῖς· καθάπερ οὐδ' αὐτοὶ παρὰ τῶν γραφῶν αὐταῖς ἐζήτουν λέξεσι τὴν ἀλήθειαν, ἀλλ' ὅσα τοῖς διαῤῥήδην λεγομένοις τὴν ἴσην δύναμιν ἔχει, καὶ ἃ ταῖς ὁμολογουμέναις περὶ τῶν θείων ἐννοίαις συνᾴδουσι, πρὸς τὴν ταύτης θήραν σφίσιν ἐνόμισαν ἐξαρκεῖν. ταύτην καὶ οἱ λοιποὶ τῶν διδασκάλων εἵλοντο τὴν ὁδὸν ἐν οἷς ἐδογμάτισαν. μὴ γὰρ ὅτι ταύτην ἐξεῖπον τὴν δόξαν ἄλλοις σεσιγημένην σκοπείτω τις, ἀλλ' ὅτι κἀκεῖνοι πολλὰ κατέσχον παρ' ἑαυτοῖς ὧν ἠδύναντο λέγειν· ἃ τοσούτῳ μείζω κίνδυνον ἴσως ἤνεγκεν ἂν καὶ οὕτω πλείοσι τῶν ἀνθρώπων ὅσῳ καὶ βαθυτέρας τοῖς ὑπ' αὐτῶν λεγομένοις δεῖ διανοίας καὶ πολλῷ βελτίονος ἐδέησεν ἂν τοῖς σιωπωμένοις. ἑτέρᾳ δέ τινι μηχανῇ κἀκεῖνοι τοὺς παρακολουθεῖν δυναμένους ὧν ἐφρόνουν πεποίηνται κοινωνούς· καὶ τοῦτ' ἔστι συνιδεῖν εἴ τις αὐτῶν τοῖς λόγοις προσέχοι· Ὁ δὲ τοὺς διδασκάλους ἑκάστους παθεῖν εἰκός ἐστι πρὸς τοὺς ὑπ' αὐτῶν μυουμένους, τοῦτο πολλῷ πρότερον πρὸς πᾶσαν αὐτοῦ τὴν ἐκκλησίαν ᾠκονομηκέναι τὸ πνεῦμα τῆς ἀληθείας οὐδὲ ἀπεικὸς, θαυμαστῇ τινι καὶ πάντα λόγον νικώσῃ προνοίᾳ. προὐνόησε γὰρ ἑκατέρας τῶν ἀνθρώπων τῆς ἕξεως, καὶ διδασκάλους πλάσαν ταύταις συμβαίνοντας, τοῖς μὲν ἀτελεστέροις τοὺς εὐλαβείᾳ χρησαμένους ἐπέστησε, τοῖς δ' ὑψηλοτέροις τὸν νοῦν τοὺς μάλιστα τεθαῤῥηκότας ἐφῆκε· καὶ διδάσκει μὲν τὴν ἀναγκαίαν ἀλήθειαν διὰ πάντων ὁμοίως, ἧς ἡ πίστις ποιεῖ τοὺς σωθησομένους· ἂν δέ τις θεωρητικώτερος ὢν καὶ κρείττων ὑποψίας κινδύνων, πρὸς τὰς τῶν μειζόνων ἥκει μυήσεις, καὶ τούτῳ τὸν πόθον παραμυθεῖται, διακόνοις οὓς ἰδίως πρὸς ταῦτα παρεσκεύακε χρώμενον. ὥστ' εἰ τῶν ἁγίων τοὺς μὲν ἐπαινεσόμεθα, τοῖς δ' ἐπιτιμήσομεν τῆς σιγῆς ἢ τῶν λόγων· καὶ τοὺς μὲν ἐγκρινοῦμεν, τοὺς δ' ὡς ἡμῖν ἀχρήστους ἀποπεμψόμεθα, ἐξέστω καὶ κατὰ τοῦ πνεύματος ἐκεῖνα τολμᾶν οὐ μόνον οἷς τῆς σιωπῆς καὶ τῶν λόγων ἑκάστῳ γέγονεν αἴτιον καὶ κοινωνεῖν ἀνάγκη διὰ τοῦτο τῶν τιμῶν καὶ τῶν ὕβρεων, ἀλλὰ καὶ

οἷς ἐφ' ἑκάστου χρησάμενον φαίνεται, καὶ τὰ μὲν σιγῆσαν τὰ δ' εἰρηκὸς διὰ τῶν διδασκάλων, οἷς τὸν τῆς ἀληθείας λόγον ἐνέπνει. εἰ δ' ἕν ἐστιν ἐκεῖνο, καὶ ἀληθείας πνεῦμα πιστεύεται, καὶ πᾶσιν ὁμοίως εὐεργετεῖ τοὺς ἀνθρώπους, οὐδὲ τὰ τῶν διδασκάλων ἄλλως ἔχειν οἴεσθαι χρή. ἀλλ' ἵνα μὴ πολλὰ λέγων ὑμῖν ἐνοχλῶ, ὅθεν τῶν λόγων τούτων ἠρξάμην ἐκεῖσε πάλιν ἐπάνειμι. Εἰ μὲν γὰρ φανερῶς ἀντιφάσκοντες οἱ τῆς ἐκκλησίας ἑωρῶντο διδάσκαλοι, καὶ δίχα διαιρεθέντες οἱ μὲν ἔλεγον οὐκ ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, οἱ δὲ τοῦτο κατέφασκον ᾧ νῦν λέγουσι τρόπῳ, ἔδει τὴν μὲν ἀντίφασιν μέχρι τῶν λόγων εἶναι νομίζοντας καὶ τὴν μάχην, τοῖς δὲ νοήμασι καὶ σφόδρα συνῆφθαι τούτους ἀλλήλοις ὑποτιθεμένους, πειρᾶσθαι τῆς ἐν τοῖς ῥήμασιν ἐναντιότητος τοὺς λόγους εὑρίσκειν, καὶ τί σκοποῦντες ταῦτα προείλοντο· καὶ τυγχάνοντας μὲν, ἔδει δὲ δήπου τυγχάνειν, καὶ αὐτοὺς ἡμᾶς πεπαῦσθαι φιλονεικεῖν, ἢ λέγοντας ἑκάτερον καὶ φρονοῦντας μετὰ τῶν ἑκατέρου λόγων, ἢ τὸ μάλιστα συνάπτειν μέλλον ἡμᾶς ἐκ πάντων ἐκλεξαμένους· πολλοῖς γὰρ ἐνεχώρει τρόποις ταῦτα περαίνεσθαι· διαμαρτάνοντας δὲ, ἀλγεῖν μὲν ἅτε τῆς τῶν διδασκάλων διανοίας οὐ δυναμένους στοχάζεσθαι, ἑκάτερον δὲ φρονοῦντας ἑκατέρους ἁπλῶς, λέγοντας δὲ τὰ συνήθη, οὕτω καὶ τοῖς διδασκάλοις καὶ σφίσιν αὐτοῖς διηλλάχθαι. οὐ μόνον δὲ τοὺς διδασκάλους, ἀλλ' οὐδ' ἡμᾶς αὐτοὺς ἀντιφάσκοντας ἀλλήλοις τῷ λόγῳ, κἂν τῷ συμβόλῳ τῆς πίστεως τοὺς μὲν τὴν κατάφασιν, τοὺς δὲ τὴν ἀπόφασιν ὁμολογοῦντας· ὅπερ εἰ γεγονὸς ἔτυχε, χαλεπώτατον ἂν ἔδοξεν εἶναι, καὶ μεγίστη τῶν διαφορῶν αὕτη· οὐδ' ὅμως τοίνυν οὕτω διακειμένους δυσχερὲς ἂν ἦν τῇ διανοίᾳ συμβαίνειν, τοῦτο δυναμένης τῆς ὕλης, καὶ τῶν πραγμάτων λίαν ἐπιτρεπόντων. ἐγὼ γὰρ οἶμαι, καί μοι μηδαμῶς ὀργισθῆτε, οὐ γὰρ χαλεπῶς ἔχω τὰ κοινῇ δόξαντα πᾶσιν ὑμῖν ἰδίας γνώμης ἀλλάττεσθαι, ἀλλὰ συμβουλεύων ταῦτα φημὶ, καὶ τῆς ἐμῆς πειρώμενος γνώμης, καὶ βουλόμενος εἴπερ ἄλλο τι καὶ ἡμᾶς εἰρηνεύειν, καὶ τοῖς διδασκάλοις πᾶσι περισώζεσθαι τὴν τιμήν· οἶμαι τοίνυν ἐγὼ τὰς ἀντιφάσκειν δοκούσας ταύτας προτάσεις, καὶ ἄμφω καλῶς ἐνδέχεσθαι λέγεσθαι, καὶ μηδετέραν πάλιν καλῶς. ὥστε τοὺς ἑκατέρας προστησαμένους, εἰ τὰς συνεζευγμένας φυλάττοιντο δυσχερείας, καὶ τὴν ἀλήθειαν δύνασθαι σώζειν, καὶ σφίσιν

[illegible]

[illegible] τὰς [illegible] [illegible] [illegible] τὰς [illegible] [illegible] δὲ [illegible] ἡμῖν [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] τοὺς λόγους [illegible] [illegible] δὲ [illegible] ὕβρις [illegible] [illegible] λέγουσιν· [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] λέγουσι δὲ [illegible] καὶ ταύτῃ [illegible] [illegible] καὶ τῆς σιγῆς [illegible] [illegible] [illegible] [illegible], ὁ τὸ τῶν [illegible] [illegible] ὁ τῶν ἐν αὐτοῖς [illegible] [illegible] ἐπὶ τοὺς [illegible] [illegible], [illegible] ἐν [illegible] [illegible] δι' ὃ μὴ τοῦτο [illegible] ἀλλὰ καὶ πολλὰ τῶν ὁμολογουμένων σιγῶσιν οἱ μὲν ἀρχαῖοι [illegible] τῷ μὴ διαλλάττειν [illegible] τῆς γραφῆς σπεύδουσιν ταῦτα· οἱ δὲ [illegible] τὴν [illegible] ζηλοῦντες εὐλάβειαν. ἔστι μὲν οὖν καὶ [illegible] αἰτία τῆς σιγῆς [illegible] δὲ καὶ τινα κίνδυνον ὑφορώμενοι [illegible] τοὺς [illegible] ἐκ τῶν λόγων [illegible] [illegible], [illegible] ἀληθῶν διδασκαλίαν φυλάξασθαι· τὸ δὲ σιγᾶν [illegible] λέγουσι, καὶ τῇ δόξῃ συνειδότας τὸ ψεῦδος, οὐδένα λόγον [illegible]. εἰ δέ τις καὶ τὴν ἀπόφασιν τεθεῖναι δοκεῖ τῇ περὶ τ[illegible] [illegible], τῇ γραφῇ καὶ μείζω τῶν διδασκάλων μιᾷ οἷς ὑμῖ[illegible] μᾶλλον [illegible] μαρτυρεῖν, ἢ καθαρῶς ἀποφάσκειν· καὶ τοι κ[illegible] νερῶς ἠρνημένην χαλεπὸν οὐδέν ἐστι τοῖς εἰρηκόσι συνάπτι[illegible] καὶ πολλοὺς ἄλλους ἐμέλλομεν ἂν συνάπτειν συναρμένους. [illegible] των οὖν οὕτως ἐχόντων μάτην κοπτόμεθα τὰ συγκεκλωσμένα [illegible] στῶντές τε καὶ συμφύροντες τοὐναντίον ἢ λέγεται· καὶ δια[illegible] οὕτω προχείρους περιο[illegible], ὥσπερ τῷ πολεμεῖν ἀλλήλοις [illegible] ταῦτα περὶ τοιούτων φ[illegible] [illegible]ενοι· καὶ [illegible] [illegible]ν ἀλλήλων διδασκάλους, οὓς αἰ[illegible] [illegible]τειν καὶ [illegible] [illegible]είων λόγων πράγματα. ἀλλ' ὥσ[illegible] [illegible]τι καθ[illegible] [illegible]νεύειν μὴ ἀμφισβητουμένων κρ[illegible] [illegible]ων, κ[illegible] πᾶσιν [illegible]οντος· [illegible] τῆς [illegible] τῶν [illegible]υμεν[illegible] [illegible] τὴν [illegible]

μφοτέρων ἡμῖν πᾶσα ἡ σπουδή. ἐπὶ τί δὴ πρὸς Θεοῦ καὶ τὴν ἰτίαν ἀνοίσετε τοῦ μὴ πάντας τοὺς διδασκάλους στέργειν ἐπίσης, πόταν ὑμῶν ἐπὶ τοῦ κοινοῦ δικαστηρίου συνθάνωνται; οὐ γὰρ ἶμαι σιγῇ τοιοῦτον ἀδίκημα παρελθεῖν ἂν τοὺς ἠμελημένους· μᾶλον δὲ οὐδὲν ἧττον ἐκεῖνον, ὑπὲρ ἐκείνων καὶ οἱ τιμᾶσθαι δοκοῦντες ;γανακτήσουσι. τὸ τῶν σιγησάντων ἀξίωμα προβαλεῖσθε; καὶ μὴν ;ὑτῶν ἁγιότητι μὲν οὐδὲν ἐλάττους εἰσὶ, σοφίᾳ δὲ καὶ πολὺ προέ;ουσιν ἔνιοι τῶν εἰπόντων. ἀλλὰ τὸ πλῆθος ἐρεῖτε; καὶ μὴν καὶ ούτῳ νικῶσιν. εἰ δὲ τὰς παρὰ τῶν συνόδων τιμὰς, παρὰ σφίσι ͗ιέξουσιν οὖσαν τὴν ὑπεροχήν. ἀλλὰ τῷ δεινὸν οἴεσθαι δόξαν μὴ ·αρὰ πάντων ὁμοῦ κρατυνομένην προσδέχεσθαι; ἀλλ᾽ οὐδὲ τοῦτ᾽ ͗ὔλογον· ἀντιλέγοντος γὰρ οὐδενὸς οὑτωσὶ φανερῶς, ἱκανόν ἐστιν ;ὑτὴν ὑπὸ δυοῖν μαρτυρεῖσθαι· αὕτη δὲ τοσούτων συνηγόρων ηὐτόρηκεν. ἢ καὶ τὸ περὶ τὸν Λάζαρον θαῦμα, καὶ τὴν τῆς Σαιαρείτιδος συντυχίαν παραδραμούμεθα, ὅτι μὴ πάντας ἔσχε συμ-νοῦντας ὁ ταῦτα λέγων τοὺς εὐαγγελιστάς; εἶτα καὶ τοὺς ἐν τοῖς ͗ικαστηρίοις ἀγῶνας ἄλλον τινὰ διετίθεσθε τρόπον, οἱ ἄνθρωποι ͗ρὸς ἡμᾶς ἐροῦσι καὶ πάνυ δικαίως· οὔτε γὰρ σιωπὴν προὐτιμή·ατέ ποτε λόγου πρὸς μαρτυρίαν· μᾶλλον δὲ καὶ ταύτῃ λόγῳ συ·απτομένῃ λόγου χρείαν ἐνέμετε· καὶ τρεῖς λαμβάνοντες μάρτυρας ·ῶν ζητουμένων, ἀξίους ὄντας πιστεύεσθαι, οὐθ᾽ ἑαυτοῖς λοιπὸν ὔτε τοῖς παράγουσιν ἠνωχλεῖτε, πάντας ἀνθρώπους ζητοῦντες ιάρτυρας ἥκειν. οἶμαι τὰ τῶν ἄλλων διδασκάλων ἀξιώματα προ-ϐαλεῖσθε, ἐξ ὧν ὑπεναντίον τι τῇ τῶν εἰπόντων καταφάσει συ·άγεται· ἀλλ᾽ οὐδὲ τοῦτ᾽ ἐροῦσι δίκαιον οὐδὲ νόμιμον εἶναι, τὰ ͗ιαῤῥήδην λεγόμενα παριδόντας τοῖς ἀμφιβόλοις προστίθεσθαι· τοὐναντίον γὰρ μᾶλλον, ἐκ τῶν φανερωτάτων καὶ ταῦτα κρίνεσθαι ͗εῖ. ἃ γὰρ λέγετε κατὰ τῶν ἡμετέρων ἀδελφῶν ἀξιώματα, οὐ τὸν ἴσον τρόπον πάντες ἐνόουν· ἀλλ᾽ οἱ μὲν ὡς τὴν ἀπόφασιν συμτεραίνοντα, οἱ δ᾽ ὡς τῇ καταφάσει συνηγοροῦντα πάντως ἐδέχοντο· οὐ ... δὲ μόνον, ἀλλὰ καὶ πολλοῖς ἐκ τῶν διδασκάλων οἱ τῆς ... οἰστάμενοι ἀποφάσεως ἐχρῶντο ῥητοῖς. ὅθεν ἔκ γε τῶν ... σιωπῇ τῶν ἄλλων, ἢ τοῖς ἡμετέροις λό... ὴν οὔτ᾽ ἐπὶ τὴν ἄγνοιαν καταφεύξεσθε, ... ότες, καὶ πολλῶν ἄλλων ὑμῖν διαμαρ-

τυρομένων, καὶ τοῦ μὴ βούλεσθαι μόνον εἴργειν ἔχοντος. εἰ δὲ καὶ τὰ παρὰ τῶν ἄλλων ἁγίων προτεθεῖεν ὀνείδη, οἷς προσέχειν δῆθεν βουλόμεθα, καὶ δίκαια μὲν αἰτιᾶσθαι τοὺς ἀδελφοὺς, ἡμᾶς δὲ φανερῶς ἀδικεῖν, αὐτοὶ δ' ἐν τιμῆς προσχήματι συνηδικῆσθαι καὶ συνεκβεβλῆσθαι φήσειαν παρελθόντες· οὐ γὰρ οἶμαι κἀκεῖ στασιάσουσι πρὸς ἀλλήλους καὶ τἀναντία περὶ ἡμῶν ψηφιοῦνται· τίς ἡμῖν λοιπὸν ἔσται καταφυγή; τὸ δὲ μεῖζον, ἀπαιτοῦντι τῷ δεσπότῃ παρ' ἡμῶν τὴν εἰρήνην καὶ τὴν γνῶσιν τῆς ἀληθείας, ὧν τὴν μὲν καθάπερ τινὰ κλῆρον ἔδει διαφυλάττειν, τὴν δὲ φέρειν ἐχρῆν ἀπὸ τῆς ἐνταῦθα ζωῆς, ὡς δι' ἐκείνης μόνης σωθησομένους, τί τῶν ἁπάντων εἰπόντες οὐχὶ καὶ προσαναισχυντεῖν δόξαιμεν ἂν καὶ χείρους δίκας ὀφείλειν; οὔτε γὰρ τὴν τῶν γραφῶν ἐροῦμεν ἀσάφειαν, ἧς τοσούτους ἡμῖν ἐκάθισεν ἑρμηνεῖς, οὔτε τοὺς διδασκάλους συνηγόρους καλέσομεν, προκατεγνωκότας πάντως ἡμῶν. εἰ δὲ καὶ μέλλοιεν παριέναι, οἱ μὲν αὐτῶν καὶ πάλιν σιγῶντες, οἱ δὲ τἀναντία μαρτυροῦντες περιφανῶς, οὐδὲ διατρίβειν ἐάσουσι περὶ τὰς ψήφους τὸν δικαστήν. ἀλλ' οὐδ' ἄμεινον ἐκείνων ἁπάντων τὰ τῶν γραφῶν αὐτοὶ νοεῖν τολμήσομεν λέγειν· οὔτε τῆς εἰρήνης ἐπιθυμῆσαι μὲν, οὐ τυχεῖν δὲ διϊσχυριούμεθα· πῶς γὰρ, οἱ καὶ τοὺς διδασκάλους ἀλλήλοις ἐκπολεμοῦν βουληθέντες, ὧν τὴν ὁμόνοιαν τῶν ἐν ἡμῖν σκανδάλων ἔδει γίνεσθαι λύσιν; ἧπου σιγᾶν μὲν ἄμεινον ἔσται μηδὲν ἔχουσι εἰς ἀπολογίαν προβάλλεσθαι, ἀντὶ δὲ τῆς τῶν ἐγκλημάτων ὁμολογίας τὰ τῆς σιωπῆς ἀποχρήσει τῷ δικαστῇ. οὕτως ἡμῖν τὸ διαιρεῖν τοὺς διδασκάλους τῆς ἐκκλησίας ταῖς γνώμαις, ἢ μαχομένοις ἀλλήλοις, ἢ κακῶς εἰρηνεύουσιν ἀπαραίτητον ἔχοι πανταχόθεν τὴν μέμψιν· τὸ δὲ συνάπτειν ἐκείνους, ὡς καὶ πρότερον εἴρηται, πρὸς πᾶσαν τύχην ἀρκεῖ. εἰ γὰρ μὴ καὶ τὰ τῆς ἀληθείας ἡμῖν οὑτωσὶ περιγένοιτο, πολλὰ τὰ τὴν συγγνώμην πράξοντα δικαίως προσέσται· καὶ τῇ πρὸς τοὺς διδασκάλους αἰδοῖ πολλῶν ἀγαθῶν ἐσμὸν συνεπαγομένῃ τὰς ἐκεῖθεν εὐθύνας ἐξωνησόμεθα. ἀλλ' οὐκ ἔστι τῶν ἐνδεχομένων τῆς ἀληθείας διαμαρτεῖν ἡμᾶς ὑπὸ τῇ τῶν διδασκάλων εἰρήνῃ, οὐ μᾶλλον ἢ κἀκείνους τοῦτο παθεῖν ὑπὸ τῇ τοῦ πνεύματος ὁδηγίᾳ. ταύτην τοίνυν ἑλέσθαι δεῖ τὴν ὁδὸν ἀληθῆ τε οὖσαν καὶ πρόχειρον, καὶ πρὸς τούτοις γέμουσαν ἀσφαλείας. εἰ δ' ἔστιν ἄλλον τινὰ συνάψαι τρόπον τοὺς διδασκάλους

τοῦ νῦν ὑπομνησθέντος ἀμείνω, τοῦτ' εὐχῆς ἔργον ἐμοί· οὐδὲ γὰρ ἂν αὐτὸς φαίην, τοῦτον μόνον ἁπάντων ἄριστον εἶναι· ἀλλὰ τὸ μὲν συνάπτειν αὐτοὺς καὶ συμβαίνοντας διὰ πάντων δεικνύναι, τοῦτ' ἀναγκαῖον εἶναί φημι, καὶ τοῦτον δεῖ ὑποβεβλῆσθαι τῆς ἡμετέρας ὁμονοίας ὥσπερ θεμέλιον, ὡς τούτου χώρις μήτε καλῶς μήθ' ὅλως ἱδρυσομένης· ᾧ δ' ἂν ταῦτα γένοιτο τρόπῳ, ὑμέτερόν ἐστιν ἀνευρίσκειν. καὶ ἃ γὰρ τῶν εἰρημένων εἰς τοῦτο τείνειν δοκεῖ, οὐ μᾶλλον εἰσηγουμένου τὸν τρόπον ἦν, ἢ προτιθέντος ὑμῖν εἰκόνα καὶ τύπον τῆς τῶν διδασκάλων συμβάσεως. εἰ δὲ καὶ γνώμη τις ἦν ἐμὴ καθαρῶς ἐκεῖνα, καὶ τοῦτον ἡγούμην τὸν τρόπον εἶναι λυσιτελέστερον, οὐδὲν θαυμαστόν· ἐξέστω γὰρ ἐμοί τε καὶ τῶν ἄλλων ἑκάστῳ φρονεῖν ὁτιδήποτε περὶ τούτων, ἕως ἂν ὑμεῖς ἔλησθε τὰ βελτίω, καὶ ἅπερ ἀναμφιβόλως μέλλει κρατεῖν. οὐ τοῖς ἁγίοις δὲ μόνοις ἀλλὰ καὶ τοῖς τῆς γραφῆς ἀξιώμασιν, ὅπερ ἔφθην εἰπών, ἕνωσιν ταύτην ἀποδίδοσθαι δεῖ· καὶ πολλῷ μᾶλλον, ὁπόταν ἡμῖν κἀκείνων πρὸς τὰ παρόντα γίνηται χρεία. ἐγὼ γὰρ εἶπον ἂν ὡς ἐλάχιστα δεῖσθαι τῶν τῆς γραφῆς ἀρκουμένους τῇ δόξῃ τῶν διδασκάλων, οἳ καλῶς ἐκείνην ἐξήτασαν, καὶ ὧν ἔλεγον ἐκεῖθεν ἴσχον τὰς ἀφορμάς· καὶ εἴ τι αὐτοὺς ἀπῄτει τῶν λόγων τὰς ἀποδείξεις, εὐθὺς ἐπὶ τὴν γραφὴν κατέφυγον ἄν· ὃ καὶ μηδενὸς αὐτοὺς ἀπαιτοῦντος, πολλοὶ καὶ πολλάκις φαίνονται πράττοντες. εἰ δὲ δεῖ ποτε κἀκείνῃ χρήσασθαι, οὐ πρὸς τὸ συμπέρασμα βλέποντας μᾶλλον, ἢ πρὸς τὸ συνάπτειν τοὺς διδασκάλους τοῦτο ποιεῖν· τέως δὲ καὶ τῇ γραφῇ τὴν ἀπὸ τῆς συμφωνίας ἀποδοῦναι τιμήν, ἧς ἄνευ οὔτε τιμῶσι οὔτε χρωμένοις ἄλλως συνοίσει. καὶ ὅλως ἐξ ὧν εἰρηνεύειν μέλλομεν μόνον, ἄλλως ἀπὸ φιλονεικίας ἁρμοττούσης ἀνθρώποις που τῶν ἀμφισβητήσεων οὐκ ἂν ἐξοκείλαντες τούτων, ὡς πορρωτάτω τὴν τῆς ἀντιλογίας δόξαν ἀπάγειν, καὶ ταῦτα πρῶτον τίθεσθαι συμφωνεῖν· καὶ τοῦτο πράττειν μετὰ σοφίας καὶ τοῦ γινομένου παντός, μὴ καὶ λάθωμεν ἀντὶ τοῦ συνάπτειν ἀλλήλοις τὰ τῆς γραφῆς καὶ τῶν διδασκάλων, διϊστάντες αὐτά τε τῆς ἀληθείας κοινῇ, καὶ ἡμᾶς ἐκείνοις συναφιστάντες. Ταῦτ', ὦ πατέρες σεβάσμιοι, πρὸς τὴν ζητουμένην εἰρήνην ἀντὶ πάντων ὑμῖν ἀρκέσειν ἡγοῦμαι· εἰ δὲ καὶ ἄλλα πολλὰ πρὸς τούτοις ἐστὶ τῶν χρησίμων ἐνθυμηθῆναι, ἀλλὰ ταῦτα καθάπερ τις ἀρχὴ καὶ κεφάλαιον ἐκείνοις

εἶναι δοκεῖ. κἀντεῦθεν μὲν ἀρξαμένους ὑμᾶς, εἰκός ἐστι καὶ δεομένους ἀλλήλων* ταῦτα προσθήσειν, καὶ τὸ ζητούμενον κατεργάζεσθαι· τούτων δ᾽ ἄνευ οὐδὲν ἂν τῶν ἀμεινόνων συμβαίη. διὸ δὴ περὶ τούτων μόνον ὑμᾶς ὑπομνήσας, ὥστε καὶ τὰς ὑποσχέσεις ἐκτίσαι καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν ἐνδείξασθαι, καὶ λίαν ἀρκούντως ἔχειν ἡγοῦμαι· τοῦτο μόνον ὑμῶν πρὸς τοῖς εἰρημένοις δεόμενος, εἰ θεὸς ἵλεως ἐπιβλέψας ἡμῖν, τὴν ἀληθῆ τῆς γραφῆς καὶ τῶν διδασκάλων συνιδεῖν ἕνωσιν δοίη, ᾗ καὶ ἡμῶν εὐθὺς καὶ πάσης τῆς ἐκκλησίας ἕνωσις ἔσται, ἵνα τῷ συμβόλῳ ταύτην τῆς πίστεως ὁποία ποτ᾽ ἂν εἴη φανερὰν ποιεῖν ἀξιώσητε, ἵνα καὶ τοῖς ἔξω λόγοις δύνησθε συμφωνεῖν καὶ διὰ πάντων ἑνῶσθαι· εἰ δ᾽ οὖν, εὐχῆς ἔργον ἂν εἴη τῇ γε γνώμῃ συνάπτεσθαι· τοῦτο γὰρ εἰ καὶ μὴ τῆς πίστεως τὴν ἀκρίβειαν, τὴν γοῦν πρὸς ἀλλήλους τῶν διδασκάλων εἰρήνην καὶ τὸ τἀληθῆ φρονεῖν ἡμᾶς περιέξει, εἰ δὴ καὶ ἄλλο τι τῷ συμβόλῳ προσθήσετε, ὃ τοῖς ἁγίοις ἅπασι κοινῶς ἀξιούμενον, τῇ μὲν καταφάσει συναγωνίζεται, τὴν δ᾽ ἀπόφασιν οὐκ εἰσάγει, καὶ τοῖς μὲν τῶν ἁγίων ἀνθ᾽ ὧν ἐσίγησαν ἦν, οἱ δ᾽ ὡς τὴν ἴσην οἷς εἶπον ἔχοντι δύναμιν φαίνονται χρώμενοι, ἑνώσεως μὲν τοῦτο σχῆμα λοιπὸν κατὰ τρίτον ὡς ἂν εἴποι τις πλοῦν· οὔκουν οὐδὲ τοῦτο τῆς τῶν διδασκάλων συμφωνίας καὶ τῶν ἡμετέρων περὶ ταύτης λόγων ἀπήλλακται. ὥστε πανταχόθεν ἡμῖν ταὐτὸ περιών, τῆς τε γραφῆς καὶ τῶν διδασκάλων ἡ συμφωνία.

Ἀλλ᾽ ἐπεὶ καὶ δὴ σιγᾶν ἔγνωκα, μὴ τῷ μήκει τῶν λόγων ἀηδὴς ὑμῖν γένωμαι δεδιώς, τὰ τῆς ἐμῆς κεφάλαια συμβουλῆς ἐξαριθμήσασθαι, καὶ τούτων ὑμᾶς ἀναμνῆσαι βούλομαι, ἣν μὲν ἔνιοι σκοποῦσιν οἰκονομίαν, ταύτην μηδ᾽ ἐπὶ νοῦν λαβεῖν συμβούλευσα, ἕνωσιν δ᾽ ἀληθῆ καὶ δοξῶν κοινωνίαν πράττειν εἴρηκα δεῖν, ἣν τὸ μίαν περὶ τῶν ἀμφισβητουμένων γνώμην λαβεῖν, εἶπον εἶναι· ταύτην δὲ κἂν τῷ συμβόλῳ τῆς πίστεως ὁμολογεῖν ἢ προστιθέντας ἢ ἀφαιροῦντας, ὁπότερον ἂν ἡ τοῦ θεοῦ χάρις ὑπαγορεύσειεν· ἐπὶ δὲ τούτοις, ὑφ᾽ ὧν ἔνιοι ταραττόμενοι τὴν εἰρήνην ταύτην ἔμελλον ἀπελπίζειν, ἀσθενῆ παντάπασιν ἔδειξα, καὶ πάντα μᾶλλον ἢ κωλύειν ὑμᾶς εὐλόγως δυνάμενα. εἶτα καὶ τὰ ποιήσοντα ταύτην, οὐκ ἐπιμένων ἀλλ᾽ οὑτωσὶ παριὼν τὰ πλεῖστα προσέθηκα· ἅπερ ἡ τῶν θείων γραφῶν καὶ τῶν διδασκάλων τῆς ἐκκλησίας ἕνωσις ἂν

* ἴσ. ἄλλων.

τὸ σύμπαν εἰπεῖν. ἐφ' ἃ δὴ πάντα μετ' εὐλαβείας ὑμᾶς παρακέκληκα, εἰ καὶ μὴ τῆς ὀφειλομένης, ἀλλ' οὖν τῆς γε δυνατῆς ἐν τοῖς τοιούτοις τῶν λόγων. ταῦτα μὲν ἐγὼ, τῷ μὲν κατορθοῦν τύχην ἀγαθὴν μᾶλλον ἢ δεινότητα καὶ σοφίαν, τῷ δὲ διαμαρτεῖν πολλὴν ἔχοντα συγγνώμην ἕνεκά γε τοῦ προθυμήσασθαί τι καὶ παθεῖν ὑπὲρ τοῦ καλοῦ· ὑμῶν δ' ἂν εἴη λοιπὸν οὐ μέλλειν, ἀλλ' ἢ ταῦτα πράττειν, ἃν δοκῶμέν τι λέγειν, ἢ βελτίω ζητεῖν, ἑκατέρου θεὸν ἡγεμόνα λαβόντας.

Τέλος τῶν τοῦ Σχολαρίου λόγων.



ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΝΙΚΑΙΑΣ

Πρὸς τὴν ἀνατολικὴν σύνοδον δογματικὸς, ἢ περὶ ἑνώσεως λόγος.



Τὴν μὲν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἱερὰν εἰρήνην τε καὶ ὁμόνοιαν οὐκ ἔστιν οὐδεὶς ὅστις ἂν οὐ τοῦ παντός τε τιμήσαιτο, καὶ μεγάλην εὐδαιμονίαν ἡγήσαιτο· ἀφ' ἧς ἥ τε τοῦ σωτῆρος εὐχὴ πρὸς τὸν Θεὸν καὶ πατέρα λήψεται τέλος· Ποίησον αὐτοὺς, περὶ τῶν μαθητῶν αὐτοῦ λέγοντος καὶ τῷ ὀνόματι αὐτοῦ κεκλημένων, ἵνα ὦσιν ἓν καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν· καὶ ἀκολούθως ἕψεται τὸ χρῆμα τῆς θείας ἀγάπης, ἥτις ἡμᾶς ἀγαγοῦσα ἐγγυτάτω παραστήσει θεοῦ, καὶ τὸ σημεῖον ἡμῖν ἐπανθήσει τῆς τοῦ Χριστοῦ μαθητείας. ἀρθήσεται δὲ ἀφ' ἡμῶν ἥ τε παρ' ἀλλήλων ἔχθρα, πρᾶγμα ἐναντιώτατον ἀνθρώποις χριστιανοῖς, καὶ ταῦτά γε πρὸς ἀλλήλους ἢ κατ' ἀλλήλων· ἀρθήσεται δὲ ὁ παρὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ καθ' ἡμῶν ἐγειρόμενος μυκτηρισμός τε καὶ χλευασμὸς καὶ κατάγελως, ἐπεγγελώντων ἡμῖν, ὡς δὴ Χριστιανοῖς μὲν οὖσι καὶ λεγομένοις, καὶ τὸν αὐτὸν ἐπιγραφομένοις δεσπότην, εἶτ' ἀλλήλων οὕτως ἀπεσχοινισμένοις τοῖς δόγμασιν, ὡς ἐχθρούς τε καὶ πολεμιωτάτους ἀλλήλους ἡγεῖσθαι. διὰ ταῦτα μὲν οὖν καὶ ἔτι πολλῷ τούτων πλείονα φιλοῦμεν μὲν ἅπαντες τὴν εἰρήνην, καὶ τὴν τῶν Χριστιανῶν συμφωνίαν περὶ πλείστου ποιούμεθα. τὸ δ' ὅπως ἂν γένοιτο τοσοῦτον καλὸν, καὶ τίσι τρόποις προβιβασθείη, ἐνταῦθα δὴ περὶ διάφορα σχιζόμεθα, καὶ διαφόρως περὶ τούτου νοοῦμεν. περὶ τούτου δὲ δὴ καὶ τὰ νῦν σκεπτέον, καὶ ῥητέον εἰς δύναμιν· καὶ δὴ λέγομεν οὕτως.

Κεφάλαιον πρῶτον.

Ἦν ὅτι ἡ τοῦ Θεοῦ ἄσπιλος νύμφη ἡ ἄμωμος ἐκκλησία εὐθυνεῖτο ἀκμάζουσα καὶ καλῶς ἔχουσα, ἡνίκα τὸ μὲν ἁπλοῦν καὶ ἀπερίεργον τῆς κατὰ τὸ εὐαγγέλιον πίστεως περὶ πλείονος ἐποιούμεθα, τὸ δὲ περιττὸν τοῦτο καὶ κατεγλωττισμένον, καὶ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐν δευτέρῳ τῶν θείων λογίων τιθέμενοι, μόνοις τοῖς γεγραμμένοις προσείχομεν τοῖς ἀπὸ τοῦ πνεύματος ἀγαπῶντες, καὶ εἰς ἓν ὑπ' αὐτῶν συναγόμενοι· καὶ μία μὲν ὄντες ποίμνη, ποιμένι δ' ἑνὶ χρώμενοι· καὶ τῆς αὐτῆς μὲν αὐτοῦ συνιέντες φωνῆς*, τὴν αὐτὴν δὲ ἀποδιδόντες αὐτῷ οὐ μόνον τὴν πίστιν τὴν * Ἰω. 10, 3.
ἐν καρδίᾳ, ἀλλὰ καὶ τὴν ὁμολογίαν τὴν διὰ στόματος· ἀφ' οὗ δέ τι προσεπινενόηται τοῖς ἀρχαίοις, καὶ τῷ κοινῷ κτήματι καὶ συμβόλῳ τῆς πίστεως οὐ μετὰ κοινῆς ψήφου προσγέγραπται· οὔπω λέγω εἰ καὶ τισιν εἰρημένον τῶν διδασκάλων, εἴτε καὶ μή· εἴτε καὶ εἰρημένον, πότερον καθ' ὃν αὐτὸ νοῦν ἐκλαμβάνουσιν οἱ πολλοί, εἴτε καθ' ἕτερον· ἐξ ὅπου δ' οὖν τοῦτ' ἐγεγόνει, ὡς πολλὰ μὲν τὸ ἓν τοῦ Χριστοῦ σῶμα διῄρηται; φεῦ, τὰ δὲ μέλη κατ' ἀλλήλων ὁπλίζονται, μὴ συνιέντες ὡς ἑαυτοῖς μάχονται καὶ λυμαίνονται ἑαυτοῖς, τῶν ἀδελφῶν ἑαυτοὺς διϊστάντες· ἢ μᾶλλον συνιέντες μέν, εἰσὶ γὰρ ἄνδρες σοφοί τε καὶ γνώσει κεκοσμημένοι, καὶ οὐ λέληθεν αὐτοὺς τὸ δεινὸν ὅσον ἐστίν, ἀναγκαίως δὲ καὶ εἰκότως τῆς ἀλλήλων διϊστάμενοι κοινωνίας, καὶ μάλιστά γε τῆς τῶν Λατίνων ἡμεῖς, μένοντες ἐπ' αὐτῶν τῶν ἀρχαίων καὶ κεκριμένων καὶ καθαρῶς παρὰ πάσης ἀποπεφασμένων συνόδου, τὸ μήπω κοινῇ ζητηθὲν ἑλομένων, μηδέ πω δοκιμασθὲν ὑπὸ κοινοῦ καὶ καθολικοῦ καὶ οἰκουμενικοῦ κριτηρίου. δεῖ γὰρ ἔν γε τοῖς περὶ πίστεως μηδεμιᾶς μὲν οὔσης ἀνάγκης, μηδέ τινος κινδυνεύοντος, καὶ ἠρεμουσῶν τῶν αἱρέσεων, μένειν ἐπ' αὐτῶν τῶν παραδοθέντων, ἃ μὲν ἀποκεκαλυμμένως, ἃ δὲ καὶ συνεπτυγμένως περιεχόντων τῶν θείων δογμάτων, καὶ οὐδὲν ὅ τι ὀρθοδοξίας οὐ περιεχόντων ἐν ἑαυτοῖς. ἀνάγκης δὲ κινηθείσης, καὶ τινος ἀναφυείσης αἱρέσεως, οἷα πολλὰ κατ' ἀνθρώπους εἴωθε γίγνεσθαι, καὶ μέν τοι καὶ γέγονε, καὶ προσέτι γενήσεται διὰ τὴν τῆς ἀνθρωπίνης διανοίας ἀσθένειαν, τὴν ἐκκλησίαν ἐκ πάσης ἐσχα-

ἀληθείας γνώσει τὴν διαφορὰν αὐτοῖς ἀφορίζοιτο. εἰ δὲ καὶ τὴν μέλλουσαν εὐδαιμονίαν τὴν τοῦ Θεοῦ γνῶσιν ἀποφαίνονται πάντες, ὅς ἐστιν ἡ πρώτη καὶ καθαρωτάτη πάντως ἀλήθεια, τῆς δὲ διαφοραὶ πολλαὶ καὶ βαθμοὶ, εἴπερ καὶ τῆς εὐδαιμονίας εἶναι πιστεύονται, πῶς οὐ κἀνταῦθα τῆς ἀληθείας τὸ φῶς διαφόρως σφίσιν ἐπιλάμψειν, ὃ τοῦ φωτὸς ἐκείνου πρόδρομον καὶ σύμβολον; ἢ πῶς οὐχ ἡμῖν, ἂν ἄλλο τι λέγωμεν, ὡς καταψευδομένοις αὐτῶν ὀργιοῦνται; προφάσει τῆς εἰς ἐνίους αἰδοῦς ὁριζομένοις μέν που τὴν περὶ τῶν θείων ἀλήθειαν, ἣν οὐδ' ἐν τῷ μέλλοντι βίῳ περιλαβεῖν δυνατὸν τοὺς ταύτης ἐπόπτας· ἀτιμάζουσι δὲ τὴν τῶν ἄλλων ἁγίων σπουδὴν καὶ τὴν χάριν, καὶ ἣν ἐντεῦθεν ἀλήθειαν ἐπορίσαντο; ἄλλως τ' εἰ μὲν πάντα μέλλομεν ὑποπτεύειν, ἃ μὴ κοινῇ καὶ καθάπερ ἀφ' ἑνὸς στόματος πάντες ἠξίουν, ἄλλος ἂν εἴη λόγος· καί τοι τὰ μὲν παρόντα λύσομεν ἴσως καλῶς, καὶ πόνων ἡμᾶς αὐτοὺς ἀπαλλάξομεν, καταψηφιούμεθα δέ τινων παντελῶς, καὶ τοῦ χοροῦ τῶν διδασκάλων αὐτοὺς ἀποκλείσομεν, οἷς αἱ τῶν πατέρων σύνοδοι πᾶσαι καὶ τὴν τῶν κορυφαίων τάξιν ἀπένειμαν. ἃ γὰρ πλείω τῶν ἄλλων εἶπον ἐκεῖνοι, ταῦτα σχεδόν ἐστιν ἅπερ εἶπον· οὕτως ὀξύτητι διανοίας καὶ χάριτι πνεύματος ἐπὶ πλεῖστον προῆλθον. πάντ' οὖν ἐκεῖνα λῆρος δόξουσιν εἶναι. καὶ ἀληθῶς ληρήσουσιν οἱ ταῦτα λέγειν τολμῶντες. εἰ δ' ἐκεῖνα πάντα θαυμάζομεν, ποῦ δίκαιον μόνα ταυτὶ μὴ προσίεσθαι; ἢ γὰρ ἐπὶ πάντων μετὰ ὁμοίων δεῖ τὴν γνώμην ταύτην νικᾶν, ἢ μηδ' ἐφ' ἑνός τινος εἶναι κυρίαν·

Ὅτι μὲν τοίνυν τὴν σιγὴν οὐκ ἐναντιουμένων, ἀλλ' εὐλαβουμένων ὑπάρχειν εἰκὸς, καὶ μὴ σφόδρα θαῤῥούντων ἐφ' ἑαυτοῖς ἐν τούτῳ τῷ μέρει ἐκ τῶν εἰρημένων οἶμαι δῆλον ὑπάρχειν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὰ τῶν ἁγίων συγγράμματα, ἐν οἷς ἄλλοι μᾶλλον ἄλλων καθαῤῥηκότες ὁρῶνται, ὡς ἕκαστος ἐπιστήμης ἢ χάριτος εἶχε· καὶ οὐδὲν μᾶλλον Λατῖνοι Γραϊκῶν, ἢ Γραϊκοὶ πρὸς ἑαυτοὺς ταύτῃ φαίνονται διενηνοχότες. ἀλλὰ μὴν καὶ τὸ ταὐτὰ τοῖς ἄλλοις φρονοῦντας ἀναμφιβόλως, τὴν ὁμολογίαν ὡς οὐκ ἀσφαλῆ τοῖς ἁπλουστέροις φυλάξασθαι, οὔτ' ἀδύνατον, οὔτε τῆς ἐκείνων τάξεως ἀπᾷδον εἶναι δοκεῖ. Οἱ γὰρ ἕνεκα τοῦ μηδένα ἂν ἐκ τῶν λόγων βλάβος τι παθεῖν, φανερῶς τοῖς λέγουσιν ἀντειπόντες, καὶ φρονεῖν καὶ λέγειν ἀπαγορεύσαντες ἃ τοῖς ἄλλοις καὶ τοῖς ἀναπνοῆς αὐτῆς. συνηθέ-

στερα, καί τοι παντὸς μᾶλλον αὐτοὶ ταῦτ᾽ ᾔδεισαν ἀληθῆ, πῶς οὐκ αὐτοῦ δὴ τούτου χάριν προθυμότερον ἐσίγησαν ἄν; τὸ γὰρ σιγῆσαι τοῦ δοκεῖν ἀντιλέγειν δήπου πρᾳότερον. εἰκὸς γὰρ ἦν τοὺς ἀκούοντας ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, καὶ μὴ χωροῦντας πάνυ τὸν λόγον, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐνθυμηθῆναι, καὶ ταῦτα δὴ πρὸς ἃ Λατίνους ἀπάγουσιν οἱ τὰ μακρὰ κατ᾽ αὐτῶν ἐκδεδωκότες συγγράμματα, καὶ ἅ φασιν ἀκολουθεῖν ἐξ ἀνάγκης τῷ δόγματι· οἷόν ἐστι καὶ τὸ διττὰς νομίζειν ἀρχὰς, καὶ τὸ τῶν ἄλλων θείων προσώπων εἶναι τὸ πνεῦμα καταδεέστερον, καὶ τἄλλα δὴ τὰ τοιαῦτα. εἰ γὰρ Λατῖνοι περὶ τούτων ἀπολογούμενοι, καὶ μήτε φρονεῖν αὐτὰ, μήτ᾽ ἐξ ἀνάγκης ἕπεσθαι τῇ δόξῃ δεικνύντες, οὔπω καὶ τήμερον πεῖσαι Γραικοὺς ἠδυνήθησαν, ἀλλ᾽ οἴονται πάντα μᾶλλον ἢ τῶν ἀτόπων ἀπηλλάχθαι τούτων τὴν δόξαν· οὕτως ἀκούουσι τῆς προσθήκης, οὐχ ὡς ἂν οἱ λέγοντες βούλοιντο· τί παθεῖν εἰκὸς ἦν τοὺς ἀνθρώπους, τῶν ἁγίων ἁπάντων ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα λεγόντων, καὶ τοῦτο δογματιζόντων ἁπλῶς ὡς ἔθος αὐτοῖς, μηδὲν δὲ προστιθέντων τῶν νῦν Λατίνοις εἰς ἀπολογίαν ἐξευρημένων τοῦ δόγματος, καὶ πρὸς τὰς τῶν ἀτόπων τούτων ἀποφυγάς; ἐγὼ γὰρ οἶμαι, τῇ μὲν δόξῃ νομίσαντας ἕπεσθαι τὰ τοιαῦτα, ἀντιλέγοντος δὲ μηδενὸς, μηδὲ ταῦτα φυλάττεσθαι παραινοῦντος, καὶ τὴν δόξαν ὡς οὐδαμόθεν τούτων αἰτίαν τιμᾶν, καὶ ὡς ἀληθέσι τοῖς ἀτόποις τούτοις ῥᾳδίως ἂν προσθέσθαι. ἃ δὴ πάντα προειδομένους εἰκός ἐστι φείσασθαι τῆς δόξης τοὺς διδασκάλους, καὶ σιγῆσαι τὸ μεγάλα βλάπτειν δυνάμενον. εἰ δὲ καὶ τῆς τῶν μαθητῶν ἀσφαλείας σφόδρα φροντίζοντες, πανταχοῦ παραινοῦσιν αὐτοῖς τῶν ἐν τῇ γραφῇ λεγομένων ἔχεσθαι μόνον, καὶ μηδὲν περιεργάζεσθαι πλέον· ὥστε καὶ πολλὰ τῆς γραφῆς ἐξηγοῦνται τῇ τε πάντων δόξῃ καὶ τῇ σφῶν αὐτῶν ἐναντίως, οὐδ᾽ αἰδοῦνται τὸ δόξαι σαφεῖς τινες ὄντες καὶ ἐπιπόλαιοι τῶν τοιούτων ἐξηγηταὶ, μόνον ἵνα δυνηθῶσι πεῖσαι τοὺς ἄλλους εἴσω μένειν τῶν ὅρων, καὶ τῶν ἐκ τῆς προπετείας ἀπηλλάχθαι κινδύνων· τί θαυμαστὸν, εἰ τούτοις ἑπόμενοι τοῖς λογισμοῖς καὶ ταῦτα ἐσίγησαν, ὥσπερ εὕροι τις ἂν αὐτοὺς καὶ πολλὰ ἄλλα τῶν ἀκινδύνως ἂν εἰρημένων σεσιγηκότας; ἔδει γὰρ μὴ λόγῳ μόνον τὸ δέον ὑπαγορεύειν, ἀλλὰ καὶ ἔργῳ φανεροῦν αὐτὸ, καὶ παράδειγμα σφᾶς αὐτοὺς διδόναι τῆς

εὐλαβείας· τοῦτο γὰρ ἀληθινῶν διδασκάλων ᾔδεσαν ὄν. ἐπεὶ δὲ καὶ τὴν ἀλήθειαν ἀπό γε τῶν σοφωτέρων κρύπτειν οὐκ ἔδει· ἢ γὰρ ἂν ἠδίκουν τῇ τῶν ἀσθενεστέρων φειδοῖ τοὺς ἄμεινον παρεσκευασμένους ἀτελεστέρους ἐῶντες, μηδὲ καὶ τούτοις συμμετρῶν τὸν τῆς διδασκαλίας λόγον ἐθέλοντες· ἄλλον τινὰ τρόπον καὶ τούτοις τὴν ἀληθῆ προυτίθεσαν δόξαν ἀρκοῦντα σοφοῖς· καθάπερ οὐδ' αὐτοὶ παρὰ τῶν γραφῶν αὐταῖς ἐζήτουν λέξεσι τὴν ἀλήθειαν, ἀλλ' ὅσα τοῖς διαῤῥήδην λεγομένοις τὴν ἴσην δύναμιν ἔχει, καὶ ἃ ταῖς ὁμολογουμέναις περὶ τῶν θείων ἐννοίαις συνᾴδουσι, πρὸς τὴν ταύτης θήραν σφίσιν ἐνόμισαν ἐξαρκεῖν. ταύτην καὶ οἱ λοιποὶ τῶν διδασκάλων εἵλοντο τὴν ὁδὸν ἐν οἷς ἐδογμάτισαν. μὴ γὰρ ὅτι ταύτην ἐξεῖπον τὴν δόξαν ἄλλοις σεσιγημένην σκοπείτω τις, ἀλλ' ὅτι κἀκεῖνοι πολλὰ κατέσχον παρ' ἑαυτοῖς ὧν ἠδύναντο λέγειν· ἃ τοσούτῳ μείζω κίνδυνον ἴσως ἤνεγκεν ἂν καὶ οὕτω πλείοσι τῶν ἀνθρώπων ὅσῳ καὶ βαθυτέρας τοῖς ὑπ' αὐτῶν λεγομένοις δεῖ διανοίας καὶ πολλῷ βελτίονος ἐδέησεν ἂν τοῖς σιωπωμένοις. ἑτέρᾳ δέ τινι μηχανῇ κἀκεῖνοι τοὺς παρακολουθεῖν δυναμένους ὧν ἐφρόνουν ποιοῦνται κοινωνούς· καὶ τοῦτ' ἔστι συνιδεῖν εἴ τις αὐτῶν τοῖς λόγοις προσέχοι· Ὃ δὲ τοὺς διδασκάλους ἑκάστους παθεῖν εἰκός ἐστι πρὸς τοὺς ὑπ' αὐτῶν μυουμένους, τοῦτο πολλῷ πρότερον πρὸς πᾶσαν αὐτοῦ τὴν ἐκκλησίαν ᾠκονομηκέναι τὸ πνεῦμα τῆς ἀληθείας οὐδὲν ἀπεικὸς, θαυμαστῇ τινι καὶ πάντα λόγον νικώσῃ προνοίᾳ. προϋνόησε γὰρ ἑκατέρας τῶν ἀνθρώπων τῆς ἕξεως, καὶ διδασκάλους πλάσαν ταύταις συμβαίνοντας, τοῖς μὲν ἀτελεστέροις τοὺς εὐλαβείᾳ χρησαμένους ἐπέστησε, τοῖς δ' ὑψηλοτέροις τὸν νοῦν τοὺς μάλιστα τεθαῤῥηκότας ἐφῆκε· καὶ διδάσκει μὲν τὴν ἀναγκαίαν ἀλήθειαν διὰ πάντων ὁμοίως, ἧς ἡ πίστις ποιεῖ τοὺς σωθησομένους· ἂν δέ τις θεωρητικώτερος ὢν καὶ κρείττων ὑποψίας κινδύνων, πρὸς τὰς τῶν μειζόνων ἔχει μυήσεις, καὶ τούτῳ τὸν πόθον παραμυθεῖται, διακόνοις οὓς ἰδίως πρὸς ταῦτα παρεσκεύακε χρώμενον. ὥστ' εἰ τῶν ἁγίων τοὺς μὲν ἐπαινεσόμεθα, τοῖς δ' ἐπιτιμήσομεν τῆς σιγῆς ἢ τῶν λόγων· καὶ τοὺς μὲν ἐγκρινοῦμεν, τοὺς δ' ὡς ἡμῖν ἀχρήστους ἀποπεμψόμεθα, ἐξέστω καὶ κατὰ τοῦ πνεύματος ἐκεῖνα τολμᾷν, οὐ μόνον οἷς τῆς σιωπῆς καὶ τῶν λόγων ἑκάστῳ γέγονεν αἴτιον, καὶ κοινωνεῖν ἀνάγκη διὰ τοῦτο τῶν τιμῶν καὶ τῶν ὕβρεων, ἀλλὰ καὶ

οἷς ἐφ' ἑκάστου χρησάμενον φαίνεται, καὶ τὰ μὲν σιγῆσαν τὰ δ' εἰρηκὸς διὰ τῶν διδασάλων, οἷς τὸν τῆς ἀληθείας λόγον ἐνέπνει. εἰ δ' ἕν ἐστιν ἐκεῖνο, καὶ ἀληθείας πνεῦμα πιστεύεται, καὶ πᾶσιν ὁμοίως εὐεργετεῖ τοὺς ἀνθρώπους, οὐδὲ τὰ τῶν διδασκάλων ἄλλως ἔχειν οἴεσθαι χρή. ἀλλ' ἵνα μὴ πολλὰ λέγων ὑμῖν ἐνοχλῶ, ὅθεν τῶν λόγων τούτων ἠρξάμην ἐκεῖσε πάλιν ἐπάνειμι. Εἰ μὲν γὰρ φανερῶς ἀντιφάσκοντες οἱ τῆς ἐκκλησίας ἑωρῶντο διδάσκαλοι, καὶ δίχα διαιρεθέντες οἱ μὲν ἔλεγον οὐκ ἐκ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα, οἱ δὲ τοῦτο κατέφασκον ᾧ νῦν λέγουσι τρόπῳ, ἔδει τὴν μὲν ἀντίφασιν μέχρι τῶν λόγων εἶναι νομίζοντας καὶ τὴν μάχην, τοῖς δὲ νοήμασι καὶ σφόδρα συνῆφθαι τούτους ἀλλήλοις ὑποτιθεμένους, πειρᾶσθαι τῆς ἐν τοῖς ῥήμασιν ἐναντιότητος τοὺς λόγους εὑρίσκειν, καὶ τί σκοποῦντες ταῦτα προείλοντο· καὶ τυγχάνοντας μὲν, ἔδει δὲ δήπου τυγχάνειν, καὶ αὐτοὺς ἡμᾶς πεπαῦσθαι φιλονεικεῖν, ἢ λέγοντας ἑκάτερον καὶ φρονοῦντας μετὰ τῶν ἑκατέρου λόγων, ἢ τὸ μάλιστα συνάπτειν μέλλον ἡμᾶς ἐκ πάντων ἐκλεξαμένους· πολλοῖς γὰρ ἐνεχώρει τρόποις ταῦτα περαίνεσθαι· διαμαρτάνοντας δὲ, ἀλγεῖν μὲν ἅτε τῆς τῶν διδασκάλων διανοίας οὐ δυναμένους στοχάζεσθαι, ἑκάτερον δὲ φρονοῦντας ἑκατέρους ἁπλῶς, λέγοντας δὲ τὰ συνήθη, οὕτω καὶ τοῖς διδασκάλοις καὶ σφίσιν αὐτοῖς διηλλάχθαι. οὐ μόνον δὲ τοὺς διδασκάλους, ἀλλ' οὐδ' ἡμᾶς αὐτοὺς ἀντιφάσκοντας ἀλλήλοις τῷ λόγῳ, κἂν τῷ συμβόλῳ τῆς πίστεως τοὺς μὲν τὴν κατάφασιν, τοὺς δὲ τὴν ἀπόφασιν ὁμολογοῦντας· ὅπερ εἰ γεγονὸς ἔτυχε, χαλεπώτατον ἂν ἔδοξεν εἶναι, καὶ μεγίστη τῶν διαφορῶν αὕτη· οὐδ' ὅμως τοίνυν οὕτω διακειμένους δυσχερὲς ἂν ἦν τῇ διανοίᾳ συμβαίνειν, τοῦτο δυναμένης τῆς ὕλης, καὶ τῶν πραγμάτων λίαν ἐπιτρεπόντων. ἐγὼ γὰρ οἶμαι, καί μοι μηδαμῶς ὀργισθῆτε, οὐ γὰρ χαλεπῶς ἔχω τὰ κοινῇ δόξαντα πᾶσιν ὑμῖν ἰδίας γνώμης ἀλλάττεσθαι, ἀλλὰ συμβουλεύων ταῦτα φημὶ, καὶ τῆς ἐμῆς πειρώμενος γνώμης, καὶ βουλόμενος εἴπερ ἄλλο τι καὶ ἡμᾶς εἰρηνεύειν, καὶ τοῖς διδασκάλοις πᾶσι περισώζεσθαι τὴν τιμήν· οἶμαι τοίνυν ἐγὼ τὰς ἀντιφάσκειν δοκούσας ταύτας προτάσεις, καὶ ἄμφω καλῶς ἐνδέχεσθαι λέγεσθαι, καὶ μηδετέραν πάλιν καλῶς. ὥστε τοὺς ἑκατέρας προστησαμένους, εἰ τὰς συνεζευγμένας φυλάττοιντο δυσχερείας, καὶ τὴν ἀλήθειαν δύνασθαι σώζειν, καὶ σφίσιν

αὐτοῖς ὁμογνωμονεῖν. καὶ τούτων ἕτοιμός εἰμι τὰς ἀποδείξεις, ὁπόταν βουληθῆτε, παρέχεσθαι· οὐ γὰρ οἶμαι τοῖς παροῦσι λόγοις ἡ περὶ ἐκείνων σκέψις ἁρμόττει· ἀγνοεῖτε δὲ οὐδ' ὑμεῖς ἃ λέγειν ἤμελλον, πολὺ βέλτιον ἐμοῦ τὰ τοιαῦτα ἐπεσκεμμένοι. ἦν μὲν ἂν τοίνυν καὶ οὕτω πρόχειρον ἡμῖν τῶν φιλονεικιῶν ἀπαλλάττεσθαι, τῇ τῶν νοημάτων ὡς εἰπεῖν συμφωνίᾳ τὴν περὶ τοὺς λόγους ἐναντιότητα λύουσι· νῦν δὲ τὴν μὲν κατάφασιν ἄνδρες ἅγιοι καὶ σοφοὶ καὶ οὕτω πολλοὶ καθάπερ ὑπὸ κήρυκος λέγουσιν· οὕτως αὐτὴν ἁπάσης ἄνευ ἀμφιβολίας ἐφρόνουν· τὴν δ' ἀπόφασιν εἶπεν οὐδείς, ἀλλὰ σιγῶσι μὲν αὐτὴν πάντες, λέγουσι δ' ἃ καὶ ταύτῃ καὶ τῇ καταφάσει δοκοῦσι συναγωνίζεσθαι. καὶ τῆς σιγῆς ἔστι μὲν τὴν ἕξιν αὐτῶν αἰτιάσασθαι χρῄζουσαν εὐλαβείας, ἢ τὸ τῶν λόγων ἦθος, ὅπερ ἡ τῶν ἐν αὐτοῖς πρεσβυτέρων μίμησις ἐπὶ τοὺς ὑστέρους ἀεὶ διαβαίνουσα, κρατεῖν ἐν σφίσι πεποίηκε· δι' ὃ μὴ τοῦτο μόνον ἀλλὰ καὶ πολλὰ τῶν ὁμολογουμένων σιγῶσιν οἱ μὲν ἀρχαιότεροι, τῷ μὴ διαῤῥήδην ὑπὸ τῆς γραφῆς σημαίνεσθαι ταῦτα· οἱ δὲ μετ' ἐκείνους τὴν ἐκείνων ζηλοῦντες εὐλάβειαν. ἔστι μὲν οὖν καὶ ταῦτα νομίζειν αἴτια τῆς σιγῆς· εἰκὸς δὲ καὶ τινα κίνδυνον ὑφορωμένους ᾧ τοὺς ἁπλουστέρους ἐκ τῶν λόγων ᾤοντο περιπεσεῖσθαι, τὴν τῶν ἀληθῶν διδασκαλίαν φυλάξασθαι· τὸ δὲ σιγᾶν ἐναντιουμένους τοῖς λέγουσι, καὶ τῇ δόξῃ συνειδότας τὸ ψεῦδος, οὐδένα λόγον ἔχειν ἐδείχθη. εἰ δέ τις καὶ τὴν ἀπόφασιν τιθέναι δοκεῖ τῇ περὶ τούτων σιωπῇ, τῇ γραφῇ καὶ μοίρᾳ τῶν διδασκάλων μιᾷ οἷς ὡμίλησε, μᾶλλον ἔοικε μαρτυρεῖν ἢ καθαρῶς ἀποφάσκειν· καίτοι καὶ φανερῶς ἠρνημένην χαλεπὸν οὐδέν ἐστι τοῖς εἰρηκόσι συνάπτεσθαι, ἢ καὶ πολλοὺς ἄλλους ἐμέλλομεν ἂν συνάπτειν συναραμένους. Τούτων οὖν οὕτως ἐχόντων μάτην κοψόμεθα τὰ συγκεκλεισμένα διϊστῶντές τε καὶ συμφύροντες τοὐναντίον ἢ λέγεται· καὶ διαλύσεις οὕτω προχείρους περιοψόμεθα, ὥσπερ τῷ πολεμεῖν ἀλλήλοις καὶ ταῦτα περὶ τοιούτων φιλοτιμούμενοι· καὶ διαστήσομεν ἀλλήλων τοὺς διδασκάλους, οὓς αὐτὰ συνάπτειν καὶ πρὸ τῶν οἰκείων λόγων τὰ πράγματα. ἀλλ' ὥσπερ οὐκ ἔστι καθαρῶς ἡμᾶς εἰρηνεύειν μὴ τῶν ἀμφισβητουμένων κρίσει λυθέντων, καὶ διορισθέντος ἑνός τινος τοῦ πᾶσιν ἀρέσκοντος· οὕτως οὐδὲ τῆς ἀληθείας ἐπιτυχεῖν ἔστι μὴ τῆς τῶν ἁγίων συμπνοίας ἐπ' αὐτὴν ἡμᾶς ὁδηγούσης. ὑπὲρ τούτων δὲ

ἀμφοτέρων ἡμῖν πᾶσα ἡ σπουδή. ἐπεὶ τί δὴ πρὸς Θεοῦ καὶ τὴν αἰτίαν ἀνοίσετε τοῦ μὴ πάντας τοὺς διδασκάλους στέργειν ἐπίσης, ὁπόταν ὑμῶν ἐπὶ τοῦ κοινοῦ δικαστηρίου πυνθάνωνται; οὐ γὰρ οἶμαί σιγῇ τοιοῦτον ἀδίκημα παρελθεῖν ἂν τοὺς ἠμελημένους· μᾶλλον δὲ οὐδὲν ἧττον ἐκείνων, ὑπὲρ ἐκείνων καὶ οἱ τιμᾶσθαι δοκοῦντες ἀγανακτήσουσι. τὸ τῶν σιγησάντων ἀξίωμα προβαλεῖσθε; καὶ μὴν αὐτῶν ἁγιότητι μὲν οὐδὲν ἐλάττους εἰσὶ, σοφίᾳ δὲ καὶ πολὺ προέχουσιν ἔνιοι τῶν εἰπόντων. ἀλλὰ τὸ πλῆθος ἐρεῖτε; καὶ μὴν καὶ τούτῳ νικῶσιν. εἰ δὲ τὰς παρὰ τῶν συνόδων τιμὰς, παρὰ σφίσι δείξουσιν οὖσαν τὴν ὑπεροχήν. ἀλλὰ τῷ δεινὸν οἴεσθαι δόξαν μὴ παρὰ πάντων ὁμοῦ κρατυνομένην προσδέχεσθαι; ἀλλ' οὐδὲ τοῦτ' εὔλογον· ἀντιλέγοντος γὰρ οὐδενὸς οὑτωσὶ φανερῶς, ἱκανῶς ἐστιν αὐτὴν ὑπὸ δυοῖν μαρτυρεῖσθαι· αὕτη δὲ τοσούτων συνηγόρων εὐπόρηκεν. ἢ καὶ τὸ περὶ τὸν Λάζαρον θαῦμα, καὶ τὴν τῆς Σαμαρείτιδος συντυχίαν παραδραμούμεθα, ὅτι μὴ πάντας ἔσχε συμφωνοῦντας ὁ ταῦτα λέγων τοὺς εὐαγγελιστάς; εἶτα καὶ τοὺς ἐν τοῖς δικαστηρίοις ἀγῶνας ἄλλον τινὰ διετίθεσθε τρόπον, οἱ ἄνθρωποι πρὸς ἡμᾶς ἐροῦσι καὶ πάνυ δικαίως· οὔτε γὰρ σιωπὴν προὐτιμήσατέ ποτε λόγου πρὸς μαρτυρίαν· μᾶλλον δὲ καὶ ταύτῃ λόγῳ συναπτομένῃ λόγου χρείαν ἐνέμετε· καὶ τρεῖς λαμβάνοντες μάρτυρας τῶν ζητουμένων, ἀξίους ὄντας πιστεύεσθαι, οὔθ' ἑαυτοῖς λοιπὸν οὔτε τοῖς παράγουσιν ἠνωχλεῖτε, πάντας ἀνθρώπους ζητοῦντες μάρτυρας ἥκειν. οἶμαι τὰ τῶν ἄλλων διδασκάλων ἀξιώματα προβαλεῖσθε, ἐξ ὧν ὑπεναντίον τι τῇ τῶν εἰπόντων καταφάσει συνάγεται· ἀλλ' οὐδὲ τοῦτ' ἐροῦσι δίκαιον οὐδὲ νόμιμον εἶναι, τὰ διαῤῥήδην λεγόμενα παριδόντας τοῖς ἀμφιβόλοις προστίθεσθαι· τοὐναντίον γὰρ μᾶλλον, ἐκ τῶν φανερωτάτων καὶ ταῦτα κρίνεσθαι δεῖ. ἃ γὰρ λέγετε κατὰ τῶν ἡμετέρων ἀδελφῶν ἀξιώματα, οὐ τὸν ἴσον τρόπον πάντες ἐνόουν· ἀλλ' οἱ μὲν ὡς τὴν ἀπόφασιν συμπεραίνοντα, οἱ δ' ὡς τῇ καταφάσει συνηγοροῦντα πάντως ἐδέχοντο· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πολλοῖς ἐκ τῶν διδασκάλων οἱ τῆς ὑμετέρας προϊστάμενοι ἀποφάσεως ἐχρῶντο ῥητοῖς. ὅθεν ἔκ γε τῶν τοιούτων οὐ μᾶλλον τῇ σιωπῇ τῶν ἄλλων, ἢ τοῖς ἡμετέροις λόγοις τίθεσθαι χρή. καὶ μὴν οὔτ' ἐπὶ τὴν ἄγνοιαν καταφεύξεσθε, αὐτοί τε ταῦτα πάντα εἰδότες, καὶ πολλῶν ἄλλων ὑμῖν διαμαρ-

τυρομένων, καὶ τοῦ μὴ βούλεσθαι μόνον εἴργειν ἔχοντος. εἰ δὲ καὶ τὰ παρὰ τῶν ἄλλων ἁγίων προτεθεῖεν ὀνείδη, οἷς προσέχειν δῆθεν βουλόμεθα, καὶ δίκαια μὲν αἰτιᾶσθαι τοὺς ἀδελφοὺς, ἡμᾶς δὲ φανερῶς ἀδικεῖν, αὐτοὶ δ' ἐν τιμῆς προσχήματι συνηδικεῖσθαι καὶ συνεκβεβλῆσθαι φήσειαν παρελθόντες· οὐ γὰρ οἶμαι κἀκεῖ στασιάσουσι πρὸς ἀλλήλους καὶ τἀναντία περὶ ἡμῶν ψηφιοῦνται· τίς ἡμῖν λοιπὸν ἔσται καταφυγή; τὸ δὲ μεῖζον, ἀπαιτοῦντι τῷ δεσπότῃ παρ' ἡμῶν τὴν εἰρήνην καὶ τὴν γνῶσιν τῆς ἀληθείας, ὧν τὴν μὲν καθάπερ τινὰ κλῆρον ἔδει διαφυλάττειν, τὴν δὲ φέρειν ἐχρῆν ἀπὸ τῆς ἐνταῦθα ζωῆς, ὡς δι' ἐκείνης μόνης σωθησομένους, τί τῶν ἁπάντων εἰπόντες οὐχὶ καὶ προσαναισχυντεῖν δόξαιμεν ἂν καὶ χείρους δίκας ὀφείλειν; οὔτε γὰρ τὴν τῶν γραφῶν ἐροῦμεν ἀσάφειαν, ἧς τοσούτους ἡμῖν ἐκάθισεν ἑρμηνεῖς, οὔτε τοὺς διδασκάλους συνηγόρους καλέσομεν, προκατεγνωκότας πάντως ἡμῶν. εἰ δὲ καὶ μέλλοιεν παριέναι, οἱ μὲν αὐτῶν καὶ πάλιν σιγῶντες, οἱ δὲ τἀναντία μαρτυροῦντες περιφανῶς, οὐδὲ διατρίβειν ἐάσουσι περὶ τὰς ψήφους τὸν δικαστήν. ἀλλ' οὐδ' ἄμεινον ἐκείνων ἁπάντων τὰ τῶν γραφῶν αὐτοὶ νοεῖν τολμήσομεν λέγειν· οὔτε τῆς εἰρήνης ἐπιθυμῆσαι μὲν, οὐ τυχεῖν δὲ διϊσχυριούμεθα· πῶς γὰρ, οἱ καὶ τοὺς διδασκάλους ἀλλήλοις ἐκπολεμοῦν βουληθέντες, ὧν τὴν ὁμόνοιαν τῶν ἐν ἡμῖν σκανδάλων ἔδει γίνεσθαι λύσιν; ἧπου σιγᾶν μὲν ἄμεινον ἔσται μηδὲν ἔχουσι εἰς ἀπολογίαν προβάλλεσθαι, ἀντὶ δὲ τῆς τῶν ἐγκλημάτων ὁμολογίας τὰ τῆς σιωπῆς ἀποχρήσει τῷ δικαστῇ. οὕτως ἡμῖν τὸ διαιρεῖν τοὺς διδασκάλους τῆς ἐκκλησίας ταῖς γνώμαις, ἢ μαχομένοις ἀλλήλοις, ἢ κακῶς εἰρηνεύουσιν ἀπαραίτητον ἔχει πανταχόθεν τὴν μέμψιν· τὸ δὲ συνάπτειν ἐκείνους, ὡς καὶ πρότερον εἴρηται, πρὸς πᾶσαν τύχην ἀρκεῖ. εἰ γὰρ μὴ καὶ τὰ τῆς ἀληθείας ἡμῖν οὑτωσὶ περιγένοιτο, πολλὰ τὰ τὴν συγγνώμην πράξοντα δικαίως προσέσται· καὶ τῇ πρὸς τοὺς διδασκάλους αἰδοῖ πολλῶν ἀγαθῶν ἑσμὸν συνεπαγομένῃ τὰς ἐκεῖθεν εὐθύνας ἐξωνησόμεθα. ἀλλ' οὐκ ἔστι τῶν ἐνδεχομένων τῆς ἀληθείας διαμαρτεῖν ἡμᾶς ὑπὸ τῇ τῶν διδασκάλων εἰρήνῃ, οὐ μᾶλλον ἢ κἀκείνους τοῦτο παθεῖν ὑπὸ τῇ τοῦ πνεύματος ὁδηγίᾳ. ταύτην τοίνυν ἑλέσθαι δεῖ τὴν ὁδὸν ἀληθῆ τε οὖσαν καὶ πρόχειρον, καὶ πρὸς τούτοις γέμουσαν ἀσφαλείας. εἰ δ' ἔστιν ἄλλον τινὰ συνάψαι τρόπον τοὺς διδασκάλους

τοῦ νῦν ὑπομνησθέντος ἀμείνω, τοῦτ' εὐχῆς ἔργον ἐμοί· οὐδὲ γὰρ ἂν αὐτὸς φαίην, τοῦτον μόνον ἁπάντων ἄριστον εἶναι· ἀλλὰ τὸ μὲν συνάπτειν αὐτοὺς καὶ συμβαίνοντας διὰ πάντων δεικνύναι, τοῦτ' ἀναγκαῖον εἶναί φημι, καὶ τοῦτον δεῖ ὑποβεβλῆσθαι τῆς ἡμετέρας ὁμονοίας ὥσπερ θεμέλιον, ὡς τούτου χωρὶς μήτε καλῶς μήθ' ὅλως ἱδρυσομένης· ᾧ δ' ἂν ταῦτα γένοιτο τρόπῳ, ὑμέτερόν ἐστιν ἀνευρίσκειν. καὶ ἃ γὰρ τῶν εἰρημένων εἰς τοῦτο τείνειν δοκεῖ, οὐ μᾶλλον εἰσηγουμένου τὸν τρόπον ἦν, ἢ προτιθέντος ὑμῖν εἰκόνα καὶ τύπον τῆς τῶν διδασκάλων συμβάσεως. εἰ δὲ καὶ γνώμη τις ἦν ἐμὴ καθαρῶς ἐκεῖνα, καὶ τοῦτον ἡγούμην τὸν τρόπον εἶναι λυσιτελέστερον, οὐδὲν θαυμαστόν· ἐξέστω γὰρ ἐμοί τε καὶ τῶν ἄλλων ἑκάστῳ φρονεῖν ὁτιδήποτε περὶ τούτων, ἕως ἂν ὑμεῖς ἕλησθε τὰ βελτίω, καὶ ἅπερ ἀναμφιβόλως μέλλει κρατεῖν. οὐ τοῖς ἁγίοις δὲ μόνοις ἀλλὰ καὶ τοῖς τῆς γραφῆς ἀξιώμασιν, ὅπερ ἔφθην εἰπὼν, ἕνωσιν ταύτην ἀποδίδοσθαι δεῖ· καὶ πολλῷ μᾶλλον, ὁπόταν ἡμῖν κἀκείνων πρὸς τὰ παρόντα γένηται χρεία. ἐγὼ γὰρ εἶπον ἂν ὡς ἐλάχιστα δεῖσθαι τῶν τῆς γραφῆς ἀρκουμένους τῇ δόξῃ τῶν διδασκάλων, οἳ καλῶς ἐκείνην ἐξήτασαν, καὶ ὧν ἔλεγον ἐκεῖθεν ἔσχον τὰς ἀφορμάς· καὶ εἴ τι αὐτοὺς ἀπῄτει τῶν λόγων τὰς ἀποδείξεις, εὐθὺς ἐπὶ τὴν γραφὴν κατέφυγον ἄν· ὃ καὶ μηδενὸς αὐτοὺς ἀπαιτοῦντος, πολλοὶ καὶ πολλάκις φαίνονται πράττοντες. εἰ δὲ δεῖ ποτε κἀκείνῃ χρήσασθαι, οὐ πρὸς τὸ συμπέρασμα βλέποντας μᾶλλον, ἢ πρὸς τὸ συνάπτειν τοὺς διδασκάλους τοῦτο ποιεῖν· τέως δὲ καὶ τῇ γραφῇ τὴν ἀπὸ τῆς συμφωνίας ἀποδοῦναι τιμὴν, ἧς ἄνευ οὔτε τιμῶσι οὔτε χρωμένοις ἄλλως συνοίσει. καὶ ὅλως ἐξ ὧν εἰρηνεύειν μέλλομεν μόνον, ἄλλως ἀπὸ φιλονεικίας ἁρμοττούσης ἀνθρώποις που τῶν ἀμφισβητήσεων οὐκ ἂν ἐξοκείλαντες τούτων, ὡς πορρωτάτω τὴν τῆς ἀντιλογίας δόξαν ἀπάγειν, καὶ ταῦτα πρῶτον τίθεσθαι συμφωνεῖν· καὶ τοῦτο πράττειν μετὰ σοφίας καὶ τοῦ γινομένου παντὸς, μὴ καὶ λάθωμεν ἀντὶ τοῦ συνάπτειν ἀλλήλοις τὰ τῆς γραφῆς καὶ τῶν διδασκάλων, διϊστάντες αὐτά τε τῆς ἀληθείας κοινῇ, καὶ ἡμᾶς ἐκείνοις συναφιστάντες. Ταῦτ', ὦ πατέρες σεβάσμιοι, πρὸς τὴν ζητουμένην εἰρήνην ἀντὶ πάντων ὑμῖν ἀρκέσειν ἡγοῦμαι· εἰ δὲ καὶ ἄλλα πολλὰ πρὸς τούτοις ἐστὶ τῶν χρησίμων ἐνθυμηθῆναι, ἀλλὰ ταῦτα καθάπερ τις ἀρχὴ καὶ κεφάλαιον ἐκείνοις

εἶναι δοκεῖ. κἀντεῦθεν μὲν ἀρξαμένους ὑμᾶς, εἰκός ἐστι καὶ δεομένους ἀλλήλων* ταῦτα προσθήσειν, καὶ τὸ ζητούμενον κατεργάζεσθαι· τούτων δ' ἄνευ οὐδὲν ἂν τῶν ἀμεινόνων συμβαίη. διὸ δὴ περὶ τούτων μόνον ὑμᾶς ὑπομνήσας, ὥστε καὶ τὰς ὑποσχέσεις ἐκτίσαι καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν ἐνδείξασθαι, καὶ λίαν ἀρκοῦντως ἔχειν ἡγοῦμαι· τοῦτο μόνον ὑμῶν πρὸς τοῖς εἰρημένοις δεόμενος, εἰ θεὸς ἵλεως ἐπιβλέψας ἡμῖν, τὴν ἀληθῆ τῆς γραφῆς καὶ τῶν διδασκάλων συνιδεῖν ἕνωσιν δοίη, ἣ καὶ ἡμῶν εὐθὺς καὶ πάσης τῆς ἐκκλησίας ἕνωσις ἔσται, ἵνα τῷ συμβόλῳ ταύτην τῆς πίστεως ὁποία ποτ' ἂν εἴη φανερὰν ποιεῖν ἀξιώσητε, ἵνα καὶ τοῖς ἔξω λόγοις δύνησθε συμφωνεῖν καὶ διὰ πάντων ἡνῶσθαι· εἰ δ' οὖν, εὐχῆς ἔργον ἂν εἴη τῇ γε γνώμῃ συνάπτεσθαι· τοῦτο γὰρ εἰ καὶ μὴ τῆς πίστεως τὴν ἀκρίβειαν, τὴν γοῦν πρὸς ἀλλήλους τῶν διδασκάλων εἰρήνην καὶ τὸ τἀληθῆ φρονεῖν ἡμᾶς παρέξει, εἰ δὲ καὶ ἄλλο τι τῷ συμβόλῳ προσθήσετε, ὃ τοῖς ἁγίοις ἅπασι κοινῇ ἀξιούμενον, τῇ μὲν καταφάσει συναγωνίζεται, τὴν δ' ἀπόφασιν οὐκ εἰσάγει, καὶ τοῖς μὲν τῶν ἁγίων ἀνθ' ὧν ἐσίγησαν ἦν, οἱ δ' ὡς τὴν ἴσην οἷς εἶπον ἔχοντι δύναμιν φαίνονται χρώμενοι, ἑνώσεως μὲν τοῦτο σχῆμα λοιπὸν κατὰ τρίτον ὡς ἂν εἴποι τις πλοῦν· οὐκουν οὐδὲ τοῦτο τῆς τῶν διδασκάλων συμφωνίας καὶ τῶν ὑμετέρων περὶ ταύτης λόγων ἀπήλλακται. ὥστε πανταχόθεν ἡμῖν ταὐτὸ σαφὴς τῆς τε γραφῆς καὶ τῶν διδασκάλων ἡ συμφωνία.

'Αλλ' ἐπεὶ καὶ δὴ σιγᾶν ἔγνωκα, μὴ τῷ μήκει τῶν λόγων ἀηδὴς ὑμῖν γένωμαι δεδιώς, τὰ τῆς ἐμῆς κεφάλαια συμβουλῆς ἐξαριθμήσασθαι, καὶ τούτων ὑμᾶς ἀναμνῆσαι βούλομαι, ἣν μὲν ἔνιοι σκοποῦσιν οἰκονομίαν, ταύτην μηδ' ἐπὶ νοῦν λαβεῖν συμβουλεύσας, ἕνωσιν δ' ἀληθῆ καὶ δοξῶν κοινωνίαν πράττειν εἴρηκα δεῖν, ἣν τὸ μίαν περὶ τῶν ἀμφισβητουμένων γνώμην λαβεῖν, εἶπον εἶναι· ταύτην δὲ κἂν τῷ συμβόλῳ τῆς πίστεως ὁμολογεῖν ἢ προστιθέντας ἢ ἀφαιροῦντας, ὁπότερον ἂν ἡ τοῦ θεοῦ χάρις ὑπαγορεύσειεν· ἐπὶ δὲ τούτοις, ὑφ' ὧν ἔνιοι ταραττόμενοι τὴν εἰρήνην ταύτην ἔμελλον ἀπελπίζειν, ἀσθενῆ παντάπασιν ἔδειξα, καὶ πάντα μᾶλλον ἢ κωλύειν ὑμᾶς εὐλόγως δυνάμενα. εἶτα καὶ τὰ ποιήσοντα ταύτην, οὐκ ἐπιμένων ἀλλ' οὑτωσὶ παριὼν τὰ πλεῖστα προσέθηκα· ἀπὸ τῶν θείων γραφῶν καὶ τῶν διδασκάλων τῆς ἐκκλησίας. ἕνωσις ἂν

* ἴσ. ἄλλων.

τὸ σύμπαν εἰπεῖν. ἐφ' ἃ δὴ πάντα μετ' εὐλαβείας ὑμᾶς παρακέκληκα, εἰ καὶ μὴ τῆς ὀφειλομένης, ἀλλ' οὖν τῆς γε δυνατῆς ἐν τοῖς τοιούτοις τῶν λόγων. ταῦτα μὲν ἐγὼ, τῷ μὲν κατορθοῦν τύχην ἀγαθὴν μᾶλλον ἢ δεινότητα καὶ σοφίαν, τῷ δὲ διαμαρτεῖν πολλὴν ἔχοντα συγγνώμην ἕνεκά γε τοῦ προθυμήσασθαί τι καὶ παθεῖν ὑπὲρ τοῦ καλοῦ· ὑμῶν δ' ἂν εἴη λοιπὸν οὐ μέλλειν, ἀλλ' ἢ ταῦτα πράττειν, ἂν δοκῶμέν τι λέγειν, ἢ βελτίω ζητεῖν, ἑκατέρου θεὸν ἡγεμόνα λαβόντας.

Τέλος τῶν τοῦ Σχολαρίου λόγων.



ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΝΙΚΑΙΑΣ

Πρὸς τὴν ἀνατολικὴν σύνοδον δογματικὸς, ἢ περὶ ἑνώσεως λόγος.



Τὴν μὲν τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἱερὰν εἰρήνην τε καὶ ὁμόνοιαν οὐκ ἔστιν οὐδεὶς ὅστις ἂν οὐ τοῦ παντός τε τιμήσαιτο, καὶ μεγάλην εὐδαιμονίαν ἡγήσαιτο· ἀφ᾽ ἧς ἥ τε τοῦ σωτῆρος εὐχὴ πρὸς τὸν θεὸν καὶ πατέρα λήψεται τέλος· Ποίησον αὐτοὺς, περὶ τῶν μαθητῶν αὐτοῦ λέγοντος καὶ τῷ ὀνόματι αὐτοῦ κεκλημένων, ἵνα ὦσιν ἓν καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν· καὶ ἀκολούθως ἕψεται τὸ χρῆμα τῆς θείας ἀγάπης, ἥτις ἡμᾶς ἀγαγοῦσα ἐγγυτάτω παραστήσει θεοῦ, καὶ τὸ σημεῖον ἡμῖν ἐπανθήσει τῆς τοῦ Χριστοῦ μαθητείας. ἀρθήσεται δὲ ἀφ᾽ ἡμῶν ἥ τε παρ᾽ ἀλλήλων ἔχθρα, πρᾶγμα ἐναντιώτατον ἀνθρώποις χριστιανοῖς, καὶ ταῦτά γε πρὸς ἀλλήλους ἢ κατ᾽ ἀλλήλων· ἀρθήσεται δὲ ὁ παρὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ καθ᾽ ἡμῶν ἐγειρόμενος μυκτηρισμός τε καὶ χλευασμὸς καὶ κατάγελως, ἐπεγγελώντων ἡμῖν, ὡς δὴ Χριστιανοῖς μὲν οὖσι καὶ λεγομένοις, καὶ τὸν αὐτὸν ἐπιγραφομένοις δεσπότην, εἶτ᾽ ἀλλήλων οὕτως ἀπεσχοινισμένοις τοῖς δόγμασιν, ὡς ἐχθρούς τε καὶ πολεμιωτάτους ἀλλήλους ἡγεῖσθαι. διὰ ταῦτα μὲν οὖν καὶ ἔτι πολλῷ τούτων πλείονα φιλοῦμεν μὲν ἅπαντες τὴν εἰρήνην, καὶ τὴν τῶν Χριστιανῶν συμφωνίαν περὶ πλείστου ποιούμεθα. τὸ δ᾽ ὅπως ἂν γένοιτο τοσοῦτον καλὸν, καὶ τίσι τρόποις προβιβασθείη, ἐνταῦθα δὴ περὶ διάφορα σχιζόμεθα, καὶ διαφόρως περὶ τούτου νοοῦμεν. περὶ τούτου δὲ δὴ καὶ τὰ νῦν σκεπτέον, καὶ ῥητέον εἰς δύναμιν· καὶ δὴ λέγομεν οὕτως.

Κεφάλαιον πρῶτον.

Ἦν ὅτι ἡ τοῦ Θεοῦ ἄσπιλος νύμφη ἡ ἄμωμος ἐκκλησία εὐθυνεῖτο ἀκμάζουσα καὶ καλῶς ἔχουσα, ἡνίκα τὸ μὲν ἁπλοῦν καὶ ἀπερίεργον τῆς κατὰ τὸ εὐαγγέλιον πίστεως περὶ πλείονος ἐποιούμεθα, τὸ δὲ περιττὸν τοῦτο καὶ κατεγλωττισμένον, καὶ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐν δευτέρῳ τῶν θείων λογίων τιθέμενοι, μόνοις τοῖς γεγραμμένοις προσείχομεν τοῖς ἀπὸ τοῦ πνεύματος ἀγαπῶντες, καὶ εἰς ἓν ὑπ᾽ αὐτῶν συναγόμενοι· καὶ μία μὲν ὄντες ποίμνη, ποιμένι δ᾽ ἑνὶ χρώμενοι· καὶ τῆς αὐτῆς μὲν αὐτοῦ συνιέντες φωνῆς*, τὴν αὐτὴν δὲ ἀποδιδόντες αὐτῷ οὐ μόνον τὴν πίστιν τὴν ἐν καρδίᾳ, ἀλλὰ καὶ τὴν ὁμολογίαν τὴν διὰ στόματος· ἀφ᾽ οὗ δέ τι προσεπινενόηται τοῖς ἀρχαίοις, καὶ τῷ κοινῷ κτήματι καὶ συμβόλῳ τῆς πίστεως οὐ μετὰ κοινῆς ψήφου προσγέγραπται· οὔπω λέγω εἰ καὶ τισιν εἰρημένον τῶν διδασκάλων, εἴτε καὶ μή· εἴτε καὶ εἰρημένον, πότερον καθ᾽ ὃν αὐτὸ νοῦν ἐκλαμβάνουσιν οἱ πολλοὶ, εἴτε καθ᾽ ἕτερον· ἐξ ὅπου δ᾽ οὖν τοῦτ᾽ ἐγεγόνει, εἰς πολλὰ μὲν τὸ ἓν τοῦ Χριστοῦ σῶμα διῄρηται; φεῦ, τὰ δὲ μέλη κατ᾽ ἀλλήλων ὁπλίζονται, μὴ συνιέντες ὡς ἑαυτοῖς μάχονται καὶ λυμαίνονται ἑαυτοῖς, τῶν ἀδελφῶν ἑαυτοὺς διϊστάντες· ἢ μᾶλλον συνιέντες μὲν, εἰσὶ γὰρ ἄνδρες σοφοί τε καὶ γνώσει κεκοσμημένοι, καὶ οὐ λέληθεν αὐτοὺς τὸ δεινὸν ὅσον ἐστὶν, ἀναγκαίως δὲ καὶ εἰκότως τῆς ἀλλήλων διϊστάμενοι κοινωνίας, καὶ μάλιστά γε τῆς τῶν Λατίνων ἡμεῖς, μένοντες ἐπ᾽ αὐτῶν τῶν ἀρχαίων καὶ κεκριμένων καὶ καθαρῶς παρὰ πάσης ἀποπεφασμένων συνόδου, τὸ μήπω κοινῇ ζητηθὲν ἑλόμενον, μηδέ πω δοκιμασθὲν ὑπὸ κοινοῦ καὶ καθολικοῦ καὶ οἰκουμενικοῦ κριτηρίου. δεῖ γὰρ ἔν γε τοῖς περὶ πίστεως μηδεμιᾶς μὲν οὔσης ἀνάγκης, μηδέ τινος κινδυνεύοντος, καὶ ἠρεμουσῶν τῶν αἱρέσεων, μένειν ἐπ᾽ αὐτῶν τῶν παραδοθέντων, ἃ μὲν ἀποκεκαλυμμένως, ἃ δὲ καὶ συνεπτυγμένως περιεχόντων τῶν θείων δογμάτων, καὶ οὐδὲν ὅ τι ὀρθοδοξίας οὐ περιεχόντων ἐν ἑαυτοῖς. ἀνάγκης δὲ κινηθείσης, καὶ τινος ἀναφυείσης αἱρέσεως, οἷα πολλὰ κατ᾽ ἀνθρώπους εἴωθε γίγνεσθαι, καὶ μέν τοι καὶ γέγονε, καὶ προσέτι γενήσεται διὰ τὴν τῆς ἀνθρωπίνης διανοίας ἀσθένειαν, τὴν ἐκκλησίαν ἐν πάσῃ ἐσχα-

* Ἰω. 10, 3.

τιᾶς κοινῇ συλλεγεῖσαν, κριτήριόν τε περὶ τῶν ζητουμένων καθίσαι, καὶ κανόνι χρωμένην τῇ θείᾳ γραφῇ καὶ τοῖς πρὸ αὐτῶν διδασκάλοις, οὓς φθάσασα ἔσχεν ἐν ἁγίων τάξει καὶ διδασκάλων, οὕτως ἀποφαίνεσθαι κοινῇ τὰ δοκοῦντα, καὶ τὴν πίστιν ἐξεργάζεσθαι, σκόλοπας ἐκτέμνοντας ταῖς αἱρέσεσι πάντοθεν, καὶ πόῤῥω τῆς ἐκκλησίας αὐτὰς ἀπελαύνοντας· ἀεὶ μέν τοι τοῦτο κοινῇ πράττειν, καὶ τὰ κοινὰ κοινῶς διαιτᾷν, καὶ οὐδέποτε καθ' αὐτούς τι ποιοῦντας ἀξιοῦν καὶ παρὰ πᾶσιν ἐξ ἀνάγκης τὰ οἰκεῖα κρατεῖν· οὐδὲ γὰρ δίκαιον. οὕτω γὰρ καὶ οἱ πατέρες ἡμῶν διετέλουν ποιοῦντες, οὕτω καὶ ἡμεῖς αὐτοὺς μιμησόμεθα· οὕτως ἡ πρώτη τῶν οἰκουμενικῶν συνόδων τὸ ὁμοούσιον ἀνεκήρυξε πατρὸς καὶ υἱοῦ, συνωθοῦντος τοῦ πράγματος, καὶ τοῦ Ἀρείου τὸ ἀνόμοιον ληρωδοῦντος· οὕτως ἡ δευτέρα τὴν τοῦ πνεύματος θεότητα ὡμολόγησε, Μακεδονίου τιθέντος αὐτὸ μετὰ τῶν κτισμάτων. οὕτως ἑκάστη σύνοδος τὰ καθ' αὐτὴν ἀπεφήνατο, ὑπὸ τῆς ἑκάστοτε παρούσης ἀνάγκης κινούμενοι. οὔτε γὰρ εἰρήνης κατὰ πάντων ἀνθούσης, καὶ κρατούντων τῶν βελτιόνων ἔδει πράγματα ἐμποιεῖν ταῖς τοῦ θεοῦ ἐκκλησίαις, αὐτούς τι νεώτερον προσεξευρίσκοντας· οὔτε κινηθεισῶν αἱρέσεων ἢ ἡσυχάζειν ἢ αὐτόν τινα ἀποφαίνεσθαι ἕκαστον, εἴτε καὶ μετ' ὀλίγων περὶ τῶν κοινῶς ὑπὸ πάντων ὀφειλόντων πιστεύεσθαι· ἀλλὰ κοινῇ μὲν τοῦτο ποιεῖν, ποιεῖν δὲ κατεπειγούσης ἀνάγκης. ἀλλ' ὥσπερ ἀνάγκη, συνεδρίου κοινοῦ καταστάντος, μετὰ πολλῆς τῆς τε βασάνου περὶ τῶν κινηθέντων ἐξέτασιν εἰσελθεῖν, καὶ τὸ ἐκ τῆς συζητήσεως ἐκφανθὲν ἀσπάσασθαί τε καὶ προσδέξασθαι· οὕτως, εἰ πρὸ τοῦ κοινοῦ κριτηρίου περί τινος δόγματος κινηθέντος τις ἀμφιβάλλει, τὰ δίκαιά τε ποιεῖ, καὶ εἰκότως ἂν ἀποσταίη τῶν ἄνευ κοινῆς ἀποφάσεως περὶ τῶν κοινῶν ἀποφηναμένων· αὐτὸς μὲν ἐπὶ τῶν κοινῶν καὶ κοινῇ παραδεδομένων ἐμμένων, καὶ οἷς οὐδεμία ἀμφιβολία οὐδ' ἐξέτασις λείπεται, ἐκείνων δέ τι λεγόντων, ὃ πρὶν ἐξετασθῆναι κοινῶς οὐκ ὀλίγαν ἀμφιβολίας ἐν ἑαυτῷ περιφέρει. διὰ ταῦτα τοιγαροῦν καὶ ἡμεῖς εἰκότως τῆς Λατίνων ἀπέστημεν κοινωνίας, μὴ ἀνεχόμενοι πρὸς ἕνωσιν αὐτοῖς συνελθεῖν, πρὶν ὑποστείῃ οἰκουμενικῇ κρίσει τὸ παρ' αὐτῶν εἰσαχθέν· καὶ διχῇ διατελοῦμεν ἐγκαλοῦντες αὐτοῖς· τὸ μέν τι δίχα τῆς καὶ ἡμῶν αὐτῶν γνώμης εἰσαγαγοῦσιν εἰς τὴν κοινὴν ἐκκλησίαν, τὸ δὲ μηδ' ἀνεχομένοις συστήσασθαι σύνοδον κατὰ τὰς ἀρχαίας

ἐκείνας τὰς πρὸ ἡμῶν. ἀλλὰ μέχρι μὲν ταύτῃ χρώμενοι διετέλουν τῇ γνώμῃ, καὶ τὰ παρ' ἡμῶν αὐτοῖς ἐγκλήματα μετὰ παντὸς ἀπήντα δικαίου, καὶ ἡμεῖς ἔξω πάσης αἰτίας. ἐπεὶ δὲ τούτου μὲν ἤδη κατέγνωσαν, καὶ ὃ προυβάλλοντο ἀξίωμα ἴδιον ἀπεώσαντο, μετὰ τῆς ἴσης δὲ καὶ αὐτοὶ ταπεινώσεως εἰς οἰκουμενικὸν ἐθελονταὶ συνῆλθον κριτήριον, καὶ τῷ ἐκ τῶν λόγων φανησομένῳ ἀκολουθήσειν συνέθεντο, αὐτοί τε παντὸς ἐγκλήματος τοῦτο τὸ μέρος σφᾶς αὐτοὺς ἀνωτέρους ἐτήρησαν· καὶ ἡμᾶς δεῖ τῷ πράγματι προσελθεῖν μετὰ πολλῆς βασάνου καὶ μεγάλης τῆς ἐξετάσεως, μή ποτε μεταβαλόντα τὰ πράγματα καθ' ἡμῶν αὐτῶν ἀντιστραφῇ, πολλαπλασιασθῇ καθ' ἡμῶν, ἃ κατ' αὐτῶν ἐπεφέρομεν πρότερον δίκαια ἐγκλήματα. εἴρηται γὰρ καὶ δοκεῖ μοι συνδοκεῖν ἅπασιν, ὥσπερ μήπω συνόδου συγκροτηθείσης κοινῆς ἐκεῖνοι τὴν καταδικάζουσαν ἀπεφέροντο· οὕτω συστάσης λοιπὸν, μέγαν ἡμῖν ἀγῶνά τε καὶ κίνδυνον εἶναι, πῶς ἂν διαχειρισάμενοι τὰ παρόντα, ἀνέγκλητοι ἐντεῦθεν ἀπαλλάξαιμεν ὡς εἰκός. ἤδη γὰρ αὐτοί τε λόγον ὑπέσχον ὧν λέγουσί τε καὶ δογματίζουσι, καὶ ἡμεῖς πρὸς τὰ παρ' αὐτῶν εἰρημένα διὰ τῶν δυνατῶν ἀπηντήκαμεν, πρὸς ἃ μὲν καὶ παντελῶς σεσιγηκότες, πρὸς ἃ δὲ οὐδὲν ὅ, τι καὶ ἄξιον λόγου ἀποκρινάμενοι. ἐνταῦθα δὲ δὴ λοιπὸν μεγάλης ἡμῖν κρίσεως δεῖ, καὶ σοφῆς μεταχειρίσεως ὡς ἐνὸν, καὶ οἰκονομίας τῆς ἐν δικαιοσύνῃ καὶ κρίσει τε καὶ εὐθύτητι. οὐ γὰρ ἁπλῶς ἀρκέσει τὸ μὴ βούλεσθαι φάναι, καὶ πάντα γέγονεν εὐθὺς τὰ προσήκοντα, οὐδὲ τοῦτο τέλος τῆς οἰκουμενικῆς ἡγητέον συνόδου· ἀλλὰ μετὰ ἀκριβείας σκεπτέον ἅτε ἐκεῖνοι εἰρήκασιν, ἅτε ἡμεῖς προυβαλόμεθα· καὶ ἐπιμελῶς ἐξεταστέον, ὅπῃ μὲν συμφωνοῦσιν ἡμῖν καὶ τῇ ἀληθείᾳ, ὅπῃ δὲ τοῦ εὐθέος πλανῶνται· καὶ τῆς ἀληθείας ἀπάγονται· καὶ τί μὲν αὐτοὺς διδακτέον, τί δὲ παρ' αὐτῶν ἀκουστέον· καὶ τί μὲν ὠφεληθῆναι παρ' αὐτῶν, τί δ' αὐτοὺς ὠφελῆσαι δέον· καὶ ὅπως προσληψόμεθα ἀδελφοὺς τοσούτους τε καὶ τοιούτους, ὧν τῷ χωρισμῷ σπαράσσεσθαι πάντας εἰκός· μήποτε τῷ θέλειν χαρισάμενοι μόνον, ἢ οὐ σὺν δίκῃ ζημιωθῶμεν αὐτοὶ, ἢ μετὰ καὶ τῆς ἡμῶν αὐτῶν βλάβης αὐτοὺς προσλαβώμεθα· αὕτη γὰρ ἡμῖν μόνη βελτίστη πρὸς τὸ τέλος ὁδὸς, καὶ διὰ ταύτης ἡμᾶς οἶμαι πρός τι χρηστὸν ἀπαχθῆναι καὶ ἄμεμπτον, μήτε τοῖς ἁπλῶς οὕτω σὺν οὐδενὶ λόγῳ λέγουσι διαστῆναι Λατίνων, ὡς οὐδὲν

ὑγιὲς οὔτε λεγόντων, οὔτε φρονούντων, προσχόντας τὸν νοῦν, μήτε πεισθέντας εὐθὺς τοῖς σὺν οὐδεμιᾷ τῇ ἀπὸ τῶν λόγων πειθοῖ τὴν ἕνωσιν ἐπισπεύδουσιν, ἀλλὰ συνεξετάσει καὶ κρίσει καὶ τῇ ἀπὸ τῶν ἁγίων καὶ διδασκάλων ὁδηγίᾳ χρωμένους ἐπὶ τὸ τέλος ἰέναι. οὕτω μὲν οὖν ἐγὼ γνώμης ἔχω, καὶ ταῦτα περὶ τούτων φρονῶ. ὅπως δ' ἂν καὶ διὰ ποίων πρὸς τοῦτο τὸ τέλος ἀπαχθείημεν, ἐντεῦθεν ἐρῶ, θεὸν προστησάμενος μόνον, εἰ καὶ μέγας ὁ ἆθλος καὶ δυσχερὴς ὁ ἀγών. φιλοκίνδυνόν τε γάρ τινα τὰ παρόντα ζητεῖ, καὶ πρὸς πάντα ἁπλῶς ἕτοιμον ἀποδύεσθαι· καὶ γενναῖόν ἐστιν οὔτε λεχθῆναι οὔτε πραχθῆναι, μή τινος πάντως παῤῥησιασαμένου τε τὰ δοκοῦντα καὶ παρακινδυνεύσαντος. ἄρξομαι δ' ἐντεῦθεν, ὑπόθεσίν τινα καὶ ἀρχὴν ὑποθέμενος.

Κεφάλαιον δεύτερον.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπὶ τὸ σωτήριον κήρυγμα πέμπων τοὺς μαθητὰς, καὶ τὰ συμβησόμενα αὐτοῖς προαγορεύων δεινὰ, καὶ ὡς ἐπὶ βασιλεῖς τε καὶ ἡγεμόνας ἀχθήσονται παραστησόμενοι, Μὴ μεριμνήσητέ φησιν, τί εἴπητε, ἢ τί λαλήσητε· ἐγὼ γὰρ ὑμῖν δώσω λόγον τε καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν·* διὰ τούτων δεικνὺς τῶν ῥημάτων, ὡς ἅπερ ἂν αὐτοὶ φαῖεν, αὐτοῦ ῥήματα ἔσονται, καὶ τοῦ ἐνηχοῦντος αὐτοῖς πνεύματος· ὃ ἀλλαχοῦ ἔφη, πᾶσαν αὐτοὺς διδάξειν τὴν ἀλήθειαν ἐπελθὸν, ὡς εἶναι καὶ τὰ αὐτῶν ῥήματα, τοῦ πνεύματος τῆς ἀληθείας ἐν αὐτοῖς φθεγγομένου,* ἀλήθειαν καὶ ζωήν. ὅτι δὲ ταῦτα τὰ ῥήματα οὐκ εἰς αὐτοὺς μόνον τοὺς αὐτόπτας τοῦ Λόγου διέβη, ἀλλὰ καὶ εἰς πάντας τοὺς μετ' αὐτοὺς τὸ σωτήριον διαγγέλλοντας κήρυγμα ποιμένας καὶ διδασκάλους, πάντες τε ἴσασιν, αὐτός τε ὁ σωτὴρ ἔφη· Ἃ ὑμῖν λέγω, πᾶσι λέγω*, φάμενος· αὐτά τε τὰ πράγματα μαρτυρεῖ, πάντων τῶν μετὰ ταῦτα θαυμαστωθέντων τοῖς αὐτοῖς ἔργοις τε καὶ σημείοις, τοῖς τῆς διδασκαλίας ἀφθόνοις νάμασι καὶ πηγαῖς ἀενάοις· ὡς φανερὸν εἶναι λοιπὸν, καὶ τοὺς ἁγίους πατέρας καὶ διδασκάλους διὰ τοῦ παναγίου λαλῶν πνεύματος, καὶ ῥήματα φθέγγεσθαι τοῦ σωτῆρος κατὰ τυράννων καὶ ἡγεμόνων, καὶ τῶν τῇ ἀληθείᾳ μαχομένων αἱ-

* Ματθ. 10, 19. 20.

* Ἰω. 16, 13.

* Μάρκ. 13, 37.

ρετικῶν συγγραψαμένους καὶ δογματίζοντας, καὶ κηρύττοντας τὴν ἀλήθειαν. οὕτω δὲ ἔχοντας, καὶ συμφωνεῖν ἑαυτοῖς καὶ ἀλλήλοις ἀνάγκη· καὶ μηδὲν ἐναντίον, οὐ μικρὸν, οὐ μέγα, οὐ πρὸς ἀλλήλους, οὐ πρὸς ἑαυτοὺς, οὐδ' ἐννοῆσαι γοῦν ὅλως θεμιτὸν αὐτοὺς φάναι· οὕτω γὰρ ἂν οὐκ ἀληθείας μᾶλλον ἢ πλάνης ἐν αὐτοῖς ἐλάλησε πνεῦμα· πλάνη γὰρ καὶ τοῖς πλανωμένοις οἰκεῖον, ὁτὲ μὲν τάδε, ὁτὲ δὲ αὖ λέγειν τὰ ἐναντία· ὥσπερ οἶμαι καὶ ἐπιστήμονος ἀνδρὸς ἀπλανές ἐστι σημεῖον, ἑαυτῷ καὶ τοῖς ἄλλοις σοφοῖς συμφωνεῖν. ὅσῳ οὖν ἀνθρώπων σοφῶν τὸ τῆς σοφίας καὶ ἀληθείας ὑπέρκειται πνεῦμα, τοσούτῳ καὶ σύμφωνον ἑαυτῷ μᾶλλον εἶναι ἀνάγκη. Οὐ μὴν ἀλλ' εἴ τις καὶ ἑαυτοῖς ἢ ἀλλήλοις ἔσθ' ὅτε τοὺς πατέρας ἐναντιουμένους τολμήσειε φάναι, ὥρα λοιπὸν αὐτῷ μετὰ τῶν ἀπίστων ταχθῆναι καὶ τῶν ἐχθρῶν τοῦ σταυροῦ· οἷς ἔργον ἐντεῦθεν τὰ ἡμέτερα ἐπιχειρεῖν ὑποσαλεύειν μυστήρια τεκμήριον τῆς τοῦ κηρύγματος ἀσθενείας, πλάττουσιν ἐναντιοφανείας τινὰς τῆς θείας γραφῆς, πλὴν αὐτῶν οὐδενὶ ἑτέρῳ δοκούσας· καθ' ὧν πᾶς διδάσκαλος ἵσταται, καὶ ἀγωνίζονται πάντες συκοφαντοῦντας ἐκείνους τὴν ἀλήθειαν δεῖξαι, συμβαίνουσαν ἑαυτῇ τὴν θείαν ἀποδεικνύντες διὰ πάντων γραφήν. Ἄλλως τε καὶ ἡμεῖς τοὺς ἔξω τῆς ἡμετέρας αὐλῆς τε καὶ ἐκκλησίας διὰ τούτων συμποδίζοντες καὶ ἀνατρέποντες, τοὺς τῆς δόξης αὐτῶν ἡγεμόνας ἐν πλείστοις μαχομένους ἀλλήλοις ἀποφαίνοντες, καὶ διὰ τούτων τὴν αὐτῶν ἐλέγχοντας ἄγνοιαν, πῶς ἂν καὶ καθ' ἡμῶν αὐτῶν τοῦτο δεξαίμεθα τὸ δεινὸν, καὶ τοὺς ἡμετέρους πατέρας ὑπὸ ταὐτὸν περιπεσεῖν συγχωρήσαιμεν πάθος, εἰ μὴ καὶ τὴν καθόλου πίστιν ἡμῶν ἐθελονταὶ αὐτοὶ ἀνατρέψαι θελήσομεν; ἀλλ' ἀπείη γε τοῦτο τῆς Χριστοῦ ἐκκλησίας καὶ τῶν ταύτης τροφίμων. Ὁρῶμεν δὲ καὶ τὰς οἰκουμενικὰς ἁπάσας συνόδους περὶ τῶν ἑκάστῃ προκειμένων δογμάτων οὐκ ἀνθρωπίνης σοφίας πειθοῖ, οὐ τεχνολογίαις ῥημάτων, οὐ φυσικοῖς λόγοις, οὐ συλλογισμοῖς χρησαμένους, ἀλλὰ μόνῳ στοιχήσαντας κριτηρίῳ τοὺς πατέρας τοὺς ἐν αὐταῖς, γυμναῖς τῶν πρὸ αὐτῶν πατέρων καὶ διδασκάλων διδασκαλίαις καὶ λόγοις. καὶ διὰ τούτων συμπεράναντας τὰ περὶ τῶν ἑκάστοτε ζητουμένων δογμάτων, καὶ κατ' ἴχνος ἀκολουθήσαντας ταῖς τῶν ἁγίων φωναῖς. ὥστ' οὐκ οἶδ' ὅ, τι περὶ τῆς καθόλου πίστεως ἡμῶν ἔσται φρονεῖν, εἴ τις τὸ ἀτόπημα τοῦτο πα-

ρακολουθοῦν δέξαιτο τοῖς πατράσιν. εἰ γὰρ οἱ τῆς πίστεως ἡγεμόνες οὐ ταὐτὰ πάντες, ἀλλ' οἱ μὲν ἀλλήλοις, οἱ δὲ καὶ ἑαυτοῖς, φεῦ τῆς ἀτοπίας, ἐναντία φασὶν, ἡ δὲ πίστις ἡ ἡμετέρα τοῖς ἐκείνων ἵδρυται λόγοις· κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις
* Κορ. α'. 15, 17. ἡμῶν.* ἀλλὰ πολλῆς ὄντως ἀνοίας ἐννοῆσαι γοῦν τὰ τοιαῦτα περὶ τῶν θεοφόρων ἐκείνων ἀνδρῶν· ἀνάγκη γὰρ αὐτοὺς διά τε τὰ εἰρημένα καὶ τούτων ἕτερα πλείονα, ἃ οὐκ ἀνάγκη νυνὶ καταλέγειν, συμφωνεῖν ἀλλήλοις καὶ ἑαυτοῖς, καὶ κατὰ μηδὲν ἐναντία μὴ λέγειν μηδὲ φρονεῖν. Φησὶ δὲ περὶ τούτων καὶ ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν τῇ πρὸς Ἰορδάνην ἐπιστολῇ· Ἀλλ' ἄγε δὴ καὶ ἃς προφέρουσι ῥήσεις ἐπισκεψώμεθα, καὶ τὴν ἀκριβῆ ἐξέτασιν ποιησώμεθα, πατρικαὶ γὰρ αὗται, καὶ οὐδαμῶς ἀντεροῦμεν· ἀλλὰ χρὴ συμφώνους καὶ μὴ ἀλλήλοις ἐναντίους, οὐδὲν δὲ ἔλαττον ἑαυτοῖς ἀντιλόγους καὶ μαχομένους ἀποδεικνύειν τοὺς ἁγίους πατέρας καὶ διδασκάλους· ὧν τὸ περὶ πίστεως φρόνημα ἑνιαῖον καὶ ἀπαράλλακτον ἔδειξεν ἡ μία τοῦ πνεύματος δύναμίς τε καὶ ἔλλαμψις. Ἐντεῦθεν φαίνεται, τῶν αἱρετικῶν συγκρουόντων τοὺς ἁγίους ἀλλήλοις, καί τινας ἑλκόντων πρὸς τὸ ἑαυτῶν βούλημα, οὔτε ἀπαρνούμενος ὁ μακάριος Ἰωάννης τοὺς δοκοῦντας αὐτοῖς συνηγορεῖν, οὔτε δεχόμενος ὡς ἐκεῖνοι· ἀλλὰ προσιέμενος μὲν αὐτοὺς, πειρώμενος δ' αὐτοὺς καὶ ἑαυτοῖς καὶ ἀλλήλοις συμβαίνοντας δεῖξαι· τοῦτο γὰρ ἔργον ἐστὶ διδασκάλου, τοῦτο Χριστιανοῦ· ἡ δὲ ἑβδόμη τῶν οἰκουμενικῶν συνόδων διὰ τοῦ ἁγίου φησὶ Ταρασίου ἐν τῇ πρώτῃ αὐτῆς πράξει· Κατ' οὐδὲν τοὺς πατέρας εὑρίσκομεν διαφωνοῦντας, ἀλλ' ὡς τοῦ αὐτοῦ πνεύματος ὄντες πάντες τὸ αὐτὸ κηρύττουσι καὶ διδάσκουσι. Καὶ ἡ αὐτὴ διὰ τοῦ αὐτοῦ αὖθις ἐν τῇ αὐτῇ πράξει· Πανταχοῦ γὰρ οἱ ἅγιοι πατέρες ἀλλήλοις σύμφωνοί εἰσιν, ἐναντίωσις δὲ οὐδεμία ἐστὶν ἐν αὐτοῖς· ἀλλ' ἐναντιοῦνται αὐτοῖς, οἱ τὰς οἰκονομίας καὶ τοὺς σκοποὺς αὐτῶν μὴ ἐπιστάμενοι. Οὕτω καὶ οἱ τῆς ἑβδόμης συνόδου πατέρες ταὐτὰ περὶ τούτου φρονοῦσι, καὶ συμφώνους ἑαυτοῖς καὶ ἀλλήλοις εἶναι τοὺς ἁγίους διδάσκουσι, καὶ αἰτίαν ἀποδιδόασι τὴν αὐτὴν τῷ ἱερῷ Ἰωάννῃ. Τὸ γὰρ αὐτὸ πνεῦμά, φησιν, ἐν πᾶσιν ἐλάλησεν· ὃ διαφωνεῖν ἑαυτῷ οὐδ' ἐννοῆσαι γοῦν θεμιτόν. καὶ μακρὸν μὲν ἂν εἴη καταλέγειν, ὅπως οἱ διδάσκαλοι πάντες ἐν πάσῃ τῇ θείᾳ γραφῇ τοῦτο προτίθενται τὰς δοκούσας

διαφωνίας ὡς οἷόν τε συμβιβάζειν· ὡς ταὐτὸν ὂν τοῦτό τε κρατῆσαι, τὸ φάσκειν ἑαυτῇ ἐναντίαν εἶναι, καὶ πᾶσαν ἀνατραπῆναι τὴν πίστιν. συμπεραίνεται δὲ διὰ πάντων, τοὺς πατέρας ἡμῶν τοὺς τῆς πίστεως ἡμῶν ἡγεμόνας, ὧν ταῖς διδασκαλίαις ἐφωτίσθημεν καὶ ἐδιδάχθημεν, ἀναγκαίως ταὐτὰ λέγειν ἀλλήλοις, καὶ σύμφωνα οὐχ ἑαυτοῖς μόνον, ἀλλ' οὐδὲν ἧττον καὶ ἀλλήλοις· ὡς τοῦ τοῦτο μὴ συγχωροῦντος, οὐδὲν διαφέροντος τῶν ἀπίστων. Τούτων οὖν ὑποκειμένων, ἔχομεν μὲν τοὺς ἁγίους καὶ διδασκάλους, τοὺς ἐξ ἀνατολῆς τὸ τῆς πίστεως ἀνατείλαντας φῶς, τὸν Ἀθανάσιον, τὸν Βασίλειον, τοὺς Γρηγορίους, καὶ τὸν Χρυσόστομον, τὸν Κύριλλόν τε καὶ τὸν Μάξιμον, καὶ τὸν Ταράσιον, καὶ τὴν λοιπὴν ἑταιρείαν· ἔχομεν δὲ καὶ τοὺς ἀπὸ δυσμῶν, τὴν τῆς πλάνης σβέσαντας φλόγα καὶ σκότος λῆ παρ' αὐτῶν αἴγλῃ τῆς ἀληθείας, τὸν Ἱλάριον, τὸν Ἀμβρόσιον, τὸν Αὐγουστῖνον, τὸν Ἱερώνυμον, τὸν Δάμασον, τὸν Γρηγόριον, τὸν Λέοντα τὸν λεόντειον βρυσάμενον, καὶ τὸν ἱερὸν τῶν ἄλλων ἁγίων χορόν· πάντας δὲ διδασκάλους κοινοὺς καὶ πατέρας καὶ ἡγεμόνας τῆς πίστεως· πολλὰ μὲν ἑκατέρους ἐν τῷδε τῷ βίῳ παθόντας ὑπὲρ τῆς ἀληθείας, ὑπὲρ αὐτῆς δὲ θανόντας· ζῶντας δὲ ὅμως οὐ μόνον παρὰ θεῷ ἀλλ' ἤδη καὶ παρ' ἡμῖν δι' ὧν ἡμῖν καταλελοίπασι συγγραμμάτων καὶ διδαγμάτων, ἅπερ ἀντὶ κανόνων τῆς πίστεως κρατεῖσθαι ὀφείλουσι παρ' ἡμῶν, ἐν ἴσῳ τῇ θείᾳ γραφῇ τιμώμενά τε καὶ πιστευόμενα. ποιοῖμεν ἂν οὖν τὰ εἰκότα, καὶ ὅτα παρὰ παίδων εὐγνωμόνων πατράσιν ὀφείλεται, πᾶσι μὲν εὐπειθεῖς ὑπέχοντες οὖς, πᾶσι δὲ τὴν ἰδίαν ὑποστρωννῦντες ψυχὴν καὶ τὰ παρ' ἐκείνων δεχόμενοι σπέρματα. πρὸς τὸ αὐτὸ γὰρ ἡμᾶς ἄξουσι τέλος, καὶ τὴν αὐτὴν ἡμῶν βεβαιώσουσι πίστιν, αὐτοὶ πρότερον ἀλλήλοις ἓν φθεγγόμενοι καὶ τὸ αὐτὸ, ὡς ἑνὶ καὶ ταὐτῷ λαλήσαντες πνεύματι. τοῦτο δὲ σκεψώμεθα ὡδί.

Κεφάλαιον τρίτον.

Ἐκ τοῦ πατρός φασιν οἱ ἐξ ἕω ἅγιοι πατέρες τὸ ἅγιον ἐκπορεύεσθαι πνεῦμα, καὶ ἐκ τοῦ πατρὸς δι' υἱοῦ· ἐκ τοῦ πατρὸς καὶ υἱοῦ, οἱ δυτικοὶ φάσκουσι τὸ αὐτὸ ἐκπορεύεσθαι πνεῦμα. τί οὖν ἐροῦμεν; ἐναντίον τοῦτο ἐκείνῳ; μὴ γένοιτο· οὐδὲ γάρ ἐστι τὸ

Ἐκ πατρὸς ἐκπορεύεσθαι, τῷ Ἐκ πατρὸς καὶ υἱοῦ, οὔτ' ἐναντίον, οὔτε μὴν ἀντιφατικόν· ὅπου γε καὶ εἰ ἀντιφατικῶς τὸν λόγον προέφερον, ὡς τοὺς μὲν ἐκ πατρὸς οὐκ ἐκ τοῦ υἱοῦ, τοὺς δὲ ἐκ πατρὸς καὶ υἱοῦ λέγειν ἐκπορεύεσθαι, οὐδ' οὕτως ἂν ἀποφηναίμην θαῤῥούντως ἀντιφάσκειν τοὺς ἁγίους ἀλλήλοις, ἀλλὰ μᾶλλον ἂν κατέγνων ἐμαυτοῦ μὴ συνιέντος ἅπερ ἐκεῖνοί φασι κατὰ τὸ ὑπὸ Ταρασίου ἐν τῇ ἑβδόμῃ εἰρημένον συνόδῳ, ὅτι ἐναντιοῦνται αὐτοῖς οἱ τῆς οἰκονομίας καὶ τοὺς σκοποὺς αὐτῶν μὴ ἐπιστάμενοι, ἢ ἐκείνων ἐναντιολογίαν τε καὶ ἀντίφασιν. ἔχω τούτου πολλὰ παραδείγματα ἀπ'
* Ἰω. 14, 28. αὐτῆς τῆς θείας γραφῆς· Ὁ πατήρ μού, φησι, μείζων μού ἐστι.*
* Ἰω. 10, 30. καὶ πάλιν· Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. * τούτου τίς μείζων δοκοῦσα ἀντίφασις; ἀλλ' ὅμως ἀντιφάσκουσι τῇ ἀληθεῖ οἱ ἀντίφασιν τοῦτο λέγοντες. ὁ Στέφανος ὑπάρχων πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδε δόξαν θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ
* Πράξ. 7, 55. θεοῦ· * ἀλλ' ὁ Παῦλος σὺν τῷ Δαβὶδ αὐτὸν ἐν δεξιᾷ φησι κεκα-
* Ἑβρ. 1, 13. θικέναι τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς· * τὸ δὲ καθῆσθαι καὶ μὴ καθῆσθαι, τὸ ἵστασθαι γὰρ οὐ καθῆσθαί ἐστι, περιφανής ἐστιν ἀντίφασις. Λουκᾶς ὁ μακάριος τὸν θεῖον Στέφανον εἰσάγει τὴν δόξαν τὴν θεοῦ καὶ πατρὸς, καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν ἰδόντα· ὁ δὲ
* Ἰω. 1, 18. μύστης τῶν ἀποῤῥήτων, Θεὸν οὔτε εἶδεν οὐδεὶς *, οὔτε ἰδεῖν δυνήσεται πώποτε, παρὰ τῆς αὐτοαληθείας δεδιδαγμένος φησί· τὸ δὲ ἰδεῖν καὶ μὴ ἰδεῖν τὸν θεὸν, οὐκ οἶδ' εἴ τινι μὴ ἀντίφασις δόξειεν.
* Ἰω. 19, 14. Ὁ μὲν τῶν εὐαγγελιστῶν τρίτῃ ὥρᾳ τὸν κύριον ἐσταυρῶσθαί φησιν,*
* Μάρκ. 15, 25. ὁ δέ γε βοᾷ· ἦν δὲ ὥρα ἕκτη καὶ ἐσταύρωσαν αὐτόν· * ἡ δὲ ἕκτη δηλονότι τρίτη οὐκ ἔστιν· ἡ δὲ τρίτη τε καὶ οὐ τρίτη, πάντως ἀντίφασις. Τὸν θεὸν καὶ πατέρα αἰτίαν υἱοῦ τε καὶ πνεύματος τρανῶς ἀνακηρύττουσί τε καὶ διδάσκουσι πάντες οἱ ἐξ ἀνατολῆς ἅγιοι πατέρες τε καὶ διδάσκαλοι· ἀλλὰ μετὰ τῶν ἐκ τῆς ἑσπέρας ὁ μακάριος Κύριλλος οὐδὲ προσίεται τοῦτο τὸ ὄνομα τὸ Αἰτίαν ἐν τοῖς θείοις προσώποις· τὸ δὲ τὸν αὐτὸν αἰτίαν λέγειν καὶ οὐκ αἰτίαν, πᾶς τις ἂν οἶμαι ἀντιφατικῶς συγχωρήσειε λέγεσθαι. καὶ τίς ἂν ἐξαριθμήσαιτο, ὅσα ἀντιφατικῶς εἰρῆσθαι δοκοῦντα, ὅμως εὐσεβῶς ὑπὸ τῶν διδασκάλων νοοῦνται, καὶ πρὸς ἕνα καὶ τὸν αὐτὸν ἀναπτύσσονται νοῦν; οὓς καὶ ἡμᾶς μιμουμένους, καὶ περὶ τοῦ προκειμένου ζητήματος, εἰ συνέβαινεν ἐναντία τε καὶ ἀντιφατικῶς

ἀντικείμενα λέγειν τοὺς διδασάλους, ἡμῖν αὐτοῖς ἔδει μᾶλλον προσάπτειν ἀγνοίας αἰτίαν, ἢ διαφωνίαν ἐκείνοις, καὶ πειρᾶσθαι διαλλάττειν ἀλλήλοις αὐτούς, καὶ διὰ πάντων ὡς ἐνὸν συμβιβάζειν. νῦν δὲ λέγουσι μὲν οὐδὲν ἐναντίον, συμφωνοῦσι δὲ παντὸς μᾶλλον ἀλλήλοις, καὶ τοῦτο συνήσομεν καὶ πείρᾳ εὑρήσομεν, εἰ κατὰ τρόπον αὐτοῖς καὶ τοῖς αὐτῶν χρησόμεθα λόγοις. ὁ δὲ τρόπος οἷος, ἀκούσατε· καὶ σκοπεῖτε, ὡς ἀληθής τε καὶ δίκαιος.

Κεφάλαιον τέταρτον.

Πᾶσα πίστις τε καὶ ἀπόδειξις ἔχει μέν τι ἕτερον ὃ πρόκειται δεῖξαι, ἔχει δέ τι ἕτερον δι' οὗ τὸ προκείμενον δείκνυσιν. οὐ δύναται δὲ ταὐτὸν εἶναι τὸ δεικνύον τε καὶ δεικνύμενον· αὐτὸ γάρ τι ἑαυτὸ ἢ αὐτό τι δι' ἑαυτοῦ δεικνύναι, ἀδύνατον. ἀλλ' ἐπειδὴ ἔκ τινων ὁμολογουμένων τε καὶ δοκούντων κοινῇ, ἐπί τι ζητούμενον ἀνάγκη ἰέναι, διὰ τῶν σαφῶν ἐπὶ τὰ ἀσαφῆ καὶ ζητούμενα προβαίνειν εἰκὸς, καὶ διὰ τῶν δήλων δεικνύναι τὰ ἄδηλα. καὶ τοῦτο οὕτως ἐστὶν ἀληθὲς, ὡς μὴ δεῖσθαι λόγων πλειόνων. οὐκοῦν καὶ ἐνταῦθα προκειμένων μὲν ἡμῖν ῥητῶν τῶν μακαρίων τῶν ἐξ ἑῴας πατέρων, προκειμένων δὲ καὶ τῶν ἐκ τῆς ἑσπέρας, ὄντος δὲ ἀναγκαίου, εἰ μέλλομεν τὸν χριστιανισμὸν σώζειν, συμβαίνοντα ἀλλήλοις δεῖξαι τὰ παρ' ἀλλήλων· εἰ μὲν ἐπίσης ἄμφω σαφῆ, καὶ οὐδεμία ἡμῖν ἀμφιβολία λοιπὴ, οὐδὲ λόγου δεήσει λοιπὸν, αὐτόθεν εὑροῦσι τὸ ζητούμενον· εἰ δέ τις ἐν αὐτοῖς ἀπορία ἐμφαίνεται, καί τινα συνεπτυγμένως λεγόμενα δεῖται πλείονος ἀναπτύξεως, τῷ εἰρημένῳ κανόνι χρηστέον· ἄλλως γὰρ ἀδύνατον ἐντυχεῖν τῷ ζητουμένῳ τέλει· καὶ παρ' ἄλληλα θέντας, καὶ τὰ σαφέστερα πρὸς τὰ ἧττον σαφῆ παραβαλόντας, διὰ τῶν σαφεστέρων καὶ τὸν τῶν ἀσαφῶν νοῦν ἀνιχνεῦσαι· καὶ οὕτω μίαν ἁρμονίαν ἐξ ἀμφοτέρων συστησαμένους, εἰς ὁμόφωνον δοξολογίαν τραπῆναι θεοῦ. ἐγὼ μὲν οὖν φημι καὶ ἀμφοτέρους τοὺς διδασκάλους σαφῆ τὰ παρ' αὐτῶν εἰς τὴν ἐκκλησίαν συναγαγεῖν· καὶ δύναιτ' ἄν τις μηδαμῶς τοῖς παρ' ἀμφοτέρων προσχρώμενος, διὰ τῶν παρὰ θατέροις μόνον ταὐτὸ συμπεράναι συμπέρασμα. καὶ τοῦτο δείξομεν μετὰ ταῦτα, ἂν ὁ θεὸς ἐπιτρέψῃ, διὰ βραχέων. ὑποκείσθω δὲ ὅμως μὴ πάνυ σαφῶς τοὺς

ἀνατολικοὺς, μηδ᾽ οὕτως ἀναπεπταμένως ὡς. εἰ ἐκ τῶν δυσμῶν, τὴν ἐκ τοῦ υἱοῦ τοῦ πνεύματος κηρύξαι ἐκπόρευσιν. τί οὖν ποιήσομεν; τί δ᾽ ἄλλο γε ἢ τῶν ἐξ ἑσπέρας πατέρων οὕτω σαφῶς ἀποφαινομένων ταύτην τὴν πίστιν, καὶ τοὺς ἀνατολικοὺς ἡγητέον ταὐτὸ τοῦτο λέγειν ἐξ ἀνάγκης, καὶ μὴ μάχεσθαι τοῖς ὁμόφροσιν; ὃ γὰρ ἐν ἐκείνοις, τοῦτο καὶ ἐν αὐτοῖς ἐλάλησε πνεῦμα· καὶ ἅπερ ἐν τούτοις ἀνεπτυγμένως, ταῦτα πάντως ἐν ἐκείνοις συνεπτυγμένως ἐφθέγξατο, δι᾽ ἣν οἶδεν ἐκεῖνο αἰτίαν, καὶ διὰ τὴν τότε ἴσως ἐκεῖσε προσήκουσαν οἰκονομίαν. δεικτέον δὲ ὅμως, καὶ ἄνευ τῆς πρὸς τοὺς δυτικοὺς ἁγίους πατέρας παραβολῆς, καὶ καθ᾽ αὐτοὺς τοὺς ἐξ ἑῴας πατέρας ταὐτὸ συμπεραίνοντας περὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως, καὶ τοῦτο φρονοῦντας ὅπερ ἐκεῖνοι.

Κεφάλαιον πέμπτον.

Τὴν Διὰ πρόθεσιν ἴσμεν πάντες αἰτίαν σημαίνουσαν ἐπὶ πάντων, ἐφ᾽ ὧνπερ παραλαμβάνεται· οὐδέποτε δὲ λεγομένην ἄνευ τοῦ μεσιτευουσάν τινα παρεμφαίνειν αἰτίαν. ἀεὶ γὰρ καὶ ἐπὶ πάντων, ἐφ᾽ ὧν τόδε παρά τινος, διά τινος εἶναι ἢ γίνεσθαι λέγεται, τὸ δι᾽ οὗ, ὡς κοινωνοῦν ἢ συνεργοῦν τῷ πρώτως ἐνεργοῦντι παραλαμβάνεται. ὥσπερ εἰ τὸν τέκτονα διὰ τοῦ πρίονος τεκταίνεσθαι φαίημεν, καὶ τὸν πρίονα συνεργεῖν τῷ τέκτονι πρὸς τὸ πρίζειν νοοῦμεν, καὶ τὸν σύστοιχον αὐτῷ τρόπον, εἴτουν ὀργανικῶς καὶ αὐτὸν πρίζειν, ἀλλὰ μὴ ἀργῶς οὕτω παραλαμβάνεσθαι. καὶ τὸ διὰ τόπου δὲ, ἢ διὰ χρόνου τό δέ τι γεγονέναι ἢ διελθεῖν λέγειν, ὁμοίως αἰτίαν, τινὰ τὸν τόπον καὶ χρόνον τῶν διελθόντων ἢ γενομένων λέγειν ἐστίν. ὅ τε γὰρ τόπος κινήσεως αἴτιον· πᾶσα γὰρ κίνησις ἐπὶ μεγέθους καὶ διαστήματος· καὶ ὁ χρόνος δὲ πλεῖστον συμβάλλεται τῇ κινήσει. ἐν χρόνῳ γὰρ ἅπασα κίνησις, κινήσεως δ᾽ ἄνευ οὐκ ἄν τι γένοιτο· χωρὶς δ᾽ οὗ οὐκ ἄν τι γένοιτο, τοῦτο ἑαυτοῦ αἴτιον ἔχει. καὶ τὸ ἐν τοῖς συλλογισμοῖς δὲ λέγειν, διὰ τοῦ μέσου τὰ ἄκρα συνάπτεσθαι, δῆλον ὅτι διὰ τοῦ μέσου ὡς δι᾽ αἰτίου, κατὰ τὴν τῆς διανοίας κίνησιν ἢ μετάβασιν συμβαίνει. ὁ δὲ λόγος, εἴγε χρὴ καθόλου περὶ τούτου διαλαβεῖν, ἐν πᾶσι λόγοις, ἐν οἷς λέγεταί τις ἐνεργεῖν δι᾽ ἑτέρου ἡ πρόθεσις αὕτη Διὰ αἰτίαν ἢ ἀρχὴν, ἐν ᾗ λέγεται

πτώσει, τῆς ἐνεργείας ἐκείνης σημαίνει. ἐπεὶ δὲ ἡ ἐνέργεια μέση ἐστὶ τοῦ τε ποιοῦντος καὶ τοῦ γινομένου, τὸ πτωτικὸν ἐκεῖνο, ᾧ ἡ Διὰ συνάπτεται πρόθεσις, ἐνίοτε μὲν αἰτία τῆς ἐνεργείας ἐστὶ, καθόσον πρόεισιν ἀπὸ τοῦ ἐνεργοῦντος· καὶ τότε αἰτία ἐστὶ τοῦ ποιεῖν τῷ ποιοῦντι, εἴτε εἰδικόν ἐστιν αἴτιον, εἴτε τελικὸν, εἴτε ποιητικὸν, εἴτουν κινητικόν· ἐπὶ ὑλικῆς γὰρ αἰτίας οὐκ ἔστιν ἐν χρήσει παραλαμβάνεσθαι, ἀλλ' ἀντὶ ταύτης ἡ Ἐκ· οὐ γὰρ διὰ λίθων καὶ ξύλων, ἀλλ' ἐκ τῶνδε καὶ τῶνδε τὴν οἰκίαν συγκεῖσθαι φαμέν. ὅταν μὲν οὖν διὰ τὴν τοῦ κέρδους ἐπιθυμίαν τὸν τεχνίτην ἐνεργεῖν λέγομεν, τελικὸν σημαίνομεν αἴτιον· εἰδικὸν δὲ νοοῦμεν, ὅταν διὰ τὴν ἑαυτοῦ τέχνην φῶμεν ἐνεργεῖν τὸν τεχνίτην· κινητικὸν δὲ, εἰ λέγοιμεν, διὰ τὸ τοῦ ἑτέρου πρόσταγμα ἕτερον ἐνεργεῖν. οὕτω μὲν οὖν τὸ πτωτικὸν ἐκεῖνο ὄνομα, ᾧ ἡ Διὰ συνάπτεται πρόθεσις, ποτὲ μὲν αἰτία ἐστὶ τοῦ ποιεῖν τῷ ποιοῦντι, αἴτιον τῆς ἐνεργείας ὑπάρχον, καθόσον πρόεισιν ἀπὸ τοῦ ποιοῦντος· ποτὲ δὲ αἰτιόν ἐστι τῆς ἐνεργείας, καθόσον ὅρον ἔχει τὸ ἀποτέλεσμα, ὥσπερ ὅταν λέγομεν διὰ τῆς σφύρας ἐνεργεῖν τὸν τεχνίτην· τότε γὰρ οὐ σημαίνει τὴν σφύραν αἴτιον εἶναι τοῦ ἐνεργεῖν τῷ τεχνίτῃ, ἀλλ' ὅτι αἰτιόν ἐστι τῷ τεχνιτῷ τοῦ προϊέναι ἐκ τοῦ τεχνίτου. τούτων οὕτως ἐχόντων σκεπτέον ὅ, τι ποτὲ βούλεται τοῖς ἁγίοις, ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, λέγειν· πάντως κἀνταῦθα αἰτίαν τινὰ τὴν Διὰ σημαίνειν ἐροῦμεν· ἢ τίνος χάριν παρείληπται; ἀλλὰ τῶν μὲν πρότερον ἐκτεθειμένων τριῶν οὐδεμίαν· οὔτε γὰρ ὁ υἱὸς τῷ πατρὶ αἴτιος τοῦ προβάλλειν, ὃ καθόλου τὰ προειρημένα τρία αἴτια δύναται, ἀλλ' ἢ ἄρα τὸ ἀνάπαλιν. οὔτε γὰρ ὁ υἱὸς αἰτία εἰδικὴ, ἢ τελική ἐστιν, εἴτε ποιητικὴ τοῦ πνεύματος τοῦ ἁγίου· τό τε γὰρ ποιητικὸν αἴτιον πρὸς τὰ κτίσματα ἀναφέρεται, καὶ οὐχ ἁρμόζει ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου· τό τε τελικὸν, αὐτή ἐστιν ὅλη ἡ μακαρία τριὰς καὶ ἡ ἀγαθότης αὐτῆς τῶν κτισμάτων, οὐχ ἓν δὲ πρόσωπον ἄλλου· εἰδικὸν δέ ἐστιν αὐτὴ ἡ θεία οὐσία, καθ' ἣν ὁ υἱὸς καὶ τὸ πνεῦμα προάγονται, ἥτις ἐστὶν ἡ αὐτὴ τοῖς τρισί. λείπεται δὴ, τὸν λοιπὸν καὶ τέταρτον τρόπον ἐπὶ τοῦ προκειμένου παραλαμβάνειν, καὶ τοῦτον ἐφόσον εἰκός· οὗτος γὰρ, καθόσον μὲν ὅρον ἔχει τὸ ἀποτέλεσμα, αἴτιον ὑπάρχων τῆς ἐνεργείας, ἁρμόζει ἐπὶ τοῦ νυνὶ ζητουμένου, καὶ μάλιστα δι' υἱοῦ λεγόντων ἡμῶν ἐκπορεύεσθαι τὸ πνεῦμα· καθόσον δὲ ὡς ὄργανον

παραλαμβάνεται, ἀπεμφαίνουσαν ἔχει τὴν ὁμοιότητα· οὐ γὰρ ὡς δι' ὀργάνου, ἢ τόπου, ἢ χρόνου, ἤ τινος τῶν ἀτελῶν αἰτίων, φαμὲν τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι· ταῦτα γὰρ πόῤῥω τῆς ἐκείνου παντελοῦς τελειότητος, καὶ τῆς ἄκρας πρὸς τὸν πατέρα ἰσότητος ἢ ἑνότητος. οὐ γὰρ ἄλλῃ δυνάμει τῷ ἀριθμῷ παρὰ τὸν πατέρα προβάλλει τὸ πνεῦμα τὸ ἅγιον ὁ υἱὸς, ἵν' ὥσπερ δευτέρα ἡ ὀργανικὴ αἰτία παραλαμβάνοιτο· ἀλλὰ τῷ τὴν αὐτὴν καὶ μίαν ἐν πατρὶ καὶ υἱῷ προβλητικὴν εἶναι δύναμιν, ἐπίσης παρ' ἑκατέρων λέγεται προϊέναι. ἐπεὶ καὶ ὁ πρίων, εἴπερ ἄνθρωπος ἦν ὥσπερ καὶ ὁ τέκτων, καὶ ὁ αὐτὸς ἄνθρωπος, ὥσπερ ἐπὶ πατρὸς καὶ υἱοῦ ὁ αὐτὸς θεὸς, ἔπριζεν ἂν κἀκεῖνος, ὥσπερ καὶ ὁ τέκτων· καὶ τὸ διὰ τοῦ πρίονος λεγόμενον, οὐδεμίαν ἂν τοῦ πρίονος κατηγόρει ἀτέλειαν. θαυμαστὸν δὲ οὐδὲν, εἰ ἀσθενέσιν ἐπὶ τῶν θείων φωναῖς τε καὶ ῥήμασιν χρώμεθα, μὴ ἄλλως δυνάμενοι. τὰ γὰρ θεῖα διὰ τῶν εἰωθότων μὲν ἡμῖν ὀνομάτων καὶ νοημάτων ἐκφαίνειν πειρώμεθα· ἄλλως γὰρ φθέγγεσθαί τι γοῦν περὶ ἐκείνων ἀμήχανον· τὸ δὲ περὶ τὴν ἐκφώνησιν τῶν ὀνομάτων συμβαῖνον, ἐπιχειρεῖν καὶ τοῖς ὑπ' αὐτῶν σημαινομένοις πράγμασιν ἐφαρμόζειν, μὴ οὐ θεμιτὸν ᾖ· πολλὰ γὰρ ἂν οὕτω τῶν ὁμολογουμένων καὶ ἀναγκαίων ἀνατραπείη. καὶ τὰ πάντα γὰρ ἐκ πατρὸς δι' υἱοῦ λέγομεν γενέσθαι· ἀλλ' οὐ δήπου τολμήσειέ τις ὀργανικὴν αἰτίαν, ἀλλ' οὐχὶ τὴν αὐτὴν τῷ πατρὶ τὸν υἱὸν λέγειν, ὡς μιᾷ καὶ τῇ αὐτῇ ἐνεργείᾳ τε καὶ δυνάμει τὰ πάντα συνδημιουργήσαντα. καὶ ἐπὶ τῆς δι' υἱοῦ τοίνυν τοῦ πνεύματος ἐκπορεύσεως, ὀργανικὴν μὲν αἰτίαν ἐννοῆσαι γοῦν βλάσφημον· αἰτίαν μέντοι γε καὶ ταύτην οὐκ ἀτελῆ ἀναγκαῖον. τὸ μὲν γὰρ ἀτελὲς τῆς Διὰ ἀποδιοπομπητέον ἐντεῦθεν. ὅσον δὲ εὐσεβείας καὶ τελειότητος ἐπιφέρεται, τοῦτο παραληπτέον. φησὶ δὲ ὁ μέγας Βασίλειος ἐν τῷ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον· Τὸ διὰ τοῦ υἱοῦ δημιουργεῖν τὸν πατέρα, οὔτε ἀτελῆ τοῦ πατρὸς τὴν δημιουργίαν, οὔτε ἄτονον τοῦ υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν, ἀλλὰ τὸ ἡνωμένον τοῦ θελήματος αὐτῶν παρίστησιν. ὥστε ἡ Δι' υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται. Οὕτω μὲν οὖν ἡ Διὰ περιφανῶς αἰτίαν σημαίνει· οὐ γὰρ ἄτονον τοῦ υἱοῦ φησι, παραδηλοῖ τὴν ἐνέργειαν, ἀλλ' αἰτίαν τὴν μετὰ τάξεως·

τῆς γὰρ προκαταρκτικῆς, φησιν, αἰτίας ὁμολογίαν ἔχει. ἀεὶ γὰρ ὅταν ἔκ τινος διά τινος εἶναί τι λέγοιτο, τάξις δηλοῦται πρὸς τὸ ἐξ οὗ, τοῦ δι' οὗ· τοῦ μὲν ἐξ οὗ ὡς ἀρχικοῦ νοουμένου αἰτίου· τοῦ δὲ δι' οὗ, ὡς ὀργάνου ἢ συναιτίου, ἑαυτοῦ προεπινοούμενον ἔχοντος τὸν ἐφ' οὗ λέγεται τὸ ἐξ οὗ. ταύτην δέ γε τὴν τάξιν ἀναγκαῖον καὶ ἐπὶ πατρὸς λαμβάνεσθαι καὶ υἱοῦ· παρὰ γὰρ τοῦ πατρὸς πάντα λαβὼν τὰ τοῦ πατρὸς ὁ υἱὸς ἔχει, καὶ μετὰ τοῦ πατρὸς καὶ ἅμα αὐτῷ εὐθὺς συνεπινοεῖται προσεχῶς ὁ υἱός· καὶ υἱὸν λέγοντες, εὐθὺς εἰς τὸν οὗ ἐστιν ὁ υἱὸς ἀναγόμεθα τῇ διανοίᾳ, πατέρα· καὶ πατέρα εἰπόντες, υἱὸν εὐθὺς ἐννοοῦμεν. ταῦτα δὲ ἡ Διὰ μάλιστα δύναται, τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν κατὰ τὸν μέγαν Βασίλειον ἔχουσα. διὰ τοῦ υἱοῦ γὰρ τὸ πνεῦμα λέγοντες ἐκπορεύεσθαι, τὸν πατέρα, ἐξ οὗ τοῦτ' ἔχει λαβὼν ὁ υἱὸς, ἐννοοῦμεν, καὶ ὅτι πρὸς ἕτερον ἀναφέρει τὰ ἑαυτοῦ. τοῦτο καὶ ὁ Χρυσόστομός φησιν ἐξηγούμενος τό· Πάντα δι' αὐτοῦ ἐγένετο. * Εἰ γὰρ ἐνταῦθα δι' αὐτοῦ, φησιν, εἴρηται, δι' οὐδὲν ἕτερον εἴρηται, ἀλλ' ἢ ἵνα μὴ ἀγέννητον ὑποπτεύσῃ τις τὸν υἱόν. ὥστε καὶ κατὰ τοῦτον τὸν διδάσκαλον ἡ Διὰ ἐπὶ τὴν παρὰ τοῦ πατρὸς γέννησιν ἡμᾶς παραπέμπει, καὶ τὸ ἐκεῖθεν αὐτῷ τὴν τοῦ δημιουργεῖν τὰ ὄντα, καὶ προβάλλειν τὸ πνεῦμα τὸ ἅγιον δύναμιν ἥκειν· καὶ δύναται μάλιστα πάντων σημαίνειν τὴν τάξιν τὴν πρὸς ἀλλήλους πατρὸς καὶ υἱοῦ, καὶ οὕτως ἀναγκαίως παραλαμβάνεσθαι. ὥσπερ γάρ ἐστιν ἐν αὐτοῖς ἄκρα δυνάμεως ἰσότης, μᾶλλον δὲ ἄκρα ταυτότης, οὕτως οὐδὲν ἧττον πρὸς ταύτῃ καὶ ἄκρα ἐστὶ τάξις, ἣν ἡ Διὰ δύναται παραλαμβανομένη δηλοῦν. ἀλλὰ ταῦτα μὲν οὕτως.

* Ἰω. 1, 3.

Κεφάλαιον ἕκτον.

Ῥητέον δὲ καὶ ὅπου τῶν ἑαυτῶν λόγων οἱ ἐξ ἑῴας πατέρες, καὶ οἵτινες ἐπὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως ἐχρήσαντο ἐπὶ τοῦ υἱοῦ τῇ Διά. πρῶτον μὲν οὖν ὁ θεῖος Ἀθανάσιος ἐν τῷ ἐπιγραφομένῳ λόγῳ Ἔλεγχος ὑποκρίσεως τῶν περὶ Μελίτιον καὶ Εὐσέβιον· Ἦν δὲ ἀδύνατόν, φησιν, ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς ὂν ἐκ θεοῦ δι' υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ θεοῦ γεγονὸς, ὡς λέγουσιν. Ἐπιστῆσαι οὖν ἄξιον, ὅτι περὶ τῆς

τοῦ πνεύματος ὑποστάσεως ὁ λόγος ἐνταῦθα τῷ διδασκάλῳ, τοῦ ἑνὸς τῆς Τριάδος, οὐ χαρίσματός τινος ἀνυποστάτου, καθὼς ἄν τινες φαῖεν· καὶ ὅτι αὐτὸ τοῦτο τὸ συμπληρωτικὸν τῆς Τριάδος εἶναί φησιν ἐκ θεοῦ δι' υἱοῦ. τό τε γὰρ εἶναι, τὸ ὑπάρχειν δηλοῖ καθαρῶς, καὶ τὸ τὴν ὕπαρξιν ἔχειν, καὶ μάλιστα τὸ εἶναι προσδικῶς· καὶ τὸ ἐκ θεοῦ δι' υἱοῦ προσδικῶς εἶναι λέγειν αὐτὸ ἐκ θεοῦ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν αὐτὸ λέγειν ἐστίν. εἰπὼν δὲ Ἐκ θεοῦ δι' υἱοῦ, οὐκ ἐκ πατρὸς δι' υἱοῦ, ἀποκλείει τὸν λόγον τοῖς λέγουσιν, ὡς διὰ τοῦτό φησι δι' υἱοῦ, ἐπειδὴ τοῦ πατρὸς ἐμνήσθη, ὀνόματος ἀναφορικοῦ τε ὄντος, καὶ πάντως υἱὸν ἀπαιτοῦντος. εἶχε γὰρ ἄν τινα λόγον ἡ πρόφασις, εἰ καὶ μηδὲ τότε, εἰ ἐκ πατρὸς δι' υἱοῦ ἔλεγε· νῦν δ' οὐ τοῦτό φησιν, ἀλλ' ἐκ θεοῦ δι' υἱοῦ. ἔπειτα δὲ ὁ μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἐπιγραφή Διατί μὴ τὸ πνεῦμα υἱὸς τοῦ υἱοῦ, φησίν· Ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ θεοῦ δι' υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νεμισθῇ πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα. πρῶτον μὲν αὐτόθεν ἀπ' αὐτοῦ τοῦ ζητήματός τε καὶ τῆς ἀπορίας, διατί μὴ υἱὸς τοῦ θεοῦ λέγεται τὸ πνεῦμα τὸ ἅγιον, ἐστὶ πορίσασθαι, μὴ ταύτης εἶναι τῆς δόξης τὸν μέγαν Βασίλειον, δηλονότι μηδὲν εἰς τὸ εἶναι τοῦ πνεύματος συμβάλλεσθαι τὸν υἱόν. οὐδὲ γὰρ ἂν τοιοῦτον ἐκίνησε ζήτημα, ὥσπερ οὐδὲ διατί μὴ τὸ πνεῦμα πατὴρ τοῦ υἱοῦ ἐζήτησεν ἄν τις. ἔπειτα δὲ καὶ ἀπ' αὐτῆς τῆς τοῦ ζητήματος λύσεως φαίνεται νομίζων τὸν υἱὸν αἰτίαν τοῦ πνεύματος, καὶ τοῦτο παραδηλῶν διὰ τῆς Διά. ἐξὸν γὰρ εἰπεῖν, ὅτι διὰ τοῦτο οὐκ ἔστιν υἱὸς τοῦ υἱοῦ, διότι οὐκ ἐξ αὐτοῦ, οὐδὲ δι' αὐτοῦ ἐστιν, οὔτε μὴν αὐτὸν ἔχει αἰτίαν· καί τοι τίς ἄλλη μᾶλλον ἁρμόζουσα λύσις; τοῦτο μὲν οὐκ εἶπεν, ἀλλ' ἄλλην αἰτίαν ἀπέδωκεν· ἔστι μὲν γάρ, φησιν, ἐκ θεοῦ δι' υἱοῦ, καὶ τοῦτο οὐκ ἔστιν ἀρνήσασθαι· εἰ δὲ τοῦτ' ἀναγκάζει καὶ υἱὸν αὐτὸ τοῦ υἱοῦ εἶναι καὶ λέγεσθαι, ἐλέγετο ἄν, φησι, καὶ τοῦτο, εἰ μή τι ἕτερον ἄτοπον ἀπήντα, τὸ πλῆθος ἄπειρον τὴν Τριάδα νομισθῆναι· ὡς τοῦ γε ἀτοπήματος τούτου μὴ ἀκολουθοῦντος, ἐλέγετο ἄν, φασι, καὶ υἱὸς τοῦ υἱοῦ· ἀλλ' υἱὸς ἐλέγετο τοῦ υἱοῦ ἀναμφιβόλως καὶ αἰτίαν εἶχεν ἂν τὸν υἱόν· καὶ διὰ τοῦ υἱοῦ ἄρα εἶναι λεγόμενον, καὶ τὸν υἱὸν ἔχει αἰτίαν· καὶ αὐτὸς δὲ εἶναί φησιν, ὃ μάλιστα τῶν ῥημάτων τὸ ὑπάρ-

χειν δηλοῖ καὶ τὴν ὕπαρξιν, καὶ ἐκ Θεοῦ δι' υἱοῦ, κατὰ τὸν ἱερὸν Ἀθανάσιον. οὔτε οὖν περὶ χαρισμάτων τινῶν ἐνταῦθά φησιν, ἵνα ᾖ τὸ δι' αὐτοῦ προχεόμενον ἢ χορηγούμενον, οὔτε διὰ τὴν ἀναφορὰν, δι' αὐτοῦ εἴρηται, δηλαδὴ τοῦ υἱοῦ· οὐ γὰρ ἐκ πατρὸς, ἀλλ' ἐκ Θεοῦ εἴρηται· οὔτε ἡ Διὰ ταὐτὸ τῇ Μετὰ δύναται ἐνταῦθα· τίνα γὰρ λόγον ἔχει, διὰ τὸ ἐκ Θεοῦ μετὰ τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, ὑποπτεύειν τινὰς δύνασθαι καὶ υἱὸν τοῦ υἱοῦ δεῖν ὀνομάζεσθαι; ὅτι τοίνυν οὐδεμία τούτων καταφυγὴ τῶν τριῶν, εἰς ἃς εἰώθασιν ἅπαντες ἑαυτοὺς ἀναφέρειν, τῷ παρόντι χωρίῳ λείπεται, φαίνεται καθαρῶς ἐνταῦθα τὴν Διὰ σημαίνειν αἰτίαν. τοῦτο δὲ σαφέστερον δείκνυται καὶ ἀπὸ ἑτέρας τοῦ αὐτοῦ χρήσεως, λέγοντος· Διὰ τοῦτο μὲν ἐκ Θεοῦ τὸ πνεῦμα εἶναι, τρανῶς ἐκήρυξεν ὁ Ἀπόστολος λέγων· Τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν·* καὶ τὸ διὰ τοῦ υἱοῦ πεφηνέναι, σαφὲς πεποίηκεν, υἱοῦ πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ καὶ Θεοῦ· διὰ τοῦτο γάρ, φησιν, υἱοῦ λέγεται πνεῦμα, διότι πέφηνε δι' αὐτοῦ. ἀλλὰ καὶ δυτικοὶ πάντες πατέρες ὥσπερ ἐκ κοινῆς συμφωνίας, διὰ τοῦτό φασιν υἱοῦ λέγεσθαι πνεῦμα καὶ εἶναι, διότι ἐξ αὐτοῦ ἐκπορεύεται· ταὐτὸν ἄρα τοῖς δυτικοῖς τὸ ἐξ υἱοῦ ἐκπορεύεσθαι δύναται, ᾧ φησιν ὁ μέγας Βασίλειος διὰ τοῦ υἱοῦ πεφηνέναι. ἀλλὰ τὸ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι αὐτὸ λέγειν, τοῦ πνεύματος αἰτίαν εἶναι δηλοῖ τὸν υἱόν. καὶ τὸ διὰ τοῦ υἱοῦ πεφηνέναι ἄρα, σαφῶς τοῦ πνεύματος αἰτίαν εἶναι δηλοῖ τὸν υἱὸν, καὶ τὸ διὰ τοῦ υἱοῦ πεφηνέναι ἄρα, σαφῶς τοῦ πνεύματος αἴτιον βούλεται τὸν υἱὸν λέγειν. εἰ δὲ τὸ δι' υἱοῦ πεφηνέναι, τὴν εἰς τὸν αἰσθητὸν τουτονὶ κόσμον ἔκφανσιν καὶ φανέρωσιν αὐτοῦ τις δηλοῦν βούλεσθαι λέγει, οὐ καλῶς λέγει. εἰ γὰρ διὰ τοῦτό ἐστι τοῦ υἱοῦ πνεῦμα τὸ πνεῦμα, οὐκ ἀϊδίως αὐτὸ οὐδὲ φύσει, ἀλλ' ἐπίκτητον αὐτὸ ἔχει λαβὼν καὶ ἐν χρόνῳ, ἐξ ὅτου τῷ κόσμῳ αὐτὸ ἐνεφάνισεν ὃ πόῤῥω πάσης μανίας· τοῦ γὰρ ἀποτελέσματος προεπινοεῖσθαι τὴν αἰτίαν ἀνάγκη, αἰτία δὲ τοῦ τὸ πνεῦμα εἶναι πνεῦμα υἱοῦ, τὸ δι' υἱοῦ πεφηνέναι. εἰ οὖν ἀϊδίως καὶ φύσει τὸ πνεῦμα υἱοῦ πνεῦμα, καὶ ἀϊδίως δι' υἱοῦ πέφηνε. τὸ δὲ ἀϊδίως δι' αὐτοῦ πεφηνέναι, εἰ μὴ τὸ ἀϊδίως δι' αὐτοῦ ἐκπορεύεσθαι καὶ τὴν ὕπαρξιν ἔχειν σημαίνει, θαῦμα ἂν εἴη. ἀλλὰ καὶ τό· Καθάπερ καὶ Θεοῦ, τῷ λόγῳ προσκείμενον, μέγα τῇ ἡμετέρᾳ ἐξηγήσει συμβάλλεται· οὕτω

* Κορ. α΄. 2, 12.

γάρ, φησιν, υἱοῦ λέγεται πνεῦμα καθάπερ καὶ Θεοῦ. ἀλλὰ τοῦ Θεοῦ λέγεται πνεῦμα, ὡς ἐκπορευόμενον ἐξ αὐτοῦ· καὶ τοῦ υἱοῦ ἄρα λέγεται πνεῦμα, ὡς ἐκπορευόμενον δι' αὐτοῦ, εἴτουν δι' αὐτοῦ πεφηνὸς, ταὐτὸν γὰρ ἀμφότερα σημαίνειν ἀποδέδεικται. ἐνταῦθα δὲ καὶ μάλιστα φαίνεται, μηδεμίαν ἔχειν χώραν ἀντὶ τῆς Μετὰ μεταλαμβάνεσθαι τὴν Διά. τὸ γὰρ εἶναι, φησι, πνεῦμα υἱοῦ, σημεῖόν ἐστι τοῦ δι' αὐτοῦ πεφηνέναι. εἰ γοῦν τὸ δι' αὐτοῦ πεφηνέναι τὸ μετ' αὐτοῦ πεφηνέναι ἐσήμαινεν, οὐδὲν δὲ μᾶλλον μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα, ἢ μετὰ τοῦ πνεύματος πέφηνεν ὁ υἱὸς, ἔδει ἂν καὶ τοῦ μετὰ τοῦ πνεύματος τὸν υἱὸν πεφηνέναι, σημεῖον ἕτερον εἶναι, τὸ τὸν υἱὸν τοῦ πνεύματος λέγεσθαι· ἀλλὰ τοῦτο οὐ λέγεται. οὐκ ἄρα οὐδὲ μετὰ τοῦ πνεύματος ὁ υἱὸς πέφηνεν. ἀλλὰ τοῦτο καὶ ψεῦδος καὶ βλάσφημον· πέφηνε γὰρ σὺν τῷ πνεύματι καὶ ἅμα τῷ πνεύματι, δι' αὐτοῦ δὲ ὅμως οὐ πέφηνεν· ἕτερον ἄρα περιφανῶς τὸ δι' αὐτοῦ πεφηνέναι τοῦ σὺν αὐτῷ ἢ μετ' αὐτοῦ πεφηνέναι. ἀλλά φησιν· Οὐ λέγεται τοῦ πνεύματος ὁ υἱὸς, ἵνα μὴ πατὴρ αὐτοῦ δόξῃ τὸ πνεῦμα τὸ ἅγιον. ἀναφορικὸν γὰρ ὄνομα ὢν ὁ υἱὸς, ἀποδίδοται πρὸς πατέρα. ὥστε εἰ μὴ τοῦτο ὑπενοεῖτο τὸ ἄτοπον, καὶ ὁ υἱὸς ἂν τοῦ πνεύματος ὠνομάζετο, διὰ τὸ σὺν τῷ πνεύματι καὶ ἅμα αὐτῷ προελθεῖν ἐκ πατρός. Ἀλλ' ὦ βέλτιστοι, καὶ τὸ πνεῦμα ἀναφορικόν ἐστιν ὄνομα, καὶ πρὸς τὸν πνέοντα ἀποδίδοται ἐξ ἀνάγκης, καὶ οὗ λέγεται πνεῦμα, ἐξ ἐκείνου πάντως καὶ πνεῖται. ὅτι γὰρ ἀναφορικὰ τὰ ὑποστατικὰ ὀνόματα τῆς Τριάδος, οὐδεὶς ἀντερεῖ. ὑποστατικὸν δὲ τοῦ πνεύματος ὄνομα, τὸ πνεῦμα τὸ ἅγιον λέγεται· ὥσπερ καὶ τοῦ πατρὸς ὁ πατὴρ, καὶ ὁ υἱὸς τοῦ υἱοῦ· καὶ ἀναφορικὸν ἐξ ἀνάγκης, ὥσπερ καὶ ταῦτα· εἴπερ οὐσία μὲν οὐκ εἰσὶν, ἄλλο δέ τι παρὰ τὰς ἀναφοράς τε καὶ τὴν οὐσίαν ἐν τοῖς θείοις οὐκ ἔστιν. ὥσπερ οὖν τὸν υἱὸν διὰ τὸ ἀναφορικὸν ὄνομα εἶναι, καὶ ἀποδίδοσθαι πρὸς πατέρα, δεδίαμεν υἱὸν τοῦ πνεύματος λέγειν, ἵνα μὴ πατὴρ αὐτοῦ νομισθῇ· οὕτω καὶ τὸ πνεῦμα, ἀναφορικὸν ὄνομα ὂν, καὶ πάντως ἀποδιδόμενον πρὸς τὸν πνέοντα, ἐξ ἐκείνου καὶ πνεῖται, οὗ πνεῦμα λέγεται εἶναι. Ὡς ἂν δὲ μηδεμία τοῖς λόγοις τούτοις καταλείποιτο πρόφασις, καὶ φανείη σαφέστερον αἰτίαν σημαίνουσα ἡ Διά, Μάξιμος ὁ θεῖος παρίτω, ἐν οἷς ἑρμηνεύει, τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία, καὶ τὸ

ἐπ' αὐτῇ λαμπάδιον καὶ οἱ λύχνοι*, λέγων ἐν ἐκείνοις ὡδί· Τὸ γὰρ πνεῦμα τὸ ἅγιον, ὥσπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ πατρὸς, οὕτω καὶ τοῦ υἱοῦ κατ' οὐσίαν ἐστὶν, ὡς ἐκ τοῦ πατρὸς οὐσιωδῶς δι' υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. τοῦ υἱοῦ γάρ, φησιν, οὐσιωδῶς ἐστι τὸ πνεῦμα, οὐκ ἐπίκτητον αὐτὸ καὶ ἔξωθεν, οὐδὲ χρονικῶς εἰληφότος, ἀλλ' ἐξ ἀϊδίου κατ' οὐσίαν αὐτὸ κεκτημένου, καθάπερ καὶ ὁ πατήρ· καὶ ἡ αἰτία, ὅτι ἐκ τοῦ πατρὸς δι' αὐτοῦ οὐσιωδῶς ἐκπορεύεται. καὶ βλέπε ὅτι τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος, ὅ τε μέγας Βασίλειος, ὅ τε θειότατος Μάξιμος αἰτίαν ἀποδιδόντες τοῦ, διατί τὸ πνεῦμα λέγεται πνεῦμα υἱοῦ, τὴν αὐτὴν ἀποδιδόασι καὶ ἀμφότεροι. διὰ γὰρ τὸ δι' αὐτοῦ ἐκ πατρὸς ἐκπορεύεσθαι, καὶ πνεῦμα εἶναι αὐτοῦ διατείνονται. ὃ οὖν Μάξιμος, δι' αὐτοῦ ἐκπορεύεσθαι, ἔφησε, τοῦτο ὁ θεῖος Βασίλειος, δι' αὐτοῦ πεφηνέναι, φησὶν, ὡς ἴσον τιθεὶς τὸ πεφηνέναι τῷ ἐκπορεύεσθαι. εἰ δὲ τὸ δι' αὐτοῦ ἐκπορεύεσθαι, τὸ δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχειν δηλοῖ, ἄρα καὶ τὸ δι' αὐτοῦ πεφηνέναι τὸ δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχειν παρίστησι· καὶ αἰτίαν ἡ Διὰ ἐξ ἀνάγκης ἐνταῦθα δηλοῖ, καὶ οὐδαμῶς ἄλλως λαμβάνεσθαι δύναται. οὐ μὴν ἀλλὰ καὶ ὁ Νύσσης Γρηγόριος πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ σαφέστατα τοῦτό φησιν· οὐκ ἐν οἷς μόνον τῷ αἰτιατῷ καὶ αἰτίῳ διακρίνεσθαι λέγει τὴν Τριάδα ἀλλήλων, ἀλλὰ καὶ ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον, σαφῶς περὶ διακρίσεως τῶν θείων προσώπων τὸν λόγον ποιούμενος· Τὸ πνεῦμα, φησι, τῷ πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖνος, διαχωρίζεται· τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ μονογενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ πνεῦμα ἐκ τοῦ διὰ τοῦ υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ καὶ ἀπροσδεεῖ τῆς ἑτέρωθεν ἀγαθότητος διακρίνεται τὸ πνεῦμα ἀπὸ τῆς κτίσεως. Ἐνταῦθα περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως ὁ διδάσκαλος τὸν λόγον ποιούμενος, προχειρίζεται μὲν τὸ πνεῦμα τὸ ἅγιον, παραβάλλων δ' αὐτὸ πρός τε τὸν πατέρα καὶ τὸν υἱὸν, εὑρίσκει, τίνα μὲν αὐτοῖς κοινὰ καὶ

* Ζαχ. 4, 2.

ἑνοῦντα, τίνα δὲ ἴδιά τε καὶ διακρίνοντα. τῷ μὲν οὖν πατρί, φησι, κατὰ τὸ ἄκτιστον συναπτόμενον· τοῦτο δ᾽ ἔστι τοῖς ἀπολελυμένοις καὶ οὐσιώδεσιν, ἃ διὰ τῆς ἀκτίστου σημαίνει φωνῆς· τῷ μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖνος, ἀπ᾽ αὐτοῦ πάλιν διαχωρίζεται. τῷ δὲ υἱῷ κοινωνοῦν αὐτῶν τε τῶν ἀπολελυμένων καὶ τῆς κατὰ τὸ ἄκτιστον συναφείας, μία γὰρ τῶν τριῶν οὐσία, ἔτι τε καὶ τῷ αἰτιατὰ εἶναι κοινῶς ἀμφότερα τοῦ τῶν ὅλων Θεοῦ, ὅμως αὐτοῦ διακρίνεται πάλιν δυσὶ τούτοις, τῷ μήτε μονογενῶς ὡς ὁ υἱὸς ἀλλ᾽ ἐκπορευτῶς δηλαδὴ ὑποστῆναι· τοῦτο δ᾽ ἔστι τῷ διαφόρῳ τῆς ὑπάρξεως τρόπῳ· καὶ ἐν τῷ δι᾽ αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. εἰ οὖν ἐνταῦθα τὸ Δι᾽ αὐτοῦ, ἴσον δύναται τῷ Μετ᾽ αὐτοῦ, θαῦμα ἂν εἴη, εἰ τῷ μετὰ τοῦ υἱοῦ πεφηνέναι τὸ πνεῦμα διακρίνεται τοῦ υἱοῦ· ἑνοῖτο γὰρ ἂν οὕτω μᾶλλον, οὐ διακρίνοιτο· καὶ συνάπτοιτο πλέον, ἢ διαιροῖτο. οὐ μὴν οὐδὲ περὶ χαρισμάτων ἐνταῦθα διανομῆς ὁ λόγος αὐτῷ, ἀλλὰ περὶ τῆς τῶν θείων ὑποστάσεων διακρίσεως. οὔτε δέ τις εἰπεῖν ἔχει, τὴν εἰς τὸν κόσμον διὰ τοῦ υἱοῦ φανέρωσιν τοῦ πνεύματος τοῦ ἁγίου, διὰ τούτου τοῦ λόγου δηλοῦσθαι. πρῶτα μὲν γὰρ περὶ διακρίσεως ὄντος τοῦ λόγου τῶν ὑποστάσεων, καὶ πῶς ἂν τὴν χρονικὴν ταύτην φανέρωσιν ἀϊδίου τινὸς πράγματος αἴτιον ἐποιεῖτο; ἀϊδίως γὰρ ἀλλήλων ὁ υἱὸς καὶ τὸ πνεῦμα τοῖς προσωπικοῖς διακρίνονται ἰδιώμασι· καὶ οὐ δήπου πρὶν ὑπὸ τοῦ υἱοῦ φανερωθῆναι τῇ κτίσει τὸ πνεῦμα, ἀλλήλων οὐ διεκρίνοντο· τοῦτο γὰρ ἀτοπώτατον λέγειν. ἔπειτα τῶν εἰς τὴν κτίσιν ἔργων τῆς τριάδος ὄντων κοινῶν, οὐ διὰ τοῦ υἱοῦ μᾶλλον, ἢ δι᾽ ἑαυτοῦ ἐφανερώθη τὸ πνεῦμα τὸ ἅγιον· ἀλλὰ καὶ αὐτὸν τὸν υἱὸν ἐδόξασέ τε καὶ ἐφανέρωσε, καὶ οὐχ ἥκιστα τὸν πατέρα, τὸν αὐτὸν δὲ καὶ ὁ υἱός. οὕτως οὖν ἂν καὶ ἑαυτοῦ τὸ πνεῦμα τὸ ἅγιον διακρίνοιτο, ἑαυτὸ φανερῶσαν, ἔτι τε τοῦ πατρός· καὶ ὁ υἱὸς ἑαυτοῦ τε καὶ τοῦ πατρὸς διὰ ταῦτα. ἀλλ᾽ οὔτε ἐπὶ τούτων εἴρηταί ποτε, οὔτ᾽ ἐπὶ τοῦ νυνὶ προκειμένου τούτῳ τῷ λόγῳ καταλείπεται χώρα. ὃ δὲ τούτων ἐλέγχει τὸν λόγον ὄντα ματαίαν καταφυγὴν, ἐστὶν ὅτι τὸ πνεῦμα τῆς κτίσεως ὁ διδάσκαλος διακρῖναι βουλόμενος, ἐπείπερ ᾔσθετο, μᾶλλον δ᾽ ἔφθασεν ἀποδεδωκὼς κοινὸν αὐτῷ τε κἀκείνῃ τὸ διὰ τοῦ υἱοῦ τὸ μὲν πεφηνέναι, τὴν δὲ ὑποστῆναι· δεδιὼς, μή τις τούτῳ δὴ τῷ κοινῷ καὶ ταυτότητα οὐσίας δοξάσειε

τῷ ἀτρέπτῳ τε καὶ τρεπτῷ, καὶ ἀναλλοιώτῳ καὶ μὴ τοιούτῳ διακρίνει ταῦτα ἀλλήλων, τὸ διὰ τοῦ υἱοῦ, τὴν μὲν ὑποστῆναι, τὸ δὲ πεφηνέναι, κοινὸν καὶ ταὐτὸν ἡγησάμενος. διακρίσεως δὲ τρόπον εὑρὼν, τὸ τὴν μὲν τρεπτὴν καὶ ἀλλοιωτὴν εἶναι, τὸ δ' ἄτρεπτόν τε καὶ ἀναλλοίωτον. καί τοι εἰ τὸ διὰ τοῦ υἱοῦ πεφηνέναι τὸ πνεῦμα, μὴ αἰτίαν ἐδήλου τὸν υἱὸν, ὥσπερ τὸ διὰ τοῦ υἱοῦ ὑποστῆναι τὴν κτίσιν, τοῦτο γὰρ αὐτὸν αἰτίαν δηλοῖ, ῥάστη ἂν ἦν ἡ διάκρισις τοῦ πνεύματός τε καὶ τῆς κτίσεως. ἐξῆν γὰρ εἰπεῖν ὅτι εἰ καὶ ἀμφότερα διὰ τοῦ υἱοῦ, ἀλλ' ἡ μὲν κτίσις αἰτιατῶς ἐξ αὐτοῦ τὸ δέ γ' ἀναιτίως. νῦν δὲ τοῦτο μὲν οὐκ εἶπεν. ὃ γὰρ μὴ ᾔδει ἀληθὲς ὂν, οὐκ ἦν ἐκείνου εἰπεῖν· ἀλλ' ἄλλην εὗρε διάκρισιν, τὴν καὶ αὐτῷ δόξασαν ἀληθῆ καὶ μόνην ὑπάρχουσαν. ἡ Διὰ ἄρα ἐπὶ τῆς δι' υἱοῦ τοῦ πνεύματος τοῦ ἁγίου ἐκφάνσεως τοῦτ' αὐτὸ δύναται, ὅπερ ἐπὶ τῆς κτίσεως λεγομένης δι' υἱοῦ ὑποστῆναι. ἀλλ' ἐπὶ τῆς κτίσεως αἰτία λέγεται καὶ πιστεύεται ὁ υἱὸς εἶναι, καὶ διὰ τῆς Διὰ τοῦτο σημαίνεται· καὶ ἐπὶ τοῦ πνεύματος ἄρα αἰτίαν ἡ Διὰ παρίστησι τὸν υἱόν. καὶ γὰρ δὴ καὶ ἄλλως φανερὸν, ὡς τοῖς αἱρετικοῖς οἱ διδάσκαλοι πολεμοῦντες δι' υἱοῦ λέγουσι γεγενῆσθαι τὸ πνεῦμα τὸ ἅγιον, διὰ τὸ κακῶς ἀκούειν τοῦ εὐαγγελιστοῦ· Πάντα δι' αὐτοῦ ἐγένετο*, λέγοντος, καὶ τὸ πνεῦμα διὰ τοῦτο βλασφή- * Ἰω. 1, 3.
μως ὡς ἓν οἰομένοις τῶν πάντων, ταύτας ἀφῆκαν κατ' αὐτῶν τὰς φωνὰς, διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ δι' αὐτοῦ πεφηνέναι καὶ εἶναι τὸ πνεῦμα εἰπόντες. ἀλλ' οἱ αἱρετικοὶ διὰ τοῦ υἱοῦ γεγενῆσθαι τὸ ἅγιον λέγοντες πνεῦμα, δύο ταῦτα ἐνόουν· αὐτό τε γὰρ ἐτίθεσαν εἶναι ὡς ἓν τῶν κτισμάτων, καὶ τὸν υἱὸν αἰτίαν αὐτοῦ εἶναι, καὶ τοῦτο δηλοῦσθαι διὰ τῆς προθέσεως τῆς Διά. εἰ οὖν ἀμφότερα ἔλεγον βλασφημοῦντες, καὶ πρὸς ἑκάτερον ἂν οἱ διδάσκαλοι παρετάξαντο· καὶ ὥσπερ ἐξαιροῦσιν αὐτὸ τῶν κτισμάτων, καὶ οὐκ ἔστιν ὅτε οὐ τοῦτο ποιοῦσιν· ὅθεν οὐδὲ τῇ λέξει τοῦ γεγενῆσθαι εἰς κτίσμα κατασπάσῃ τὸ πνεῦμα, εὕροις ἂν αὐτοὺς ἐπ' αὐτοῦ ποτε χρησαμένους· οὕτως οὐδ' ἂν ποτε ἐχρήσαντο τῇ Διὰ, εἰ τοῖς μὲν αἱρετικοῖς ὡς αἰτίαν σημαίνουσα παρελαμβάνετο, αὐτοῖς δ' οὐκ ἐδόκει τοῦτ' ἀληθὲς εἶναι. οὕτω καὶ διὰ πάντων τ' ἀληθὲς αὐτό τε ἑαυτῷ φαίνεται σύμφωνον ὂν, καὶ αἰτίαν ἐν οἷς παραλαμβάνεται ἡ Διὰ παριστῶσα. τοῦτο δ' αὐτὸ καὶ ἐκ τοῦ πρὸς Ἀθανά-

βιον λόγου τοῦ αὐτοῦ διδασκάλου σαφῶς δείκνυται· κἀκεῖ γὰρ περὶ διακρίσεως τῶν θείων προσώπων τὸν λόγον ποιούμενος μετὰ τὸ καθόλου τῷ αἰτίῳ καὶ αἰτιατῷ διακρῖναι αὐτὰ ἀπ' ἀλλήλων, καὶ τῇ Διὰ ταύτῃ τὸν υἱὸν τοῦ πνεύματος διακρίνει· Ὁ μὲν γάρ ἐστι, φησι προσεχῶς, ἐκ τοῦ πρώτου, τοῦ πατρὸς δηλαδὴ, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, ἤτοι διὰ τοῦ υἱοῦ. καὶ τούτῳ, φησὶ, διακρίνεται τοῦ υἱοῦ τὸ παναγιον πνεῦμα, τῷ δι' αὐτοῦ εἶναι, δηλαδὴ τοῦ υἱοῦ. οὗτος γάρ ἐστι προσεχῶς ἐκ τοῦ πρώτου. ἐκ τοῦ πρώτου γὰρ ἀμφότερα ὄντα, οὐκ ἂν ἀρκούντως διακρίνοιντο, εἰ μὴ καὶ θάτερον εἴη διὰ τοῦ ἑτέρου φησίν. ὡς φανερῶς τὴν Διὰ ἐπὶ διακρίσεως ἐνταῦθα παραληφθῆναι, καὶ διακρίσεως τῆς ἐξ ἀϊδίου, τῆς κατὰ τὸ δηλαδὴ καὶ τὸ αἴτιον· ἐπὶ προαποδεδωκὼς ἔφθασε πρότερον, τῷ αἰτίῳ καὶ αἰτιατῷ μόνῳ ἀλλήλων τὰ θεῖα πρόσωπα διακρίνεσθαι. τὸ γὰρ ἐπιφερόμενον, ἄλλην πάλιν διαφορὰν ἐπὶ υἱοῦ καὶ πνεύματος ἐννοεῖσθαι, οὐκ ἄν τις ἀναμαρτήτως ἐκλάβοι, ἄλλην λέγων κατ' εἶδος· οὕτω γὰρ ἂν ἀντιφάσει τὸν διδάσκαλον περιβάλλοιμεν, εἰ πρότερον τῷ αἰτίῳ καὶ αἰτιατῷ μόνῳ διακρίνεσθαι εἰπόντα τὰ πρόσωπα τῆς Τριάδος, ἔπειτα καὶ ἄλλον τρόπον αὐτὸν νομιοῦμεν ἀποδεδωκέναι διακρίσεως κατ' εἶδος διαφέροντα τοῦ προτέρου. ἄλλην τοίνυν διαφορὰν τὴν κατ' ἀριθμὸν ἐκδεχόμενοι, τά τε τοῦ διδασκάλου φρονοίημεν ἂν, καὶ φανερῶς τὴν Διὰ μετὰ αἰτίας δεξαίμεθα, ὡς μὴ ἔχειν λόγον λοιπὸν ἢ ἀντὶ τῆς Μετὰ αὐτὴν λέγειν, ἡ Μετὰ γὰρ οὐ διακρίνει, ἢ τὴν ἐν τῷ κοσμῷ τοῦ πνεύματος δι' υἱοῦ ἔκφανσιν τῷ λόγῳ δηλοῦσθαι· αὕτη γὰρ οὐκ ἐξ ἀϊδίου· εἰ δὲ ἡ λέξις τοῦ πεφηνέναι, σκανδαλίζει τινὰς, μόνον τὸ ἐκπορεύεσθαι προσήκειν τῇ τοῦ πνεύματος ὑπάρξει νομίζοντας καὶ τῇ ὑπαρκτικῇ προόδῳ αὐτοῦ. τὸ δὲ πεφηνέναι εἰς τὴν μεταδοτικὴν ἢ χρονικὴν μόνον πρόοδον, ἢ εἰς τὴν πρὸς τὴν κτίσιν φανέρωσιν ἕλκοντας· ὥρα λοιπὸν αὐτοῖς καὶ τὸν υἱὸν μεταδίδοσθαι λέγειν ἢ πέμπεσθαι παρὰ τοῦ πατρὸς, ἐκ τοῦ πατρὸς αὐτὸν ἀκούουσι πεφηνέναι, οὗ πλήρεις οἱ λόγοι τῶν διδασκάλων. Κύριλλος γὰρ ὁ μακάριος ἐν τῷ πρὸς Οὐαλεριανὸν ἐπίσκοπον λόγῳ· Ἅγιος γάρ, φησιν, ὢν κατὰ φύσιν, καθάπερ ἀμέλει καὶ ὁ πατὴρ, ὁ ἐξ αὐτοῦ πεφηνὼς υἱὸς μονογενής. καὶ ὁ αὐτὸς περὶ τοῦ Χριστοῦ πάλιν· Ἴδιόν ἐστι τὸ πνεῦμα τοῦ υἱοῦ, οὔτε που μόνον ᾗ Λόγος ἐστὶ πεφηνὼς ἐκ

πατρὸς, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονώς. Ὅτι τοίνυν ἐνταῦθα τὸ πεφηνέναι, τὸ εἶναι καὶ τὸ ὑπάρχειν δηλοῖ, πῶς ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου οὐ καταδεξόμεθα τὸ αὐτὸ τοῦτο σημαίνεσθαι; ὁ δὲ καὶ μὴ βουλομένους ἀναγκάσει δέξασθαι τοῦτο, ὅτι καὶ ἐπὶ τοῦ πνεύματος καὶ τῆς ὑπαρκτικῆς αὐτοῦ προόδου τὸ αὐτὸ λέγεται τοῦτο. λέγει δὲ καὶ ὁ μέγας Βασίλειος· Τὸ πνεῦμα οὐδὲν ἔχον ἐστὶν ἐπίκτητον ἐν ἑαυτῷ, ἀλλ' ἀϊδίως πάντα ἔχει ὡς πνεῦμα θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνός. οὕτω πᾶσα πρόφασις ἀφαιρεῖται τῶν ζητούντων προφάσεις. καὶ γὰρ δὴ καὶ ὅ φησιν ὁ προειρημένος Γρηγόριος ὁ Νύσσης ἐν τῇ τοῦ ὁμωνύμου αὐτῷ καὶ θαυματουργοῦ Γρηγορίου ἀποκαλύψει περὶ τοῦ ἁγίου πνεύματος, ὡς δι' υἱοῦ πέφηνε δηλαδὴ τοῖς ἀνθρώποις, οὐδὲν πρὸς τὸν λόγον· ἕως ἂν τὸ δι' υἱοῦ πεφηνέναι, σημαίνει μὲν καὶ ἀμφότερα, τό τε δι' υἱοῦ ἀνθρώποις γνωσθῆναι ἐν χρόνῳ, τό τε δι' υἱοῦ τὴν ἀΐδιον ὕπαρξιν ἔχειν, ἔστι δε ὅμως καὶ ἀμφότερα ἀληθῆ, ἐπὶ τῶν οἰκείων λαμβανόμενα τόπων. ἀφίημι γὰρ ἕν γε τῷ νυνὶ λέγειν, ὡς τὸ δι' υἱοῦ πεφηνέναι ἀνθρώποις ἐν χρόνῳ, προϋποτίθησιν ἐξ ἀνάγκης τὸ δι' υἱοῦ τὴν ἀΐδιον ὕπαρξιν ἔχειν· καὶ οὐκ ἂν δι' αὐτοῦ ἐν χρόνῳ ἐπεφήνει, εἰ μὴ δι' αὐτοῦ τὴν ἀΐδιον ὕπαρξιν εἶχεν. ἀλλὰ καὶ ὁ ἐν θεολογίᾳ μέγας Γρηγόριος ζητῶν, διατί μὴ καὶ τὸ πνεῦμα υἱὸς κέκληται, καὶ εἴ τι αὐτῷ ἐλλείπει εἰς τὸ εἶναι υἱόν· οὐ λείπει, φησὶν, οὐ γὰρ ἐλλιπὴς ἡ θεότης· τὸ δὲ τῆς ἐκφάνσεως ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διάφορον αὐτῶν καὶ τὴν κλῆσιν πεποίηκε. τῇ αὐτῇ καὶ μιᾷ χρήσει τήν τε τῆς ἐκφάνσεως λέξιν, καὶ τὴν τοῦ πεφηνέναι, τὸ εἶναί τε καὶ ὑπάρχειν ἐνταῦθα δηλοῦν μαρτυρῶν τῷ ὁμωνύμῳ Γρηγορίῳ τῷ Νύσσης, καὶ ἔτι διάκρισιν καὶ αὐτὸς ἀποδιδοὺς τὴν αὐτὴν υἱῷ τε καὶ πνεύματι, καὶ διὰ τῶν αὐτῶν τε καὶ ἴσων τρόπων αὐτὰ διακρίνων ἀλλήλων. ὡς γὰρ ἐκεῖνος, τῷ μήτε μονογενῶς ὑποστῆναι καὶ τῷ διὰ τοῦ υἱοῦ πεφηνέναι, τοῦ υἱοῦ διακρίνει τὸ πνεῦμα, οὕτω καὶ οὗτος τῷ τε τῆς ἐκφάνσεως διαφόρῳ καὶ τῷ τῆς πρὸς ἄλληλα σχέσεως. ὃ μὲν ἐκεῖνος εἶπεν, ἐν τῷ μὴ μονογενῶς ὑποστῆναι, ἀλλ' ἐκπορευτῶς δηλαδὴ, τοῦθ' οὗτος ἐκφάνσεως διάφορον εἴρηκεν, εἴτουν διάφορον τρόπον ὑπάρξεως· ὃ δὲ Νύσσης, διὰ τοῦ υἱοῦ πεφηνέναι, τοῦθ' οὗτος διάφορον τῆς πρὸς ἄλληλα σχέσεως εἶπε· σχέσιν

δὲ τὴν πρὸς ἄλληλα υἱοῦ τε καὶ πνεύματος, οὐκ οἶδ' εἴ τινά τις ἑτέραν εὕροι, πλὴν τῆς κατὰ τὸ αἰτιατόν τε καὶ αἴτιον, καθ' ἣν ὁ μὲν πρὸς αὐτὸ τὸ πνεῦμα ὡς αἴτιον ἔχει, τὸ δὲ διαφόρως πρὸς τὸν υἱὸν, κατὰ τὸ παθητικὸν δηλαδὴ καὶ ποιητικὸν, ὡς αἴτιον αὐτοῦ. ἢ δειξάτω μοί τις ἑτέραν σχέσιν μεταξὺ υἱοῦ τε καὶ πνεύματος, καθ' ἣν τὸ ἕτερον πρὸς τὸ ἕτερον ἀναφέρεται· ἀλλ' οὐκ ἂν εὕροι ῥᾳδίως. εἰ γάρ τις τὸ λέγεσθαι· πνεῦμα υἱοῦ, τὸ πνεῦμα ἡμῖν ἀντιθείη, πρῶτα μὲν ἡ σχετικὴ αὕτη ἀκολουθία καὶ κατ' αὐτὸν αὖθις τὸν Νύσσης Γρηγόριον, καὶ κατὰ πάντας ὁμοῦ οὐκ ἀντιστρέφει· οὐδὲ γὰρ λέγεται καὶ ὁ υἱὸς τοῦ πνεύματος, οὔτε μὴν ἑτέρα τις ἀνταποκρίνεται ταύτῃ τῇ πρὸς τὸν υἱὸν τοῦ πνεύματος σχέσει, τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα τὸ ἅγιον, οὔτε ἡ αὐτὴ, οὔτε διάφορος τῷ γε γοῦν ποιητικῷ καὶ παθητικῷ. ἔπειτα δὲ καὶ αὐτὸ τὸ τοῦ υἱοῦ λέγεσθαι, οὐδὲν ἕτερον σημαίνει, ἢ τὸ διὰ τοῦ υἱοῦ πεφηνέναι κατὰ τὸν μέγαν Βασίλειον, ἢ τὸ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι αὖθις κατὰ τὸν Μάξιμον, κατὰ δέ γε τοὺς δυτικοὺς τὸ ἐξ υἱοῦ ἐκπορεύεσθαι, καὶ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχειν. ὥστε τὸ υἱοῦ πνεῦμα τὸ πνεῦμα τὸ ἅγιον λέγεσθαι, εἰς ἴσον τοῖς τρισὶ λέγεσθαι τούτοις, λέγω δὴ, τῷ διὰ τοῦ υἱοῦ πεφηνέναι, καὶ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ ἐξ υἱοῦ ἐκπορεύεσθαι· ταῦτα δὲ σχέσιν δηλοῦσι πρὸς ἄλληλα, τὴν κατὰ τὸ αἰτιατόν τε καὶ αἴτιον· ἣν καὶ θαῤῥούντως ὁ θεολόγος ἀποφαίνεται τῆς τε τῶν θείων προσώπων υἱοῦ τε καὶ πνεύματος διακρίσεως αἴτιον, καὶ τῆς τῶν ὀνομάτων αὐτῶν ἑτερότητος, τοῦ μὲν υἱοῦ λεγομένου, θατέρου δὲ πνεύματος. τούτοις δὲ συνηγορεῖ καὶ ὁ λόγος, καὶ ἡ τῆς πίστεως ἀλήθεια· τὰ γὰρ θεῖα πρόσωπα τῆς Τριάδος οὐ μᾶλλόν εἰσιν ἓν, ἢ τρία· τὸ μὲν τῇ οὐσίᾳ, τὸ δέ γε ταῖς ὑποστάσεσιν, εἴτε καὶ ἰδιότησιν· ἑνοῦνται γὰρ διακεκριμένως, καὶ διακρίνονται ἡνωμένως κοινὸν μὲν ἔχοντα τὴν οὐσίαν, ταῖς δὲ διαφόροις προόδοις καὶ ταῖς ἀναφοραῖς ἀλλήλων διαφέροντα· ἃ δὴ κατὰ τὸν τρόπον τῆς ἡμετέρας νοήσεως διαφέρει, εἰ καὶ μὴ διαφέροι τῷ πράγματι, καθόσον ἡ μὲν πρόοδός ἐστιν ὥσπερ τις ὁδὸς, ἡ δ' ἀναφορὰ ὥσπερ τι εἶδος· εἰκότως καὶ κατὰ ταύτας διακρίνονται, οἷς γάρ τινα διαφέρει, τούτοις πάντως καὶ διακρίνονται, εἰ καὶ μὴ πᾶσιν ὁμοίως· ἐπεὶ γὰρ ἐν οἷς πλείοσιν εὑρίσκεταί τι κοινὸν, ἀνάγκη εἶναί τι τὸ τὰ πλείω ἐκεῖνα διακρῖνον,

ἀνάγκη καὶ τὰ θεῖα πρόσωπα πλείω γε ὄντα καὶ κοινωνοῦντα κατὰ τὴν οὐσίαν ἀλλήλοις, εἶναί τι τὸ διακρῖνον αὐτὰ, μὴ μᾶλλον μονὰς μέλλοιεν εἶναι ἢ καὶ τριάς. ἐπεὶ δ᾽ ἐν αὐτοῖς οὐδὲν ἕτερον θεωρεῖται, πλὴν τῆς θείας οὐσίας καὶ τῶν ἀναφορῶν μόνων, εἴτουν τῆς ἑκάστου ἰδιότητος καὶ ὑποστάσεως, ἡ δὲ οὐσία κοινὴ οὖσα οὐκ ἂν εἴη διακρίσεως αὐτοῖς αἰτία, λείπεται κατὰ τὰς ἀναφορὰς αὐτὰ διακρίνεσθαι, καὶ προηγουμένως μὲν καὶ μάλιστα κατὰ ταύτας, ἑπομένως δέ γε καὶ κατὰ τὰς προόδους· καθόσον, ὡς εἴρηται, ἀναφορά τε καὶ πρόοδος οὐ διαφέρει τῷ πράγματι, εἰ καὶ διαφέρει τῷ τρόπῳ τῆς σημασίας. ἡ μὲν γὰρ πρόοδος κατὰ τὸν τῆς ἐνεργείας τρόπον σημαίνεται, ὥσπερ ἡ γέννησις, ἡ δ᾽ ἀναφορὰ κατὰ τὸν τοῦ εἴδους ὥσπερ ἡ πατρότης, ἥτις ὑποστᾶσα, τὸ τοῦ πατρός ἐστι πρόσωπον· καὶ διὰ τοῦτο διακρίνονται μὲν ἀλλήλων καὶ ταῖς προόδοις, καθόσον ἐξ ἀνάγκης ἕπονται ταύταις αἱ ἀναφοραί· τῷ τε γὰρ γεννᾷν ἕπεται ἡ πατρότης, τῷ γεννᾶσθαι ἡ υἱότης ὁμοίως, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. πρότερον δὲ καὶ ἀρχοειδέστερον ὅμως ταῖς ἀναφοραῖς διακρίνονται, καὶ ταύταις μᾶλλον ἢ ταῖς προόδοις, ὅμως γε μέν τοι καὶ ἀμφοτέραις. εἰκότως οὖν καὶ οἱ θεολόγοι ἐνταῦθα τὸν υἱὸν τοῦ πνεύματος διακρίνοντες, διχῇ διακρίνουσιν, ἀρχόμενοι μὲν ἀπὸ τοῦ ἀτελοῦς, ἐπὶ τὸν τελεώτερον δὲ καταπαύοντες τρόπον· ταῖς τε γὰρ προόδοις, καὶ ταῖς ἀναφοραῖς δὲ ἀρχοειδέστερον διακρινομένων τῶν θείων προσώπων ἀλλήλων, ὡς εἴρηται, τοῖς αὐτοῖς καὶ οὗτοι τὸν υἱὸν τοῦ πνεύματος διακρίνουσι, τὴν μὲν ἀπὸ τῶν προόδων διάκρισιν, διάφορον τρόπον ἐκφάνσεως, εἴτουν ὑπάρξεως ὀνομάζοντες· τὴν δ᾽ ἀπὸ τῶν ἀναφορῶν, ὁ μὲν διὰ τοῦ υἱοῦ πεφηνέναι, ὁ δὲ σχέσεως διαφορότητα τῆς πρὸς ἄλληλα. ὥστε τὴν τῆς πρὸς ἄλληλα σχέσεως διαφορότητα ταύτην ἀναφορᾶς εἶναι διάκρισιν, καὶ ἀναφορικῶς τὸν υἱὸν πρὸς τὸ πνεῦμα καὶ τὸ πνεῦμα πρὸς τὸν υἱὸν ἀναφέρεσθαι. ἀλλ᾽ ᾗ μὲν υἱὸς ὁ υἱὸς, οὐκ ἂν ἀναφέροιτο πρὸς τὸ πνεῦμα, οὐ γὰρ υἱὸς τοῦ πνεύματος λέγεται· λείπεται δὴ καθὸ πνέοντα πρὸς αὐτὸ ἀναφέρεσθαι, ᾗ πνεῦμα καὶ αὐτὸ πρὸς ἐκεῖνον ἀναφερόμενον· τὸ πνεῦμα γὰρ τῷ πνέοντι, καὶ ἡ πνοὴ τῇ πνεύσει ἀνταποκρίνεται. τὸ δὲ πνεῦμα καὶ πνεῦμα υἱοῦ λέγεται, καθώς ἐστιν εὑρεῖν πολλαχοῦ τῆς γραφῆς, καὶ πνοὴ τοῦ αὐτοῦ. τοῦτο γὰρ τὸ πνεῦμά, φησιν ὁ ἱερὸς Ἀθανάσιος, πνοή ἐστι τοῦ υἱοῦ. ἀναφέρεσθαι δὲ τὸ πνεῦμα πρὸς τὸν

υἱὸν, ἢ πνοή τε καὶ πνεῦμα, κατὰ τὰ προειρημένα τοῖς θεολόγοις δοκεῖ· καὶ ὁ υἱὸς ἄρα ἢ πνέων ἀνενεχθήσεται πρὸς τὸ πνεῦμα. καὶ τί ἄν τις καταριθμήσαιτο τοὺς τῇ διὰ χρησαμένους ἁγίους ἐπὶ τῆς ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκπορεύσεως τοῦ πνεύματος, ἀρκέσει δ' ἑνὶ χρησαμένους καὶ τελευταίῳ, τῷ τελευταίῳ τῶν θεολόγων, σκέψασθαι καὶ αὐτὸν ὅ, τι περὶ τούτου φρονεῖ. καὶ γοῦν Ἰωάννης ὁ ἐκ Δαμασκοῦ θεολόγος περὶ τοῦ πατρὸς λέγων· Αὐτὸς μὲν οὖν ἐστί, φησι, νοῦς λόγου ἄβυσσος, λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος. καὶ αὖθις· Τὸ δὲ πνεῦμα τὸ ἅγιον ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρός ἐστι δι' υἱοῦ ἐκπορευόμενον. πάντως οὐ χρὴ περιττοὺς εἶναι τὰ φανερὰ σαφηνίζοντας. ἐκπορεύεσθαι γάρ φησιν· ὃ φανερῶς τὸ εἶναι δηλοῖ τοῦ πνεύματος καὶ τὴν ὕπαρξιν, μάλιστα τῶν ἄλλων ὀνομάτων ἁπάντων, καὶ μάλιστα καθ' ἡμᾶς, τοῦτο μόνον ἀποκληροῦντας τῇ ὑπάρξει τοῦ πνεύματος ὄνομα. δι' υἱοῦ τοίνυν αὐτὸ ἐκπορεύεσθαι λέγων, δι' υἱοῦ αὐτὸ λέγει τὴν ὕπαρξιν ἔχειν· καὶ ἀποκλείει διὰ τούτου τὸν λόγον Θεοδωρίτῳ, ἀπαρνουμένῳ τὸ, δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον. ὥσθ' ἡμῖν καὶ τὴν ἐντεῦθεν ὑποσαλευθῆναι βοήθειαν, ἐπὶ τῇ τῆς συνόδου ἰσχυριζομένοις σιγῇ· τοῦ μὲν Θεοδωρίτου εἰπόντος, μήτ' ἐξ υἱοῦ, μήτε δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον, τῆς δὲ συνόδου σιωπησάσης, καὶ διὰ τῆς σιγῆς δῆθεν τοῦτο καταδεξαμένης. ἰδοὺ γὰρ ἔκ γε τοῦ λόγου, εἰ μὴ καὶ ἄμφω, τό γε γοῦν δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον δέδεικται, πάντων τῶν διδασκάλων βοώντων, καὶ οὐχ ἥκιστα τῶν μετὰ Θεοδώριτον, ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον· Ἰωάννου τε καὶ Μαξίμου τῶν μακαρίων, καὶ ἔτι διὰ τοῦ Ταρασίου τοῦ θείου τῆς ἑβδόμης τῶν οἰκουμενικῶν συνόδων, πιστεύειν εἰς τὸ πνεῦμα τὸ ἅγιον λέγοντος, τὸ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ θεὸν εἶναι γνωριζόμενον· τῶν δ' ἄλλων καὶ ἐκ θεοῦ δι' υἱοῦ εἶναι καὶ ἐκ θεοῦ διὰ τοῦ Λόγου, καὶ ἐκ πατρὸς δι' υἱοῦ προϊέναι, ἅπερ εἰς ἴσον τῷ ἐκπορεύεσθαι ἔρχεται, καὶ τῷ εἶναι καὶ τὴν ὕπαρξιν ἔχειν. ὥστε ὁ Θεοδώριτος οὐκ ἀληθεύει τοῦτο εἰπών· ἀλλ' ὅμως ἐσιώπησαν οἱ πατέρες, τοῦτο ἀκούσαντες εἰρηκότος, ὡς μὴ δεῖν μαρτυρίαν ποιεῖσθαι τὴν αὐτῶν σιωπὴν, τοῦ μήτ' ἐξ υἱοῦ μήτε

μὴν δι' υἱοῦ τὸ πνεῦμα τὴν ὕπαρξιν ἔχειν· τῷ γὰρ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν, μάρτυρες οἱ δι' υἱοῦ ἐκπορεύεσθαι αὐτὸ εἰρηκότες, εἴπερ τὸ ἐκπορεύεσθαι καὶ κατὰ τοὺς ἡμετέρους, τὸ τὴν ὕπαρξιν ἔχειν δηλοῖ· καὶ ταῦτα μετὰ Θεοδώριτον γεγονότες τῷ χρόνῳ, καὶ ἀκούσαντες μὲν αὐτοῦ τοιαῦτα εἰπόντος, εἰδότες δὲ τὴν σύνοδον πρὸς ταῦτα σιγήσασαν, ἀλλ' ὅμως ἐκείνῳ οὐ πάντα ἔκριναν ἕπεσθαι. τὸ δὲ χαριέστερον, ὅτι καὶ ἀμφότερα ἀρνησαμένου Θεοδωρίτου ὁ μακάριος Ἰωάννης τὸ μὲν ἐξ υἱοῦ ἀπαρνεῖται, ὅπως δὲ, καὶ τοῦτο ἐροῦμεν μετὰ μικρόν· τὸ δὲ δι' υἱοῦ ἐκπορεύεσθαι, ἤτοι δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχειν, τοῦτο δὲ τίθεται. εἰ δὲ τό· Μόνος γὰρ αἴτιος ὁ πατὴρ, ὅ φησιν ὁ μακάριος Ἰωάννης, καὶ τὸ ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ τοῦ θείου Μαξίμου περὶ τῶν Ῥωμαίων ῥηθέν τις ἡμῖν ἀντιποίσει, ὡς οὐκ αἰτίαν ποιοῦνται τοῦ πνεύματος τὸν υἱὸν, ὃ μὲν Λατῖνοί φασιν ἐπὶ τούτοις οὐκ ἂν εἴποιμι καὶ αὐτὸς, ὡς οὔτε τὸ τοῦ Δαμασκηνοῦ ἐν τοῖς πλείστοις τῶν αὐτοῦ βιβλίων εὑρίσκεται, τήν τε τοῦ Μαξίμου ταύτην ἐπιστολὴν μὴ εἶναι τοῦ Μαξίμου· οὔτε γὰρ πολλαχοῦ, οὔτε ἐν ἀρχαίοις βιβλίοις, οὔτε τοῖς ἐκείνου συγγράμμασιν ἐγγεγραμμένην εὑρίσκεσθαι· οὐδ' ὅτι καὶ τῶν ἡμετέρων τινὲς ταύτην νοθεύουσιν· ἀλλὰ τοῦτο μὲν συγχωρήσω, καὶ δέξομαι τῆς ἐκείνων εἶναι ταῦτα φωνῆς τε καὶ διανοίας· εἰρηκέναι μέντοι ταῦτα φαίην ἂν αὐτοὺς ἔγωγε, ὡς ἂν μή τις προκαταρκτικὴν αἰτίαν τὸν υἱὸν τοῦ πνεύματος νομίσειε λέγεσθαι, ὡς μὴ παρὰ τοῦ πατρὸς εἰληφότα τὴν δύναμιν τοῦ δι' αὐτοῦ προϊέναι τὸ πνεῦμα τὸ ἅγιον. ἡ γὰρ κοινὴ τῶν Ἑλλήνων χρῆσις ἐπὶ τῆς ἀρχοειδοῦς καὶ προκαταρκτικῆς αἰτίας κυρίως χρωμένη τῇ Ἐκ, τόν τε Δαμασκηνὸν ἠνάγκασε, μὴ ἐξ υἱοῦ, ἀλλὰ δι' υἱοῦ φάναι τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· τόν τε Μάξιμον ἔπεισε, τὸ παρὰ τῶν Ῥωμαίων λεγόμενον ἐξ υἱοῦ ἐκπορεύεσθαι, εἰς τὸ δι' υἱοῦ προϊέναι μεταλαβεῖν. εἰ καὶ γὰρ ἐξ υἱοῦ, φησιν, οἱ Ῥωμαῖοι τὸ πνεῦμα λέγουσιν ἐκπορεύεσθαι, ἡ δὲ Ἐκ ἐπὶ τῆς ἀρχοειδοῦς αἰτίας παραλαμβάνεται, ἀλλ' ὅμως οὐ τοιαύτην αἰτίαν ποιούμενοι τοῦ πνεύματος τὸν υἱόν. τοῦτό φησι καὶ ὁ Δαμασκηνός· Ἐξ υἱοῦ μὲν οὐκ ἔστι τὸ πνεῦμα, δι' υἱοῦ δὲ, μόνος γὰρ ὁ πατὴρ τοιοῦτόν ἐστιν αἴτιον, οἷον ἡ Ἐκ δηλοῦν βούλεται. ταύτῃ τοι τὴν μὲν τοιαύτην αἰτίαν ἀρνοῦνται, τὴν Διὰ δὲ μόνον ἀπονέμουσι τῷ υἱῷ, δι' ἧς

τὸ συναίτιον πάντως δηλοῦται. διὰ γὰρ τὸ δι' αὐτοῦ προϊέναι,
φησὶ Μάξιμος, τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ἀλλαχοῦ φησιν αὐτὸς
ἐκπορεύεσθαι δι' αὐτοῦ, ἐξ αὐτοῦ παρὰ τῶν Ῥωμαίων ἐκπορεύε-
σθαι λέγεται· καὶ ὁ Δαμασκηνὸς, ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι,
ἃ καθαρῶς αἰτίαν σημαίνουσι τὸν υἱὸν, οἵαν καὶ ὁ πατὴρ, οὐδὲν
γὰρ παρὰ τῷ υἱῷ ἀτελὲς, εἰ καὶ μὴ ἀρχοειδῆ ταύτην, μηδὲ προ-
καταρκτικήν· τοῦτο γὰρ δεδιότες, ἀπαρνοῦνται ἀπὸ τοῦ υἱοῦ τὴν
αἰτίαν. καὶ ἄλλωστε διότι πάντα ὅσα ὁ υἱὸς ἔχει, παρὰ τοῦ πα-
τρὸς ἔχει λαβὼν, καὶ εἰς τὸν πατέρα τὰ αὐτοῦ ἀναφέρεται πάντα,
καθὼς καὶ ὁ μέγας Βασίλειος ἐν τῷ ὀγδόῳ τῶν πρὸς Ἀμφιλόχιον
κεφαλαίῳ φησί· Διὰ τοῦτό φησιν ὁ κύριος πρὸς τὸν πατέρα, τὰ ἐμὰ
* Ἰω. 17, 10. πάντα σά ἐστιν, * ὡς ἐπ' αὐτὸν τῆς ἀρχῆς τῶν δημιουργημάτων ἀνα-
γομένης. Ἀλλὰ καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὸν
κατάπλουν τῶν Αἰγυπτίων Θεός, φησιν, ἐν τρισὶν ἵσταται τοῖς με-
γίστοις, αἰτίῳ καὶ δημιουργῷ καὶ τελειοποιῷ τῷ πατρὶ λέγω,
καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. Ταῦτα δὲ ἔλεγε, οὐ πάντως
τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὴν τῶν ὅλων ἀφαιρῶν αἰτίαν, τοῦτο
γὰρ βλάσφημον καὶ μόνον ἐννοῆσαι, ἀλλὰ τῷ πατρὶ μόνῳ ταύτην
ἀπονέμων, καὶ τοῦτον κατ' ἐξαίρετον αἰτίαν καλῶν, διὰ τὸ ἐκεῖθεν
τοῖς ὁμοτίμοις ἥκειν προσώποις πᾶν ὅπερ ἂν ἔχοιεν. ἥτις ἂν οὖν
ἤρκεσεν ἀπολογία τοῖς κακούργως ἐντεῦθεν ἐπιχειροῦσι τοῦ υἱοῦ
καὶ τοῦ πνεύματος τὴν τῶν ὄντων αἰτίαν ἀφελεῖν διὰ τὸ τὸν πα-
τέρα λέγειν αἴτιον τὸν διδάσκαλον, οὐχὶ δὲ καὶ τὸν υἱὸν καὶ τὸ
πνεῦμα· ἡ αὐτὴ καὶ νῦν ἀρκέσει τοῖς μὴ ποιοῦσι τὸν υἱὸν αἴτιον
τοῦ πνεύματος διὰ τὸ, τὸν μὲν Δαμασκηνὸν μνησθέντα τοῦ ἐξ υἱοῦ
μὴ εἶναι τὸ πνεῦμα, μόνον αἴτιον εἰπεῖν τὸν πατέρα· τὸν δὲ Μά-
ξιμον εἰπόντα περὶ Ῥωμαίων, ἐκ τοῦ υἱοῦ λέγειν τὸ πνεῦμα, ἀλλ'
οὐχ ὡς ἐξ αἰτίου φάναι, εἰδότας μὲν ἥντινα ἡ Ἐκ σημαίνει αἰτίαν,
τοιαύτην δὲ μὴ συγχωροῦντας τὸν υἱὸν εἶναι, διὰ τὸ πάντα αὐτὸν
παρὰ τοῦ πατρὸς ἔχειν λαβόντα, ὅς ἐστι μόνος ἀρχοειδὴς αἰτία
καὶ πρώτη, καὶ οἵαν ἡ Ἐκ δύναται παριστάνειν, αὐτὸς μὲν ἀφ'
ἑαυτοῦ πάντα ἔχων καὶ οὐδαμόθεν ἄλλοθεν, τῶν δὲ τοῦ υἱοῦ
πάντων πρὸς ἐκεῖνον ἀναφερομένων, ἅτε καὶ παρ' αὐτοῦ ἔχοντος
πάντα, καὶ διὰ τοῦτο εἰκότως τοῦ πατρὸς λεγομένων τῶν τοῦ υἱοῦ,
ὡς ἐκεῖθεν ἡκόντων αὐτῷ. καὶ γὰρ δὴ καὶ ὅλως οὐ δύναιτ' ἄν τις

μὴ λέγειν αἰτίαν καὶ ὁπωσοῦν τὸν υἱὸν, δι' αὐτοῦ λέγων τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. εἰ γὰρ τὸ μὲν διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ προϊέναι, καὶ εἶναι, τὸ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν δηλοῖ, ὡς καὶ παρὰ τῶν ἀντιλεγόντων αὐτῶν συγχωρεῖται, μὴ δυναμένων ἀντιβλέπειν πρὸς τὰ φανώτατα· τοῦτο δὲ λέγοντες οἱ διδάσκαλοι, οὔτε τὴν εἰς τὸν αἰσθητὸν τουτονὶ κόσμον τοῦ πνεύματος δηλοῦσι φανέρωσιν, οὔτε περὶ χαρισμάτων τινῶν ποιοῦνται τὸν λόγον, ἀλλὰ τῆς τοῦ πνεύματος ὑποστάσεως καὶ τῆς ἐξ ἀϊδίου προόδου αὐτοῦ καὶ ὑπάρξεως· οὔτε μέντοι ταὐτὸ δύναται τῇ Μετὰ ἡ Διὰ, καθὼς ἀπεδείξαμεν, εἰς ἃ καταφεύγειν ἔθος τοῖς ἀντιλέγουσι· τί ἕτερον λείπεται, ἢ αἰτίαν τὴν Διὰ ταύτην σημαίνειν; δι' υἱοῦ γὰρ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα λεγόντων, ἡ Διὰ καθ' αὑτὴν μένουσα, καὶ μὴ δυναμένη μεταληφθῆναι εἰς τὴν Μετὰ τὸ ἑαυτῆς δύναται πάντως, καὶ αἰτίαν παρίστησιν, αἰτίαν πάντοτε δειχθεῖσα σημαίνειν ἐφ' ὧνπερ παραλαμβάνεται. ὅτι δὲ ἡ Διὰ οὐδὲν τούτων τῶν τριῶν βούλεται, ἀπό τε τοῦ Μαξίμου ἐν τῇ πρὸς Μαρῖνον, καὶ τοῦ Δαμασκηνοῦ καθαρώτερον δείκνυται, τὴν Ἐκ φανερῶς μεταλαμβανόντων ἀντὶ τῆς Διὰ, καὶ περὶ τῆς τοῦ πνεύματος ὑποστάσεως, ἔτι δὲ καὶ τῆς ἀϊδίου ὑπάρξεως ποιουμένων τὸν λόγον. ὅσον οὖν κοινότητος μετέστι τῇ Μετὰ καὶ τῇ Ἐκ, τοσοῦτον τῇ Διὰ καὶ τῇ Μετά. καὶ Θεοδώριτος δὲ οὐδὲ δι' υἱοῦ τὴν ὕπαρξιν λέγων ἔχειν τὸ πνεῦμα τὸ ἅγιον, πότερον ἀντὶ μετὰ τοῦ υἱοῦ ἐξελάμβανεν; οὐκοῦν ἐψεύδετο φανερῶς, καὶ οὐ δεῖ ἡμᾶς ἐπὶ τούτῳ καὶ τῇ τῆς συνόδου σιγῇ ἰσχυρίζεσθαι· καὶ γάρ ἐστι μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα, συμπροϊὸν αὐτῷ καὶ συμπαρομαρτοῦν τε καὶ συνεκλάμπον. ἀλλ' ὁμώνυμον ἡγούμενος τὴν φωνὴν, καὶ τὸ διὰ τοῦ υἱοῦ, νῦν μὲν ἰσοδυναμεῖν τῷ μετὰ τοῦ υἱοῦ, νῦν δὲ καθ' αὐτὸ ὡς δι' υἱοῦ, εἶτα τὸ δι' υἱοῦ τὸ πνεῦμα ὑπάρχειν ἐκεῖνος ἀρνεῖται. οὐκοῦν ἢ αὐτὸν ἔδει τὴν ὁμωνυμίαν, ἢ τὴν σύνοδον διαστεῖλαι, καὶ δῆλον ποιῆσαι, περὶ ποίου τῶν σημαινομένων ὁ λόγος αὐτῷ. ἀλλ' οὔτε τὸ Δι' υἱοῦ, ἐκεῖνος ἡγεῖτο τῷ Μετὰ τοῦ υἱοῦ, ταὐτὸν δύνασθαι, καὶ τὸ δι' υἱοῦ ὡς δι' υἱοῦ ἐξεδέχετο καὶ αἰτίαν τῇ Διὰ ἀπονέμων. πάντοθεν οὖν ἀναφαίνεται ἀνθ' ἑαυτῆς ἡ Διὰ τιθεμένη ἐφ' ὧν νυνὶ προηνέγκαμεν χρήσεων, καὶ δυναμένη τὸ ἑαυτῆς, καὶ φανερῶς αἰτίαν σημαίνουσα. ἀλλὰ μή μοι πάλιν εἰς τὸ συναφὲς κα-

ταφύγης καὶ ἀπαράλλακτον τῆς οὐσίας, διὰ τοῦτο λέγων διὰ τοῦ υἱοῦ προϊέναι τὸ πνεῦμα εἰρῆσθαι, ἵνα τὸ συναφὲς καὶ ἀπαράλλακτον δηλωθῇ τῆς οὐσίας. πρῶτον μὲν γὰρ τὸ προϊέναι ἐνταῦθα ἀντὶ τοῦ ἐκπορεύεσθαι εἴρηται· αὐτός τε γὰρ ὁ θεῖος Μάξιμος ὁ τοῦτο εἰπὼν ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ, ἐν τῇ εἰς τὸν Ζαχαρίαν θεωρίᾳ, ἐκπορεύεσθαι, εἴρηκε· τὸ δ' αὐτὸ καὶ ὁ Δαμασκηνὸς, καὶ ἡ τῶν συνόδων ἑβδόμη. τὸ δὲ ἐκπορεύεσθαι, τὸ τὴν ὕπαρξιν ἔχειν δηλοῖ· καὶ τὸ δι' υἱοῦ ἐκπορεύεσθαι, τὸ δι' αὐτοῦ τὴν ὕπαρξιν ἔχειν. τοῦτο δ' οὐκ ἂν δύναιτο εἶναι, μὴ καὶ τοῦ υἱοῦ τῆς τοῦ πνεύματος ὑπάρξεως ὄντος αἰτίας. ἔπειτα δὲ ὅτι ἡμεῖς λέγομεν δι' υἱοῦ προϊέναι τὸ πνεῦμα, τὸ ταὐτὸν τῆς οὐσίας ἢ ἐστὶν, ἢ δηλοῦται· οὐ γὰρ ἡμᾶς ἀναμένει καὶ τὸν ἡμέτερον λόγον ἡ θεία οὐσία τοῖς προσώποις ταυτίζεσθαί τε καὶ κοινοῦσθαι· ἀλλὰ διότι ἐστὶ τὸ ταὐτὸν τῆς οὐσίας, διὰ τοῦτο καὶ λέγεται προϊέναι καὶ προεῖσι διὰ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. τοῦτο δὲ καὶ οἱ Λατῖνοί φασι· διὰ τὸ τὴν αὐτὴν οὐσίαν εἶναι πατρὶ καὶ υἱῷ, καὶ πάντα τὰ τοῦ πατρὸς τὸν υἱὸν ἔχειν δίχα τοῦ εἶναι πατέρα, καὶ τὸ ἐκπορεύεσθαι ἐξ αὐτοῦ ἢ δι' αὐτοῦ τὸ πνεῦμα τὸ ἅγιον, τὸν υἱὸν ἔχειν διϊσχυρίζονται. τὸ δ' αὐτὸ τοῦτο καὶ ὁ μακάριος Κύριλλος ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμίαν δηλοῖ· Τίνος γὰρ ἴδιον, φησιν, εἶναι φαμὲν τὸ πνεῦμα τὸ ἅγιον; πότερον δὴ μόνου τοῦ θεοῦ καὶ πατρὸς, ἢ γοῦν καὶ τοῦ υἱοῦ; ἢ καὶ ἀνὰ μέρος ἑκατέρου καὶ ἀμφοῖν, ὡς ὂν ἐκ πατρὸς δι' υἱοῦ διὰ τὴν ταυτότητα τῆς οὐσίας, πατρὸς δηλαδὴ καὶ υἱοῦ λέγων. ἀποκρίνεται δὲ ὁ Ἑρμίας· Οὕτως ἔγωγέ φημι, ὦ ἑταῖρε. καὶ ὁ ἅγιος πρὸς αὐτόν· Ὀρθῶς. διὰ τὸ ταὐτὸν, φησι, τῆς οὐσίας πατρὸς καὶ υἱοῦ ἀμφοῖν τὸ πνεῦμά ἐστι, καὶ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεται· ὃ τί βούλεται ἕτερον, ἢ ὅτι διὰ τὸ ταὐτὸν τῆς οὐσίας υἱῷ πρὸς πατέρα καὶ διὰ τοῦ υἱοῦ πρόεισι τὸ πνεῦμα, καὶ πνεῦμά ἐστιν αὐτοῦ, ὥσπερ καὶ τοῦ πατρός; τοῦτο δὲ καὶ Λατίνοις δοκεῖ. ἄλλως τε τὸ ὁμοούσιόν τε καὶ ἀπαράλλακτον τῆς οὐσίας οὕτως ἂν δειχθείη μάλιστα ἐπὶ τῶν θείων προσώπων πατρός τε πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα, καὶ υἱοῦ πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα, εἰ ὡς αἴτιον καὶ αἰτιατὸν ἔχουσι πρὸς ἀλλήλους· ἢ γὰρ τοιαῦτα, κοινωνήσει τε μάλιστα ἀλλήλοις, οἰκείως ἔχοντα πρὸς ἄλληλα κατὰ φύσιν, διὰ τὸ αὐτὸ δὲ οὐδὲν ἧττον διακριθή-

σονται· καὶ μᾶλλον διὰ τούτου τοῦ τρόπου ἢ δι' ἑτέρου, τοῦ αὐτοῦ καὶ ἑνὸς ἀμφότερα δυναμένου, καὶ εἰκότως παραλαμβανομένου ἐπὶ τῶν θείων. ὥσπερ γὰρ ἐκείνοις καὶ τῇ ἑνώσει ἡ διάκρισις, καὶ τῇ διακρίσει ἡ ἕνωσις συνεμφαίνεται, οὕτως ἀνάγκη καὶ τοιαύτην ἐκεῖ λαβεῖν κοινωνίαν, ὡς μηδὲν ἧττον καὶ τὴν διάκρισιν, ἐν ἑαυτῇ περιέχειν, καὶ πάλιν τοιαύτην διάκρισιν, ἐν ᾗ συμπεριλαμβάνεται καὶ ἡ ἕνωσις· ὥστε ἄν τινος ἀκούσωμεν λέγοντος τῶν ἁγίων, διὰ τὴν ὁμοουσιότητα εἰρῆσθαι δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἐπεὶ τὴν ὁμοουσιότητα ταύτην ἡ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν σχέσις δηλοῖ. μάλιστα διὰ τὴν κατὰ τὸν αἴτιον καὶ αἰτιατὸν σχέσιν νομίσομεν αὐτοὺς εἰρηκέναι, διὰ τοῦ υἱοῦ λέγεσθαι ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον. ὅτι δὲ ἡ τοιαύτη σχέσις τὸ ὁμοούσιον παριστᾷ, πρὸς τοῖς λεγομένοις καὶ ὁ μέγας μαρτυρήσει Βασίλειος, ἐν τῇ πρὸς τὰς Κανονικὰς ἐπιστολῇ ταυτὶ λέγων· Ἐπεὶ γοῦν ἐστιν ἄναρχον φῶς ὁ πατὴρ, γεννητὸν δὲ φῶς ὁ υἱὸς, φῶς δὲ καὶ φῶς ἑκάτερος, ὁμοούσιον αὐτὸν εἴποιμ' ἂν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλ' ὅταν καὶ τὸ αἴτιον, καὶ τὸ ἐκ τοῦ αἰτίου τὴν ὕπαρξιν ἔχον τῆς αὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται. καὶ ἐν τῷ κατὰ Σαβελλίου καὶ Ἀρειανῶν λόγῳ περὶ πατρὸς καὶ υἱοῦ λέγων· Οὐ γὰρ ἀδελφά, φησι, λέγομεν, ἀλλὰ πατέρα καὶ υἱὸν ὁμολογοῦμεν· τὸ δὲ τῆς οὐσίας ταὐτὸν, ἐπειδὴ ἐκ τοῦ πατρὸς ὁ υἱός. εἰ οὖν διὰ τὸ ὁμοούσιον, εἴρηται διὰ τοῦ υἱοῦ τὸ πνεῦμα· τὸ δ' ἔκ τινος ὂν, ὁμοούσιον εἶναι τῷ ἐξ οὗ ἐστι, καὶ τῷ μεγάλῳ Βασιλείῳ δοκεῖ, καὶ μάλισθ' ὅταν τῆς αὐτῆς φύσεως ὦσι, διὰ τὸ αἴτιον καὶ αἰτιατὸν δι' υἱοῦ ἐκπορεύεσθαι εἴρηται.

Κεφάλαιον ἕβδομον.

Ἀλλ' οὕτω μὲν καὶ ἀπ' αὐτῆς τῆς διὰ μόνης οἱ ἀνατολικοὶ ἐδείχθησαν ἅγιοι τὸν υἱὸν αἰτίαν φρονοῦντες τοῦ πνεύματος· δεικτέον δὲ ὅμως καί τινας αὐτῶν οὐδὲν ἧττον καὶ τῇ Ἐκ χρησαμένους ἐπὶ τοῦ υἱοῦ ἐν τῇ ὑπάρξει τοῦ πνεύματος. ἐκείνους μὲν οὖν, ὧν τοῖς λόγοις καί τις ἀμφιβολία καταλείπεται, Βασίλειόν τε φημὶ καὶ τὸν Νύσσης Γρηγόριον, Ἀθανάσιόν τε καὶ ἄλλους, παραλειπτέον τανῦν·

οὐ μὴν οὐδ' ἐκείνων τοῖς λόγοις χρηστέον, οἳ πολλαχοῦ δεικνύουσιν ἰσοδυναμοῦσαν τῇ Ἐκ τὴν Διά, οὗτοι δ' εἰσὶν οἱ πλείους, ἢ πάντες· προχειριστέον δὲ μόνους Κύριλλόν τε καὶ Ἐπιφάνιον, σαφέστερόν τε τῶν ἄλλων καὶ μᾶλλον διὰ πάντων τῶν πονηθέντων αὐτοῖς λόγων αὐτῇ τῇ Ἐκ χρησαμένους. ὧν τὸ ἀξίωμα ὅσον ἐν ἐκκλησίᾳ θεοῦ, καὶ οἱ ὑπὲρ αὐτῆς κατὰ τῶν ἀπίστων ἀγῶνες καὶ τῶν αἱρέσεων, οὐδένα λελήθασιν. ἐρῶ δὲ οὐ πάντα αὐτῶν, οὐδὲ γὰρ ἂν δυναίμην ἐξαριθμήσασθαι, ἀλλ' ὀλίγα τε καὶ μέτρια, τὸ μῆκος ἐκφεύγων. ὁ μὲν οὖν μακάριος Κύριλλος ἐν τῇ εἰς τὸν προφήτην Ἰωὴλ ἑρμηνείᾳ, τῇ· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, * οὕτω φησίν· Ἧι
* Ἰωήλ. 2, 28. μὲν γάρ ἐστι θεὸς ἐκ θεοῦ κατὰ φύσιν ὁ υἱός, γεγέννηται γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρός, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός. καὶ ἐξ αὐτοῦ ἐστί, φησι, καὶ οὕτως ἐξ αὐτοῦ ὡς ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός, πᾶσαν ἀμφιβολίαν τοῖς προφασιζομένοις περιαιρῶν. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον λόγῳ· Βαπτίζοντα, ἔφη, τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. καὶ πάλιν ἐν ἄλλῳ· Νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ πνεῦμα αὐτοῦ, νομοθετεῖ. καὶ ἐν ἑτέρῳ· Οὐδεμίαν ἄρα, φησίν, οἶδεν ὁ Παῦλος φύσεως διαφορὰν υἱοῦ τε καὶ ἁγίου πνεύματος, ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, τῷ τῆς κυριότητος ὀνόματι καλεῖ. καὶ ὅρα, ὅτι διὰ τοῦτό φησι
* Κορ. β΄. 3, 17. τὸν Παῦλον * κύριον τὸ πνεῦμα καλέσαι, ὅπερ ἐστὶ τοῦ υἱοῦ ὄνομα, διὰ τὸ ἐξ αὐτοῦ εἶναι· τὰ γὰρ τῶν αἰτίων ὀνόματα τοῖς αἰτιατοῖς εἰώθαμεν ἐπιτιθέναι. καὶ ἐν τῇ εἰς τὸν ἔνατον ἀναθεματισμὸν ἐξηγήσει· Ἄνθρωπος γεγονώς, φησιν, ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπομεμένηκε καὶ οὕτω θεός, πάντα ἔχων ὅσα καὶ ὁ πατήρ, δίχα μόνου τοῦ εἶναι πατήρ, καὶ ἴδιον τὸ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ ἐμπεφυκὸς ἅγιον πνεῦμα. εἰ δέ τις αὖθις ἀντιπάγοι τὰ τοῦ Θεοδωρίτου εἰς τοῦτον τὸν ἀναθεματισμὸν εἰρημένα, περὶ τούτου πρότερον εἴπομεν, καὶ οὖν αὖθις τὴν ἐξήγησιν ἀντεστήσαμεν ταύτην, σαφῶς παριστῶσαν τὴν τοῦ διδασκάλου διάνοιαν· προσέτι δὲ καὶ ἀπὸ τῆς

ἀπολογίας τῆς πρὸς Θεοδώριτον τὸ αὐτὸ τοῦτο, εἴ τις εὐγνωμόνως ἀκούσεται, δεῖξαι δυνάμεθα. ἐκπορεύεται μὲν γάρ, φησιν, ὡς ἐκ τοῦ θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ υἱοῦ, πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός. καὶ ἀνωτέρω, τοῦ υἱοῦ φησι πνεῦμά τὸ πνεῦμα, καὶ ἴδιον αὐτοῦ, μονονουχὶ τοῦτο λέγων· ὡς εἰ καὶ τοῦ πατρὸς ἐκπορεύεσθαι αὐτὸ ὁ σωτήριός φησι λόγος, ἀλλ' οὐδὲν ἧττόν ἐστι καὶ τοῦ υἱοῦ, ὡς δηλαδὴ ἐκπορευόμενον ἐξ αὐτοῦ καὶ αἰτία, ὅτι πάντα ἔχει μετὰ τοῦ πατρός· διὰ τοῦτο γάρ, φησι, καὶ τό Ἐξ ἐμοῦ λήψεται, * εἴρηται, ὅτι ἃ λαμβάνει ἐκ τοῦ πατρὸς λαμβάνει καὶ ἐκ τοῦ υἱοῦ· οὐ μὴν ἀλλὰ καὶ τὸ πνεῦμα υἱοῦ· * καὶ ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα λέγων τὸ ἅγιον, καὶ ἐκ τοῦ υἱοῦ ἢ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι δηλοῦν βούλεται· τὸ γὰρ πνεῦμα υἱοῦ λέγεσθαι, εἴρηται ὅπως τοῖς ἁγίοις νοεῖται· καὶ ὅτι τῷ μὲν μεγάλῳ Βασιλείῳ ὡς διὰ τοῦ υἱοῦ πεφηνὸς, τῷ δὲ θείῳ Μαξίμῳ ὡς ἐκπορευόμενον δι' αὐτοῦ, τοῖς δὲ πατράσι τοῖς δυτικοῖς ὡς ἐκπορευόμενον ἐξ υἱοῦ. οὐκ ἂν οὖν οὐδ' αὐτῷ κατ' ἄλλον ἔδοξε τρόπον υἱοῦ λέγεσθαι πνεῦμα, καὶ ἴδιον τοῦ υἱοῦ, ἀλλ' ἢ πάντως ὡς τοῖς ὁμόφροσιν, ὡς ἐξ υἱοῦ δηλαδὴ, ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον· οὐδὲν γὰρ διαφέρει, ἐξ υἱοῦ λέγειν, ἢ δι' υἱοῦ· καὶ γὰρ αὐτὸς ποτὲ μὲν τὴν Ἐκ τίθησι, ποτὲ δὲ αὐτὴν μεταλαμβάνει εἰς τὴν Διά, ὡς καὶ ἄμφω δυναμένας παραλαμβάνεσθαι. καὶ γοῦν ἐν τοῖς πρὸς Παλλάδιον κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγοις· Τρεπτόν οὔτι που τὸ πνεῦμά, φησιν· ἢ εἴπερ αὐτὸ τρέπεσθαι νοεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ θεοῦ καὶ πατρὸς, ναιμὴν καὶ τοῦ υἱοῦ, οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον πνεῦμα. οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμίαν, αἰτίαν ἀποδιδοὺς τοῦ τὸ πνεῦμα υἱοῦ λέγεσθαι πνεῦμα, φησί· Τίνος ἴδιον εἶναί φαμεν τὸ πνεῦμα τὸ ἅγιον; πότερον δὴ μόνου τοῦ θεοῦ καὶ πατρός; ἢ γοῦν καὶ τοῦ υἱοῦ; ἢ καὶ ἀνὰ μέρος ἑκατέρου, καὶ ἀμφοῖν, ὡς ἓν ἐκ πατρὸς δι' υἱοῦ διὰ τὴν ταὐτότητα τῆς οὐσίας. ἀποκρίνεται δὲ ὁ Ἑρμίας· Οὕτως ἔγωγέ φημι, ὦ ἑταῖρε. καὶ ὁ Κύριλλος πρὸς αὐτόν· Ὀρθῶς. Ἰδοὺ καὶ αὐτὸς ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμά φησι διὰ τὸ δι' υἱοῦ εἶναι· δι' υἱοῦ δέ ἐστι, διὰ τὴν ταὐτότητα τῆς οὐσίας πατρὸς καὶ υἱοῦ· ἀλλὰ διὰ τὴν αὐτὴν ταύτην καὶ πάντα

* Ἰω. 16, 14.

* Ῥωμ. 8, 9.

τὰ τοῦ πατρός ἐστι τοῦ υἱοῦ, πλὴν τοῦ εἶναι πατήρ. οὕτως ἑαυτῷ
διὰ πάντων ὁ διδάσκαλος συμφωνεῖ. ἕν γε γὰρ καὶ τὸ αὐτὸ πνεῦμα
ἐκ πατρὸς δι' υἱοῦ ἐστι, μιᾷ πνεύσει πάντως ἢ ἐκπορεύσει· καὶ
διὰ τοῦτό φησιν αὐτῶν ἴδιον εἶναι, διότι ἐκ πατρός ἐστι δι' υἱοῦ·
τοῦτο δ' ἔστι διὰ τὸ ταὐτὸν τῆς οὐσίας. ἀρκέσει μὲν οὖν ἐκ πάνυ
πολλῶν τῶν τοῦ μακαρίου Κυρίλλου καὶ πλείστων, ὡς πλήρης πᾶσα
αὐτοῦ συγγραφὴ, καὶ μόνα ταῦτα τὴν ἐκείνου παραστῆσαι διάνοιαν.
ἀκούσωμεν δὲ τὸ ἐντεῦθεν καὶ Ἐπιφανίου τοῦ θαυμαστοῦ ἐν τῷ
Ἀγκυρωτῷ λόγῳ λέγοντος οὕτω· Τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πα-
τρὸς καὶ τοῦ υἱοῦ, τρίτον τῇ ὀνομασίᾳ. καὶ πάλιν· Ἀμφότερα κα-
τοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ.
εἰ δὲ Χριστὸς ἐκ τοῦ πατρὸς πιστεύεται θεὸς ἐκ θεοῦ, καὶ τὸ πνεῦμα
ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, ὃ παρὰ
* Ἰω. 15, 26. τοῦ πατρὸς ἐκπορεύεται, * καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. Οὗτος
μὲν οὖν οὐδὲ περὶ χαρισμάτων διανομῆς πραγματεύεται, περὶ δὲ
τῶν θείων προσώπων καὶ τῆς τούτων ὑπάρξεως τὸν λόγον ποιεῖται·
εἰς μαρτυρίαν δὲ τοῦ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, τό· Ἐξ ἐμοῦ
* Ἰω. 16, 14. λήψεται, * ἔλαβεν· καὶ διδάσκει διὰ τούτων, οὕτω τοῦ θείου εὐαγ-
γελίου ἀκούειν τό· Ἐξ ἐμοῦ λήψεται, ὡς καὶ ἐκ τοῦ υἱοῦ ἐκπο-
ρεύεσθαι. καὶ ἔτι ἐν τοῖς αὐτοῖς· Ἀλλ' ἐρεῖ τις· Οὐκοῦν φαμὲν
δύο υἱοὺς εἶναι; καὶ πῶς ὁ μονογενής; μενοῦν γε σὺ τίς εἶ ὁ ἀντι-
λογιζόμενος τῷ θεῷ; εἰ γὰρ τὸν υἱὸν καλεῖ, τὸν ἐξ αὐτοῦ, τὸ δὲ
ἅγιον πνεῦμα, τὸ παρ' ἀμφοτέρων, καὶ τὰ λοιπά. καὶ ἔτι· Πνεῦμα
ἅγιον, πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ.
καὶ αὖθις· Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς,
* Ματθ. 11, 27. οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, * οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ πνεῦμα
εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ
λαμβάνει· Ἀλλὰ σημείωσαι, ὅτι τὸ λαμβάνειν, ἀντὶ τοῦ ἐκπορεύε-
σθαι ὁ ἅγιος ἐξεδέξατο ἀνωτέρω καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πα-
τέρα εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον
τὰ πάντα. ὃ παρὰ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ. τί γένοιτ' ἂν
τούτων σαφέστερον, τί δὲ καθαρώτερον; οὐ διαῤῥήδην οὗτοι καὶ
τὸν υἱὸν αἰτίαν ποιοῦνται τοῦ πνεύματος; οὐ καὶ ἐξ υἱοῦ διδά-
σκουσιν αὐτὸ ἐκπορεύεσθαι; τί οὖν; βύσομεν τὰ ὦτα πρὸς τοσαύτας
τῶν διδασκάλων φωνὰς, οὕτω μὲν οὔσας πολλὰς, οὕτω δὲ θείας,

οὕτω δὲ συμφώνους ἁπάσας, καὶ τῇ προλήψει χαρισάμενοι μόνῃ τούτων ἁπάντων ἀργίαν καταγνωσόμεθα; οὐ πρὸς ἀνδρῶν τοῦτο σοφῶν τε καὶ θείων, καὶ τοὺς λόγους οἰκονομούντων ἐν κρίσει.

Κεφάλαιον ὄγδοον.

Ἐπεὶ δέ τινες τῷ ῥήματι τοῦ πέμπεσθαι, καὶ προχεῖσθαι προσκόπτοντες, ἐκ τοῦ υἱοῦ τα τοῦ πνεύματος χαρίσματα πέμπεσθαι λέγουσιν, οὐκ αὐτὴν αὐτοῦ τὴν ὑπόστασιν· τούτων γὰρ καὶ μεταλαμβάνειν τοὺς μεταλαμβάνοντας· ὡς ἂν γέλως ἀποδειχθῇ πᾶσα περιεργία τῶν βουλομένων τοῖς μειρακιώδεσι τουτοισὶ λόγοις κατὰ τῆς ὑγιοῦς τῶν ἁγίων δόξης χωρεῖν, αὐτοὶ πάλιν ἡμῖν παρίτωσαν καὶ τοῦτον τὸν λόγον ἐξελέγξοντες, καὶ ἑαυτοὺς ἐξηγούμενοι. Φησὶν οὖν ἐν τῷ ἑβδόμῳ τῶν πρὸς Ἑρμίαν ὁ ἱερὸς Κύριλλος· Τὸ δὲ δὴ τὴν θείαν ἡμῖν ἐγχαράττον εἰκόνα, καὶ σημάντρου δίκην ἐμποιοῦν τὸ ὑπερκόσμιον κάλλος, οὐχὶ τὸ πνεῦμά ἐστι; πρὸς ὃν φησιν ὁ Ἑρμίας· Ναί· ἀλλ' οὐχ ὡς θεός, φησιν, ἀλλ' ὡς θείας χάριτος ὑπουργόν· καὶ ὁ ἅγιος· Οὐκ αὐτὸ τοιγαροῦν ἡμῖν, ἀλλ' ἡ δι' αὐτοῦ χάρις ἐνσημαίνεται. ὁ Ἑρμίας· Ἔοικεν. ὁ ἅγιος· Ἦν οὖν ἀναγκαῖον, εἰκόνα τῆς χάριτος, καὶ οὐχὶ μᾶλλον εἰκόνα θεοῦ διακεκλῆσθαι τὸν ἄνθρωπον. εἶτ' ἐφεξῆς κατασκευάζων διὰ πάντων, ὡς ἡ τοῦ πνεύματος ὑπόστασις, αὐτὸς ὁ θεὸς ἦν, ὁ τὴν θείαν ἡμῖν ἐν τῇ πρώτῃ πλάσει ἐγχαράξας εἰκόνα, καὶ οὐχὶ χάρις τις ἀνυπόστατος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὴν δευτέραν τοῦ πλάσματος ἀνακαίνισιν διὰ τοῦ σωτηρίου τοῖς μαθηταῖς ἐμφυσήματος γενομένην, διὰ τοῦ ἁγίου φησὶ γεγενῆσθαι πνεύματος. ἔδει γὰρ ᾧ πρότερον μὴ ἂν ἄνθρωπος γεγένηται τρόπῳ, τῷ θείῳ δηλαδὴ πνεύματι αὐτῷ τῷ ἐνυποστάτῳ, τῷ αὐτῷ καὶ πάλιν ἀναπλασθῆναι τὸν ἁγιασμὸν ἀπολέσαντα. Φησὶ γοῦν· Εἰ γὰρ τῆς οὐσίας τοῦ πνεύματος διεσχοινισμένη τις ἦν ἡ δι' αὐτοῦ χάρις, τί μὴ ἔφη σαφῶς ὁ μακάριος Μωυσῆς, ὅτι παρηνυσμένῳ τῷ ζώῳ πρὸς τὸ εἶναι, λοιπὸν ἐνεφύσησε χάριν ὁ πάντων δημιουργὸς τὴν διὰ πνοῆς τῆς ζωῆς;* Χριστὸς δὲ ἡμῖν· Λάβετε χάριν τὴν δι' ὑπουργίας τοῦ ἁγίου πνεύματος;* ἀλλ' ὠνόμασται μὲν ἐκεῖ, πνοὴ ζωῆς· ζωὴ γὰρ ἀληθῶς ἡ τῆς θεότητος φύσις· ἐνταῦθα δὲ διὰ τῆς τοῦ σωτῆρος φωνῆς,

* Γεν. 2, 7.

* Ἰω. 20, 22, Λάβετε πνεῦμα ἅγιον.

πνεῦμα ἅγιον, αὐτοῦ που κατὰ τὸ ἀληθὲς ταῖς τῶν πιστευόντων ψυχαῖς ἐγκατοικίζοντός τε καὶ ἐνιέντος τὸ πνεῦμα. ταῦτα σαφὴς τοῦ προκειμένου μαρτυρία· σαφέστερον δ' οὖν ὅμως ἔτι προϊὼν καὶ φανερῶς ὁ αὐτὸς ἀναιρεῖ τὸ νομίζειν ἀνυπόστατον ἡμῖν πέμπεσθαι χάριν, καὶ δι' αὐτῆς ἡμᾶς ἁγιάζεσθαι. φησὶ γάρ· Ναοὶ δὲ θεοῦ,
* Κορ. β'. 6, 16. Ψαλμ. 81, 6. καὶ μὴν καὶ θεοὶ κεκλήμεθα, καὶ ἐσμέν. * ἀνθ' ὅπου γε δὴ πόθου τῶν δι' ἐναντίας, εἴπερ ἐσμὲν ἀληθῶς ψιλῆς καὶ ἀνυποστάτου χάριτος μέτοχοι. ἀλλ' οὐχ ὧδε ἔχει. πόθεν ναοὶ γάρ ἐσμεν τοῦ ὄντος τε καὶ ὑφεστηκότος πνεύματος; ἀλλ' ἐκ μὲν τοῦ πρὸς Ἑρμίαν πολλῶν ὄντων, ἃ ὁ βουλόμενος ἐκεῖθεν ἀναλεξάσθω, ἀρκέσει καὶ ταῦτα. ἐν δὲ τῇ εἰς τὸ κατὰ Ἰωάννην ἑρμηνείᾳ ἔτι πολλῷ πλειόνων ὄντων τῶν εἰς ταύτην φερόντων τὴν ἔννοιαν, τί ἂν ἁπάντων μνησθείη ἢ ὅτῳ μεγάλη σχολή; ἡμεῖς δ' ἐκεῖνο προκομίσομεν μόνον, ὃ ἐν τῷ
* Ἰω. 1, 13. ῥητῷ φησι τῷ· Οἳ οὐκ ἐξ αἱμάτων. * λέγει γάρ· Εἴπερ θεός ἐστι καὶ ἐκ θεοῦ κατὰ φύσιν τὸ πνεῦμα, οὗ δὴ καὶ μετίσχειν διὰ πίστεως τῆς εἰς Χριστὸν ἀξιούμεθα, θεοὶ χρηματίζομεν, ὡς ἤδη καὶ θεὸν
* Κορ. β'. 6. 16. ἔχοντες ἐν ἑαυτοῖς, κατὰ τό Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.* ἐπεὶ κατὰ τίνα τρόπον ναοὶ θεοῦ ἐσμεν εἰ μὴ θεὸς τὸ πνεῦμα κατὰ φύσιν ἐστίν; ἀλλὰ καὶ ὁ μέγας Βασίλειος συμφώνως τῷ θείῳ τούτῳ πατρὶ τό τε ἐξ ἀρχῆς ἐμφυσηθὲν πνεῦμα ἀνθρώπῳ, τό τε ἐν τῇ ἀνακαινίσει τοῖς μαθηταῖς ὑπὸ τοῦ σωτῆρος τὴν θείαν εἶναι λέγων ὑπόστασιν, οὕτω φησὶν ἐν κεφαλαίῳ οὗ ἡ ἐπιγραφή· Ὅτι θεία φύσις τὸ πνεῦμα· Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συνταγμένον εἰς τὸ δημιουργεῖν, ζῶσα δύναμις καὶ θεία φύσις, ἄῤῥητος ἐξ ἀῤῥήτου στόματος ἀφιεμένη, ἀῤῥήτως κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Χριστοῦ δειχθέντα τύπον αὖθις ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισαμένη· συντρέχειν γὰρ δεῖ τῇ κατ' ἀρχὴν καινότητι τὴν ἀνακαίνισιν· καὶ τὴν συνδρομὴν ἐξετύπωσεν ἐμφυσήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' ὁ αὐτὸς, δι' οὗ θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ εἰς ψυχήν. Οὕτω καὶ οὗτος ὁ μέγας πατὴρ ταὐτὸ τοῦτό φησι τοῖς μαθηταῖς ἐνιέναι τὸν Ἰησοῦν, ὅπερ αὐτῷ τε καὶ τῷ πατρὶ ὡς δημιουργὸν συναρίθμηταί τε καὶ συντέτακται. ἀλλὰ τοῦτο δῆλον, ὡς ἡ τοῦ ἁγίου πνεύματός ἐστιν ὑπόστασις· ἡ ὑπόστασις ἄρα τοῦ πνεύματος καὶ τὴν τοῦ ἀνθρώπου πρώτην ἐδημιούργησε πλάσιν διὰ

τοῦ θείου ἐμφυσήματος, καὶ τοῖς μαθηταῖς ὕστερον δίδοται, καὶ δι' αὐτῶν τοῖς πιστεύουσιν ἅπασι· καὶ αὕτη ἡ παρὰ πατρὸς δι' υἱοῦ, καὶ ἐξ υἱοῦ λάμπουσά τε καὶ ἀναβλύζουσα· οὕτω γάρ φασιν οἱ πατέρες· καὶ τί λέγω, πατέρες; αὐτὸς ὁ σωτὴρ τοὺς τούτων λόγους ἐπισφραγίζων, τοῦτ' αὐτό φησιν αὐτὸν πέμψειν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, καὶ οὐκ ἄλλο μὲν αὐτὸν πέμψειν, ἄλλο δὲ ἐκπορεύειν τὸν πατέρα. Ὅταν γάρ, φησιν, ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. * τοῦτο δὲ καὶ γραμματικῶν παῖδες οὕτως ἂν εἴποιεν· ὅταν ἔλθῃ ὁ παράκλητος, ὃς παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ὃν ἐγὼ πέμψω ὑμῖν· ὡς εἶναι δῆλον, ταὐτὸ τοῦτο πέμψειν αὐτόν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. εἰ οὖν ὑπόστασις τοῦ πνεύματος παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ταύτην καὶ ὁ υἱὸς πέμπει· εἰ δὲ χάριν ὁ υἱὸς πέμπει τὴν ἀνυπόστατον, καὶ παρὰ τοῦ πατρὸς οὐ τὸ πνεῦμα, ἀλλ' ἡ χάρις ἂν ἐκπορεύοιτο· ἀλλὰ τοῦτό γε πρὸς τῷ ἀδιανοήτως καὶ βλάσφημον. ἐπεὶ γὰρ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου, τοῦ πνεύματος, δύο τινὰ κατηγοροῦνται, τὸ ἐκπορεύεσθαί τε καὶ πέμπεσθαι, ὥσπερ ἐφ' ἑνὸς τῶν κατηγορουμένων τὸ ὑποκείμενον τοῦτο λαμβάνεσθαι δεῖ, οὕτως ἀνάγκη καὶ ἐπὶ τοῦ ἑτέρου ληφθῆναι. εἰ οὖν τὸ ἐκπορευόμενον, τὴν τοῦ πνεύματος νοοῦμεν ὑπόστασιν, καὶ τὸ πεμπόμενον τὴν αὐτὴν ταύτην νοεῖν ὀφείλομεν· τὸ γὰρ ἄλλως λέγειν ἄνευ τῆς ἀπὸ τῶν λόγων ἀνάγκης, καὶ τῷ μὲν ἐκπορεύεσθαι τὴν ὑπόστασιν ἀπονέμειν τοῦ πνεύματος, τὴν δὲ χάριν τῷ πέμπεσθαι, ἀλόγως ἀποκληρούντων ἐστίν· ἀλλὰ τοῦτό γε οὐκ ἄν τις παραδέξαιτο. πέμπεται ἄρα παρὰ τοῦ υἱοῦ, ἥτις καὶ παρὰ τοῦ πατρὸς τοῦ πνεύματος ὑπόστασις ἐκπορεύεται, ὡς ἀπό τε τῶν λογίων ἐδείχθη, ἀπό τε τῶν διδασκάλων. ὥστε καὶ τὸ ἐκ τοῦ υἱοῦ λεγόμενον, τὴν τοῦ πνεύματος ὑπόστασιν νοεῖν δίδωσι· κἂν ἀναβλύζειν, κἂν πηγάζειν, κἂν πέμπεσθαι παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἀκούωμεν, τὴν θείαν ἐκείνου νοεῖν ἀναγκαῖον ὑπόστασιν. πῶς δ' ἂν ἄλλως ἡ τοῦ πνεύματος θεία ὑπόστασις ἐκ τοῦ υἱοῦ, ἢ παρὰ τοῦ υἱοῦ εἴη, ἢ ἀναβλύσειεν, ἢ πηγάσειε, μὴ ἔχοντος ἐκεῖνον αἰτίαν, συνορᾷν ἔγωγ' οὐκ ἔχω.

* Ἰω. 16, 26.

Κεφάλαιον ἔνατον.

Ἐγὼ μὲν οὖν ὅπερ ὑμῖν ὑπεσχόμην, διὰ βραχέων ὡς οἷόν τε, πολλὰ παραλιπὼν οἶμαι τετελεκέναι. ἔδειξα γὰρ ὡς ἐνῆν, μηδὲν προσχρησάμενος τοῖς Ῥωμαίοις, καὶ καθ' αὐτοὺς τοὺς ἁγίους πατέρας τοὺς ἐξ ἑῴας, τὸν υἱὸν αἰτίαν φρονοῦντας τοῦ πνεύματος, καὶ διὰ πάντων ἀλλήλοις συμβαίνοντας καὶ τοὺς μὲν δι' υἱοῦ ἐκ πατρὸς, τοὺς δὲ ἐκ πατρὸς καὶ υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι πνεῦμα, αὐτούς τε φρονοῦντας, καὶ ἡμᾶς διδάσκοντας. ὑμέτερον δ' ἂν εἴη λοιπὸν ἀσπασαμένους τὰ παρ' αὐτῶν ἑνωθῆναι Ῥωμαίοις καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ Ῥωμαίων, ταῦτα φρονοῦσιν ἅπερ καὶ οἱ πατέρες ἡμῶν καὶ διδάσκαλοι. καὶ μὴ νομίσητε μήτ' αὐτοὺς μήτε τοὺς πατέρας αὐτῶν καὶ ἡμῶν, τοὺς ἐξ ἑσπέρας ἁγίους ἐναντία τοῖς ἐξ ἀνατολῆς ἀποφήνασθαι· οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· πάντη γὰρ μᾶλλόν εἰσι συμφωνοί τε καὶ ὁμόλογοι. καὶ παρετιθέμην ἂν ὑμῖν καὶ τὰς χρήσεις αὐτῶν ἕνεκα πειθοῦς πλείονος, καὶ τοῦ τὴν πρὸς ἀλλήλους συμφωνίαν ἀνατολικῶν τε δειχθῆναι καὶ δυτικῶν, εἰ μὴ πάντας ὑμᾶς ἠπιστάμην εἰδότας τε καὶ ἀκηκοότας προκομισάντων Λατίνων· καὶ ἅμα ἐκταθέντος εἰς μῆκος τοῦ λόγου οὐ χρὴ πλείω προσθεῖναι· ἄλλως τε καὶ ἔξεσται ἀναλαβοῦσιν ἐκ τῶν δοθέντων παρὰ Λατίνων ἡμῖν, ἀναγνῶναι. τοῦτο δὲ μόνον ὑπομνῆσαι ὑμᾶς ἀναγκαῖον, ὅτι πάντες οἱ ἐξ ἑσπέρας κοινῇ, Ἰλάριος, Ἱερώνυμος, Δάμασος, Αὐγουστῖνος, Ἀμβρόσιος, Λέων ὁ μέγας, καὶ Γρηγόριος ὁ διάλογος, καὶ ὅσοι ἄλλοι διαῤῥήδην τε καὶ σαφῶς καὶ πανταχοῦ τῶν λόγων τῶν ἑαυτῶν, οὐχ ἑνί τινι καὶ δυσὶ κώλοις, ἀλλὰ διὰ πλειόνων κατασκευῶν τε καὶ λόγων, ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγουσι τὸ πανάγιον πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ ὡς καὶ ἐκ τοῦ πατρὸς, καὶ αἰτίαν τοῦ πνεύματος τὸν υἱὸν εἶναι ὡς τὸν πατέρα, καὶ ἀρχὴν αὐτοῦ τὸν αὐτὸν, καὶ μίαν καὶ τὴν αὐτὴν ἀρχὴν καὶ αἰτίαν αὐτοῦ τὸν πατέρα καὶ τὸν υἱὸν ἅμα, ἀλλ' οὐ δύο ἀρχὰς ἢ δύο αἴτια. ἃ πάντα λογισαμένους, καὶ παραθέντας τοῖς ἐξ ἀνατολῆς διδασκάλοις, ἀνάγκη συμβαίνειν ἀλλήλοις αὐτοὺς οἴεσθαι, καὶ ταὐτὰ περὶ τῶν αὐτῶν συμφωνεῖν. οἵ τε γὰρ πρότερον εἰρημένοι λόγοι περὶ τῆς συμφωνίας τῶν διδασκάλων, φρονεῖν ἡμᾶς

ἀναγκάζουσιν, ἀλλήλοις εἰς ταὐτὸν αὐτοὺς ἔρχεσθαι φρόνημα, καὶ λέγειν ταὐτά. αὐτοί τε καὶ καθ' αὐτοὺς οἱ ἐκ τῆς ἑῴας τοῦτο τὸ φρόνημα ἐδείχθησαν ἔχοντες, ὃ καὶ οἱ δυτικοὶ, ὡς φανερῶς ἡμῖν φαίνεσθαι συμφωνοῦντας. καί τοι καὶ εἰ μηδαμῶς ὑπονοεῖν αὐτοὺς εἴχομεν τὴν αἰτίαν τοῦ πνεύματος ἀποδιδόντας τῷ υἱῷ, μόνῳ τῷ μὴ ἀρνεῖσθαι μηδένα μηδαμοῦ τῶν ἑαυτοῦ λόγων, εἶναι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον, ἠδυνάμεθα λέγειν μὴ ἀντικεῖσθαι Ῥωμαίοις, οὕτω περιφανῶς ἐκ τοῦ υἱοῦ λέγουσι τὸ πνεῦμα τὸ ἅγιον. νῦν δὲ ἀρνουμένους μὲν οὐδαμῶς, μᾶλλον δὲ καὶ σαφῶς διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον φάσκοντας, οὐκ ἂν εἴποιμεν Ῥωμαίοις συμβαίνειν ταὐτὸ λέγουσι τοῦτο; ἀλλ' οὐκ οἶδ' εἴ τις ἡμᾶς ἐπαινέσεται. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὑμᾶς, ὡς ἢ οὐδαμῶς δεῖ συγγράμματα εὑρισκόμενα παραδέχεσθαι τῶν ἁγίων τῶν δυτικῶν, ἢ εἰ ταῦτα παραδεξαίμεθα τὰ φαινόμενα, δεῖ καὶ τὰ περὶ τοῦ ἄρθρου τούτου λεγόμενα ἐξ ἀνάγκης συμπαραδέχεσθαι. οὕτω γὰρ ἐν πλείστοις τόποις τῶν λόγων αὐτῶν, καὶ οὕτως ἐν πᾶσι ταῦτα διέσπαρται· καὶ τοσαύτη καὶ τοιαύτη ἐστὶν ἡ συνέχειά τε καὶ ἀκολούθησις τῶν προηγουμένων καὶ ἑπομένων, ὡς μηδὲν εἶναι κατ' αὐτῶν ὑποπτεῦσαι. ἐπεὶ τούτου γε τοῦ ζητήματος, καὶ τῶν λόγων τῶν περὶ τούτου ἐκ τῶν ἐκείνων λόγων ἐξαιρουμένων, οὐδὲν ἔτι λείπεται, οὐδ' ἂν ἔννοιαν τὰ λειπόμενα σώσαιεν· οὕτως ἐν πλείστοις αὐτῶν τόποις ὁλόκληρα κεφάλαια καὶ ζητήματα κεκινημένα διάφορα διὰ τούτων συνυφαίνεται πάντα τῶν λόγων. ἀλλ' ἃ μὲν καὶ ὅσα περὶ αὐτοῦ εἰπεῖν ἔδει τοῦ δόγματος, ὡς ἔν γε τῷ παρόντι διὰ βραχέων προστησαμένους εἰπεῖν, ὡς ἐνὸν πρὸς ὑμᾶς εἴρηται, καὶ οὐδὲν πλέον δεῖ προστιθέναι.

Κεφάλαιον δέκατον.

Δέομαι δὲ καὶ παρακαλῶ πάντας ὑμᾶς, ἁγιώτατοι πατέρες τε καὶ δεσπόται, σύστημα ἱερώτατον, σύλλογος ἅγιος, ταῦτα πάντα σκεψαμένους, καὶ ἀκριβῶς ἐπιστήσαντας πᾶσι, τὴν προσήκουσαν ἐξενεγκεῖν ψῆφον, καὶ ἥτις ἡμῖν μετ' εὐφημίας ἕψεται παρὰ πάντα τὸν χρόνον, καὶ τοῖς ὀψιγόνοις ἡμᾶς παραπέμψει μετ' εὐκλείας τε καὶ στεφάνων καὶ τοῦ παρὰ πάντων ἐπαίνου. συλλογίσασθε γὰρ

πρῶτα μὲν, ὡς οὐχ ὁμοία ἡμῖν ἡ ἀπολογία ἔσται μετέπειτα, ὡς καὶ πρότερον, τῆς τοσαύτης τῶν ἀδελφῶν διαιρέσεως, καὶ τῆς ἔχθρας τῆς πρὸς Λατίνους, οὕτω μὲν ὄντας πολλοὺς, οὕτω δὲ σοφίᾳ καὶ γνώσει κεκοσμημένους καὶ ἀρετῶν ἰδέᾳ παντοίᾳ, τῇ τε ἐς ψυχὴν καὶ τὴν ἐκείνης κατάστασιν καὶ βελτίωσιν ἀπαγούσῃ, τῇ τε ἐς σῶμα καὶ τὰ σωματικὰ ἀφορώσῃ· καὶ ὅτι πρὶν μὲν οἰκουμενικὴν σύνοδον συνελθεῖν, ἐκείνοις τὸ βάρος τῆς ἀπολογίας ἐπέκειτο, νῦν δὲ συστάντος κοινοῦ συνεδρίου καθ' ἡμῶν τὰ ἐκείνων ἐγκλήματα μετεστράφη, ἂν μὴ εὐπρόσωπον ἔχωμεν αἰτίαν δεικνύναι, δι' ἣν αὐτῶν διῃρέθημεν. ἔπειτα μέμνησθε, ἀνάγκην μὲν εἶναι συμβαίνειν τοὺς πατέρας ἀλλήλοις, καὶ ἄλλως οὐκ εἶναι, Χριστιανοὺς ἡμᾶς ὄντας, οὐ λέγειν οὐδὲ φρονεῖν, ἕως ἂν καὶ τὰς τῆς πίστεως ἡμῶν ἀρχὰς σώζειν ἐθέλωμεν· τοὺς δὲ Ῥωμαίους πατέρας σαφέστατά τε καὶ φανερώτατα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγοντας τὸ πνεῦμα τὸ ἅγιον, κἀκεῖνον αἰτίαν ἔχειν τοῦ εἶναι ὥσπερ καὶ τὸν πατέρα· πρὸς τούτοις οὐδὲν ἧττον καὶ τοὺς ἐκ τῆς ἑῴας ταὐτὸ τοῦτο λέγοντας ἀποδεδειγμένους, τοὺς μὲν τῷ διὰ τοῦ υἱοῦ λέγειν αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, τοὺς δὲ τῷ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ, καὶ ἐξ ἀμφοῖν εἶναι, καὶ ἐκ τοῦ υἱοῦ σαφῶς εἶναι διδάσκειν· καὶ ὅτι ταῦτα λέγοντες, τοῖς Ῥωμαίοις πατράσι συμβαίνουσι, καὶ λέγουσιν ἀλλήλοις ταὐτὰ, ὡς ἐνὶ καὶ ταὐτῷ φθεγγόμενοι πνεύματι. ἐπὶ πᾶσι δὲ τούτοις, καὶ ἣν ἡμῖν ἐγὼ ὑπολελειμμένην ἀπολογίαν ὁρῶ, περὶ ὧν οἱ Ῥωμαῖοι πατέρες φασὶ, καὶ ταύτην οὐδὲν οὖσαν εἰδότες, μᾶλλον δὲ σαφῆ γέλωτά τε καὶ παίγνιον, βουλευσώμεθα τὰ βελτίω, καὶ πρὸς ἕνωσιν ἐπειχθῶμεν, θεῷ ἀρέσαι βουλόμενοι. ἢ γὰρ μὴ δεῖν δέχεσθαι φαίη τις ἂν τοὺς ἁγίους καὶ πάντα ὑπείκειν αὐτοῖς· ἢ δέχεσθαι μὲν αὐτοὺς ἀναγκαῖον, οὐ μέν τοι καὶ πλανηθῆναι αὐτοὺς ἀνθρώπους ὄντας ἀδύνατον· ἢ τό γε λοιπὸν καὶ τρίτον, εἰ καὶ πάσης ἔξω πλάνης εἰσὶ, καὶ πάντα πειστέον αὐτοῖς, ταῦτα μέν τοι τὰ παρὰ Λατίνων ἀνεγνωσμένα τῶν ἁγίων ῥητὰ οὐκ εἰσὶ γνήσια τῆς διανοίας ἐκείνων, ἀλλὰ νόθα τινὰ καὶ παρέγγραπτα καὶ πάντα ἁπλῶς παραπεποιημένα καὶ προσθῆκαι χειρὸς ἀλλοτρίας. ἀλλὰ τῶν μὲν πρώτων οὐδὲν ὑμεῖς δέξαισθ' ἂν, ἢ πάντα ἡμῖν εὐθὺς ἀνατρέψει τὰ τῆς ἐκκλησίας μυστήρια, καὶ ἐπ' οὐδενὸς βεβήκαμεν ἰσχυροῦ· τὸ δέ γε λοιπὸν καὶ τρίτον γέλως σαφὴς, καὶ κατάγνωσις

πρόδηλος, εἰ πάντα ἑξῆς, οὕτω μὲν τοσαῦτα βιβλία, οὕτω δὲ τοιαῦτα νόθα ἐροῦμεν, καί τοι παλαιᾶς μὲν καὶ ἀρχαιοτάτης χειρὸς ἔργον ὄντα, ἀνὰ πᾶσαν δὲ ἐσπαρμένα τὴν γῆν, δι' αὐτῆς δὲ τῆς ἀκολουθίας τῶν προηγουμένων καὶ ἑπομένων δεικνύντα τὸ γνήσιον. καὶ ταῦτα τῶν ἡμετέρων πάντων καὶ αὐτῶν τῶν ἀρχαιοτάτων, καὶ ἐπ' αὐτοῦ τοῦ πρώτου κακοῦ καὶ τῆς διαιρέσεως ἀκμῆς καὶ ἀρχῆς ἀκμασάντων, μεμνημένων μὲν τούτων, οὐδὲν δὲ ὅμως ἀντειπεῖν δυναμένων ὅ, τι καὶ ἄξιον λόγου· ἄλλως τε καὶ μηδ' ἄλλων παρ' ἡμῖν ὄντων βιβλίων, πρὸς ἃ παραβάλλοντες τὰ τῶν Λατίνων, τὸ νόθον αὐτῶν ἐφωράσαμεν ἄν. Ἃ πάντα ἀναλογισάμενοι, καὶ πᾶσι τὸν νοῦν ἐπιστήσαντες, μὴ τὰ χείρω ἑλώμεθα, μηδὲ καθ' ἡμῶν αὐτῶν τὴν ψῆφον ἐξενέγκωμεν· δεινὸν γὰρ, εἰ ἡμεῖς ἡμῶν αὐτῶν καταγνοίημεν· μηδὲ προδῶμεν ἡμᾶς αὐτοὺς καὶ τὸ γένος, πρῶτα μὲν ἀποστραφῆναι δόξαντες τὴν ἀλήθειαν, καὶ μύσαντες τοὺς ὀφθαλμοὺς πρὸς τὸ φῶς· ἔπειτα δὲ καὶ ἐθελονταὶ αὐτοὶ καθ' ἡμῶν αὐτῶν τὰ δεινότατα ἐπαγαγόντες, καὶ πολλαπλασιάσαντες τὰ δεινά. ὅσα γὰρ ἡμῖν καὶ σωματικὰ ἐντεῦθεν ἔπεισι δεινὰ, καὶ ὡς ἰσχυρότερον μὲν τὸν κοινὸν ἐχθρὸν καὶ πολέμιον ὁπλίσομεν καθ' ἡμῶν, καὶ ὡς κινδυνεύει σχεδὸν παντελὴς ὄλεθρος ἔσεσθαι τῶν ὑφ' ἡμᾶς καὶ τὴν ἐκκλησίαν τὴν ἡμετέραν Χριστιανῶν, καὶ τὸ ὄνομα τοῦ Χριστοῦ ἐκεῖθεν τέλειον ἐκτριβήσεσθαι, οὐδεὶς ἀγνοεῖ. καὶ διῆλθον ἂν πάντα καθ' ἓν, καὶ ἐτραγῴδησα τὰ ἐπιόντα τῷ γένει δεινὰ καὶ πᾶσι τοῖς ἀπὸ Χριστοῦ καλουμένοις, τοῖς τε ἐν νήσοις, τοῖς τε ἐν ταῖς ἠπείροις, τοῖς ἐν ἀνατολῇ, τοῖς ἐν ἄρκτῳ, καὶ τῶν ἐν δύσει τοῖς ἡμῖν ὁμογνώμοσί τε καὶ ὁμόφροσιν, οὐχ ὅσα εἰς σῶμα καὶ τὰ σωματικὰ ἀναφέρεται μόνον, οὐ τοσοῦτον γὰρ ἂν ἦν τὸ δεινὸν, ἀλλὰ καὶ ὅσα εἰς ψυχήν τε καὶ τὴν εὐσέβειαν τείνει, πάντων ἁπλῶς ἢ τῶν πλειόνων, τῶν μὲν ἑκόντων, τῶν δὲ ἀκόντων κινδυνευόντων ὑπαχθῆναι τῇ πλάνῃ, καὶ ἀποστῆναι θεοῦ, εἰ μὴ πρὸς εἰδότας ὁ λόγος ἐγένετο, καὶ τοῦ λέγοντος μᾶλλον ἀποσταμένους. τίς γὰρ οὐκ οἶδεν, ὡς μόνη μὲν ἡμῖν ἐν κινδύνοις καταφυγὴ τὸ τῶν Λατίνων γένος κατελείπετο καὶ ἡ μετ' αὐτῶν ἕνωσις, ἐκεῖθεν ἐλπίζουσι σφᾶς αὐτοὺς ἀνακτήσεσθαι, καὶ τοὺς ἐχθροὺς καταγωνιεῖσθαι, μόνον δὲ τῷ πολεμίῳ τοῦτο φόβητρον ἦν, ἐπέχον αὐτὸν ὁπωσοῦν τῆς μανίας τῆς καθ' ἡμῶν, καὶ ἠρεμεῖν ἀναγκάζον

οὐ μὴν οὐδ' ἐκείνων τοῖς λόγοις χρηστέον, οἳ πολλαχοῦ δεικνύουσιν ἰσοδυναμοῦσαν τῇ Ἐκ τὴν Διὰ, οὗτοι δ' εἰσὶν οἱ πλείους, ἢ πάντες· προχειριστέον δὲ μόνους Κύριλλόν τε καὶ Ἐπιφάνιον, σαφέστερόν τε τῶν ἄλλων καὶ μᾶλλον διὰ πάντων τῶν πονηθέντων αὐτοῖς λόγων αὐτῇ τῇ Ἐκ χρησαμένους. ὧν τὸ ἀξίωμα ὅσον ἐν ἐκκλησίᾳ Θεοῦ, καὶ οἱ ὑπὲρ αὐτῆς κατὰ τῶν ἀπίστων ἀγῶνες καὶ τῶν αἱρέσεων, οὐδένα λελήθασιν. ἐρῶ δὲ οὐ πάντα αὐτῶν, οὐδὲ γὰρ ἂν δυναίμην ἐξαριθμήσασθαι, ἀλλ' ὀλίγα τε καὶ μέτρια, τὸ μῆκος ἐκφεύγων. ὁ μὲν οὖν μακάριος Κύριλλος ἐν τῇ εἰς τὸν προφήτην Ἰωὴλ ἑρμηνείᾳ, τῇ· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, * οὕτω φησίν· Ἢ μὲν γάρ ἐστι Θεὸς ἐκ Θεοῦ κατὰ φύσιν ὁ υἱὸς, γεγέννηται γὰρ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ πατρός. καὶ ἐξ αὐτοῦ ἐστί, φησι, καὶ οὕτως ἐξ αὐτοῦ ὡς ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ πατρὸς, πᾶσαν ἀμφιβολίαν τοῖς προφασιζομένοις περιαιρῶν. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρὸς τὸν βασιλέα Θεοδόσιον λόγῳ· Βαπτίζοντα, ἔφη, τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. καὶ πάλιν ἐν ἄλλῳ· Νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ πνεῦμα αὐτοῦ, νομοθετεῖ. καὶ ἐν ἑτέρῳ· Οὐδεμίαν ἄρα, φησὶν, οἶδεν ὁ Παῦλος φύσεως διαφορὰν υἱοῦ τε καὶ ἁγίου πνεύματος, ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, τῷ τῆς κυριότητος ὀνόματι καλεῖ. καὶ ὅρα, ὅτι διὰ τοῦτό φησι τὸν Παῦλον * κύριον τὸ πνεῦμα καλέσαι, ὅπερ ἐστὶ τοῦ υἱοῦ ὄνομα, διὰ τὸ ἐξ αὐτοῦ εἶναι· τὰ γὰρ τῶν αἰτίων ὀνόματα τοῖς αἰτιατοῖς εἰώθαμεν ἐπιτιθέναι. καὶ ἐν τῇ εἰς τὸν ἔνατον ἀναθεματισμὸν ἐξηγήσει· Ἄνθρωπος γεγονὼς, φησιν, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἀπομεμένηκε καὶ οὕτω Θεὸς, πάντα ἔχων ὅσα καὶ ὁ πατὴρ, δίχα μόνου τοῦ εἶναι πατὴρ, καὶ ἴδιον τὸ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ ἐμπεφυκὸς ἅγιον πνεῦμα. εἰ δέ τις αὖθις ἀντιπάγοι τὰ τοῦ Θεοδωρίτου εἰς τοῦτον τὸν ἀναθεματισμὸν εἰρημένα, περὶ τούτου πρότερον εἴπομεν, καὶ οὖν αὖθις τὴν ἐξήγησιν ἀντεστήσαμεν ταύτην, σαφῶς παριστῶσαν τὴν τοῦ διδασκάλου διάνοιαν· πρόσετι δὲ καὶ ἀπὸ τῆς

* Ἰωήλ. 2, 28.

* Κορ. β'. 3, 17.

ἀπολογίας τῆς πρὸς Θεοδώρητον τὸ αὐτὸ τοῦτο, εἴ τις εὐγνωμόνως ἀκούσεται, δεῖξαι δυνάμεθα. ἐκπορεύεται μὲν γάρ, φησιν, ὡς ἐκ τοῦ θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ υἱοῦ, πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός. καὶ ἀνωτέρω, τοῦ υἱοῦ φησι πνεῦμά τὸ πνεῦμα, καὶ ἴδιον αὐτοῦ, μονονουχὶ τοῦτο λέγων· ὡς εἰ καὶ τοῦ πατρὸς ἐκπορεύεσθαι αὐτὸ ὁ σωτήριός φησι λόγος, ἀλλ' οὐδὲν ἧττόν ἐστι καὶ τοῦ υἱοῦ, ὡς δηλαδὴ ἐκπορευόμενον ἐξ αὐτοῦ καὶ αἰτία, ὅτι πάντα ἔχει μετὰ τοῦ πατρός· διὰ τοῦτο γάρ, φησι, καὶ τὸ Ἐξ ἐμοῦ λήψεται, * εἴρηται, ὅτι ἃ λαμβάνει ἐκ τοῦ πατρὸς λαμβάνει καὶ ἐκ τοῦ υἱοῦ· οὐ μὴν ἀλλὰ καὶ τὸ πνεῦμα υἱοῦ· * καὶ ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμα λέγων τὸ ἅγιον, καὶ ἐκ τοῦ υἱοῦ ἢ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι δηλοῦν βούλεται· τὸ γὰρ πνεῦμα υἱοῦ λέγεσθαι, εἴρηται ὅπως τοῖς ἁγίοις νοεῖται· καὶ ὅτι τῷ μὲν μεγάλῳ Βασιλείῳ ὡς διὰ τοῦ υἱοῦ πεφηνὸς, τῷ δὲ θείῳ Μαξίμῳ ὡς ἐκπορευόμενον δι' αὐτοῦ, τοῖς δὲ πατράσι τοῖς δυτικοῖς ὡς ἐκπορευόμενον ἐξ υἱοῦ. οὐκ ἂν οὖν οὐδ' αὐτῷ κατ' ἄλλον ἔδοξε τρόπον υἱοῦ λέγεσθαι πνεῦμα, καὶ ἴδιον τοῦ υἱοῦ, ἀλλ' ἢ πάντως ὡς τοῖς ὁμόφροσιν, ὡς ἐξ υἱοῦ δηλαδὴ, ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον· οὐδὲν γὰρ διαφέρει, ἐξ υἱοῦ λέγειν, ἢ δι' υἱοῦ· καὶ γὰρ αὐτὸς ποτὲ μὲν τὴν Ἐκ τίθησι, ποτὲ δὲ αὐτὴν μεταλαμβάνει εἰς τὴν Διὰ, ὡς καὶ ἄμφω δυναμένας παραλαμβάνεσθαι. καὶ γοῦν ἐν τοῖς πρὸς Παλλάδιον κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγοις· Τρεπτόν οὔτι που τὸ πνεῦμά, φησιν· ἢ εἴπερ αὐτὸ τρέπεσθαι νοεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ θεοῦ καὶ πατρὸς, ναιμὴν καὶ τοῦ υἱοῦ, οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον πνεῦμα. οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμίαν, αἰτίαν ἀποδιδοὺς τοῦ τὸ πνεῦμα υἱοῦ λέγεσθαι πνεῦμα, φησί· Τίνος ἴδιον εἶναί φαμεν τὸ πνεῦμα τὸ ἅγιον; πότερον δὴ μόνου τοῦ θεοῦ καὶ πατρός; ἢ γοῦν καὶ τοῦ υἱοῦ; ἢ καὶ ἀνὰ μέρος ἑκατέρου, καὶ ἀμφοῖν, ὡς ἓν ἐκ πατρὸς δι' υἱοῦ διὰ τὴν ταὐτότητα τῆς οὐσίας. ἀποκρίνεται δὲ ὁ Ἑρμίας· Οὕτως ἔγωγέ φημι, ὦ ἑταῖρε. καὶ ὁ Κύριλλος πρὸς αὐτόν· Ὀρθῶς. Ἰδοὺ καὶ αὐτὸς ἴδιον τοῦ υἱοῦ τὸ πνεῦμά φησι διὰ τὸ δι' υἱοῦ εἶναι· δι' υἱοῦ δέ ἐστι, διὰ τὴν ταὐτότητα τῆς οὐσίας πατρὸς καὶ υἱοῦ· ἀλλὰ διὰ τὴν αὐτὴν ταύτην καὶ πάντα

* Ἰω. 16, 14.

* Ῥωμ. 8, 9.

πὲ τοῦ πατρός ἐστι τοῦ υἱοῦ, πλὴν τοῦ εἶναι πατήρ. οὕτως ἑαυτῷ διὰ πάντων ὁ διδάσκαλος συμφωνεῖ. ἕν γε γὰρ καὶ τὸ αὐτὸ πνεῦμα ἐκ πατρὸς δι' υἱοῦ ἐστι, μιᾷ πνεύσει πάντως ἢ ἐκπορεύσει· καὶ διὰ τοῦτό φησιν αὐτῶν ἴδιον εἶναι, διότι ἐκ πατρὸς ἐστι δι' υἱοῦ· τοῦτο δ' ἔστι διὰ τὸ ταὐτὸν τῆς οὐσίας. ἀρκέσει μὲν οὖν ἐκ πάνυ πολλῶν τῶν τοῦ μακαρίου Κυρίλλου καὶ πλείστων, ὡς πλήρης πᾶσα αὐτοῦ συγγραφὴ, καὶ μόνα ταῦτα τὴν ἐκείνου παραστῆσαι διάνοιαν. ἀκούσωμεν δὲ τὸ ἐντεῦθεν καὶ Ἐπιφανίου τοῦ θαυμαστοῦ ἐν τῷ Ἀγκυρωτῷ λόγῳ λέγοντος οὕτω· Τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τρίτον τῇ ὀνομασίᾳ. καὶ πάλιν· Ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ. εἰ δὲ Χριστὸς ἐκ τοῦ πατρὸς πιστεύεται θεὸς ἐκ θεοῦ, καὶ τὸ πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, ὃ παρὰ
* Ἰω. 15, 26. τοῦ πατρὸς ἐκπορεύεται, * καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται. Οὗτος μὲν οὖν οὐδὲ περὶ χαρισμάτων διανομῆς πραγματεύεται, περὶ δὲ τῶν θείων προσώπων καὶ τῆς τούτων ὑπάρξεως τὸν λόγον ποιεῖται· εἰς μαρτυρίαν δὲ τοῦ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, τό· Ἐξ ἐμοῦ
* Ἰω. 16, 14. λήψεται, * ἔλαβεν· καὶ διδάσκει διὰ τούτων, οὕτω τοῦ θείου εὐαγγελίου ἀκούειν τό· Ἐξ ἐμοῦ λήψεται, ὡς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. καὶ ἔτι ἐν τοῖς αὐτοῖς· Ἀλλ' ἐρεῖ τις· Οὐκοῦν φαμὲν δύο υἱοὺς εἶναι; καὶ πῶς ὁ μονογενής; μενοῦν γε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ θεῷ; εἰ γὰρ τὸν υἱὸν καλεῖ, τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον πνεῦμα, τὸ παρ' ἀμφοτέρων, καὶ τὰ λοιπά. καὶ ἔτι· Πνεῦμα ἅγιον, πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ. καὶ αὖθις· Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς,
* Ματθ. 11, 27. οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, * οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ πνεῦμα εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει· Ἀλλὰ σημείωσαι, ὅτι τὸ λαμβάνειν, ἀντὶ τοῦ ἐκπορεύεσθαι ὁ ἅγιος ἐξεδέξατο ἀνωτέρω καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα εἰ μὴ τὸ πνεῦμά τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα. ὃ παρὰ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ. τί γένοιτ' ἂν τούτων σαφέστερον, τί δὲ καθαρώτερον; οὐ διαῤῥήδην οὗτοι καὶ τὸν υἱὸν αἰτίαν ποιοῦνται τοῦ πνεύματος; οὐ καὶ ἐξ υἱοῦ διδάσκουσιν αὐτὸ ἐκπορεύεσθαι; τί οὖν; βύσομεν τὰ ὦτα πρὸς τοσαύτας τῶν διδασκάλων φωνὰς, οὕτω μὲν οὔσας πολλὰς, οὕτω δὲ θείας,

οὕτω δὲ συμφώνους ἁπάσας, καὶ τῇ προλήψει χαρισάμενοι μόνῃ τούτων ἁπάντων ἀργίαν καταγνωσόμεθα; οὐ πρὸς ἀνδρῶν τοῦτο σοφῶν τε καὶ θείων, καὶ τοὺς λόγους οἰκονομούντων ἐν κρίσει.

Κεφάλαιον ὄγδοον.

Ἐπεὶ δέ τινες τῷ ῥήματι τοῦ πέμπεσθαι, καὶ προχεῖσθαι προσκόπτοντες, ἐκ τοῦ υἱοῦ τα τοῦ πνεύματος χαρίσματα πέμπεσθαι λέγουσιν, οὐκ αὐτὴν αὐτοῦ τὴν ὑπόστασιν· τούτων γὰρ καὶ μεταλαμβάνειν τοὺς μεταλαμβάνοντας· ὡς ἂν γέλως ἀποδειχθῇ πᾶσα περιεργία τῶν βουλομένων τοῖς μειρακιώδεσι τουτοισὶ λόγοις κατὰ τῆς ὑγιοῦς τῶν ἁγίων δόξης χωρεῖν, αὐτοὶ πάλιν ἡμῖν παρίτωσαν καὶ τοῦτον τὸν λόγον ἐξελέγξοντες, καὶ ἑαυτοὺς ἐξηγούμενοι. Φησὶν οὖν ἐν τῷ ἑβδόμῳ τῶν πρὸς Ἑρμίαν ὁ ἱερὸς Κύριλλος· Τὸ δὲ δὴ τὴν θείαν ἡμῖν ἐγχαράττον εἰκόνα, καὶ σημάντρου δίκην ἐμποιοῦν τὸ ὑπερκόσμιον κάλλος, οὐχὶ τὸ πνεῦμά ἐστι; πρὸς ὃν φησιν ὁ Ἑρμίας· Ναί· ἀλλ' οὐχ ὡς θεός, φησιν, ἀλλ' ὡς θείας χάριτος ὑπουργόν· καὶ ὁ ἅγιος· Οὐκ αὐτὸ τοιγαροῦν ἡμῖν, ἀλλ' ἡ δι' αὐτοῦ χάρις ἐνσημαίνεται. ὁ Ἑρμίας· Ἔοικεν. ὁ ἅγιος· Ἦν οὖν ἀναγκαῖον, εἰκόνα τῆς χάριτος, καὶ οὐχὶ μᾶλλον εἰκόνα θεοῦ διακεκλῆσθαι τὸν ἄνθρωπον. εἶτ' ἐφεξῆς κατασκευάζων διὰ πάντων, ὡς ἡ τοῦ πνεύματος ὑπόστασις, αὐτὸς ὁ θεὸς ἦν, ὁ τὴν θείαν ἡμῖν ἐν τῇ πρώτῃ πλάσει ἐγχαράξας εἰκόνα, καὶ οὐχὶ χάρις τις ἀνυπόστατος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὴν δευτέραν τοῦ πλάσματος ἀνακαίνισιν διὰ τοῦ σωτηρίου τοῖς μαθηταῖς ἐμφυσήματος γενομένην, διὰ τοῦ ἁγίου φησὶ γεγενῆσθαι πνεύματος. ἔδει γὰρ ᾧ πρότερον μὴ ὢν ἄνθρωπος γεγένηται τρόπῳ, τῷ θείῳ δηλαδὴ πνεύματι αὐτῷ τῷ ἐνυποστάτῳ, τῷ αὐτῷ καὶ πάλιν ἀναπλασθῆναι τὸν ἁγιασμὸν ἀπολέσαντα. Φησὶ γοῦν· Εἰ γὰρ τῆς οὐσίας τοῦ πνεύματος διεσχοινισμένη τις ἦν ἡ δι' αὐτοῦ χάρις, τί μὴ ἔφη σαφῶς ὁ μακάριος Μωυσῆς, ὅτι παρυπεστημένῳ τῷ ζώῳ πρὸς τὸ εἶναι, λοιπὸν ἐνεφύσησε χάριν ὁ πάντων δημιουργὸς τὴν διὰ πνοῆς τῆς ζωῆς;* Χριστὸς δὲ ἡμῖν· Λάβετε χάριν τὴν δι' ὑπουργίας τοῦ ἁγίου πνεύματος;* ἀλλ' ὠνόμασται μὲν ἐκεῖ, πνοὴ ζωῆς· ζωὴ γὰρ ἀληθῶς ἡ τῆς θεότητος φύσις· ἐνταῦθα δὲ διὰ τῆς τοῦ σωτῆρος φωνῆς,

* Γεν. 2, 7.

* Ἰω. 20, 22, Λάβετε πνεῦμα ἅγιον.

πνεῦμα ἅγιον, αὐτοῦ που κατὰ τὸ ἀληθὲς ταῖς τῶν πιστευόντων
ψυχαῖς ἐγκατοικίζοντός τε καὶ ἐνιέντος τὸ πνεῦμα. ταῦτα σαφὴς
τοῦ προκειμένου μαρτυρία· σαφέστερον δ' οὖν ὅμως ἔτι προϊὼν καὶ
φανερῶς ὁ αὐτὸς ἀναιρεῖ τὸ νομίζειν ἀνυπόστατον ἡμῖν πέμπεσθαι
χάριν, καὶ δι' αὐτῆς ἡμᾶς ἁγιάζεσθαι. φησὶ γάρ· Ναοὶ δὲ θεοῦ,
* Κορ. β΄. 6, 16. καὶ μὴν καὶ θεοὶ κεκλήμεθα, καὶ ἐσμέν. * ἀνθ' ὅπου γε δὴ πόθεν
Ψαλμ. 81, 6. τῶν δι' ἐναντίας, εἴπερ ἐσμὲν ἀληθῶς ψιλῆς καὶ ἀνυποστάτου
χάριτος μέτοχοι. ἀλλ' οὐχ ὧδε ἔχει. πόθεν ναοὶ γάρ ἐσμεν τοῦ
ὄντος τε καὶ ὑφεστηκότος πνεύματος; ἀλλ' ἐκ μὲν τοῦ πρὸς Ἑρμείαν
πολλῶν ὄντων, ἃ ὁ βουλόμενος ἐκεῖθεν ἀναλεξάσθω, ἀρκέσει καὶ
ταῦτα. ἐν δὲ τῇ εἰς τὸ κατὰ Ἰωάννην ἑρμηνείᾳ ἔτι πολλῷ πλειόνων
ὄντων τῶν εἰς ταύτην φερόντων τὴν ἔννοιαν, τί ἂν ἁπάντων μνησθείη
ἢ ἄτερ μεγάλης σχολῆς; ἡμεῖς δ' ἐκεῖνο προκομίσομεν μόνον, ὃ ἐν τῷ
* Ἰω. 1, 13. ῥητῷ φησι τῷ· Οἳ οὐκ ἐξ αἱμάτων. * λέγει γάρ· Εἴπερ θεός ἐστι καὶ
ἐκ θεοῦ κατὰ φύσιν τὸ πνεῦμα, οὗ δὴ καὶ μετίσχειν διὰ πίστεως
τῆς εἰς Χριστὸν ἀξιούμεθα, θεοὶ χρηματίζομεν, ὡς ἤδη καὶ θεὸν
* Κορ. β΄. 6. 16. ἔχοντες ἐν ἑαυτοῖς, κατὰ τό· Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.*
ἐπεὶ κατὰ τίνα τρόπον ναοὶ θεοῦ ἐσμεν εἰ μὴ θεὸς τὸ πνεῦμα κατὰ
φύσιν ἐστίν; ἀλλὰ καὶ ὁ μέγας Βασίλειος συμφώνως τῷ θείῳ τούτῳ
πατρὶ τό τε ἐξ ἀρχῆς ἐμφυσηθὲν πνεῦμα ἀνθρώπῳ, τό τε ἐν τῇ ἀνα-
καινίσει τοῖς μαθηταῖς ὑπὸ τοῦ σωτῆρος τὴν θείαν εἶναι λέγων ὑπό-
στασιν, οὕτω φησὶν ἐν κεφαλαίῳ οὗ ἡ ἐπιγραφή· Ὅτι θεία φύσις τὸ
πνεῦμα· Πνεῦμα γὰρ τῷ ζῶντι Λόγῳ συνταγμένον εἰς τὸ δημιουργεῖν,
ζῶσα δύναμις καὶ θεία φύσις, ἄρρητος ἐξ ἀῤῥήτου στόματος συμφυεῖσα,
ἀῤῥήτως κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη, καὶ
κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Χριστοῦ δειχθέντα τύπον αὖθις ὑπ'
αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισταμένη· συντρέχειν γὰρ δεῖ τῇ κατ'
ἀρχὴν καινότητι τὴν ἀνακαίνισιν· καὶ τὴν συνδρομὴν ἐξετύπωσεν ἐμφυ-
σήσας, οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' ὁ αὐτὸς
δι' οὗ θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ
εἰς ψυχήν. Οὕτω καὶ οὗτος ὁ μέγας πατὴρ ταὐτὸ τοῦτό φησι τοῖς
μαθηταῖς ἐνιέναι τὸν Ἰησοῦν, ὅπερ αὐτῷ τε καὶ τῷ πατρὶ ὡς δη-
μιουργὸν συνηρίθμηταί τε καὶ συντέτακται. ἀλλὰ τοῦτο δῆλον,
ὡς ἡ τοῦ ἁγίου πνεύματός ἐστιν ὑπόστασις· ἡ ὑπόστασις ἄρα τοῦ
πνεύματος καὶ τὴν τοῦ ἀνθρώπου πρώτην ἐδημιούργησε πλάσιν διὰ

τοῦ θείου ἐμφυσήματος, καὶ τοῖς μαθηταῖς ὕστερον δίδοται, καὶ δι' αὐτῶν τοῖς πιστεύουσιν ἅπασι· καὶ αὕτη ἡ παρὰ πατρὸς δι' υἱοῦ, καὶ ἐξ υἱοῦ λάμπουσά τε καὶ ἀναβλύζουσα· οὕτω γάρ φασιν οἱ πατέρες· καὶ τί λέγω, πατέρες; αὐτὸς ὁ σωτὴρ τοὺς τούτων λόγους ἐπισφραγίζων, τοῦτ' αὐτό φησιν αὐτὸν πέμψειν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, καὶ οὐκ ἄλλο μὲν αὐτὸν πέμψειν, ἄλλο δὲ ἐκπορεύειν τὸν πατέρα. Ὅταν γάρ, φησιν, ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. * τοῦτο δὲ καὶ γραμματικῶν παῖδες οὕτως ἂν εἴποιεν· ὅταν ἔλθῃ ὁ παράκλητος, ὃς παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ὃν ἐγὼ πέμψω ὑμῖν· ὡς εἶναι δῆλον, ταὐτὸ τοῦτο πέμψειν αὐτὸν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. εἰ οὖν ὑπόστασις τοῦ πνεύματος παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ταύτην καὶ ὁ υἱὸς πέμπει· εἰ δὲ χάριν ὁ υἱὸς πέμπει τὴν ἀνυπόστατον, καὶ παρὰ τοῦ πατρὸς οὐ τὸ πνεῦμα, ἀλλ' ἡ χάρις ἂν ἐκπορεύοιτο· ἀλλὰ τοῦτό γε πρὸς τῷ ἀδιανοήτως καὶ βλάσφημον. ἐπεὶ γὰρ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου, τοῦ πνεύματος, δύο τινὰ κατηγοροῦνται, τὸ ἐκπορεύεσθαί τε καὶ πέμπεσθαι, ὥσπερ ἐφ' ἑνὸς τῶν κατηγορουμένων τὸ ὑποκείμενον τοῦτο λαμβάνεσθαι δεῖ, οὕτως ἀνάγκη καὶ ἐπὶ τοῦ ἑτέρου ληφθῆναι. εἰ οὖν τὸ ἐκπορευόμενον, τὴν τοῦ πνεύματος νοοῦμεν ὑπόστασιν, καὶ τὸ πεμπόμενον τὴν αὐτὴν ταύτην νοεῖν ὀφείλομεν· τὸ γὰρ ἄλλως λέγειν ἄνευ τῆς ἀπὸ τῶν λόγων ἀνάγκης, καὶ τῷ μὲν ἐκπορεύεσθαι τὴν ὑπόστασιν ἀπονέμειν τοῦ πνεύματος, τὴν δὲ χάριν τῷ πέμπεσθαι, ἀλόγως ἀποκληρούντων ἐστίν· ἀλλὰ τοῦτό γε οὐκ ἄν τις παραδέξαιτο. πέμπεται ἄρα παρὰ τοῦ υἱοῦ, ἥτις καὶ παρὰ τοῦ πατρὸς τοῦ πνεύματος ὑπόστασις ἐκπορεύεται, ὡς ἀπό τε τῶν λογίων ἐδείχθη, ἀπό τε τῶν διδασκάλων. ὥστε καὶ τὸ ἐκ τοῦ υἱοῦ λεγόμενον, τὴν τοῦ πνεύματος ὑπόστασιν νοεῖν δίδωσι· κἂν ἀναβλύζειν, κἂν πηγάζειν, κἂν πέμπεσθαι παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα ἀκούωμεν, τὴν θείαν ἐκείνου νοοῦν ἀναγκαῖον ὑπόστασιν. πῶς δ' ἂν ἄλλως ἡ τοῦ πνεύματος θεία ὑπόστασις ἐκ τοῦ υἱοῦ, ἢ παρὰ τοῦ υἱοῦ εἴη, ἢ ἀναβλύσειεν, ἢ πηγάσειε, μὴ ἔχοντος ἐκείνου αἰτίαν, συνορᾶν ἔγωγ' οὐκ ἔχω.

* Ἰω. 16, 26.

Κεφάλαιον ἔνατον.

Ἐγὼ μὲν οὖν ὅπερ ὑμῖν ὑπεσχόμην, διὰ βραχέων ὡς οἷόν τε, πολλὰ παραλιπὼν οἶμαι τετελεκέναι. ἔδειξα γὰρ ὡς ἐνῆν, μηδὲν προσχρησάμενος τοῖς Ῥωμαίοις, καὶ καθ' αὐτοὺς τοὺς ἁγίους πατέρας τοὺς ἐξ ἑῴας, τὸν υἱὸν αἰτίαν φρονοῦντας τοῦ πνεύματος, καὶ διὰ πάντων ἀλλήλοις συμβαίνοντας καὶ τοὺς μὲν δι' υἱοῦ ἐκ πατρὸς, τοὺς δὲ ἐκ πατρὸς καὶ υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι πνεῦμα, αὐτούς τε φρονοῦντας, καὶ ἡμᾶς διδάσκοντας. ὑμέτερον δ' ἂν εἴη λοιπὸν ἀσπασαμένους τὰ παρ' αὐτῶν ἑνωθῆναι Ῥωμαίοις καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ Ῥωμαίων, ταῦτα φρονοῦσιν ἅπερ καὶ οἱ πατέρες ἡμῶν καὶ διδάσκαλοι. καὶ μὴ νομίσητε μήτ' αὐτοὺς μήτε τοὺς πατέρας αὐτῶν καὶ ἡμῶν, τοὺς ἐξ ἑσπέρας ἁγίους ἐναντία τοῖς ἐξ ἀνατολῆς ἀποφήνασθαι· οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· παντὸς γὰρ μᾶλλόν εἰσι σύμφωνοί τε καὶ ὁμόλογοι. καὶ παρεθέμην ἂν ὑμῖν καὶ τὰς χρήσεις αὐτῶν ἕνεκα πειθοῦς πλείονος, καὶ τοῦ τὴν πρὸς ἀλλήλους συμφωνίαν ἀνατολικῶν τε δειχθῆναι καὶ δυτικῶν, εἰ μὴ πάντας ὑμᾶς ἠπιστάμην εἰδότας τε καὶ ἀκηκοότας προκομισάντων Λατίνων· καὶ ἅμα ἐκταθέντος εἰς μῆκος τοῦ λόγου οὐ χρὴ πλείω προσθεῖναι· ἄλλως τε καὶ ἔξεσται ἀναλαβοῦσιν ἐκ τῶν δοθέντων παρὰ Λατίνων ἡμῖν, ἀναγνῶναι. τοῦτο δὲ μόνον ὑπομνῆσαι ὑμᾶς ἀναγκαῖον, ὅτι πάντες οἱ ἐξ ἑσπέρας κοινῇ, Ἱλάριος, Ἱερώνυμος, Δάμασος, Αὐγουστῖνος, Ἀμβρόσιος, Λέων ὁ μέγας, καὶ Γρηγόριος ὁ διάλογος, καὶ ὅσοι ἄλλοι διαῤῥήδην τε καὶ σαφῶς καὶ πανταχοῦ τῶν λόγων τῶν ἑαυτῶν, οὐχ ἑνί τινι καὶ δυσὶ κώλοις, ἀλλὰ διὰ πλειόνων κατασκευῶν τε καὶ λόγων, ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγουσι τὸ πανάγιον πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ ὡς καὶ ἐκ τοῦ πατρὸς, καὶ αἰτίαν τοῦ πνεύματος τὸν υἱὸν εἶναι ὡς τὸν πατέρα, καὶ ἀρχὴν αὐτοῦ τὸν αὐτὸν, καὶ μίαν καὶ τὴν αὐτὴν ἀρχὴν καὶ αἰτίαν αὐτοῦ τὸν πατέρα καὶ τὸν υἱὸν ἅμα, ἀλλ' οὐ δύο ἀρχὰς ἢ δύο αἴτια. ἃ πάντα λογισαμένους, καὶ παραθέντας τοῖς ἐξ ἀνατολῆς διδασκάλοις, ἀνάγκη συμβαίνειν ἀλλήλοις αὐτοὺς οἴεσθαι, καὶ ταὐτὰ περὶ τῶν αὐτῶν συμφωνεῖν. οἵ τε γὰρ πρότερον εἰρημένοι λόγοι περὶ τῆς συμφωνίας τῶν διδασκάλων, φρονεῖν ἡμᾶς

ἀναγκάζουσιν, ἀλλήλοις εἰς ταὐτὸν αὐτοὺς ἔρχεσθαι φρόνημα, καὶ λέγειν ταὐτά. αὐτοί τε καὶ καθ' αὐτοὺς οἱ ἐκ τῆς ἑῴας τοῦτο τὸ φρόνημα ἐδείχθησαν ἔχοντες, ὃ καὶ οἱ δυτικοὶ, ὡς φανερῶς ἡμῖν φαίνεσθαι συμφωνοῦντας. καί τοι καὶ εἰ μηδαμῶς ὑπονοεῖν αὐτοὺς εἴχομεν τὴν αἰτίαν τοῦ πνεύματος ἀποδιδόντας τῷ υἱῷ, μόνῳ τῷ μὴ ἀρνεῖσθαι μηδένα μηδαμοῦ τῶν ἑαυτοῦ λόγων, εἶναι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον, ἠδυνάμεθα λέγειν μὴ ἀντικεῖσθαι Ῥωμαίοις, οὕτω περιφανῶς ἐκ τοῦ υἱοῦ λέγουσι τὸ πνεῦμα τὸ ἅγιον. νῦν δὲ ἀρνουμένους μὲν οὐδαμῶς, μᾶλλον δὲ καὶ σαφῶς διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον φάσκοντας, οὐκ ἂν εἴποιμεν Ῥωμαίοις συμβαίνειν ταὐτὸ λέγουσι τοῦτο; ἀλλ' οὐκ οἶδ' εἴ τις ἡμᾶς ἐπαινέσεται. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὑμᾶς, ὡς ἢ οὐδαμῶς δεῖ συγγράμματα εὑρισκόμενα παραδέχεσθαι τῶν ἁγίων τῶν δυτικῶν, ἢ εἰ ταῦτα παραδεξαίμεθα τὰ φαινόμενα, δεῖ καὶ τὰ περὶ τοῦ ἄρθρου τούτου λεγόμενα ἐξ ἀνάγκης συμπαραδέχεσθαι. οὕτω γὰρ ἐν πλείστοις τόποις τῶν λόγων αὐτῶν, καὶ οὕτως ἐν πᾶσι ταῦτα διέσπαρται· καὶ τοσαύτη καὶ τοιαύτη ἐστὶν ἡ συνέχειά τε καὶ ἀκολούθησις τῶν προηγουμένων καὶ ἑπομένων, ὡς μηδὲν εἶναι κατ' αὐτῶν ὑποπτεῦσαι. ἐπεὶ τούτου γε τοῦ ζητήματος, καὶ τῶν λόγων τῶν περὶ τούτου ἐκ τῶν ἐκείνων λόγων ἐξαιρουμένων, οὐδὲν ἔτι λείπεται, οὐδ' ἂν ἔννοιαν τὰ λειπόμενα σώσαιεν· οὕτως ἐν πλείστοις αὐτῶν τόποις ὁλόκληρα κεφάλαια καὶ ζητήματα κεκινημένα διάφορα διὰ τούτων συνυφαίνεται πάντα τῶν λόγων. ἀλλ' ἃ μὲν καὶ ὅσα περὶ αὐτοῦ εἰπεῖν ἔδει τοῦ δόγματος, ὡς ἔν γε τῷ παρόντι διὰ βραχέων προστησαμένους εἰπεῖν, ὡς ἐνὸν πρὸς ὑμᾶς εἴρηται, καὶ οὐδὲν πλέον δεῖ προστιθέναι.

Κεφάλαιον δέκατον.

Δέομαι δὲ καὶ παρακαλῶ πάντας ὑμᾶς, ἁγιώτατοι πατέρες τε καὶ δεσπόται, σύστημα ἱερώτατον, σύλλογος ἅγιος, ταῦτα πάντα σκεψαμένους, καὶ ἀκριβῶς ἐπιστήσαντας πᾶσι, τὴν προσήκουσαν ἐξενεγκεῖν ψῆφον, καὶ ἥτις ἡμῖν μετ' εὐφημίας ἕψεται παρὰ πάντα τὸν χρόνον, καὶ τοῖς ὀψιγόνοις ἡμᾶς παραπέμψει μετ' εὐκλείας τε καὶ στεφάνων καὶ τοῦ παρὰ πάντων ἐπαίνου. συλλογίσασθε γὰρ

πρῶτα μὲν, ὡς οὐχ ὁμοία ἡμῖν ἡ ἀπολογία ἔσται μετέπειτα, ὡς καὶ πρότερον, τῆς τοσαύτης τῶν ἀδελφῶν διαιρέσεως, καὶ τῆς ἔχθρας τῆς πρὸς Λατίνους, οὕτω μὲν ὄντας πολλοὺς, οὕτω δὲ σοφίᾳ καὶ γνώσει κεκοσμημένους καὶ ἀρετῶν ἰδέᾳ παντοίᾳ, τῇ τε ἐς ψυχὴν καὶ τὴν ἐκείνης κατάστασιν καὶ βελτίωσιν ἀπαγούσῃ, τῇ τε ἐς σῶμα καὶ τὰ σωματικὰ ἀφορώσῃ· καὶ ὅτι πρὶν μὲν οἰκουμενικὴν σύνοδον συνελθεῖν, ἐκείνοις τὸ βάρος τῆς ἀπολογίας ἐπέκειτο, νῦν δὲ συστάντος κοινοῦ συνεδρίου, καθ' ἡμῶν τὰ ἐκείνων ἐγκλήματα μετεστράφη, ἂν μὴ εὐπρόσωπον ἔχωμεν αἰτίαν δεικνύναι, δι' ἣν αὐτῶν διῃρέθημεν. ἔπειτα μέμνησθε, ἀνάγκην μὲν εἶναι συμβαίνειν τοὺς πατέρας ἀλλήλοις, καὶ ἄλλως οὐκ εἶναι, Χριστιανοὺς ἡμᾶς ὄντας, οὐ λέγειν οὐδὲ φρονεῖν, ἕως ἂν καὶ τὰς τῆς πίστεως ἡμῶν ἀρχὰς σώζειν ἐθέλωμεν· τοὺς δὲ Ῥωμαίους πατέρας σαφέστατά τε καὶ φανερώτατα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι λέγοντας τὸ πνεῦμα τὸ ἅγιον, κἀκεῖνον αἰτίαν ἔχειν τοῦ εἶναι ὥσπερ καὶ τὸν πατέρα· πρὸς τούτοις οὐδὲν ἧττον καὶ τοὺς ἐκ τῆς ἑῴας ταὐτὸ τοῦτο λέγοντας ἀποδεδειγμένους, τοὺς μὲν τῷ διὰ τοῦ υἱοῦ λέγειν αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, τοὺς δὲ τῷ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ, καὶ ἐξ ἀμφοῖν εἶναι, καὶ ἐκ τοῦ υἱοῦ σαφῶς εἶναι διδάσκειν· καὶ ὅτι ταῦτα λέγοντες, τοῖς Ῥωμαίοις πατράσι συμβαίνουσι, καὶ λέγουσιν ἀλλήλοις ταὐτὰ, ὡς ἑνὶ καὶ ταὐτῷ φθεγγόμενοι πνεύματι. ἐπὶ πᾶσι δὲ τούτοις, καὶ ἣν ἡμῖν ἐγὼ ὑπολελειμμένην ἀπολογίαν ὁρῶ, περὶ ὧν οἱ Ῥωμαῖοι πατέρες φασὶ, καὶ ταύτην οὐδὲν οὖσαν εἰδότες, μᾶλλον δὲ σαφῆ γέλωτά τε καὶ παίγνιον, βουλευσώμεθα τὰ βελτίω, καὶ πρὸς ἕνωσιν ἐπειχθῶμεν, θεῷ ἀρέσαι βουλόμενοι. ἢ γὰρ μὴ δεῖν δέχεσθαι φαίη τις ἂν τοὺς ἁγίους καὶ πάντα ὑπείκειν αὐτοῖς· ἢ δέχεσθαι μὲν αὐτοὺς ἀναγκαῖον, οὐ μέν τοι καὶ πλανηθῆναι αὐτοὺς ἀνθρώπους ὄντας ἀδύνατον· ἢ τό γε λοιπὸν καὶ τρίτον, εἰ καὶ πάσης ἔξω πλάνης εἰσὶ, καὶ πάντα πειστέον αὐτοῖς, ταῦτα μέν τοι τὰ παρὰ Λατίνων ἀνεγνωσμένα τῶν ἁγίων ῥητὰ οὐκ εἰσὶ γνήσια τῆς διανοίας ἐκείνων, ἀλλὰ νόθα τινὰ καὶ παρέγγραπτα καὶ πάντα ἁπλῶς παραπεποιημένα καὶ προσθῆκαι χειρὸς ἀλλοτρίας. ἀλλὰ τῶν μὲν πρώτων οὐδὲν ὑμεῖς δέξαισθ' ἂν, ἢ πάντα ἡμῶν εὐθὺς ἀνετράπη τὰ τῆς ἐκκλησίας μυστήρια, καὶ ἐπ' οὐδενὸς βεβήκαμεν ἰσχυροῦ· τὸ δέ γε λοιπὸν καὶ τρίτον γέλως σαφὴς, καὶ κατάγνωσις

προδῆλος, εἰ πάντα ἑξῆς, οὕτω μὲν τοσαῦτα βιβλία, οὕτω δὲ τοιαῦτα νόθα ἐροῦμεν, καί τι παλαιᾶς μὲν καὶ ἀρχαιοτάτης χειρὸς ἔργον ὄντα, ἀνὰ πᾶσαν δὲ ἐσπαρμένα τὴν γῆν, δι' αὐτῆς δὲ τῆς ἀκολουθίας τῶν προηγουμένων καὶ ἑπομένων δεικνύντα τὸ γνήσιον. καὶ ταῦτα τῶν ἡμετέρων πάντων καὶ αὐτῶν τῶν ἀρχαιοτάτων, καὶ ἐπ' αὐτοῦ τοῦ πρώτου κακοῦ καὶ τῆς διαιρέσεως ἀκμῆς καὶ ἀρχῆς ἀκμασάντων, μεμνημένων μὲν τούτων, οὐδὲν δὲ ὅμως ἀντειπεῖν δυναμένων ὅ, τι καὶ ἄξιον λόγου· ἄλλως τε καὶ μηδ' ἄλλων παρ' ἡμῖν ὄντων βιβλίων, πρὸς ἃ παραβάλλοντες τὰ τῶν Λατίνων, τὸ νόθον αὐτῶν ἐφωράσαμεν ἄν. Ἃ πάντα ἀναλογισάμενοι, καὶ πᾶσι τὸν νοῦν ἐπιστήσαντες, μὴ τὰ χείρω ἑλώμεθα, μηδὲ καθ' ἡμῶν αὐτῶν τὴν ψῆφον ἐξενέγκωμεν· δεινὸν γὰρ, εἰ ἡμεῖς ἡμῶν αὐτῶν καταγνοίημεν· μηδὲ προδῶμεν ἡμᾶς αὐτοὺς καὶ τὸ γένος, πρῶτα μὲν ἀποστραφῆναι δόξαντες τὴν ἀλήθειαν, καὶ μύσαντες τοὺς ὀφθαλμοὺς πρὸς τὸ φῶς· ἔπειτα δὲ καὶ ἐθελονταὶ αὐτοὶ καθ' ἡμῶν αὐτῶν τὰ δεινότατα ἐπαγαγόντες, καὶ πολλαπλασιάσαντες τὰ δεινά. ὅσα γὰρ ἡμῖν καὶ σωματικὰ ἐντεῦθεν ἔπεισι δεινὰ, καὶ ὡς ἰσχυρότερον μὲν τὸν κοινὸν ἐχθρὸν καὶ πολέμιον ὁπλίσομεν καθ' ἡμῶν, καὶ ὡς κινδυνεύει σχεδὸν παντελὴς ὄλεθρος ἔσεσθαι τῶν ὑφ' ἡμᾶς καὶ τὴν ἐκκλησίαν τὴν ἡμετέραν Χριστιανῶν, καὶ τὸ ὄνομα τοῦ Χριστοῦ ἐκεῖθεν τέλειον ἐκτριβήσεσθαι, οὐδεὶς ἀγνοεῖ. καὶ διῆλθον ἂν πάντα καθ' ἓν, καὶ ἐτραγῴδησα τὰ ἐπιόντα τῷ γένει δεινὰ καὶ πᾶσι τοῖς ἀπὸ Χριστοῦ καλουμένοις, τοῖς τε ἐν νήσοις, τοῖς τε ἐν ταῖς ἠπείροις, τοῖς ἐν ἀνατολῇ, τοῖς ἐν ἄρκτῳ, καὶ τῶν ἐν δύσει τοῖς ἡμῖν ὁμογνώμοσί τε καὶ ὁμόφροσιν, οὐχ ὅσα εἰς σῶμα καὶ τὰ σωματικὰ ἀναφέρεται μόνον, οὐ τοσοῦτον γὰρ ἂν ἦν τὸ δεινὸν, ἀλλὰ καὶ ὅσα εἰς ψυχήν τε καὶ τὴν εὐσέβειαν τείνει, πάντων ἁπλῶς ἢ τῶν πλειόνων, τῶν μὲν ἑκόντων, τῶν δὲ ἀκόντων κινδυνευόντων ὑπαχθῆναι τῇ πλάνῃ, καὶ ἀποστῆναι θεοῦ, εἰ μὴ πρὸς εἰδότας ὁ λόγος ἐγένετο, καὶ τοῦ λέγοντος μᾶλλον ἀποσταμένους. τίς γὰρ οὐκ οἶδεν, ὡς μόνη μὲν ἡμῖν ἐν κινδύνοις καταφυγὴ τὸ τῶν Λατίνων γένος κατελείπετο καὶ ἡ μετ' αὐτῶν ἕνωσις, ἐκεῖθεν ἐλπίζουσι σφᾶς αὐτοὺς ἀνακτήσεσθαι, καὶ τοὺς ἐχθροὺς καταγωνιεῖσθαι, μόνον δὲ τῷ πολεμίῳ τοῦτο φόβητρον ἦν, ἐπέχον αὐτὸν ὁπωσοῦν τῆς μανίας τῆς καθ' ἡμῶν, καὶ ἠρεμεῖν ἀναγκάζον

καὶ μὴ βουλόμενον; οὗ γανῦν γυμνωθέντες, ποῖ ποτε φευξόμεθα; τίς ἡμῖν ἔσται τῶν κακῶν λύσις; τίς ἀπαλλαγὴ τῶν δεινῶν; καὶ εἰ μὲν πλάνην δογμάτων ἢ διαστροφὴν πίστεως τῶν Λατίνων κατεγνώσκομεν, οὐκ ἂν οὐδ' αὐτὸς ὑμῖν συνεβούλευσα τὴν μετ' αὐτῶν ἀσπάσασθαι ἕνωσιν, καὶ οὕτως ἔχουσιν ὁμονοῆσαι αὐτοῖς τὰ σωματικὰ δεδιότας δεινὰ, καὶ προελομένους τῶν πνευματικῶν τὰ παρόντα, καὶ τῆς τῆς ψυχῆς βελτιώσεως τὴν τῶν σωμάτων ἐλευθερίαν· ἀλλὰ πρότερον ἂν πάντα αὐτός τε ὑπέστην τὰ χείριστα, καὶ ὑμῖν ὑπεθέμην, ἢ αὐτοῖς ἑνωθῆναι προέτρεψα καὶ τά γε τοιαῦτα συνεβούλευσα ἄν. νῦν δὲ δέος ὑφέρπει, μὴ τὴν σωματικὴν μετὰ καὶ τῆς ψυχικῆς βλάβης ἑλώμεθα· καὶ τἀληθῆ τε καὶ εὐσεβῆ φρονούντων αὐτῶν, καὶ οὐδὲν πλανωμένων περὶ τὴν πίστιν, εἴπερ μηδ' οἱ πατέρες ἡμῶν καὶ αὐτῶν καὶ διδάσκαλοι, συμφωνούντων δὲ καὶ τῇ ἡμῶν ἐκκλησίᾳ καὶ τοῖς ἁγίοις καὶ διδασκάλοις τοῖς ἐξ ἑῴας, ἡμεῖς ἐπὶ κακῷ τῷ σφετέρῳ διαιρηθῆναι τῶν τοιούτων ἀνδρῶν δικαιώσωμεν. αὐτοὺς μὲν γὰρ τοῖς ἐξ ἑσπέρας πατράσιν ἕπεσθαι φανερῶς, καὶ ὑμεῖς οἶδ' ὅτι ἐρεῖτε. τούτους δὲ τοῖς ἐξ ἑῴας συμβαίνειν, ἐνταῦθα διὰ βραχέων ὡς ἐνὸν ἀποδέδεικται· ὡς εἶναι λοιπὸν φανερὸν πᾶσιν, αὐτοὺς ἕπεσθαι τοῖς ἁγίοις δυτικοῖς τε καὶ ἅμα ἀνατολικοῖς, κοινοῖς οὖσι πατράσι καὶ διδασκάλοις. ποίῳ τοίνυν δικαίῳ τῶν τοιούτων ἀνδρῶν διεσταίημεν; τίσιν εὐπροσώποις λόγοις τὴν αὐτῶν φύγοιμεν κοινωνίαν; ποία ἡμῖν ἱκανὴ πρὸς θεὸν ἔσται ἀπολογία τοῦ τοσούτου κακοῦ τῆς τῶν ἀδελφῶν διαιρέσεως, ἣν ὥστε αὐτὸς ἀνελεῖν Χριστὸς καὶ πάντας ἑνῶσαι, κατῆλθε καὶ ἐσαρκώθη, καὶ σταυρὸν κατεδέξατο, καὶ παρέδωκεν ἑαυτόν; ποία δὲ εἰς τὰς μετέπειτα γενέας ἡμῶν, μᾶλλον δὲ εἰς τὰς νῦν οὔσας; οὐ γὰρ οἶδα εἰ καί τι τοῦ ἡμετέρου φύλου ἔσται μετέπειτα, ὑπὲρ ὧν μεγάλων καὶ πολλῶν ἑκόντες αὐτοῖς συμφορῶν ἐπιφέρομεν. μὴ, πατέρες καὶ ἀδελφοί, μὴ ταύτης τῆς γνώμης γενώμεθα· μὴ οὕτω κακῶς περὶ ἡμῶν αὐτῶν βουλευσώμεθα· μὴ λύκοι ἀντὶ ποιμένων ὀφθῶμεν τοῖς βλέπουσιν εἰς ἡμᾶς· μὴ καὶ τὰς ψυχὰς αὐτοῖς ἀπολέσωμεν καὶ τὰ σώματα προδόντες τοῖς πολεμίοις. ἐγὼ γὰρ, καὶ ἔστω μοι οὗτος ὁ λόγος εἰς ἀείμνηστον μαρτυρίαν τῷ γένει παντὶ καὶ πᾶσι Χριστιανοῖς, ταύτης οὐκ ἂν ποτε γενοίμην τῆς γνώμης, οὐδ' ἂν ποτε προδοίην ἑκὼν τούτῳ τῷ μέρει καὶ σώματα, καὶ ψυχὰς,

καὶ πίστιν, καὶ πόλεις, καὶ τάφους πατέρων, καὶ ἐλευθερίαν, καὶ πᾶν ὅτι τίμιον. ἃ πάντα εὑρίσκω λογιζόμενος τῇ τῶν Χριστιανῶν διαιρέσει ἑψόμενα, καὶ τῇ ἀπὸ Λατίνων ὑμῶν σὺν οὐδενὶ δικαίῳ ἀποστάσει καὶ ἐπιβλαβεῖ διαιρέσει καὶ τῇ ἔχθρᾳ τῇ πρὸς αὐτούς. οὐδεμία γάρ μοι εὔλογος φαινομένη αἰτία δοκεῖ, δι' ἣν ἂν τὰ τοσαῦτα καὶ τοιαῦτα ἑλοίμην κακὰ καὶ ἥτις ἂν ταῦτα ἀντισηκώσειε. δέομαι δὲ καὶ ὑμῶν, μάλιστα μὲν πάντας τὴν αὐτὴν ἐμοὶ γνώμην λαβεῖν· εἰ δὲ μή γε, τοὺς πλείονας· εἰ δ' οὖν, ἀλλ' ἐγὼ μὲν μαρτύρομαι τὸν ἐπὶ πάντων Θεὸν, καὶ ὑμᾶς τοὺς νυνὶ παρόντας, καὶ τοὺς μετέπειτα τοῦ γένους τοῦ ἡμετέρου, ὡς ἀπαθῶς τε καὶ ἀληθῶς καὶ ἀδόλως, ἅ μοι ἔδοξεν ἀληθῆ εἶναι καὶ δίκαια καὶ συμφέροντα, ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν παρηκολευθηκὼς τῷ πράγματι διετέλεσα λέγων, καὶ οὐδὲν ὑποστειλάμην εἰπεῖν τὰ δοκοῦντα, οὐδὲ τὴν ἰδίαν ἀσφάλειαν τοῦ κοινῇ συνοίσοντος προειλόμην· ἀλλὰ τὰ ἐμὰ πάντα τῷ Θεῷ ἀναθέμενος ὅπως ἐκεῖνος βούλοιτο ἄγειν, ὃ καὶ ἐκ νέου μοι πάντα τὸν βίον βέλτιον ἢ αὐτὸς ηὐχόμην διῳκηκὼς, τοῦ κοινοῦ ἀγαθοῦ διὰ τέλους ἐφρόντισα, καὶ πρὸς τοῦτ' ἀποβλέπων, καὶ ἔδρων πάντα καὶ ἔλεγον, μετὰ τοῦ σώζειν τὴν ἐν τῇ πίστει ἀλήθειαν, καθόσον αὐτὸς ἐδυνάμην συνιέναι, καὶ τῶν σωματικῶν τῷ γένει ὡς ἐνὸν προνοῶν. ὑμεῖς δὲ ὅ, τι ἂν ὑμῖν δόξειε πράττειν, γνώμης οὖσι κυρίοις, τοῦτο ποιεῖτε· νικώη δ' ὅμως Θεοῦ ἡγουμένου καὶ παρ' ὑμῖν τὰ βελτίω. εἰ δὲ τὰ χείρω κρατήσει, τῆς ἡμῶν ἁμαρτίας λελυμασμένης τοῖς πράγμασιν, ἀλλὰ τοῦτό γε ἴστω πᾶν γένος ἀνθρώπων, καὶ ἡλικία πᾶσα καὶ τάξις· δεῖ γὰρ αὖθις ἐπιμαρτύρασθαι· ὡς ἀναίτιος μὲν ἐγὼ τοῦ κακοῦ τοῦ τῆς διαιρέσεως, οὐκ ἐκοινώνησα δὲ ταύτης τῆς γνώμης, οὐδὲ δικαιῶ διαζευχθῆναι Λατίνων παρὰ πᾶν τὸ ἐκ τῶν λόγων εἰκός. οὔτε γὰρ ἐμαυτὸν πείθω, μὴ ἀληθῶς τε καὶ εὐσεβῶς δοξάζειν αὐτοὺς, καὶ ταὐτὰ τοῖς ἁγίοις καὶ τῇ ἡμῶν ἐκκλησίᾳ φρονεῖν· οὔτ' ἀγνοῶ τὰ ἐντεῦθεν ἑψόμενα τῷ γένει δεινὰ, καὶ πάσης τραγῳδίας ἐπέκεινα· ἀλλὰ καὶ προέγνων, καὶ εἴρηκα, καὶ πᾶσιν ἐδήλωσα, καὶ ὅπως μὴ γένηται, ἐκ τῶν δυνατῶν προενόησα· εἰ δὲ μὴ ἐδυνήθην ἀνύσαι, οὐ τοῦ εἰπόντος, ἀλλὰ τῶν μὴ πεισθέντων τὸ ἔγκλημα.



ΙΩΣΗΦ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΜΕΘΩΝΗΣ.

Ἀπολογία εἰς τὸ γραμμάτιον κὺρ Μάρκου τοῦ Εὐγενικοῦ μητροπολίτου Ἐφέσου, ἐν ᾧ ἐκτίθεται τὴν ἑαυτοῦ δόξαν, ἣν εἶχε περὶ τῆς ἐν Φλωρεντίᾳ ἁγίας καὶ ἱερᾶς συνόδου.

ΠΡΟΟΙΜΙΟΝ.

Ὁ αἰδέσιμος οὗτος ἀνὴρ τοὺς ἀπὸ Χριστοῦ κεκλημένους Χριστιανοὺς εἰς τὴν τῶν σχισματικῶν βουλόμενος ἀπεῶσαι μοῖραν, κἀντεῦθεν τῆς τῶν εὐσεβῶν κοινωνίας χωρίσαι, καὶ τῆς ἱερᾶς παντελῶς ἀποστῆσαι συνόδου, ὥσπερ τινὰ τόμον τὴν ἑαυτοῦ γνώμην ἐξέθετο, καὶ τοῖς ἁπανταχοῦ Χριστιανοῖς ἀποστείλας νουθετεῖ, παρεγγυᾶται μὴ τὴν οἰκουμενικὴν σύνοδον στέργειν, ἀλλὰ μᾶλλον τοῖς αὐτοῦ λόγοις προσμένειν, ὡς ἑνὸς καὶ αὐτοῦ ὄντος τῶν διαλεχθέντων τῆς ἱερᾶς ἐκείνης συνόδου· καὶ ὅτι οἱ μὲν ἄλλοι ὑποσχέσεσι λαμπραῖς καὶ τιμαῖς ὑπαχθέντες συνῄνεσαν, αὐτὸς δὲ οὐδ' ὅλως αὐτοῖς συγκατένευσε· κἀκεῖνοι μὲν δῶρα χερσὶ λαβόντες ἡνώθησαν, οὗτος δὲ οὔτε δῶρα ἔλαβεν, οὔτε χρυσῷ τὰς χεῖρας ἐμίανεν. Ἐπεὶ οὖν καὶ πρὸς ἡμᾶς ἡ τοιαύτη αὐτοῦ παραίνεσις ἤδη ἐλήλυθεν, ἄξιόν ἐστιν ὡς ἀληθῶς ἐξετάσαι, εἴπερ ἀληθῆ λέγει, καὶ συμφωνεῖ τοῖς ἁγίοις τοιαῦτα λέγων. καὶ εἰ μὲν τῆς ἀληθείας ἔχεται, καὶ ἡμεῖς μετ' αὐτοῦ στησόμεθα ἐγκαλοῦντες Λατίνοις, καὶ ὁμόφρονες αὐτῷ πάντα τὸν χρόνον ἐσόμεθα. εἰ δὲ πόῤῥω που τῆς ἀληθείας καὶ παντελῶς ἀλλότρια τῆς τῶν ἁγίων θεολογίας ἀποφαινόμενος δειχθείη, ἀποπέμψαι μὲν τοῦτον ὡς ἀπατεῶνά τε καὶ ψευδοδιδάσκαλον, ἀποσκορακίσαι δὲ τοὺς αὐτοῦ λόγους ὡς πημαντικοὺς ὄντας τῶν ἡμετέρων ψυχῶν καὶ προσῆκόν ἐστι καὶ σωτήριον ἅμα.

τούτου δὲ λεχθέντος, αὐτὸν μὲν καὶ τοὺς μετ' αὐτοῦ ἡμῖν πάντας τοὐναντίον φάσκοντας ἀποστραφῆναι ἡμᾶς δεῖ, ἑνωθῆναι δὲ τῇ τοῦ θεοῦ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ. Καὶ μὴ θαυμάσῃ τις, ὡς ἀνδρὸς τοιούτου σοφοῦ καὶ μεγάλου λόγους ἡμεῖς οὕτω τολμηρῶς ἀνατρέπειν ἐπιχειροῦμεν· τότε δὲ μᾶλλον θαυμάζειν δεῖ, ὅταν αὐτὸν ἐλεγχόμενον παρ' ἡμῶν θεάσησθε ὄντα τοιοῦτον, καὶ δεικνύμενον ἀσθενῆ τε καὶ ψευδῆ προφέροντα ῥήματα. εἰ γὰρ ἄπειροι σοφίας ἐσμὲν, ἀλλ' ὀρθόδοξοι τῇ τοῦ θεοῦ χάριτι. ἐκεῖνος γὰρ ὁ εἰπών· Ὅταν ἀχθῆτε εἰς σοφοὺς καὶ ἡγεμόνας, μὴ δειλιάσητε, ἐγὼ γὰρ ὑμῖν δώσω δύναμιν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι ὑμῖν· * αὐτὸς γοῦν δύναται καὶ ἡμᾶς φωτίσαι ὁ καὶ τοὺς ἁλιεῖς ἀγραμμάτους ὄντας θεολόγους καὶ ῥήτορας ἀναδείξας, καὶ δύναμιν ἱκανὴν δοῦναι, ὥστε τοῦτον καταστρεπώσασθαι. μὴ οὖν ἀποβλέψητε πρὸς τὴν ὑπεροχὴν τοῦ ἀνδρὸς καὶ τὴν ἡμῶν χθαμαλότητα, ἀλλὰ πρὸς τὴν ἀλήθειαν ἀμφοτέρων, καὶ τίς ἐστιν ὁ τοῖς θεολόγοις τῆς ἐκκλησίας συνᾴδων· τῷ γὰρ τὴν ἀλήθειαν λέγοντι, τούτῳ καὶ πιστευτέον ἀνάγκη. ἵν' οὖν μὴ δόξωμεν περιττὰ ἐκ προοιμίων λέγειν, φέρε τὰ παρ' αὐτοῦ εἰρημένα εἰς μέσον προθῶμεν, καὶ ταῦτα κατὰ λέξιν ἀκριβῶς ἐξετάσωμεν, ἵν' ἡ ἀλήθεια φανερὰ τοῖς πᾶσι γένηται.

* Λουκ. 21, 14. 15.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ διὰ τὴν ἐπιταγὴν καὶ τὴν χρείαν τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀναδεξάμενος τὸ τῆς ἀρχιερωσύνης λειτούργημα, τοσοῦτον τὴν ἐμὴν ἀξίαν ἅμα καὶ τὴν δύναμιν ὑπερβαῖνον, ἐπηκολούθησα τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῷ ἐκ θεοῦ αὐτοκράτορι πρὸς τὴν ἐν Ἰταλίᾳ σύνοδον.

ἈΠΟΛΟΓΙΑ. Πάντες οἱ τῷ ἀπὸ Χριστοῦ ὀνόματι κεκλημένοι διὰ τὴν χρείαν καὶ τὴν ἐπιταγὴν τῆς Χριστοῦ ἐκκλησίας οὐκ ὀφείλομεν μόνον ἀναδέξασθαι τέως μετ' εὐλαβείας τὸ τῆς ἀρχιερωσύνης λειτούργημα· ὅπερ καὶ τὴν ἡμετέραν ἀξίαν καὶ δύναμιν, ὡς ἔφησας, ὑπερβαίνει, καὶ τοῦτό ἐστιν ἀληθὲς, τιμῆς μεγίστης ὑπάρχον ἀξίωμα· ἀλλὰ καὶ θάνατον ὑπομεῖναι, καὶ εἴ τι ἄλλο τῶν ἀναγκαίων προΐεσθαι, βίον, σῶμα, καὶ αὐτὴν τὴν ψυχὴν ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐκκλησίας· καὶ ἀκολουθῆσαι τοῖς ἐκ θεοῦ δοθεῖσιν ἡμῖν ἡγεμόσι, βασιλεῦσι καὶ πατριάρχαις, οὐ πρὸς τὴν Ἰταλίαν μόνον, ἥτις ἄρχεται παρὰ Χριστιανῶν ἔτι καὶ κυβερνᾶται, ἀλλὰ καὶ εἰς

τὰ ἔσχατα μέρη τῆς οἰκουμένης, ἔνθα ἂν ἄπιστοι κατοικῶσιν, ἵνα μὴ κενωθῇ τὸ τοῦ σταυροῦ κήρυγμα, καὶ ἡ τῆς ἀληθοῦς πίστεως ὁμολογία ταῖς βίαις παραφθαρείη τῶν ἀνηκόων αἱρετικῶν· μιμήσασθαι κἂν τούτῳ τοὺς πάλαι περιβοήτους ἐκείνους καὶ μακαρίους ἄνδρας, οἳ προθύμως ἐξέχεαν τὸ αἷμα αὐτῶν διὰ τὴν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐκκλησίαν. ὅθεν καὶ σὺ εἰ ἐπηκολούθησας, χρεωφιλέτης ὑπῆρχες· καὶ εἴθε ἐτελείωσας καὶ τὸ ἔργον ὡς ὤφειλες. ἀλλ' ἴδωμεν οὖν σου καὶ τὰ λοιπά.

Ὁ ἘΦΕΣΟΥ. Μήτε τὴν ἐμαυτοῦ ἀσθένειαν ὑπολογισάμενος, μήτε τὸ τοῦ προκειμένου πράγματος ἐργῶδές τε καὶ ὑπέρογκον, ἀλλ' ἐλπίσας ἐπὶ θεῷ, καὶ τοῖς κοινοῖς τούτοις προστάταις πιστεύσας, ὡς ἅπαντα ἡμῖν ἕξει καλῶς, καί τι κατορθώσομεν μέγα καὶ τῶν ἡμετέρων πόνων καὶ τῶν ἐλπίδων ἄξιον.

ἈΠΟΛΟΓ. Ὤφειλες ὡς σοφός τε καὶ συνετὸς ἀνὴρ ὑπολογίσασθαι τὴν τοῦ σώματός σου ἀσθένειαν, μεγίστην οὖσαν σφόδρα τε καὶ ὀδυνηράν· μαρτυροῦσι γὰρ τοῦτο οἱ πολῖταί σου καὶ ὁμόφρονες· ἔνθα γὰρ ἂν ἦν καταλαβόν σε τὸ σεληναῖον πάθος, ἐκαλινδοῦ ἀφρίζων καὶ ταραττόμενος· ὑπολογίσασθαι δὲ καὶ τὸ τοῦ προκειμένου πράγματος ἔργον, ὡς μέγα καὶ μεγάλης σπουδῆς ἔτι καὶ εὐλαβείας δεόμενον, σοφίας τε καὶ συνέσεως καὶ ἀληθοῦς γνώσεως καὶ ὅλως ὅλον τὸν νοῦν πρὸς αὐτὸ τἀγαθὸν καὶ ἅγιον πνεῦμα, ὑπὲρ οὗ καὶ ὁ ἀγὼν ἦν τότε τῆς ἐκκλησίας, ἐκτείνειν, καὶ παρ' ἐκείνου μόνου τὴν ἕνωσιν καὶ τὴν εἰρήνην αἰτεῖν, καὶ οὐ πρὸς ἐλπίδας ἐπιγείους καὶ δόξας καὶ ἄλλα ὅμοια τὸν νοῦν μεταστρέφειν· αὐτὸς γὰρ ὁ σωτὴρ ἐνετείλατο· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι.* σὺ δὲ πρὸς τὰ ἐπίγεια ἐπιμελῶς τὸν νοῦν ἔχων, καὶ τοὺς Λατίνους σοφούς τε καὶ γενναίους ὄντας ἄνδρας μεταπείσειν ἐλπίζων ὑποκύψαι τοῖς σοῖς λόγοις, καὶ τὴν υἱοῦ φωνὴν ὡς ψευδῆ ἀφελεῖν ἀπὸ τοῦ συμβόλου, καὶ τοὺς τῆς δύσεως αὐθέντας ἀκολουθῆσαί σοι διὰ ξηρᾶς ἐλθεῖν κατὰ τῶν ἀθέων Τούρκων· ταῦτα γὰρ ἐλπὶς τῶν κόπων σου καὶ τῶν πόνων ἦν, καὶ οὐ τὴν ἀλήθειαν ἐρευνῆσαι τοῦ δόγματος, καὶ ἑνῶσαι τὰς ἐκκλησίας τοσοῦτον ἤδη χρόνον διεσχισμένας ἀλλήλων· ἦλθες εἰς Ἰταλίαν. εἰ γὰρ πρὸς τοῦτό σοι

* Ματθ. 6, 32. 33.

ὁ σκοπὸς καὶ τῶν ἄλλων, ἐπηκολούθησεν ἂν τὰ ἑπόμενα· σοῦ δὲ καὶ τῶν μετὰ σοῦ διεστραμμένων ὄντων τὸν νοῦν, διεστραμμένως ὄντως ἐπηκολούθησεν ἅπαντα. καὶ ταῦτα μὲν πρὸς ἐκεῖνα, ἴδωμεν δὲ καὶ τὰ ἐφεξῆς.

Ὁ ἘΦΕΣΟΥ. Ἐπεὶ δὲ ἐνταῦθα γενόμενοι τῶν Λατίνων εὐθὺς ἐπειράθημεν ἄλλως ἡμῖν προσενεχθέντων ἢ ὡς ἠλπίζομεν, εὐθὺς μὲν ἡμῖν ἀπογνῶναι τοῦ τέλους συνέπεσε· καί τις ἡμῶν εἴπεσκεν ἰδὼν εἰς πλησίον ἄλλον· Σχολῇ γ' ἂν οἱ ἄνδρες οὗτοι τῶν οἰκείων ἐθῶν τι καὶ δογμάτων παρακινήσαιεν, οἱ τοσαύτην ὑπεροχὴν ἡμῖν ἐνδεικνύμενοι.

ἈΠΟΛΟΓ. Ἐπειράθης ἔργῳ ὃ οὐχ ὑπελάμβανες ὡς ἀσύνετος. σὺ μὲν γὰρ ᾤου τοὺς Λατίνους ἀπείρους εἶναι σοφίας, καὶ οὕτω πείσειν αὐτοὺς ὡς ἀμαθεῖς ὑπακοῦσαί σοι. ἐπεὶ δὲ ἄλλως εὗρες ἢ ὡς σὺ ἤλπιζες, ἠβουλήθης ἐκεῖθεν φυγεῖν, τὸν ἀγῶνα τῆς διαλέξεως δειλιάσας. ἐβόα γὰρ παῤῥησίᾳ ὁ Ἰωάννης ἐκεῖνος· Φέρετε ὡς ἡμᾶς τὸν Ἐφέσου· ὡς μετὰ μικρὸν ἐπιδείξομεν τοῦτο· σὺ δὲ οὐκ ἠθέλησας συνελθεῖν πτοηθεὶς τοὺς ἐλέγχους. ἀλλὰ τότε μὲν οὐκ ἠδυνήθης ἀπολογήσασθαι, νῦν δὲ κατὰ μόνας γενόμενος ταῦτα λέγεις πρὸς τὸ ἐξαπατῆσαι τοὺς ἁπλουστέρους τέως σπουδάζων. δόγμα δὲ ἢ ἔθος τι τῶν οἰκείων παρασαλεύσειν αὐτοὺς πεισθέντας πρὸς σοῦ καὶ τῶν μετὰ σοῦ οὐ χρεία ἦν· ἔνθα γὰρ ἡ ἀκαπήλευτος σοφία διδάσκεται, καὶ τελείους ἐργάζεται τοὺς ἑαυτῆς ἐραστὰς, οὐ θεμιτόν ἐστι παρασαλεῦσαι ἔθος ἢ δόγμα πιστὸν, τὸ δὲ ἐν Ἰταλίᾳ σοφοὺς καὶ τελείους εὑρίσκεσθαι ἄνδρας, καὶ μηδὲν ἐλάττους τῶν παλαιῶν ἐκείνων καὶ μακαρίων ἀνδρῶν, πᾶς τις ἂν εἴποι, εἰ μόνον μὴ εἴη κακίας ἐμπεπλησμένος. εἰ δὲ ἐν Ἰταλίᾳ τοῦτο, πόσῳ γε μᾶλλον ἐν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ, ἔνθα οὐδέποτε ἀπιστία ἢ αἰσχρὸν δόγμα ἔμεινεν; ὑπεροχὴν δὲ καὶ μεγαλειότητα ἐς ὑμᾶς ἐνεδείξαντο ὡς σοφοὶ καὶ γενναῖοι ἄνδρες, τὴν τιμὴν ἡγούμενοι πρὸς ἀλλήλους κατὰ τὸν θεῖον ἀπόστολον· ἀλλ' οὐ διὰ τοῦτο ἔδει αὐτοὺς φανῆναι ἀνεπιστήμονας ἐθῶν καὶ δογμάτων ἀληθινῶν, πρὸς τὸ μαθεῖν παρ' ὑμῶν σπεύδοντας, ἀμαθεστάτων οὐκ αὐτῶν μόνων ὄντων, ἀλλὰ πολλῷ μᾶλλον τῆς δοκούσης παρ' ὑμῖν εἶναι σοφίας. ἀλλὰ ταῦτα μὲν ἐάσαντες ἔλθωμεν πρὸς τὰς ἐπιλήψεις, ἐν αἷς δυνησόμεθα ἀξιωτέρους εἰπεῖν λόγους.

Ὁ ἘΦΕΣΟΥ. Τέως δ᾽ οὖν ἀνεμείναμεν κελευσθέντες, καὶ προθεσμίας μακρὰς ἐνεσχόμεθα πρὸς τὸ συνελθεῖν τε καὶ καταστῆναι τὴν σύνοδον.

ἈΠΟΛΟΓ. Ἔμελλες ὑπομένειν τε καὶ προσδοκᾷν τὰς προθεσμίας, ἐπειδὴ ἡ αἰτία ἦν εὔλογος. πάσας γὰρ ἔδει τὰς δυτικὰς αρχὰς τῇ συνόδῳ παρεῖναι ἢ δι᾽ αὐτῶν τῶν ἀρχόντων ἢ διὰ τοποτηρητῶν· οἰκουμενικὴ γὰρ συνηθροίζετο, καὶ εἰκὸς ἦν τὸ πρᾶγμα πολλοὺς ἔχειν τοὺς μάρτυρας. οὐκοῦν καὶ σὺ καλῶς ἐποίησας ὑπομένων. ἀλλ᾽ εἴθ᾽ ὤφειλες μέχρι τέλους πρὸς σωτηρίαν τῆς σῆς ψυχῆς τοῦτο πρᾶξαι· τὴν γὰρ καλλίστην ἀρχὴν εἰς ἀπευκτὸν κατέστησας τέλος. ἀλλ᾽ ἴδωμέν σου καὶ τὰ λοιπά.

Ὁ ἘΦΕΣΟΥ. Ἔλαβε τέλος ἡ προθεσμία, καὶ μετὰ τοῦτο παρῆλθον ἡμέραι συχναί, καὶ μόλις συνήλθομεν ἐν ταὐτῷ Γραικοὶ καὶ Λατῖνοι.

ἈΠΟΛΟΓ. Ἐπειδὴ ἦλθον οἱ προσδοκώμενοι πάντες ἐν τῇ συνόδῳ, ἔδει λυθῆναι τὴν προθεσμίαν. εἰ δὲ παρῆλθον καὶ μετὰ ταῦτα ἡμέραι τινές, ἔδει καὶ τοῦτο γενέσθαι· οὐ γὰρ εὐθὺς εἰκὸς ἦν τὴν σύνοδον συνελθεῖν πρὸ τοῦ οἰκονομῆσαι τοὺς τόπους, καὶ τὰ καθίσματα, καὶ τὰς τιμὰς τῶν προσώπων διδόναι πρὸ τῆς ἐνάρξεως· ἵνα μὴ ἐν τῇ συνελεύσει γένοιτο θόρυβος, ὅπερ σὺ αὐτὸς ἔπραξας. τόπον γὰρ τῶν Ἱεροσολύμων ἐπέχων, ὅστις πέμπτος ὑπάρχει θρόνος, εἰς τὸν τοῦ Ἀλεξανδρείας ἐκάθισας ὅς ἐστι τρίτος· ὁπότε δὲ ἠθέλησεν ὁ τοῦ Ἀλεξανδρείας εἰς τὸν ἑαυτοῦ θρόνον καθίσαι, ἐθυμώθης καὶ οὐκ ἤθελες διαλέγεσθαι. λοιπὸν οἱ τῆς εὐταξίας ὀρεγόμενοι ταῦτα πρὸ τοῦ καιροῦ ἑτοιμάζουσι, ἵνα μὴ ἐν τῷ καιρῷ, ὡς ἔφημεν, σύγχυσις γένηται. συνήλθετε δὲ Γραικοὶ καὶ Λατῖνοι, ὅτε ὁ καιρὸς ἐπέστη. πάντες οὖν ἐλθόντες, οὓς ἔδει παρεῖναι, ὡς ἔφην, καὶ τοὺς τόπους μὲν οἰκονομήσαντες, τοὺς διαλεγομένους δὲ ἑτοιμάσαντες, τοῦ ἐγχειρήματος ἤρξαντο. καὶ γὰρ οὐδὲ πρότερον, ὡς φῄς, ἡ σύνοδος ἠρεμίαν εἶχεν, ἀλλ᾽ ἐξετάζετε καθ᾽ ἑκάστην περί τε τοῦ καθαρτηρίου πυρός, τοῦ ἀζύμου τε καὶ τῶν ἄλλων· ὅτε καὶ σὺ ὡμολόγησας πάντα δίκαια εἶναι πλὴν τῆς προσθήκης, ἣν ἔλεγες παῤῥησίᾳ ἐκβληθῆναι μὲν ἀπὸ τοῦ συμβόλου, τεθῆναι δὲ ἐν ἰδίῳ ὅρῳ· συνεχώρεις οὖν καὶ αὐτός.

Ὁ ἘΦΕΣΟΥ. Περὶ τῆς ἐν τῷ συμβόλῳ προσθήκης πρῶτον διαλεξόμενοι.

ἈΠΟΛΟΓ. Περὶ τῆς ἐν τῷ συμβόλῳ δοκούσης παρ' ὑμῖν μὲν προσθήκης, παρὰ δὲ τοῖς τὰ ἀμείνω εἰδόσι σαφηνείας καὶ ἀναπτύξεως, ἤρξασθε πρότερον διαλέγεσθαι, ἐπειδὴ τοῦτο ὡς ἰσχυρότερον προυβάλεσθε πρόβλημα. ἴσμεν γὰρ πάνυ καλῶς, ὅτι εἰς δύο τὸ ζήτημα τῆς ὑποθέσεως ἐμερίσατε· τὸ μὲν, ὅτι οὐ δεῖ προσθεῖναι· τὸ δὲ, ὅτι οὐδὲ τὸ προστεθὲν ἐστιν ἀληθές. ταῦτα δὲ ἀμφότερα, ὡς δοκεῖ τοῖς ἐχέφροσι, καὶ σαθρὰ καὶ ἀνίσχυρα παντελῶς ὑπάρχουσιν, ὡς δειχθήσεται. τὸ μὲν, ὅτι φανήσεται ἡ ἐκκλησία τοῦ Θεοῦ σήμερον ἀσθενὴς καὶ ἀνίσχυρος λίαν, μὴ τὴν αὐτὴν ἰσχύν τε καὶ δύναμιν ἔχουσα, ἣν εἶχε πάλαι καὶ κατἀρχάς· τὸ δὲ, ὅτι καὶ οἱ ἅγιοι πατέρες τε καὶ διδάσκαλοι αἱρετικοὶ δειχθήσονται τοῦτο θεολογοῦντες· εἴη δ' ἂν καὶ τοῦτο τῆς σῆς ἀπονοίας καὶ γνώμης ἄξιον, καλὲ Ἐφέσου.

Ὁ ἘΦΕΣΟΥ. Καὶ δὴ προτρεπεὶς ἐγὼ τῆς ὑποθέσεως ἄρξασθαι, πρῶτα μὲν ἐν τοῖς προοιμίοις ἐσπούδασα τὴν αἰτίαν αὐτοῖς ἀνάψαι τῆς διαιρέσεως, καὶ τὸ ἔφιλον ἐγκαλέσαι καὶ ὑπεροπτικὸν, ἐκείνων ἀπολογουμένων τε καὶ ἐγκαλούντων ἡμῖν, καὶ ἑαυτοὺς δικαιούντων, ὅπερ εἰώθασιν.

ἈΠΟΛΟΓ. Ἤρξω μὲν ἀληθῶς, ἔφης, τῆς ὑποθέσεως, πλὴν φιλοταράχως καὶ ψευδῶς, χωρὶς τῆς οἱασοῦν ἀληθείας. τὸ γὰρ λέγειν, ὅτι ἡ προσθήκη γέγονεν αἰτία τοῦ χωρισμοῦ καὶ τοῦ σχίσματος, τοῦτο οὐδεὶς ἂν τῶν φιλομαθῶν φήσειεν, εἰ μή πού τινες γραὸς μύθοις πιστεύσαντες, μετὰ σοῦ τοῦτο φήσουσιν, ἐκεῖνοι μὲν ὑπὸ ἀμαθίας, σὺ δὲ ὑπὸ κακίας κινούμενος. ἀλλ' οὐδ' ἐμάχοντό ποτε οἱ Λατῖνοι Γραϊκοῖς, οὐδ' ὑπερηφανεύοντο, ἄπαγε· ἀλλ' ἐφίλουν τε αὐτοὺς καὶ μᾶλλον ἐπεθύμουν εἶναι μετ' αὐτῶν ἡνωμένοι. καὶ γὰρ ἐκεῖνοι ἐν τῇ ἀρχῇ τοῦ σχίσματος ἅπαξ εἰπόντες κατὰ Γραϊκῶν, καὶ ταῦτα τῷ δόγματι αὐτῶν ὑπεκδικοῦντες οὐχ ὑβριστικῶς ἀλλὰ λογικῶς, ἐπαύσαντο· οὗτοι δὲ ἐκ τότε καὶ μέχρι τοῦ νῦν οὐκ ἐπαύσαντο πάντα λίθον κινοῦντες κατὰ Λατίνων, καὶ ῥητὰ καὶ ἄῤῥητα κατ' αὐτῶν ἐμεῖν· καὶ οὔτε φόβος Θεοῦ, οὔτε πολυχρόνιος ἔνστασις, οὔτε σύνοδος οἰκουμενικὴ, οὔτ' αὐτὴ ἡ ἀλήθεια ἠδυνήθη παῦσαι αὐτούς. ἀπελογοῦντο δέ σοι διὰ τοῦ ἀρχιεπισκόπου

Ῥόδου, δεικνύντος ψευδῆ εἶναι ἅπερ ἔλεγες· ὡς οὐχ ἡ ἐκκλησία τῆς Ῥώμης, οὐδ' ἡ προσθήκη αἰτία τῆς διαιρέσεώς τε καὶ μάχης ἦν· διότι οὐ μόνον πρὸ τοῦ σχίσματος τῶν ἐκκλησιῶν ἐν τῷ συμβόλῳ ἡ προσθήκη ἐτέθη, ἀλλὰ καὶ πρὸ τῶν οἰκουμενικῶν συνόδων, τῆς ἑβδόμης φημὶ καὶ τῆς ἕκτης, ὡς μαρτυρεῖ ὁ ὁμολογητὴς Μάξιμος ἐν τῇ πρὸς Μαρῖνον τὸν πρεσβύτερον Κύπρου ἐπιστολῇ· καὶ οὐ πρὸ τούτων μόνον ὡς εἴρηται, ἀλλ' εὐθὺς μετὰ τὴν * δευτέραν σύνοδον ἐν τῷ καιρῷ Δαμάσου πάπα, ὡς μαρτυρεῖ Γεώργιος Ἀριστινὸς ὁ ἱστορικός. ὥστε ἐντεῦθεν ἐλεγχόμενος φαίνῃ μηδὲν ἀληθὲς λέγων. ἀλλ' οὐδ' ἡ προσθήκη γέγονεν αἰτία τοῦ διαιρεθῆναι τὰς ἐκκλησίας. εἰ μὲν γὰρ τὸ σχίσμα ἐστὶ μετὰ τὴν ἑβδόμην σύνοδον, καὶ πολλῷ πλείω ὕστερον ταύτης, ἡ δὲ προσθήκη ἀπὸ τῆς δευτέρας γέγονεν, αἱ δ' ἐκκλησίαι ἡνωμέναι ἦσαν μέχρι καὶ τῆς ἑβδόμης, καὶ οὐκ ἐνεκάλουν ἀλλήλαις ἕνεκεν τούτου, πῶς ἡ προσθήκη αἰτία γέγονε τῆς διαιρέσεως; μᾶλλον δὲ δείκνυται ἀπὸ τούτου, ὅτι ἐδέχοντο οἱ ἀνατολικοὶ τὴν σαφήνειαν ταύτην, ἐπειδὴ ὡμονόουν προστεθειμένου ἐν τῷ συμβόλῳ καὶ τοῦ· Ἐκ τοῦ υἱοῦ.

* Δόξα οὐ μὴν τοῦ συγγραφέως, ἀλλὰ δὴ Γεωργίου τοῦ Ἀριστινοῦ.

Ὁ ἘΦΕΣΟΥ. Ἔπειτα κατὰ τὰς ἐφεξῆς συνελεύσεις προχειρισάμενος τὰς πράξεις τῶν ἱερῶν συνόδων ἀνέγνων ἐξ αὐτῶν τοὺς ὅρους, ἐν οἷς ἀπαγορεύουσιν οἱ θεῖοι πατέρες ἐκεῖνοι τὴν ἐναλλαγὴν τοῦ συμβόλου μέχρι λέξεώς τε καὶ συλλαβῆς, καὶ φρικώδεις ἀρὰς ἐκφωνοῦσι κατὰ τῶν ταύτην ποτὲ τολμησόντων, ὥστε τοὺς ἐπισκόπους μὲν τοὺς κληρικοὺς ἀνιέρους εἶναι τὸ ἀπὸ τοῦδε, καὶ τῆς δεδομένης αὐτοῖς χάριτος ἀλλοτρίους, τοὺς δὲ λαϊκοὺς ὑποκεῖσθαι τῷ ἀναθέματι, τοῦτο δέ ἐστιν ὁ ἀπὸ τοῦ θεοῦ χωρισμός.

ἈΠΟΛΟΓ. Ὅτι μὲν ἀνέγνως ἐκ τῶν οἰκουμενικῶν συνόδων ἐκεῖ, μαρτυροῦσιν αἱ πράξεις, ἐκεῖ γάρ εἰσι γεγραμμένα ἅπερ ἀνέγνως· ὅτι δὲ οὐδὲν ἔφησας ἀναγκαῖον, οὐδὲ κατὰ Λατίνων ἦσαν ἐκεῖνα, ὁ βουλόμενος ἀναγνώτω τὰς πράξεις, καὶ εὑρήσει με λέγοντα τὴν ἀλήθειαν. Ὅτι γὰρ ἀπαγορεύουσιν οἱ θεῖοι πατέρες τὴν ἐναλλαγὴν τοῦ συμβόλου καὶ οἱ Λατῖνοι καὶ ἡμεῖς ὁμολογοῦμεν· καὶ τὰς φρικώδεις ἀράς, καὶ τὰ ἀναθέματα, ἱερεῖς ἀνιέρους καὶ τοὺς λαϊκοὺς ἀπὸ τοῦ θεοῦ κεχωρισμένους, καὶ τὰ λοιπὰ ἃ λέγεις πρὸς τὸ συγχέαι τοὺς ἁπλουστέρους, πάντα σοι συνομολογοῦσι Λατῖνοι, ἀντιλέγουσι δέ σοι ἃ σὺ σιωπᾷς, ὅτι γέγονεν ἐν τῇ ὀσφρήσει σου

σίνηπι. δύνανται γὰρ Λατῖνοι καὶ ἡμεῖς οἱ τῆς συνόδου συνήγοροι πρὸς σὲ ἀντειπεῖν· ὅτι καλῶς λέγεις, αἰδέσιμε Ἐφέσου, καὶ ἡμεῖς ταῦτα ὁμολογοῦμεν· ἀλλ᾽ οὐκ ἐνηλλάξαμεν ὅμως ἡμεῖς τὸ ἱερώτατον σύμβολον, οὔτε μὴν ἐνηλλαγμένον αὐτὸ πρεσβεύομεν· τοὺς γὰρ ἐναλλάξαντας, εἴτε μὴν ἐναλλάξειν τολμήσοντας καὶ ἡμεῖς τῷ ἀναθέματι παραδίδομεν· ἁγίαν Τριάδα γὰρ ἐν αὐτῷ δογματίζομεν, καὶ θεὸν σεσαρκωμένον ἐν αὐτῷ ὁμολογοῦμεν τὸν θεοῦ υἱὸν, καὶ σταυρωθέντα, καὶ ταφέντα, καὶ ἀναστάντα, καὶ πάλιν ἐρχόμενον ἐπὶ συντελείᾳ τῶν αἰώνων κρίναι τὴν οἰκουμένην· καὶ τὸ ἅγιον πνεῦμα ὁμοούσιον καὶ ὁμόθρονον τῷ πατρὶ καὶ τῷ υἱῷ διαῤῥήδην πιστεύομεν, τὸ τοῖς προφήταις λαλῆσαν· καὶ μίαν ἐκκλησίαν, καὶ ἓν βάπτισμα εὐσεβῶς ὁμολογοῦμεν ἀναφανδὸν, καὶ τὴν τῶν νεκρῶν ἐξανάστασιν πᾶσι μεγαλοφώνως κηρύττομεν. τίνα οὖν ἐξαλλαγὴν τούτου ἡμεῖς ἐποιήσαμεν; ποία ἀπάτη ἐν τούτῳ; ὄντως οὐδεμία. οὐκ ἔδει οὖν σοφὸν ἄνδρα ὄντα τοιαῦτα ληρώδη φθέγγεσθαι ῥήματα, ἐν οἷς καὶ νήπια ἄν σε αἰσχρῶς κατεγέλασαν. ὅτι δὲ προσέθηκαν οἱ Λατῖνοι τὴν Ἐκ τοῦ υἱοῦ φωνὴν, σαφηνίσαντες ἐν τῷ ἱερῷ συμβόλῳ λέγεις ἐναλλαγήν; ἡμεῖς μετὰ μικρὸν, ὅπου καὶ σὺ περὶ τῆς δόξης φήσεις, σαφηνίσομεν πάνυ καλῶς, εἰ εὐσεβής ἐστιν ἡ φωνὴ, ἢ οὔ, καὶ εἰ μὲν οὐ δείξομεν αὐτὴν εὐσεβῆ, εὖ σοι εἴρηται ταῦτα καὶ τὰς ἀρὰς δεῖ Λατίνους ἔχειν τοὺς τὸ σύμβολον ἐναλλάξαντας· εἰ δ᾽ εὐσεβῆ ταύτην διατρανώσομεν, τότε τοὺς Λατίνους αθῴους μὲν τῶν ἀρῶν καὶ τοῦ ἀναθέματος ἐξ ἀνάγκης δείξομεν, πρὸς δὲ σὲ καὶ τὴν σὴν κεφαλὴν τὰς ἀρὰς καὶ τὰ ἀναθέματα πάντα ἐπιστραφέντα τοῖς ἐχέφροσιν ἐπιδείξομεν. νῦν δὲ κατοπτεύσωμεν περαιτέρω.

Ὁ ἘΦΕΣΟΥ. Ἐπὶ τούτοις καὶ διὰ συλλογισμῶν ἀναντιῤῥήτων παρέστησα τὴν τῶν ἐμῶν λόγων ἀνάγκην, καὶ ὡς ἀδύνατον ἄλλως ἐκληφθῆναι τοὺς ὅρους, ἢ ὡς ἐγὼ τούτους ἐξηγούμην τε καὶ ἐλάμβανον.

ἈΠΟΛΟΓ. Φαίνονται οἱ συλλογισμοί σου καὶ ἡ αὐτῶν ἐν τοῖς πρακτικοῖς δύναμις· πάντας γάρ σοι ἑνὶ λόγῳ ὁ τῆς ἁγίας Σαβίνης καρδινάλις Ἰουλιανὸς ὁ σοφώτατός τε καὶ ἁγιώτατος ὡς ἱστὸν ἀράχνης διέλυσε, καὶ λαμπρότερον τῶν ἡλιακῶν ἀκτίνων ἀπέδειξεν, ὡς οὐκ ἔστι προσθήκη ἡ Ἐκ τοῦ υἱοῦ φωνὴ ἡ ἐν τῷ ἱερῷ συμβόλῳ

τεθεῖσα, ἀλλ' ἀνάπτυξις καὶ σαφήνεια· καὶ ἔξεστι τῇ ἐκκλησίᾳ δικαιῶς τὴν ἀλήθειαν ἐξηγεῖσθαι, καὶ προσθεῖναι ὅπου ἂν βούλοιτο, εἰ μόνον τὸ προστεθὲν ἀληθὲς εἴη· ὅταν γὰρ ἀληθὲς τὸ προστεθὲν εἴη, οὐ προσθήκη ἀλλ' ἐξήγησις αὐτὸ καὶ φανέρωσις τοῦ κειμένου εἶναι ὁμολογεῖται· ὅταν δὲ τοὐναντίον, τότε προσθήκη καὶ λέγοιτ' ἂν καὶ κηρύττοιτο.

Ὡς δ' ἑωρῶμεν τοὺς Λατίνους σαφῶς ἤδη παραγυμνώσαντας ἐν ταῖς πρὸς ἡμᾶς διαλέξεσιν, ὡς οὐ πρὸς ἀλήθειαν αὐτοῖς ὁ σκοπὸς, οὐδὲ τὸ ταύτην εὑρεθῆναι διὰ σπουδῆς τίθενται, μόνον δέ γε τὸ δόξαι τι λέγειν, καὶ τὰς ἀκοὰς τῶν οἰκείων προκατασχεῖν· ἔργον τε ἀπαραίτητον εἶχον αὐτοὶ λύειν τὰς συνελεύσεις, ἵνα λέγοντες ὕστεροι δοκῶσιν ἅπαντα λύειν τὰ παρ' ἡμῶν λεγόμενα.

ἈΠΟΛΟΓ. Ἑώρας μὲν τοὺς Λατίνους σαφέστατα τοὺς σοὺς λύοντας λόγους, μὴ δυνάμενος δὲ ἀντιλέγειν, ἑτέροις τὴν διάλεξιν ἐνεχείρισας. καὶ τότε ὁ Νικαίας ἀρχιερεὺς ἀνελάβετο τὸν ἀγῶνα, ὥστε μετὰ τοῦ φρὰ Ἀνδρέου ἀρχιεπισκόπου Ῥόδου διαλέγεσθαι· ὅτε καὶ τοὺς ἰσχυροτέρους ὑπὲρ Γραικῶν περὶ τῆς προσθήκης λόγους αὐτὸς εἶπε· πρὸς ἀλήθειαν γὰρ ἦν αὐτοῖς ὁ σκοπὸς, καὶ οὐ πρὸς ἐπίδειξιν, ὡς αὐτὸς φής· οὐ γὰρ ὡς Λατῖνοι καὶ μέρη τὴν διάλεξιν ἐποιοῦντο, ἀλλ' ὡς Χριστιανοὶ τὴν ἀλήθειαν ἐξηρεύνων, καὶ μετὰ σπουδῆς ἐζήτουν ἀπαύστως. φαίνεται γὰρ διαρρήδην τοῦτο, ἔνθα ὁ μακαριώτατος πάπας τοῖς ἡμετέροις ἔλεγε· Θαυμάζω πῶς ἀμελεῖτε, καὶ ἀναβάλλεσθε τὰς συνελεύσεις· καὶ γὰρ οὐ παύομαι διεγείρων ἀεὶ ὑμᾶς πρὸς τὴν τῆς ἀληθείας ἐξέτασιν, ἀλλ' ὑμεῖς ῥαθυμεῖτε. καὶ ἔχομεν ἐνταῦθα ἐν τῇ συνόδῳ ἐνιαυτοὺς δύο * καὶ οὔπω εἴκοσι καὶ πέντε ἐγένοντο συνελεύσεις. ἔρχεσθε οὖν εἰς τὴν διάλεξιν, ἐκεῖ γὰρ εὑρεθήσεται ἡ ἀλήθεια· οὐ γὰρ δυνατὸν ἄλλως· ἔρχεσθε καὶ μὴ μέλλετε. * ἐλυπεῖτο γὰρ ὁ μακάριος ἐκεῖνος ἀνὴρ, πῶς οἱ ἡμέτεροι ῥαθύμως εἶχον, καὶ οὐ συνήρχοντο ἐν τῇ συνελεύσει. ἔλεγον δὲ καὶ ἀπελογοῦντο οὐκ εἰς τὸ δόξαι τι λέγειν, καὶ τὰς τῶν οἰκείων προκατασχεῖν ἀκοὰς, ὡς φὴς σὺ διαβάλλων πάντας· πόῤῥω γὰρ τῆς ἐκείνων διανοίας τε καὶ σοφίας τουτί· ἀλλ' οὐδ' ὕστεροι ἔλεγον πρὸς τὸ λύειν τὰς συνελεύσεις, καὶ λυομένων αὐτῶν δοκεῖν αὐτοὺς ἅπαντα λύειν τὰ παρ' ὑμῶν λεγόμενα· ἀλλ'

* Καὶ ἐποιήσαμεν ἐν τῇ Φεῤῥαρίᾳ σχεδὸν ἔτος κτλ.

* Φυλλ. 289.

ἀπολογοῦντο ὕστεροι, ἐπειδὴ ὑμεῖς προετείνεσθε πρότερον ὡς κατήγοροι, ἐκείνους δὲ ἦν τὸ λοιπὸν ἐξ ἀνάγκης ἀπολογίαν ποιεῖσθαι.

Ὁ ἘΦΕΣΟΥ. Ἐντεῦθεν ἤδη τοῦ λέγειν παυσάμενοι παρακαλοῦμεν αὐτοὺς τί μὴ λέγοντες ἱκανὸν ἐπισπάσασθαι καὶ λιθίνας ψυχὰς, ἐπανελθεῖν πρὸς τὴν καλὴν συμφωνίαν ἐκείνην. ἣν εἴχομεν πρότερον καὶ πρὸς ἡμᾶς αὐτοὺς καὶ πρὸς τοὺς πατέρας ἡμῶν, ὅτε τὸ αὐτὸ πάντες ἐλέγομεν, καὶ οὐκ ἦν ἐν ἡμῖν σχίσμα.

ἈΠΟΛΟΓ. Καλῶς οἴδαμεν καὶ ἡμεῖς, ὅτι ἐπαύσω τῆς διαλέξεως, μὴ δυνάμενος ἀντιλέγειν τῷ τῆς ἁγίας Σαβίνης καρδινάλει· ὅτι σου πάντας τοὺς λόγους οὓς ἔλεγες, ὡς οὐ δεῖ προσθεῖναι δηλονότι τῷ ἱερῷ συμβόλῳ καὶ τὰ ὅμοια, διέλυσεν ὡς ἱστὸν ἀράχνης, ἐναργῶς παραστήσας, ὡς δεῖ τὴν ἀλήθειαν πάντοτε προστίθεσθαι. σὺ δὲ μὴ ἔχων ἀπολογεῖσθαι, ἑτέραν ἐτράπης ὁδὸν λέγων· Ἐπανέλθωμεν πρὸς τὸ ἀρχαῖον ἐκεῖνο μάθημά τε καὶ σύμβολον, ὃ παρελάβομεν· αἰδεσθῶμεν τοὺς πατέρας ἡμῶν. φυλάξωμεν τὴν παρακαταθήκην. ὁ δὲ Ἰουλιανὸς γενναίως ἀντέφη πρὸς ταῦτα λέγων· Καὶ ἡμεῖς τοὺς πατέρας ἡμῶν εὐλαβούμεθα ὡς εἰκὸς, καὶ τοὺς ὅρους αὐτῶν καὶ καλῶς νοοῦμεν καὶ εὐλαβῶς φυλάττομεν· οὐ γὰρ ἄλλο μὲν σύμβολον, εἴτουν μάθημα πίστεως ἡμεῖς πρεσβεύομεν καὶ ὁμολογοῦμεν, ἀλλ' ἐκεῖνο ὅπερ ἡ ἁγία δευτέρα ἐξεβόησε σύνοδος αὐτὴν δὲ ἣν λέγεις προσθήκην, ἡμεῖς σαφήνειαν καὶ ἐξήγησιν, οὐ προσθήκην λέγομεν· προσθήκη γὰρ τὸ ἀλλότριον λέγοιτ' ἂν δόγμα, ἡ δ' ἀλήθεια οὐ προσθήκη ἀλλ' ἀνάπτυξις, ὡς πολλάκις εἴρηται. ὅτι δὲ παραινεῖς, ἵνα λέγωμεν ὥσπερ ἐλέγομεν κατ' ἀρχὰς, ὅτε οὐκ ἦν ἐν ἡμῖν σχίσμα, τούτου κατὰ πόδας ὁ ἔλεγχος· τὸ μὲν σχίσμα μετὰ τὴν ἑβδόμην σύνοδον ἑκατὸν ἔτη ἐγένετο αἰτίᾳ Μιχαὴλ βασιλέως, καὶ Φωτίου πατριάρχου. τὸ δὲ σύμβολον ἀπὸ τῆς δευτέρας συνόδου ἡ Ῥωμαϊκὴ οὕτως ἔψαλλεν ἐκκλησία, ὡς ᾄδει καὶ σήμερον, καθὼς μαρτυρεῖ Γεώργιος ὁ Ἀριστινὸς, ὡς ἔφημεν· καὶ Μάξιμος δὲ ὁ πρὸ τῆς ἕκτης ὑπάρχων συνόδου μαρτυρεῖ τοῦτο ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου, ὡς ἡ Ῥωμαϊκὴ ἐκκλησία ταύτην ἔχει τὴν δόξαν, λέγων ὡδί· Τῶν τοῦ νῦν ἁγιωτάτου πάπα Μαρτίνου συνοδικῶν, οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις οἱ τῆς βασιλίδος τῶν πόλεων ἐπελάβοντο, δυσὶ δὲ μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας, ὅτι τί, φησιν, εἶπεν

ἐκπορεύεσθαι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὰ λοιπὰ, ἵνα μὴ καθέκαστα λέγω. ὥστε ἣν λέγεις προσθήκην, οὐκ ἦν αἰτία τοῦ σχίσματος, ἀλλ' ἡ Ῥωμαϊκὴ ἐκκλησία ἔλεγε τὸ σύμβολον ὥσπερ λέγει καὶ σήμερον, καὶ ἡμεῖς ἐλέγομεν, οἱ Γραϊκοὶ δηλονότι, ὥσπερ καὶ σήμερον, καὶ σχίσμα οὐκ ἦν ἐν ἡμῖν. οὐκοῦν δύνανται τὸ αὐτὸ καὶ οἱ Λατῖνοι πρὸς σὲ εἰπεῖν· Ἐπανέλθωμεν εἰς ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἡνωμένοι ἦμεν, καὶ ἡμεῖς ἐλέγομεν τὸ σύμβολον ὥσπερ καὶ σήμερον, καὶ ὑμεῖς ὁμοίως ὥσπερ καὶ σήμερον λέγετε, καὶ ἦμεν ἐν ὁμονοίᾳ, καὶ οὔτε ὑμεῖς ἐνεκαλεῖτε ἡμῖν, οὔτε ἡμεῖς ὑμῖν. θαυμάζω δὲ, πῶς αἱ οἰκουμενικαὶ σύνοδοι οὐκ ἐνεκάλεσαν, εἰ ᾔδεσαν ἡμᾶς βλασφημοῦντας, ὥσπερ ὑμεῖς λέγετε νῦν καὶ ἐγκαλεῖτε ἡμῖν· λέγω δὲ ἡ τρίτη, ἡ τετάρτη, ἡ πέμπτη, ἡ ἕκτη, καὶ ἡ ἑβδόμη· οὐδ' ὑμεῖς ἐνεκαλεῖτε, ἀλλὰ μετὰ τὸν Φώτιον καὶ ἔτι. συνέλθωμεν οὖν, καὶ εἴπωμεν ὅπερ ἐλέγομεν πρὸ τοῦ σχίσματος, καὶ εὑρεθησόμεθα τὰ αὐτὰ λέγοντες ἀμφότεροι καὶ παύσεται τὸ σχίσμα, ἐπακολουθήσει δὲ ἡ εἰρήνη τε καὶ ὁμόνοια, καὶ οὕτως ἐσόμεθα σὺν θεῷ ἡνωμένοι.

Ὁ ἘΦΕΣΟΥ. Ταῦτα λέγοντες κενὴν ἐοίκειμεν ψάλλειν, ἢ λίθον ἕψειν, ἢ κατὰ πετρῶν σπείρειν, ἢ καθ' ὑγρῶν γράφειν, ἢ ὅσα ἄλλα ἐπὶ τοῖς ἀδυνάτοις αἱ παροιμίαι φασίν.

ἈΠΟΛΟΓ. Καὶ Λατῖνοι δύνανται ἐκ τῶν παροιμιῶν πρὸς σὲ ἀντερεῖν· Αἰθίοψ οὐ λευκαίνεται· αἰγιαλῷ λαλοῦμεν, ἀνήκοος γὰρ ὑπάρχεις· ἀκέφαλος μῦθος, ἀτελῆ γὰρ λέγεις· καὶ ὅσα ἄλλα ἐπὶ τῶν ἀνηκόων καὶ ἀλαζόνων αἱ παροιμίαι λέγουσιν· ἀπειθεῖς γὰρ οὐδέποτε πείσονται· οὕτω καὶ σύ. ἔδοξέ σοι μένειν ἐν τῷ σχίσματι καὶ τῷ χωρισμῷ, τῇ πλάνῃ τε καὶ κακίᾳ, καὶ οὕτως ἔμεινας, ἐν ᾧ καὶ μετὰ τὸν θάνατον διαμενεῖς καὶ ἔσῃ ἀεί. ἀλλ' οἱ τῆς ἑαυτῶν ὀρεγόμενοι σωτηρίας οὐχ οὕτως, οὐδὲ κλείουσι τὰς ἀκοὰς, οὐδὲ τοὺς ὀφθαλμοὺς καμμύουσιν, ἀλλ' ἀκούουσι καὶ βλέπουσι καὶ συνιέναι θέλουσι τὸ κρεῖττόν τε καὶ συμφέρον τῆς σωτηρίας αὐτῶν. σὺ δὲ οὐκ ἠθέλησας, ἀλλὰ τῇ οἰήσει ἀπατηθεὶς φρονιμώτερος καὶ σοφώτερος ᾤου τῆς συνόδου εἶναί σε πάσης, ὅπερ τῆς ἄκρας μωρίας δεῖγμα ἦν, ἵνα ἄνθρωπον βέλτιστον εἶναι πάσης τῆς οἰκουμένης· ἕνα πρὸς ἕνα ἔχει καὶ λόγον, πάσης δὲ τῆς ἐκκλησίας κοινῶς συνελθούσης ἕνα βέλτιστον εἶναι, ἀδύνατον παντελῶς· εἰ δὲ μάγε,

καὶ Ἄρειος, καὶ Εὐνόμιος, καὶ οἱ ἕτεροι τῶν οἰκουμενικῶν συνόδων ἐχθροὶ ταὐτὸ τοῦτο φήσουσιν· ἀλλ' οὐκ ἔστιν. ὅθεν ἔδει καὶ σὲ τὴν ἀλήθειαν γνόντα, καὶ τῶν πολλῶν ἀκούσαντα, τὴν διχόνοιαν ἐᾶσαι καὶ τὸ ἐπίμονον, καὶ τὴν ματαίαν πρόληψιν καὶ κακίαν, καὶ ἑνωθῆναι τῇ τῶν πολλῶν ἀποφάσει, μᾶλλον δὲ τῇ ἀποφάσει τῆς ἐκκλησίας.

Ὁ ἘΦΕΣΟΥ. Ἐκεῖνοι γὰρ τοῖς μὲν ἐλέγχοις στενοχωρούμενοι, διόρθωσιν δὲ οὐδαμῶς οὐδεμίαν παραδεχόμενοι, διὰ τὸ ἀνιάτως ἔχειν ὡς ἔοικε, παρεκάλουν ἡμᾶς ἐπὶ τὴν ἐξέτασιν μεταβῆναι τοῦ δόγματος, ὡς ἱκανῶν ἤδη ῥηθέντων τῶν ἐπὶ τῇ προσθήκῃ λόγων· οἰόμενοι δι' ἐκείνων τῶν λόγων ἐπισκιάσειν τὸ τοῦ συμβόλου τόλμημα, τῆς δόξης ὑγιοῦς δεικνυμένης.

ἈΠΟΛΟΓ. Οἱ τοῖς ἐλέγχοις στενοχωρηθέντες φαίνονται ἐν τοῖς πρακτικοῖς τῆς συνόδου· ἐλέγετε γάρ, καὶ πρῶτος ἁπάντων σύ· ὅτι διαζευχθῶμεν, διαιρεθῶμεν, ἀπέλθωμεν· οἱ Λατῖνοι σοφοὶ καὶ γενναῖοι ἄνδρες εἰσί, καὶ διαλεκτικοὶ ἐμπειρότατοι. εἰ οὖν ἐν τοῖς περὶ τὴν προσθήκην λόγοις ἐφάνησαν οὕτω δεινοί, ὥστε μηδεμίαν ἀπολογίαν ὑπολειφθῆναι ἡμῖν, τίνες ἂν γένωνται, ὅταν περὶ τῆς δόξης τὴν ἐξέτασιν ποιησώμεθα, ὅπου καὶ διδασκάλους τῆς ἐκκλησίας ἔχουσι δεῖξαι, τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος καὶ τῷ υἱῷ διδόντας; λοιπὸν συμφέρει ἡμῖν ἀπελθεῖν, ἢ ἡττηθῆναι καὶ μετ' αἰσχύνης ἐπαναστρέψαι. Ταῦτα μὲν ἐλέγετε, ἀληθῶς τοῖς ἐλέγχοις ὑμεῖς στενοχωρούμενοι· διόρθωσιν δὲ παρὰ σοῦ τὴν Ῥωμαϊκὴν δέξασθαι ἐκκλησίαν οὐκ ἔδει· ἐκείνη γὰρ πασῶν κυβερνῆτίς ἐστι, καὶ ταῖς νοσούσαις τῶν ἐκκλησιῶν ἰατρὸς ἐμπειρότατος, παρὰ τοῦ Χριστοῦ λαβοῦσα τὴν ἐξουσίαν τὰς ἄλλας ἰθύνειν καὶ κυβερνᾶν, ἐπιστηρίζειν καὶ διορθοῦν, οὐκ αὐτὴν δὲ διορθοῦσθαι παρὰ τῶν ἄλλων· καὶ σύ ποτε ἐπιστραφείς, φησὶν ὁ σωτὴρ πρὸς τὸν Πέτρον, στήριξον τοὺς ἀδελφούς σου· * οὐ γὰρ εἶπε, στηρίχθητι ὑπὸ τῶν ἀδελφῶν σου, ἀλλὰ στήριξον. οὐκοῦν καὶ σὲ ἔδει στηριχθῆναι παρ' αὐτῆς ὡς καὶ οἱ σοφώτεροί σου καὶ λογιώτεροι ἐστηρίχθησαν. ἐπὶ δὲ τὴν ἐξέτασιν μεταβῆναι τοῦ δόγματος οὐ παρεκάλουν Λατῖνοι, ἀλλ' ὅτι μῆνας εἴχετε δεκατέσσαρας διαλεγόμενοι περὶ τοῦ, οὐ δεῖ προσθεῖναι, δυοῖν μόνοιν ὄντοιν τοῖν ζητημάτοιν, ἐν οἷς ἱκανὰς ἀπολογίας παρέσχον ὑμῖν αὐτοί, διὰ τοῦτο ἔδει καὶ πρὸς

* Λουκ. 22, 32.

τὸ ἕτερον μεταθεῖναι τὸν λόγον· ἵνα δειχθέντος τοῦ δόγματος ἀληθοῦς, ἀδίκως αὐτοὺς ἐπιδείξωσι παρ' ὑμῶν συκοφαντουμένους, ὡς παραχαράκτας τοῦ ἱεροῦ συμβόλου. ἔδειξαν οὖν ἡμῖν ἐμφανέστατα, ἐξουσίαν ἔχειν τὸν θεῖον θρόνον ἐκεῖνον ἐξετάζειν καὶ διορθοῦν τὰ περὶ τὴν πίστιν. διὸ οὐκ ἐπὶ τὸ ἐπισκιάσαι τὸ τόλμημα, ὡς σὺ φῂς, τοῦ συμβόλου ἐπὶ τὴν ἐξέτασιν ἐπεθύμουν μεταβῆναι τοῦ δόγματος, ἀλλ' ἵνα δείξωσιν ὑμῖν, ὡς εὐσεβής ἐστιν ἡ Ἐκ τοῦ υἱοῦ φωνὴ τεθεῖσα ἐν τῷ συμβόλῳ, καὶ δόξα τῶν διδασκάλων καὶ τῆς ἐκκλησίας, καὶ ὅτι μάτην αὐτοῖς ἐγκαλεῖτε καὶ μάχεσθε· διὰ τοῦτο πρὸς τὴν ἐξέτασιν τούτου ἔσπευδον μεταβῆναι.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλ' οἱ ἡμέτεροι οὐκ ἠνείχοντο, καὶ ἀμεταθέτως εἶχον πρὸς τὴν τῆς δόξης ἐξέτασιν, εἰ μὴ διορθωθείη πρότερον ἡ προσθήκη.

ἈΠΟΛΟΓ. Ἀληθῶς οὐκ ἠνείχοντο μὲν οἱ ἡμέτεροι ἐλθεῖν ἐπὶ τὴν ἐξέτασιν τοῦ δευτέρου προβλήματος, τὸν ἀγῶνα δειλιῶντες καὶ τρέμοντες, μή πως τὰ αὐτὰ τῷ δευτέρῳ πάθωσιν. εἰς δύο οὖν ὑμεῖς τὸ ζήτημα διαιρήσαντες, εἰς τὸ, οὐ δεῖ προσθεῖναι τῷ συμβόλῳ μήτε λέξιν μήτε συλλαβήν· τὸ δὲ, ὡς ἡ προστεθεῖσα ἐν τῷ συμβόλῳ προσθήκη οὐκ ἔστιν εὐσεβὴς οὐδὲ ἀληθὴς, προετείνατε τοὺς λόγους. τῶν δὲ Λατίνων ἐπὶ μὲν τὸ πρῶτον γενναίων φανέντων, καὶ τὴν ἀλήθειαν ἐπιδειξάντων, καὶ ὡς οὐ προσίστανται αὐτοῖς οἱ ὅροι καὶ τὰ κωλύματα, εἰ δὲ μὴ, καὶ οἱ τῆς δευτέρας συνόδου πατέρες πάντως ὑπῆρχον ὑπὸ τῷ ἀναθέματι, ἄλλο ἐκδεδωκότες σύμβολον ἢ ὅπερ ἡ πρώτη φθάσασα παραδέδωκεν, οἱ ἡμέτεροι ἡττηθέντες ἐν τούτῳ, ἐδειλίων τὸν δεύτερον εἰσελθεῖν ἀγῶνα· εἰ ἐν αὐτῷ, ὅπερ αὐτοῖς ἰσχυρότερον εἶναι ἐδόκει, οὕτως ἰσχυρὰς καὶ γενναίας οἱ Λατῖνοι τὰς ἀπολογίας ἀπέδωκαν, τί ἂν εἴπωμεν ἔλεγον, ὅταν τοὺς ἁγίους ἡμῖν ἐπιδείξωσι συμφωνοῦντας τῷ δόγματι; διὰ τοῦτο ἀμεταθέτως εἶχον πρὸς τὴν ἐξέτασιν, καὶ ὥρμησαν ἐκεῖθεν φυγεῖν· ὅμως προυβάλοντό σε ὑπὲρ αὐτῶν ἀπολογήσασθαι· καὶ εἶπας φεύγειν δῆθεν τοῦ δόγματος τὴν ἐξέτασιν, συγκαταβαίνων δ' ὅμως ἐγκεκαλυμμένος τῷ τῶν Λατίνων δόγματι· ὅτι εἰ καὶ ἀληθὲς εὑρεθείη τὸ δόγμα ἐξεταζόμενον, ἀλλ' ἡμεῖς οὐ δυνάμεθα παραδέξασθαί ποτε τὴν φωνὴν ταύτην ἐν τῷ συμβόλῳ, ἐπειδὴ τοὺς πατέρας ἡμῶν εὐλαβούμεθα. ἐμάχου οὖν τῇ ἀληθείᾳ καὶ σὺ, ὡς

ἐκεῖνος ὁ ὑπὲρ τῆς ὄνου σκιᾶς· καὶ τὴν διόρθωσιν τρόπῳ τοιούτῳ γενέσθαι ἔλεγες· Ὅτι ἐκβληθήτω ἀπὸ τοῦ συμβόλου ἡ προσθήκη αὕτη, καὶ τεθήτω ἐν ἰδίῳ ὅρῳ· ὅτε καὶ γελοῖόν τι προσετρίβη τῷ γένει, σοῦ ταῦτα λέγοντος. εἰ γὰρ βλάσφημός ἐστιν ἡ Ἐκ τοῦ υἱοῦ φωνὴ, διατί ζητεῖς αὐτὴν ἐν ἰδίῳ ὅρῳ τεθῆναι, καθὼς Ἰουλιανὸς ὁ σοφώτατος καρδινάλις πρὸς σὲ ἔφη; εἰπόντος γάρ σου, ὅτι οὐ δυνάμεθα, τὴν φωνὴν παραδέξασθαι ταύτην ἐν τῷ συμβόλῳ τῆς πίστεως ὡς βλάσφημον αὐτὴν οὖσαν, ἀλλὰ θήσομεν ἐν ἰδίῳ ὅρῳ, ὥσπερ οἱ πάλαι τὴν τῆς ἀειπαρθένου φωνὴν ἐν τῷ· Ὁ μονογενὴς υἱός· ὁ καρδινάλις ἀντέφη· Ἐξετασθήτω πρότερον, πάτερ αἰδέσιμε, ἡ φωνὴ αὕτη, εἰ ἀληθής ἐστιν, ἢ ψευδής τε καὶ βλάσφημος· καὶ εἰ μὲν βλάσφημος ἀποδειχθῇ, οὔτε ἐν τῷ συμβόλῳ μενεῖ, οὔτε ἀλλαχοῦ τεθήσεται· τὰ γὰρ βλάσφημα οὐδαμοῦ χρὴ λέγεσθαι· εἰ δ' εὐσεβὴς, τί ἐν τῷ συμβόλῳ, τί ἀλλαχοῦ; μᾶλλον μὲν οὖν ἐν τῷ συμβόλῳ δεῖ ὁμολογεῖν τὴν ἀλήθειαν. ταῦτα ἀκούσαντα τρόμος ἐπελάβετό σε καὶ τοὺς μετὰ σοῦ ἐπὶ τὴν ἐξέτασιν μεταβῆναι τοῦ δόγματος, καὶ ὡρμήσατε φυγεῖν, γλιχόμενοι τῆς ἐκεῖθεν ἐξελεύσεως.

Ὁ ἘΦΕΣΟΥ. Κἂν ἐνέμειναν διὰ τέλους τῇ ἐνστάσει ταύτῃ, κἂν διελύθησαν ἐκεῖθεν καλῶς ποιοῦντες, εἰ μὴ παραπεισθέντες ὑπό τινων αὖθις, ὡς ἀπρεπές ἐστι μηδὲν εἰπόντας περὶ τοῦ δόγματος ἀπελθεῖν, ἐδέξαντο τὴν μετάβασιν, τοῦτο μὲν τὴν ἀπὸ τῆς προσθήκης ἐπὶ τὴν δόξαν, τοῦτο δὲ τὴν ἀπὸ Φεῤῥαρίας εἰς Φλωρεντίαν.

ἈΠΟΛΟΓ. Ἤθελον μέν τινες ἀσύνετοι διαμεῖναι τῇ ἐνστάσει, καὶ διαιρεθῆναι, καὶ διαλυθῆναι ἐκεῖθεν, ὧν σὺ πρῶτος ὑπῆρχες· οἱ δὲ τῆς σωτηρίας αὐτῶν ἐπιθυμηταὶ, καὶ τὸν κίνδυνον τῆς αἱρέσεως ὅσος ἐστὶ φοβηθέντες κατὰ τῶν διαιρουμένων ἀπὸ τῆς ἐκκλησίας, οὐκ ἠθέλησαν τὴν μοχθηρίαν ταύτην νοσῆσαι· ἐξετασθῆναι δὲ τὸ δόγμα καὶ τὴν ἀλήθειαν διατρανωθῆναι, καὶ ταύτην ἀσπάσασθαι μετὰ χαρᾶς ὑπεδέξαντο. ὅθεν τῷ τοῦ δικαίου λόγῳ καὶ τοὺς ἄλλους πείσαντες, ἐδέξαντο μεταβῆναι ἐπὶ τὴν ἐξέτασιν τοῦ δευτέρου προβλήματος· ἐδέξαντο δὲ καὶ τὴν ἀπὸ Φεῤῥαρίας εἰς Φλωρεντίαν μετάβασιν, ἐπειδὴ ὁ τῆς ὁσίας μνήμης Εὐγένιος ὁ Ῥώμης ἀρχιερεὺς ὁ θειότατος οὐκ εἶχεν ἔτι ἐν Φεῤῥαρίᾳ, οὔτε μὴν εὕρισκε διδόναι ὑμῖν ἑκάστῳ τὸ σιτηρέσιον, καὶ τοῖς Φλωρεντίνοις μηνύσας δανεῖσαι αὐτῷ τεσσαράκοντα χιλιάδας χρυσίνων ἀπέστειλεν αὐτοῖς

τὴν μίτραν αὐτοῦ ἐνέχυρον· οἱ τὸ ἐνέχυρον λαβόντες, τὸ αἰτηθὲν ἀνεπλήρωσαν· σὺν ἐκείνοις δὲ καὶ ἄλλας τεσσαράκοντα ὑπίσχοντο χάριτι δοῦναι, εἰ εἰς τὴν πόλιν αὐτῶν μεταθήσει τὴν σύνοδον, ἵνα δῆθεν ἡ πολιτεία αὐτῶν τὴν τοῦ ὅρου τιμὴν ἀπολάβοι. διὰ τοῦτο οὖν ἡ μετάβασις ἀπὸ Φερῥαρίας εἰς Φλωρεντίαν γέγονεν.

Ὁ ἘΦΕΣΟΥ. Ἔνθα γενόμενοι τῶν περὶ τῆς δόξης διαλέξεων ἀπηρξάμεθα, τῶν Λατίνων προενεγκόντων ῥητὰ, τὰ μὲν ἐξ ἀποκρύφων τινῶν καὶ ἀγνώστων βιβλίων, τὰ δὲ ἐκ νενοθευμένων τε καὶ διεφθαρμένων, ἐν οἷς ἰσχυρίζοντο τὴν ἑαυτῶν δόξαν συνίσασθαι. πάλιν οὖν αὐτοῖς ἐγὼ συμπλεκόμενος, καὶ τὸ τῆς δόξης ἄτοπον διελέγχων, καὶ νενοθευμένας εἶναι τὰς βίβλους προφανῶς παριστῶν, οὐδὲν ἤνυον εἰς πειθὼ, πλὴν ὅσον τὸν καιρὸν ἀναλίσκειν εἰκῆ καὶ μάτην.

ἈΠΟΛΟΓ. Περὶ τῆς δόξης πρῶτος ὁ ἐν θεολογίᾳ ὑψίνους Ἰωάννης, ὁ τοῦ σχήματος τοῦ ἁγίου Δωμινίκου ἔπαρχος, τὴν ἔναρξιν ἐποιήσατο· Μετὰ τῆς εὐλογίας τοῦ μακαριωτάτου πατρὸς τὴν ἐξέτασιν, φήσας, ποιήσομαι πρὸς ὑμᾶς περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως. ὅτι οὐκ ἐξ ἀποκρύφων τινῶν βιβλίων καὶ ἀγνώστων ῥητὰ προήνεγκεν, οὐδὲ ἐκ νενοθευμένων τε καὶ διεφθαρμένων, ὡς σὺ φῄς· εἰ μή που ἀπόκρυφα σὺ νοεῖς τὰ τοῦ μεγάλου Βασιλείου καὶ Ἀθανασίου βιβλία, Ἐπιφανίου τε καὶ Κυρίλλου τοῦ ἱεροῦ, ἐξ ὧν προέφερεν ὁ Ἰωάννης ὡς ἐκ προσώπου Λατίνων ῥητὰ, δι' ὧν ἰσχυρίζετο τὴν ἀλήθειαν τοῦ δόγματος παραστῆσαι. οὐ γὰρ ἤθελον οἱ ἱεροὶ ἄνδρες ἐκεῖνοι διὰ δυτικῶν διδασκάλων τὸ δόγμα τοῦτο συστῆσαι, ἀλλ' ἐξ ἀνατολικῶν πατέρων, ἵνα μὴ ἔχητε τοὐναντίον εἰπεῖν, ὅπερ καὶ γέγονε. σὺ δὲ τὴν ἀλήθειαν μὴ δυνάμενος φέρειν, διεφθαρμένα τε καὶ νενοθευμένα τὰ τῶν διδασκάλων ἐκάλεις βιβλία· ὅτι καὶ μῶμος προσετρίβη σοι μέγας παρὰ τῆς συνόδου ἁπάσης λέγοντι οὕτω· καὶ μάλιστα οἱ τῆς ἐνδοτέρας Φραγκίας ἡγούμενοι ἀκούσαντες, ὅτι τὰ τῶν ἀνατολικῶν διδασκάλων βιβλία διεφθαρμένα ἀποκαλεῖς, μεγάλῃ φωνῇ ἐξεβόησαν· Αἱρετικὸς οὗτός ἐστιν ὁ κατάρατος· αἰωνίως ἀφορισθήτω, τοὺς διδασκάλους γὰρ ἀποσείεται· καὶ εἰ τοῖς αὐτοῦ διδασκάλοις τοῖς ἀνατολικοῖς οὐ πιστεύει, τί ἂν εἴποι περὶ τῶν δυτικῶν τε καὶ ἡμετέρων; ὅθεν συγχύσεως γενομένης ἀνίστητε μηδὲν ἄλλο πρά-

ξαντες· τῇ δὲ ἐφεξῆς συνελεύσει ἐν τοῖς τοῦ μεγάλου Κυρίλλου ῥητοῖς τὸν λόγον ποιησαμένων ἐκείνων παντελῶς ἠρνήσω τὸν ἅγιον οὕτω λέγοντα. ὁ δὲ Ἰωάννης τὸν Ἐπιφάνιον ἔφερε συνηγοροῦντα Κυρίλλῳ· καὶ αὐτὰ νενοθευμένα ἐκάλεσας. εἶτα ἀναγκασθεὶς ὁ βαθὺς ἐκεῖνος καὶ ὑψηλὸς θεολόγος, τοῦ μεγάλου Βασιλείου ῥητὸν ἀπὸ τῶν κατ' Εὐνομίου προσέφερε, συνηγοροῦν τοῖς πρότερον ἐνεχθεῖσι· σὺ δὲ καὶ τοῦτο νενοθευμένον ἐκάλεσας· καὶ πάσας τὰς προενεχθείσας βίβλους διεφθαρμένας ἀποκαλῶν, μωρία ἐνομίσθης τοῖς πᾶσιν. Ὅτι καὶ τὸν ὑποτακτικὸν τοῦ Νικομηδείας ἀπεστείλατε τὸ βιβλίον κομίσαι τοῦ ἱεροῦ Βασιλείου τὸ τὴν ῥῆσιν ἔχον τοιάνδε· Τίς γὰρ ἀνάγκη καὶ τὰ ἑξῆς. κἀκεῖνος οὖν τῇ κακίᾳ κινούμενος, ᾗ καὶ παρ' ὑμῶν κινηθεὶς ἠβουλήθη τὴν ἀλήθειαν κρύψαι· καὶ λαβὼν ἀνὰ χεῖρας τὸ βιβλίον, καὶ ἐλθὼν ἐπὶ τὸ θυρίδιον, ᾠκονόμησε τὸ ῥητὸν ἀποξέσαι. καὶ στήσας τὸ φύλλον ὃ τὸ ῥητὸν εἶχεν, ἀπῆλθε λαβεῖν τὸ σιδήριον τοῦ ἀπαλεῖψαι αὐτό. τὸ δὲ τῆς ἀληθείας πνεῦμα οὐκ ἠθέλησε τοῦτο γενέσθαι, ἵνα μὴ σβεσθῇ ἡ ἀλήθεια, ἀλλὰ ἀνίει ἀέρα, ὁ δὲ ἀὴρ τρέπει τὸ φύλλον τὸ τὸ ῥητὸν ἔχον, καὶ ἕτερον ἵστησιν· ἐκεῖνος τῇ σπουδῇ ἐκκόπτει ἕτερον ἀνθ' ἑτέρου. λαβὼν οὖν τὸ βιβλίον, καὶ σπουδαίως ἐν τῇ συνόδῳ ἐλθὼν, ἤρχετο μετὰ θάρσους τοὺς Λατίνους νικῆσαι. ἀνοίξας δὲ τὸ βιβλίον ὁ πατὴρ αὐτοῦ, καὶ ἰδὼν ἔτι τὸ ῥητὸν ὑγιὲς ὑπάρχον, στρεβλῷ τῷ ὀφθαλμῷ τῷ ὑποτακτικῷ ἐμβλέψας, ἐδείκνυεν· ὃς μετὰ δέους ἐβόησεν, εἰς τὴν εὐχήν σου, κύριε, ἔκοψα αὐτὸ, πῶς δὲ καὶ πάλιν ὑγιές ἐστιν, ἀπορῶ. οὕτως οὖν τοῦ ῥητοῦ ὑγιοῦς εὑρεθέντος ἀνεχωρήσατε· καὶ νῦν οὐκ αἰσχύνῃ λέγων, ὅτι ἤλεγξας τὸ ἄτοπον τῆς τῶν Λατίνων δόξης; ἔδει οὖν σε αἰσχύνεσθαι ταῦτα λέγοντα· οὐ γὰρ πρὸς ἀμαθεῖς ἢ εἰς τὴν ἄοικον ταῦτα ἐπέστελλες, ὅπως μὴ ἐντύχωσι τοῖς εἰδόσι. τὰ πρακτικὰ γὰρ δηλοῦσι τὴν ἀλήθειαν, ὅτι οὐδὲν ἄλλο ἐβόας, ἢ ἀπόκρυφόν ἐστι τὸ προκομισθὲν βιβλίον· ἔφερον τοῦ Κυρίλλου ῥητὸν, διεφθαρμένον ἐκάλεις. ἐκόμιζον τοῦ Βασιλείου, νενοθευμένον ὑπάρχει, ἔλεγες· καὶ τοῦτο μόνον ὑπῆρχέ σοι τὸ γενναῖον τοῦ λόγου. εἶτα εἰπόντων ἐκείνων, σε προκομίσαι τὸ ἀληθὲς, προθεσμίαν ἐζήτεις ἀπελθεῖν εἰς Κωνσταντινούπολιν καὶ εὑρεῖν· τοιαῦτά σου τὰ γενναῖα ῥήματα καὶ ἡ τοῦ λόγου ἰσχὺς, ἅπερ ἐπ' ἀληθείας αἰσχύνη ἐστὶν ἀπαγγέλλειν αὐτά· διὰ τοῦτο ἅλις ἐν τούτοις.

Ὁ ἘΦΕΣΟΥ. Ἄλλων γὰρ ἄλλα ῥητῶν ῥητὰ διαδεχομένων, καὶ λόγου λόγον γεννῶντος, ὡς ἐν τοιούτοις εἰκὸς, οὐδέν τι μᾶλλον ἡ ἀλήθεια τὴν ἑαυτῆς ἰσχὺν ἐπεδείκνυτο, πολὺ τὸ μέλαν ἐμούντων ἐκείνων πρὸ ἑαυτῶν καὶ ταῖς μακρολογίαις αὐτὴν ἐπισκιαζόντων.

ἈΠΟΛΟΓ. Ἐπειδὴ τὰ τοῦ μεγάλου Ἀθανασίου ῥητὰ διεφθαρμένα ἔλεγες, ἀνάγκη ἦν ῥητὰ ἑτέρων ἁγίων προκομίσαι, καὶ προέφερον τοῦ Ἐπιφανίου τε καὶ Κυρίλλου· καὶ αὐτὰ ἀπόκρυφα, ἄγνωστά τε καὶ διεφθαρμένα ἐκάλεις· ὅθεν ὁ λόγος τὸν λόγον γεννῶν, ὡς εἴωθεν ἐπὶ τούτοις ἀεὶ γίνεσθαι, ἐχώρει εἰς ἄπειρον. καὶ σοῦ μὲν ἓν καὶ γενναῖον ἦν ἀεὶ λέγοντος, ὅτι διεφθαρμένον τοῦτο, νενοθευμένον ἐκεῖνο· ἄγνωστον τοῦτο, ἀπόκρυφον τἄλλο· οἱ δὲ προσδιαλεγόμενοι τῶν Λατίνων ἠγανάκτουν, καὶ θαυμάζοντες ἔλεγον· Αἰδέσιμε πάτερ Ἐφέσου, ἡμεῖς μὲν ὅσα τῶν ὑμετέρων ἁγίων βιβλία δείξομεν, ὅλα διεφθαρμένα λέγεις, ἃ ἑλληνικά εἰσιν. εἰ μὲν οὖν τὰ ἑλληνικὰ διεφθαρμένα καὶ νόθα εἰσὶ, Λατινικὰ δὲ ἡμεῖς οὐ θέλομεν ἐπιδεῖξαι διὰ τὸ ἀνύποπτον, πόθεν ἐπιδείξομεν τὴν ἀλήθειαν, ἵνα σὺ πιστωθείης; δεῖξον σὺ, πάτερ αἰδέσιμε, τὴν ἀλήθειαν. σοῦ δὲ ἄλλο τι μὴ ἔχοντος λέγειν, ἢ ὅτι διεφθαρμένα καὶ νόθα εἰσὶν, ἀνάγκη ἦν ἐκείνους διὰ τῶν ἑπομένων τοῦ διδασκάλου ῥητῶν συμβιβάσαι τὸν νοῦν, καὶ μακροὺς ἀποτεῖναι λόγους εἰς ἀπόδειξιν καὶ ἐξήγησιν τοῦ ῥητοῦ. μέλαν δὲ οὐκ ἐξέμεσαν ἐν ταῖς ἑαυτῶν ἀποκρίσεσιν οἱ Λατῖνοι τὴν ἀλήθειαν ἐρευνῶντες, ἀλλ' ἢ σὺ πάντοτε μεθ' ὕβρεως λέγων καὶ γράφων, καὶ τὸν ἰὸν ἐν τοῖς χείλεσιν ἔχων, ὅθεν καὶ κατεγνώσθης ὡς δεισιδαίμων.

Ὁ ἘΦΕΣΟΥ. Ἄχρις οὗ πάλιν ἀπαγορεύσας, ὑπό τε τῆς συνήθους ἐνοχλούμενος ἀσθενείας, καὶ τὸ τῶν λόγων ἄκαρπον καθορῶν, ἀπέτεινα λόγον διὰ μακροῦ πρὸς αὐτοὺς ὅσον ἴσχυον· ἐν ᾧ μαρτυρίαις πλείσταις ἀναντιῤῥήτοις παρέστησα τὴν ἀλήθειαν τοῦ ἡμετέρου δόγματος, ὅτιπερ ἐκ μόνου τοῦ πατρὸς, οὐχὶ δὲ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται.

ἈΠΟΛΟΓ. Ἀπηγόρευσας μὲν ἀληθῶς ἔφης, μὴ δυνάμενος τοῖς γενναίοις τοῦ φρὰ Ἰωάννου συλλογισμοῖς ἀντιλέγειν, ὅτε σοι τὸ τοῦ μεγάλου Βασιλείου ῥητὸν μετὰ συλλογισμῶν ἀντηρώτα, τὸ λέγον· Οὐ γάρ τινα λαμβάνομεν παρὰ τοῦ πνεύματος, ὥσπερ παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα. ἐν τούτῳ γὰρ τῷ ῥητῷ σε ἔδειξεν ἄπειρον θεολο-

γίας τῆς ἱερᾶς ὅτε καὶ ὡς ἀκροατήν σε ἐδίδασκε, πῶς δεῖ νοεῖν
τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος· κατόπτρου γὰρ δίκην τὰ
πρακτικά εἰσι μαρτυροῦντα τὸ ἀληθές· οὐ γὰρ ἀκαρπίαν ἑώρας
ἐν τοῖς ἐκείνου λόγοις, ἀλλ' ἰσχύν τε καὶ δύναμιν. ἣν δ' εἶχες ἐξ
ἔθους ἀσθένειαν, εἴπομεν μὲν καὶ πρότερον, δηλώσομεν δὲ καὶ κατὰ
μικρὸν, ἵνα γνῶσι πάντες, τίς ἦν. πρὸς δὲ τὴν δύναμιν καὶ ἰσχὺν
τῶν τοῦ Ἰωάννου λόγων μὴ δυνάμενος ἀντιβλέψαι, ἠβουλήθης ἀπο-
δρᾶσαι, τὸν ἀγῶνα δειλιάσας τῆς διαλέξεως· καὶ ἐξέτεινας λόγον,
μακρὸν μὲν, μηδένα δὲ καρπὸν ἔχοντα διαλέξεως, ἀλλὰ πάντα
ἀπὸ τοῦ Καβάσιλά τε καὶ Παλαμᾶ καὶ τῶν κατ' αὐτοὺς σχισμα-
τικῶν ἀναλαβὼν ἔλεγες γυμνὰ ῥητὰ τοῦ εὐαγγελίου, οἰόμενος ἐξ
ἐκείνων δεῖξαι τὸ πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ πατρὸς, οὐχὶ δὲ
καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. ὅπερ προέθου μὲν ὁμολογουμένως
δεῖξαι, οὐκ ἔδειξας δὲ, οὐδὲ προὔργου τὰ ῥητὰ ἐκεῖνά σοι ἀπην-
τήκασαν. τὸ γὰρ εἰπεῖν, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, οὐ μόνον
οὐ συνηγορεῖ τῷ σῷ λόγῳ, ἀλλὰ καὶ προδήλως ἐναντιοῦται· οὐ γάρ
φησιν, ὃ παρὰ τοῦ πατρὸς μόνου, ἢ, ὃ παρὰ τοῦ πατρὸς καὶ οὐκ
ἐκ τοῦ υἱοῦ ἐκπορεύεται. καὶ τὸ λέγειν, ὅταν ἔλθῃ ὁ παράκλητος,
ὃν πέμψει ὁ πατὴρ,* οὐδεμίαν σοι ἰσχὺν δίδωσιν· οὐ γὰρ λέγει· * Ἰω. 14, 26.
Ὃν πέμψει ὁ πατὴρ μόνος, ἢ, ὃν ὁ υἱὸς οὐ πέμπει. καὶ τοῦ Παύλου
δὲ, ὃ λέγει· Ἡμεῖς οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ
πνεῦμα τὸ ἐκ τοῦ θεοῦ,* οὐ συνηγορεῖ τῷ σῷ βουλήματι· οὐ γὰρ * Κορ. α'. 2, 12.
λέγει τὸ πνεῦμα μόνου τοῦ πατρὸς καὶ οὐ τοῦ υἱοῦ, ἀλλὰ τὸ
πνεῦμά φησι τὸ ἐκ τοῦ θεοῦ, θεὸς δὲ ὁ πατὴρ καὶ ὁ υἱός. Ἐκ
ποίων οὖν ῥητῶν ἔδειξας ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα ἐν τῇ
συνόδῳ ὥσπερ λέγεις ἐνταῦθα ἐγκαυχώμενος; ἐκ τῶν ἤδη ῥηθέντων;
καὶ αὐτὰ οὐκ ἐκ μόνου φασὶν, ἀλλ' ἁπλῶς ἐκ τοῦ πατρὸς ἐκπο-
ρευόμενον, καὶ τούτοις τοῖς λόγοις Λατῖνοι συνομολογήσουσιν. οὗτος
γάρ ἐστιν ὁ νοῦς ἅπας ἐκείνου τοῦ λόγου ὅνπερ ἐξέτεινας. ἀλλ'
οὐκ ἀντίκεινται φήσουσιν οἱ τῆς ἀληθείας συνήγοροι τὰ ῥητὰ ταῦτα
τοῖς λέγουσι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι. εἰ γὰρ ἔφασαν, ὃ παρὰ
τοῦ πατρὸς οὐκ ἐκ τοῦ υἱοῦ· ἢ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα,
οὐχὶ δὲ καὶ ἐκ τοῦ υἱοῦ· ἢ ὁ πατὴρ μόνος προβάλλει τὸ πνεῦμα,
οὐ μὴν δὲ καὶ ὁ υἱὸς καὶ ἄλλ' ὅμοια, εἶχες ἂν σκιάν ἐρίζειν τε
καὶ φιλονεικεῖν. ἀλλ' οὐδὲ εἰ ἐκ μόνου τοῦ πατρὸς ἔλεγον, ἦν ἱκανὰ

πρὸς ὃ σὺ βούλει· πάρεστι γὰρ εἰδέναι καὶ ἐξ ἄλλων εὐαγγελικῶν
φωνῶν τοῦτο αὐτό. φησὶ γὰρ ὁ σωτήρ· Περὶ τῆς ἡμέρας ἐκείνης καὶ
ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱὸς, εἰ μὴ
* Ματθ.24, 36. ὁ πατήρ μου μόνος.* καὶ αὖθις· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ
* Ἰω. 7, 16. τοῦ πέμψαντός με.* ἐν τούτοις οὖν σαφῶς μὲν ἀπηρνήσατο, ὅτι οὐκ
οἶδεν αὐτὸς ὁ υἱὸς, εἰ μὴ μόνος ὁ πατήρ· καὶ ἡ διδαχὴ αὐτοῦ οὐκ
ἔστιν αὐτοῦ, ἀλλὰ τοῦ πατρός· ἡμεῖς δὲ καλῶς καὶ ἐπαινετῶς πι-
στεύομεν πᾶν τοὐναντίον, καὶ τὴν ἡμέραν ἐκείνην καὶ ὥραν εἰδέναι
αὐτὸν ὥσπερ καὶ τὸν πατέρα λέγομεν, καὶ τὴν διδαχὴν αὐτοῦ εἶναι
τιθέμεθα. εἰ οὖν ἐν οἷς φανερῶς ἀπηρνήσατο, ἡμεῖς τἀναντία πι-
στεύομεν, καὶ ὀρθοδόξως ποιοῦμεν, διατί ἐνταῦθα, ἔνθα οὐδεμίαν
ἄρνησιν τέθεικεν, οὐ πιστεύσομεν ὅτι καὶ ἐξ αὐτοῦ τὸ πνεῦμα ὑπάρ-
χει ὅπου γε ἐν τοῖς ἱεροῖς εὐαγγελίοις δι' ἄλλων ῥητῶν τὸ αὐτὸ ἡμῖν
ὁ σωτὴρ παριστᾷ; ὥς πού φησιν· Ὅταν ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ
* Ἰω. 15, 26. πέμψω ὑμῖν.* οὗτός ἐστιν ὁ παράκλητος ἐκεῖνος, ὃν ὁ πατὴρ ἐκπορεύει.
εἰ οὖν ὁ πατὴρ ἐκπορεύει, ὁ υἱὸς ἐκπέμπει, τί διαφέρει τὸ πέμπεσθαι
τοῦ ἐξ αὐτοῦ ἐκπορεύεσθαι; καὶ πάλιν· Ὅταν ἔλθῃ ἐκεῖνος, ὁδηγήσει
ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ
λήψεται καὶ ἀναγγελεῖ ὑμῖν· πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι·
* Ἰω. 16,13.14. διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.* καὶ ἀλλαχοῦ· Ἐνεφύ-
* Ἰω. 20, 22. σησε καὶ εἶπε τοῖς μαθηταῖς· Λάβετε πνεῦμα ἅγιον.* ἅπερ πάντα
δεικνύουσιν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται.
Πόθεν οὖν καὶ ἐκ ποίων ῥητῶν ἔδειξας σὺ τὸ πνεῦμα ἐκ μόνου
τοῦ πατρός; ἐκ τῶν διδασκάλων τῆς ἐκκλησίας; καὶ πῶς ἐστι
δυνατὸν τοὺς αὐτοὺς ἐκ μόνου τοῦ πατρὸς, καὶ ἐκ τοῦ πατρὸς καὶ
ἐκ τοῦ υἱοῦ λέγειν; εἰ γὰρ ἔλεγον οὕτως, ἑαυτοῖς περιέπιπτον, ἄλλα
μὲν λέγοντες ἐν ἄλλοις, καὶ ἄλλα ἐν ἄλλοις· δεῖ γὰρ ἢ ἐκ μόνου
τοῦ πατρὸς λέγειν αὐτοὺς, ἢ ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ· ἀλλὰ
τὸ ἐκ μόνου οὐδεὶς τῶν ἁγίων εἴρηκεν, εἰ μὴ μόνον Νεστόριος ὁ αἱ-
ρετικὸς, τὸ δὲ ἐκ τοῦ υἱοῦ πάντες οἱ διδάσκαλοι διαῤῥήδην κη-
ρύττουσιν. αὐτίκα γὰρ ὁ μέγας τῆς ἐκκλησίας στύλος, ὁ μέγας τῷ
ὄντι καὶ ἱερὸς Ἀθανάσιος ἐν τῇ ὁμολογίᾳ τῆς ἑαυτοῦ πίστεως φησίν·
Τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ υἱοῦ οὐ ποιητὸν, οὐ
κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευτόν. Ὁ αὐτὸς ἐν τῷ εἰς τὴν
ἐνανθρώπησιν τοῦ κυρίου λόγῳ οὕτω φησίν· Μὴ ὑπονοείτω τις, ὅτι

μὴ ἔχων αὐτὸς ἐλάμβανεν· αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν ὡς Θεὸς, καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος· ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατήει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ.

Βασίλειος δὲ ὁ θειότατος ἐν τῷ κατ' Εὐνομίου τρίτῳ φησίν· Τίς γὰρ ἀνάγκη, εἰ τῷ ἀξιώματι τῇ τάξει τρίτον ὑπάρχει τὸ πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει; ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον καὶ παρ' αὐτοῦ λαμβάνον καὶ ἀναγγέλλον ἡμῖν, καὶ ὅλως τῆς αἰτίας ἐκείνης ἐξημμένον παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος.

Ὁ δὲ Νύσσης θεῖος Γρηγόριος ὁ καὶ ἀδελφὸς τούτου, ἐν πολλοῖς μὲν λόγοις αὐτοῦ τοῦτό φησι, μάλιστα δὲ ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ὁμιλίᾳ τρίτῃ διατρανοῖ λέγων· Ὁ γὰρ μονογενὴς υἱὸς ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ἵστησιν ὁ λόγος αὐτοῦ τὸ ἰδίωμα· τὸ δὲ ἅγιον πνεῦμα καὶ ἐκ τοῦ πατρὸς εἶναι λέγεται, καὶ ἐκ τοῦ υἱοῦ εἶναι προσμαρτυρεῖται· εἴ τις γὰρ πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ φησιν ὁ θεῖος ἀπόστολος. * * Ῥωμ. 8, 9.

Κύριλλος δὲ ὁ τῆς Ἀλεξανδρέων ἐκκλησίας φωστὴρ ὁ μακάριος ἐν τῇ πρὸς Νεστόριον ἐπιστολῇ, ἧς ἡ ἀρχή· Τοῦ σωτῆρος ἡμῶν ἐναργῶς λέγοντος· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ· * φησίν· Εἰ * Ματθ. 10, 37. καὶ ἔστι τὸ πνεῦμα ἐν ὑποστάσει ἰδικῇ, καὶ δὴ νοεῖται καθ' αὐτὸ καθὸ πνεῦμά ἐστι καὶ οὐχ υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον τοῦ υἱοῦ, πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ υἱοῦ καὶ πατρός· τὸ δὲ προχεῖται, ἀντὶ τοῦ ἐκπορεύεται ὁ διδάσκαλος τίθησιν, ὡς ἐν τῇ ἐξηγήσει τοῦ θείου συμβόλου ὁ αὐτὸς λέγει, ἔνθα φησί· Καὶ προχεῖται, ἤγουν ἐκπορεύεται.

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ τῇ· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, * φησίν· ᾗ μὲν γάρ ἐστι θεὸς καὶ ἐκ θεοῦ * Ἰωήλ. 2, 28. κατὰ φύσιν ὁ υἱὸς, γεγέννηται γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός.

Ὁ αὐτὸς ἐν τοῖς πρὸς Παλλάδιον ἀντιῤῥητικοῖς οὕτω λέγει· Τρεπτὸν δὲ οὔ τοί που τὸ πνεῦμά ἐστιν· ἢ εἴπερ τὸ τρέπεσθαι νοεῖ,

ἐπ' αὐτὴν ὁ μόνος τὴν θείαν ἀναδραμεῖται φύσιν, ὑπέρ ἐστι τοῦ θεοῦ καὶ πατρὸς, καὶ μὴν καὶ τοῦ υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν ἤγουν ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον πνεῦμα.

Ὁ αὐτὸς ἐν τῇ ἐξηγήσει τοῦ ἐνάτου ἀναθεματισμοῦ φησιν. Ἴδιον ἔχων ὁ υἱὸς τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ πνεῦμα ἅγιον εἰργάζετο τὰς θεοσημείας.

Χρυσόστομος δὲ ὁ μακάριος ἐν τῇ ὁμιλίᾳ τῇ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου φησίν· Ἦλθεν ὁ Χριστὸς εἰς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτοῦ πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα· τὸ δὲ ἐξ αὐτοῦ τί δηλοῦν βούλεται, ἢ ὅτι τὸ ἐξ αὐτοῦ ἐκπορευόμενον πνεῦμα δέδωκεν ἡμῖν; καὶ Συμεὼν δὲ ὁ νέος θεολόγος, ὁ καὶ Μεταφραστὴς καλούμενος, τῇ τρίτῃ τοῦ ὀκτωβρίου εἰς τὸν βίον τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου οὕτω φάσκει· Πέρας τὰ τῆς σωματικῆς ἐνδημίας δέχεται, τὰ δὲ τοῦ πνεύματος ἄρχεται, καὶ εἰς οὐρανοὺς ὁ ἐμὸς Χριστὸς ἀναφέρεται, καὶ πρὸς τὸν πατρικὸν ἐπάνεισι θρόνον, καὶ τὸ ἐκπορευόμενον αὐτοῦ πνεῦμα ἐπὶ τῇ τῶν ἀπίστων ἐθνῶν καταπέμπει τοῖς μαθηταῖς ὁδηγίᾳ· συνῳδὰ λέγων τῷ μεγάλῳ πατρὶ Χρυσοστόμῳ, ἤγουν τὸ ἐκπορευόμενον ἐξ αὐτοῦ. Ἐπιφάνιος δὲ ἀρχιεπίσκοπος Κύπρου ὁ μακάριος· Ἀμφότερα κατοικεῖ, φησιν, τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ. εἰ δὲ Χριστὸς ἐκ τοῦ πατρὸς πιστεύεται θεὸς ἐκ θεοῦ, καὶ τὸ πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, ὃ παρὰ
* Ἰω. 16, 14. τοῦ πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐξ ἐμοῦ λήψεται.* Καὶ ἐν τῷ Ἀγκυρωτῷ· Ὃν τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὐδὲ
* Ματθ. 11, 27. τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ,* οὕτω τολμῶ λέγειν, οὐδὲ τὸ πνεῦμα εἰ μὴ ὁ πάτηρ καὶ ὁ υἱὸς, παρ' οὗ ἐκπορεύεται καὶ παρ' οὗ λαμβάνει, καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον, τὸ διδάσκον πάντα, τὸ δοξάζον ἀληθῶς, ὃ παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐστιν. καὶ κατωτέρω· Καὶ τὸ πνεῦμα δὲ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πνέει. Ταράσιος δὲ ὁ μακάριος πατριάρχης Κωνσταντινουπόλεως ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς τῆς ἀνατολῆς ἀρχιερεῖς, ἧς ἡ ἀρχή· Πολλαῖς καὶ μεγάλαις προνοίαις· οὕτω φησίν· Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ θεὸν εἶναι γνωριζόμενον. Καὶ ὁ ἅγιος δὲ Ἱλάριος ἐν τῷ λόγῳ τῷ μετὰ τὴν πεντηκοστὴν οὕτω φησί. Πιστεύο-

μεν εἰς τὴν ἁγίαν Τριάδα, τουτέστι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ἕνα Θεὸν παντοδύναμον, μιᾶς οὐσίας, μιᾶς ὑπάρξεως, μιᾶς ἐξουσίας, δημιουργὸν πάντων τῶν κτισμάτων· ἐξ οὗ πάντα, δι' οὗ πάντα, ἐν ᾧ πάντα· πατέρα ἀφ' ἑαυτοῦ, ἀλλ' οὐκ ἀφ' ἑτέρου· υἱὸν ἐκ τοῦ πατρὸς γεννητὸν, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, οὐ μὴν δύο φῶτα, ἀλλ' ἓν φῶς· πνεῦμα ἅγιον παρὰ πατρὸς καὶ υἱοῦ ἐπίσης ἐκπορευόμενον. Καὶ Ἀναστάσιος δὲ ὁ τοῦ ἁγίου ὄρους Σινᾶ ἐν τῷ λόγῳ τῷ περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν δογμάτων τῆς ἀληθείας, ἐπιγραφὴν ἔχοντι· ἡ δὲ ἀρχὴ τοῦ λόγου· Τῶν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως· οὕτω φησί· Τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δηλονότι τοῦ Θεοῦ τὸ πνεῦμα τὸ ἅγιον λέγεται στόματος ὄντος τοῦ μονογενοῦς. καὶ πνεῦμα, πάλιν, ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον, οὐ μόνον παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ υἱοῦ. Καὶ μετά τινα πάλιν φησί· Καὶ γοῦν ὁ κύριος ἐξ ἑαυτοῦ δεικνὺς αὐτὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· Λάβετε πνεῦμα ἅγιον. * Καὶ Δαμασκηνὸς δὲ ὁ ἅγιος ἐν τῷ ιγ' τῶν Θεολογικῶν οὕτω λέγει· Ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρὸς ἐστι δι' υἱοῦ ἐκπορευομένη ὡς οἶδεν. καὶ μικρὸν ἀνωτέρω· Αὐτὸς μὲν οὖν ἐστι νοῦς, λόγου ἄβυσσος, λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος. Τὸ δέ· Ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν, ὅπερ ἐν τῷ ὀγδόῳ κεφαλαίῳ ὁ αὐτὸς διδάσκαλος λέγει, ἵνα μή τις διστάσῃ, ἐλύσαμεν αὐτὸ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ ὅρου, ὑπεραπολογούμενοι τῶν ί κεφαλαίων. Καὶ Κύριλλος πάλιν ὁ μακάριος ἐν τῷ πρὸς Ἑρμείαν δευτέρῳ λέγει οὕτως· Ἅγιον δὲ πνεῦμα προσερεῖς τὸ ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον φυσικῶς· ὅτι δὲ ἡ Διὰ τῇ Ἐκ ἰσοδυναμεῖ, καὶ τὴν αὐτὴν ἰσχὺν ἔχει, μετὰ μικρὸν καὶ τοῦτό σοι δείξομεν. νῦν δὲ τί ἔχεις πρὸς ταῦτα εἰπεῖν; οὐκ εἰσὶν οὗτοι οἱ προλεχθέντες ἅγιοι καὶ τῆς ἐκκλησίας διδάσκαλοι; εἰ οὖν οὗτοι πάντες ἐν διαφόροις λέξεσι καὶ συλλαβαῖς ἐν τοῖς αὐτῶν συγγράμμασι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὁμολογοῦσι καὶ λέγουσι, πόθεν σοι τὸ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον εὕρηται ἐκπορευόμενον ἐν τῇ ἱερᾷ γραφῇ; δεῖξον ἡμῖν, τίς

* Ἰω. 20, 22.

τῶν διδασκάλων τὸ ἐκ μόνου φησί; τίς τῶν ἁγίων; ποία τῶν συ-
νόδων τοῦτ' ἔφησε; τί ὅτι ἐματαιώθης σὺ, καὶ σπουδάζεις καὶ
τοὺς ἄλλους ἐξαπατῆσαι; οὐκ ᾐδέσθης τὸν κύριον, ὃς κρινεῖ ζῶντας
καὶ νεκρούς; πῶς ἠρνήσω αὐτὸν μὴ εἶναι ὁμοούσιον καὶ ὁμόθρονον
καὶ ὁμοδύναμον τῷ πατρὶ καὶ συνάναρχον, καὶ πάντα ἔχοντα
ὅσα καὶ ὁ πατὴρ, δίχα μόνου τοῦ εἶναι πατέρα; αὐτὸς γάρ φησι·
Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά εἰσι. καὶ αὖ· Σὺ πάτερ ἐν ἐμοὶ,
κἀγὼ ἐν σοί. καί· Πάντα τἀμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ ἐν
τῇ εὐχῇ· Δὸς αὐτοῖς, περὶ τῶν μαθητῶν λέγων, ἵνα ὦσιν ἓν, κα-
* Ἰω. 16, 15. θὼς ἡμεῖς ἕν ἐσμεν.* εἰ οὖν ἕν ἐστι μετὰ τοῦ πατρὸς ὁ υἱὸς, πῶς
17, 10. 21. 22. τὸ πνεῦμα ἐκπορεύεται ἐκ μόνου τοῦ πατρὸς, ὅπερ ἀχωρίστως πρόει-
σιν ἐκ πατρὸς καὶ υἱοῦ; ταῦτα μὲν ἔδει σε βλέπειν, καὶ μὴ τὰ
τοῦ Καβάσιλα, Παλαμᾶ τε καὶ τοῦ Φουρνῆ, Καματηροῦ καὶ Μο-
σχάμπαρος καὶ τῶν ἄλλων, ἵνα μὴ καθ' ἕκαστον λέγω· ὧν ἐπα-
κούσας, σχισματικὸς καὶ ἐχθρὸς τῆς ἀληθείας ἐγένου· καὶ ἐν τῇ
συνόδῳ οὐ τὰ τῶν ἁγίων, ἀλλὰ τἀκείνων εἰπὼν ᾐσχύνθης, ὅτε
σοι τοὺς διδασκάλους τῆς ἐκκλησίας ἐκεῖνοι προήνεγκαν, καὶ μὴ
δυνάμενος ἀναβλέψαι ἀπέδρας αἰσχυνθείς. καὶ νῦν οὐκ αἰσχύνῃ
λέγων, ὅτι ἔδειξας ἐκεῖ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα; προέθου
μὲν δεῖξαι, ὅτε σοι καὶ κρότους ποδῶν καὶ φωνῆς ἐποίησαν οἱ τῆς
ἐνδοτέρας Φραγκίας ἡγούμενοι, μεγάλῃ φωνῇ αἱρετικὸν καὶ κατη-
ραμένον ἀποκαλοῦντές σε, οὔπω δὲ ἀπέδειξας, ἀλλ' ἢ μόνον ἁπλῶς
* Ἰω. 15, 26. ῥητὰ εἶπες· Ὁ παρὰ τοῦ πατρὸς ἐκπορεύεται,* καὶ τὰ ὅμοια· ἅπερ
καὶ διελύσαμεν ἤδη, καὶ οὐ δεῖ περαιτέρω λέγειν.

Ὁ ἘΦΕΣΟΥ. Παρὰ τῶν εὐαγγελικῶν ἀρξάμενος λόγων, διὰ δὲ τῶν ἀποστόλων καὶ τῶν διαδεξαμένων αὐτοὺς κατελθὼν ἄχρι καὶ τῆς οἰκουμενικῆς τρίτης συνόδου. κατὰ μέρος τε ἐξεργαζόμενος ἕκαστον τῶν ῥητῶν, καὶ συλλογιζόμενος ἐφ' ἑκάστῳ, καὶ συμπεραίνων ὅπερ ἀποδεικνύναι προκείμενον εἶχον, ὡς πανταχοῦ τοῦ καινοῦ τῶν Λατίνων δόγματος ἀπηγορευμένου.

ἈΠΟΛΟΓ. Ἤρξω μὲν, ὡς καὶ πρότερον ἔφην, ἐκ τῶν εὐαγγελικῶν φωνῶν εἰς σύστασιν τοῦ σοῦ φρονήματος, οὐ μὴν δὲ τῇ καταστάσει ἐπηκολούθησας τῆς διαλέξεως. ἐστήσατε γὰρ, ἵνα ἀπὸ κεφαλαίου εἰς κεφάλαιον, καὶ ἀπὸ ἐπιχειρήματος εἰς ἐπιχείρημα μεταβαίνητε, ἵνα καὶ εὐσύνοπτοι καὶ σαφεῖς αἱ ἐρωτήσεις ἅμα καὶ

ἀποκρίσεις γίνονται. ὅταν δὲ εἰς αὐτὸ ἤλθετε, καὶ ῥητὸν τὸ ῥητὸν ἐπεδείξατο, καὶ συλλογισμὸς κατόπιν ὡς ἐν συνόψει ἐπηκολούθει γενναίως παρὰ τοῦ φρὰ Ἰωάννου λεγόμενος, ἐστενοχωρήθης τῇ ἀποκρίσει, καὶ ἐξέφυγες, τὸν μακρὸν ἐκεῖνον ἀποτεινάμενος λόγον, μηδένα καρπὸν ἀληθείας ἢ ἦθος ἔχοντα διαλέξεως· ὅτι σοι ὁ προσδιαλεγόμενος Ἰωάννης ἔφη· Κύριε Ἐφέσου, φαίνεται ὅτι παραβαίνεις τὴν τάξιν, ἄλλη γάρ ἐστιν ἡμετέρα συμφωνία, καὶ ἄλλως ποιεῖς· ἔτι τὸ τοῦ μεγάλου Βασιλείου ῥητὸν οὐκ ἔλαβε τέλος, καὶ σὺ προέφερες εἰς μέσον ἄλλας ὑποθέσεις καὶ ἄλλα κεφάλαια ἔξω τοῦ προκειμένου, διδάσκων ὡς ἔοικε τοὺς ἀκροατάς. λέγε λοιπὸν μακρὸν, ὅσον ἂν αὐτὸς βούλει, ἐπειδὴ ἐγὼ οὐκ ἔχω τιθέναι σοι νόμον, ἀλλ' ὁ γαληνότατος βασιλεύς· ὅμως ἐγὼ τηρήσω τὴν σεμνότητα καὶ τὴν τάξιν τῶν διαλέξεων, καὶ οὐδέποτε ἀποκριθήσομαι εἰς ὅσα λέγεις· ἕως ἂν ἀπολογηθῇς κατὰ τάξιν τῶν προκομισθέντων ῥητῶν, καθ' ὃν ἠρξάμεθα τρόπον τῆς διαλέξεως, ὅπως σαφηνισθέντος τοῦ ἑνὸς ἀρξώμεθα τοῦ ἑτέρου. * ἀκούσας οὖν ταῦτα ἐπιληψία κατέ- * φύλλ. 253.
σχε σε, καὶ ἐστενοχωρήθης ἐλθεῖν κατὰ πεῦσιν καὶ ἀπόκρισιν τῶν ῥητῶν· καὶ εὐθὺς ὀλίγα εἰπὼν Σίκουλα σεκουλόρουμ ἐβόησας, τουτέστιν οὐ βούλομαι ἔτι λέγειν, τέλος ἐποίησα, ὅθεν καὶ ὁ μακαριώτατος πάπας * ἔφησε· Δίκαιόν ἐστιν, ἐπεὶ εἶπες ὅσα ἔχρηζες, ἵν' * Ἰουλιανὸς ὁ καρδ.
ἀπολογηθῇς καὶ εἰς τὰ τελευταῖα Ἰωάννου τοῦ πρoβεντζιακίου.* * φύλλ. 260.
μὴ θέλοντος δέ σου ἀποκριθῆναι, ἀλλ' ὀλίγους εἰπόντος λόγους, 261.
στρεβλοὺς καὶ διεφθαρμένους καὶ ἔξω τοῦ προκειμένου, ἐλύθη ἡ συνέλευσις, καὶ πλέον οὐκ ἠθέλησας συνελθεῖν. καινὸν δὲ καὶ ἀπηγορευμένον τὸ τῶν Λατίνων δόγμα οὔτε μὴν ἔδειξας οὔτε δείξεις ποτὲ, οὔτε σὺ οὔτ' ἄλλος τις ὑψηλότερός σου καὶ λογιώτερος· ὅτι οὐ καινὸν τοῦτο τὸ δόγμα ὑπάρχει, ἀλλ' ἀπὸ τῆς δευτέρας συνόδου ἐστί τε καὶ ψάλλεται ἐν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ· οὐδὲ Λατινικόν ἐστιν ἢ Γραικικὸν, οὐ γὰρ ἐν μέρει ἡ πίστις, ἀλλὰ Χριστιανικόν· πάντες γὰρ οἱ διδάσκαλοι Γραικοὶ καὶ Λατῖνοι τὸ αὐτὸ φρονοῦσιν· εἰ μὴ τοσοῦτον ἀτοπώτατος βούλει φανῆναι, ὥστε καὶ τοὺς ἀνατολικοὺς ἁγίους καὶ διδασκάλους Λατίνους ἀποκαλεῖν.

Ὁ ἘΦΕΣΟΥ. Ἐπὶ τούτοις κατέλυσα τὰς πρὸς αὐτοὺς ὁμιλίας, τὸ μηκέτι συνελθεῖν(?) μετ' αὐτῶν, ἤγουν αὐτὸς σιωπήσειν βεβαιωσάμενος· ἀλλ' ἐκεῖνοι προσεκαλοῦντο τοὺς ἡμετέρους ἑκόντας

ἄκοντας εἰς τὴν τῶν εἰρημένων ἀντίῤῥησιν. καὶ τοῦτο διαπραξάμενοι μὴ παρόντος ἐμοῦ διὰ τὴν ἀσθένειαν, δύο ἐφεξῆς συνελεύσεις ἐπλήρωσαν αὐτοὶ μόνοι λέγοντες, μηδενὸς ἀπολογουμένου.

ἈΠΟΛΟΓ. Ὁ δίκαιος λόγος ἀπήτει, ἐπειδὴ σὺ ἀπὸ μέρους τῶν Γραϊκῶν εἶπες, καὶ οὕτω μακροὺς κατέτεινας λόγους, ἵν' ἀκούσῃς καὶ τὰς ἀποκρίσεις. οὐ γὰρ δίκαιον, τὸν διαλεγόμενον μόνον λέγειν μὲν, οὐκ ἀκούειν δὲ καὶ τοῦ ἀποκρινομένου. καὶ σὺ μὲν τὸ Σίκουλα σικουλόρουμ εἰπὼν, αἰσχυνθεὶς τῇ στενοχωρήσει τοῦ φρὰ Ἰωάννου ἀνεχώρησας, καὶ οὐκέτι ἐβούλου συνελθεῖν· οἱ δὲ Λατῖνοι οὐκ ἠνείχοντο σιωπῆσαι, καὶ τοῖς σοῖς λόγοις μὴ δοῦναι ἀπολογίαν. ὅθεν ἐκάλουν κανονικῶς ὑμᾶς συνελθεῖν, καὶ ἀκοῦσαι τὰς ἀποκρίσεις τῶν λόγων. καὶ σοῦ μὲν μὴ βουλομένου συνελθεῖν, ὁ βασιλεύς τε καὶ πατριάρχης καὶ οἱ ἐπίλοιποι τῆς ἀνατολικῆς ἐκκλησίας λογάδες ᾠήθησαν δίκαιον εἶναι συνελθεῖν, καὶ οὕτω συνῆλθον. ἀποστείλασα οὖν ἡ σύνοδος ἐκάλει καὶ σὲ ἐλθεῖν, ἀλλ' οὐκ ἠθέλησας, ἀσθένειαν ἰσχυρὰν ὑποκρινάμενος. νοήσαντες οὖν οἱ δημόται σου τὴν φυσικὴν ἀσθένειαν, ἥνπερ εἶχες, ἐσιώπησαν· Λατῖνοι δὲ μόνοι ἔλεγον μηδενὸς ἀπολογουμένου, οὐ γὰρ χρεία ἦν ἀπολογεῖσθαι τοὺς ἡμετέρους, ὅτι ὁ τῶν Λατίνων λόγος ἀπολογία ὑπῆρχε πρὸς τὰ ὑμέτερα.

Ὁ ἘΦΕΣΟΥ. Κατὰ μὲν τὴν πρώτην τὰ ῥητὰ τῶν οἰκείων διδασκάλων προσενηνόχατε, ἐν οἷς ἐδείκνυσαν τὸ πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον ἐκ τοῦ υἱοῦ καθὰ καὶ ἐκ τοῦ πατρός.

ἈΠΟΛΟΓ. Ἐν ταύτῃ τῇ συνελεύσει ἀπέστειλεν ἡ σύνοδος ζητοῦσά σε ἐλθεῖν πρὸς τὴν διάλεξιν, ἐπειδὴ ὁ προσδιαλεγόμενος φρὰ Ἰωάννης ἔλεγεν· Ἀγάγετε τὸν Ἐφέσου ὧδε, ἵνα ἀκούσῃ τὰς ἀποκρίσεις τῶν λόγων αὐτοῦ· σὺ δὲ μὴ δυνάμενος ἀκούειν τὸν ἔλεγχον τῶν παρὰ σοῦ ῥητῶν, οὐκ ἠθέλησας ἐλθεῖν, ἀλλ' ὑπεκρίνου ἀσθένειαν. διὸ καὶ ὁ διδάσκαλος Ἰωάννης τοὺς μὲν ἐλέγχους τῶν σῶν ἐάσας λόγων, τὰ τῶν οἰκείων διδασκάλων ῥητὰ προέφερε δεικνύων τοῦ δόγματος τὴν ἀλήθειαν, ἀναιρῶν ἅπερ ἔλεγες, ὅτι οὐκ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα. ἀλλὰ σὺ μὲν ἔλεγες, οὐκ ἀπεδείκνυες δέ· ἐκεῖνος δὲ ἔλεγε καὶ γενναίως ἐδείκνυε μετὰ τῶν δυτικῶν διδασκάλων. ἆρ' ὄντως δύνασαι ἀρνήσασθαι, ὅτι οὐκ εἰσὶν οἱ δυτικοὶ διδάσκαλοι ἅγιοι; εἰ εἴποις, αἱρετικὸς πάντων αἴσχιστος δέδειξαι. ὅτι

ἡ πέμπτη οἰκουμενικὴ σύνοδος ἐν τῷ ἑαυτῆς ὅρῳ φησίν· Ἑπόμεθα τοῖς ἁγίοις καὶ μακαρίοις πατράσι καὶ διδασκάλοις, Γρηγορίῳ τῷ διαλόγῳ, Αὐγουστίνῳ, Βασιλείῳ, Ἱερωνύμῳ, Ἀμβροσίῳ, καὶ τοῖς λοιποῖς· καὶ τὰς φωνὰς αὐτῶν στέργομεν καὶ ἀποδεχόμεθα· Οὐκοῦν οὐ δύνασαι ἀντειπεῖν. τούτους οὖν οὓς ἡ πέμπτη τῶν οἰκουμενικῶν σύνοδος ἁγίους καὶ διδασκάλους ἐκήρυξεν, ὁ Ἰωάννης κομίσας ἔδειξεν ἐναργῶς τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ εἰς ἀναίρεσιν τῶν σῶν λόγων, καὶ οὐ τῶν ἀνατολικῶν διδασκάλων, διότι κἀκεῖνοι τὰ αὐτὰ τοῖς δυτικοῖς λέγουσιν. ἵνα δὲ ἡ ἀλήθεια δηλωθείη τοῖς βουλομένοις ἰδεῖν, εἴπερ ἀληθῆ λέγεις, ἡμεῖς καὶ τὰ ῥητὰ τῶν δυτικῶν διδασκάλων ἐνταῦθα θήσομεν, οὐ πάντα οὐδὲ πάντων, ἀλλ᾽ ἐκ τῶν πολλῶν ὀλίγα, δεικνύντες σε πανταχοῦ διὰ τούτων ἀλαζόνα καὶ ματαιόφρονα. Ἐν πρώτοις γὰρ ὁ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεὺς, ὁ μέγας φημὶ Γρηγόριος ὁ διάλογος, ὃν καὶ ἡ ἀνατολικὴ ἐκκλησία διδάσκαλον καὶ ἅγιον ἔχει, οὕτω φησὶν ἐν τῇ ἐξηγήσει τοῦ ἱεροῦ εὐαγγελίου· Ὅθεν καὶ αὐτὴ ἡ ἀλήθεια, ἵνα τοῖς μαθηταῖς πίστιν προσθῇ εἶπεν· Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. * ἐπεὶ γάρ ἐστι τὸν παράκλητον τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἀεὶ καὶ τοῦ υἱοῦ ἐκπορεύεσθαι, τίνος χάριν ἑαυτὸν ὁ υἱὸς ἀποδημήσοντα εἴρηκεν, ἵν᾽ ἐκεῖνος ἔλθῃ, ὁ τοῦ υἱοῦ μηδέποτε ἀφιστάμενος; καὶ περαιτέρω εἰς τὸ ῥητὸν τό· Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, * φησίν· Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός. εἰ γὰρ τὸ ἀποστέλλεσθαι, τὸ σαρκοῦσθαι μόνον ὀφείλει νοεῖσθαι, τὸ πνεῦμα τὸ ἅγιον ἀναμφιβόλως οὐδένα ἂν τρόπον ἐλέγετο ἀποστέλλεσθαι, ὅπερ οὐδέποτε ἐσαρκώθη· ἀλλ᾽ ἡ τούτου ἀποστολὴ αὕτη ἐστὶν, ἡ αὐτοῦ πρόοδος, ᾗ παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεται. ὁ δὲ θεῖος Ἀμβρόσιος ἐν τῷ πρὸς Γρατιανὸν τὸν βασιλέα πρώτῳ βιβλίῳ τῷ περὶ τοῦ ἁγίου πνεύματος οὕτω φησίν· Ἀλλ᾽ οὔτε ἐπειδὰν ἐκ τοῦ πατρὸς ἐξέρχεται, ἀπὸ τόπου ἀναχωρεῖ, καὶ ὡσεὶ σῶμα χωρίζεται, ἀπὸ σώματος· οὐδὲ γὰρ ἐν τῷ πατρὶ ὡς δῆθεν ἐν σώματι. ἅτε δὴ σῶμα ἐμπερικλείεται. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἡνίκα ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεται, οὐ χωρίζεται τοῦ πατρὸς, οὐ χωρίζεται τοῦ υἱοῦ. τίνα τρόπον δύναται χωρίζεσθαι τοῦ πατρὸς, πνεῦμα στόματος αὐτοῦ ὄν; ὃ πάντως καὶ τῆς ἀϊδιότητος δεῖγμά

* Ἰω. 16, 7.

* Ἰω. 20, 19.

ἐστι, καὶ τῆς θεότητος ἐμφαίνει τὴν ἑνότητα. Αὐγουστῖνος δὲ ὁ θειότατος πρὸς Ὀρόσιον ἐπιστέλλων ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχή· Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσεν ἑαυτὸν οὕτως ἐπελευσόμενον· ἐν πολλοῖς τόποις περὶ τούτου λέγων καὶ τοῦτό φησι· Διατί τοίνυν μὴ πιστεύσωμεν, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ καὶ τοῦ υἱοῦ ἐστιν αὐτὸ πνεῦμα; εἰ γὰρ μὴ παρ' αὐτοῦ ἐξεπορεύετο, οὐκ ἂν μετὰ τὴν ἀνάστασιν ἑαυτὸν ἐμφανίζων τοῖς μα-
* Ἰω. 20, 22. θηταῖς, ἐνεφύσησεν αὐτοῖς λέγων· Λάβετε πνεῦμα ἅγιον,* καὶ μετά τινα· Τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς ἐκπορεύεται πρὸς τὸν υἱὸν, κἀκ τοῦ υἱοῦ ἐκπορεύεται πρὸς τὸ ἁγιάζειν τὴν κτίσιν, ἀλλ' ὁμοῦ ἐξ ἀμφοτέρων ἐκπορεύεται, εἰ καὶ ὁ πατὴρ τοῦτο δέδωκε τῷ υἱῷ, ἵν' ὥσπερ ἐξ αὐτοῦ οὕτω καὶ ἐξ ἐκείνου ἐκπορεύηται. οὐδὲ γὰρ δυνάμεθα λέγειν, μὴ εἶναι ζωὴν τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ ὁ πατὴρ ζωή ἐστι καὶ ὁ υἱός· καὶ διὰ τοῦτο ὥσπερ ὁ πατὴρ
* Ἰω. 5, 26. ζωὴν ἔχει ἐν αὐτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ* καὶ οὕτως ἔδωκε ζωὴν ἐκπορεύεσθαι καὶ ἐξ ἐκείνου, ὥσπερ ἐκπορεύεται καὶ ἐξ αὐτοῦ. Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Πέτρον περὶ πίστεως κεφαλαίου ια'· Βεβαιότατα πίστευε, καὶ κατὰ μηδένα τρόπον ἀμφίβαλλε, αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον, ὃ πατρός ἐστι πνεῦμα καὶ υἱοῦ, ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεσθαι· λέγει γὰρ ὁ υἱός· Ὅταν ἔλθῃ ὁ παράκλητος τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ
* Ἰω. 15, 26. πατρὸς ἐκπορεύεται·* ὅπου πνεῦμα ἑαυτοῦ εἶναι ἐδίδαξεν, ἐπεὶ αὐτός ἐστιν ἡ ἀλήθεια. ἐκ τοῦ υἱοῦ τε ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον καὶ ἡ προφητικὴ καὶ ἀποστολικὴ διδασκαλία ἡμῖν παραδίδωσιν. Ἡσαΐας μὲν γάρ φησι περὶ τοῦ υἱοῦ· Πατάξει τὴν γῆν τῇ ῥάβδῳ τοῦ στόματος αὐτοῦ, καὶ τῷ πνεύματι τῶν χειλέων αὐτοῦ ἀνελεῖ
* Ησ. 11, 4. τὸν ἀσεβῆ.* περὶ οὗ φησι καὶ ὁ ἀπόστολος· Ὃν ὁ κύριος Ἰησοῦς
* Θεσσ. β'. 2, 8. ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ.* Καὶ τί δεῖ πάντα καταλέγειν, ὅσα οἱ δυτικοὶ διδάσκαλοι τῆς ἐκκλησίας φασίν; ἀρκεῖν ἡγούμεθα καὶ ταῦτα εἰς παράστασιν τῆς ἀληθείας, καὶ ἱκανὰ πεῖσαι ψυχὴν μὴ βεβαπτισμένην τῇ ἀπογνώσει τε καὶ προλήψει, ὥσπερ ἡ σὴ, αἰδέσιμε Ἐφέσου, ἐβεβάπτιστο· οὐ γὰρ ἠθέλησάς ποτε συνιέναι τὸ ἀληθὲς καὶ ἑνωθῆναι τοῖς διδασκάλοις τούτοις καὶ ἁγίοις, ἀλλ' ἐξελέξω μετὰ τοῦ Παλαμᾶ καὶ Καβάσιλα καὶ τῶν λοιπῶν εἶναι, οἳ τὸν βίον κατέστρεψαν εἰλεῷ. ὃ δὲ φὴς, ὅτι ἐδείκνυε

παρὰ τῶν οἰκείων διδασκάλων ἐκπορευόμενον τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ καθάπερ ἐκ τοῦ πατρὸς, θαυμάζω πολὺ, εἰ καὶ τοὺς οὐ νομίζεις, οὓς αἱ σύνοδοι πᾶσι τοῖς Χριστιανοῖς διδασκάλους παρέθεσαν οἱ συμφωνοῦσιν ἑαυτοῖς καὶ τοῖς ἀνατολικοῖς διδασκάλοις, καὶ μάλιστα ἐν τοῖς περὶ τῆς πίστεως δόγμασιν.

Ὁ ἘΦΕΣΟΥ. Ἐν δὲ τῇ δευτέρᾳ συνελεύσει τὰ παρ' ἐμοῦ εἰρημένα διαστρέψαντες μᾶλλον ἢ ἀνατρέψαντες, καὶ χρήσεις ἐναντίας, ὡς ἐκείνοις ἐδόκει, τῶν παρ' ἡμῖν διδασκάλων ἐκτεθεικότες.

ἈΠΟΛΟΓ. Ἐν ταύτῃ δὲ τῇ δευτέρᾳ συνελεύσει μετὰ τὴν σὴν φυγὴν πάλιν ὁ φρὰ Ἰωάννης ἐθεολόγησε, καὶ πάλιν φωνῇ μεγάλῃ ἐβόησεν· Ἀγάγετε τὸν Ἐφέσου ὧδε, βούλομαι γὰρ ἀνατρέψαι τὰ αὐτῷ εἰρημένα. καὶ πάλιν ἀπέστειλεν ἡ σύνοδος ζητοῦσά σε συνελθεῖν· οἱ δὲ ἀπεσταλμένοι ζητοῦντές σε, εὗρον μαινόμενον, καὶ βοῶντα φωνὰς ἀσήμους. καὶ καλούντων σε συνελθεῖν τῇ συνόδῳ, σὺ ἀντέφης· Οὐ δύναμαι ἐλθεῖν· τῇ γὰρ νυκτὶ ταύτῃ ἐλθόντες οἱ καρδινάλεις ἀπεστέγασαν τὸν ὄροφον τοῦ οἰκήματος, καὶ μετὰ ῥάβδων πυρίνων ἔδειράν μου τὰς σάρκας· ἀπέκτεινάν με οἱ καρδινάλεις, καὶ νῦν καλοῦσί με συνελθεῖν μετ' αὐτῶν; οὐ δύναμαι. ἢ οὐχ ὁρᾶτε καὶ ὑμεῖς τὰς πληγάς; καὶ ἐδείκνυες τὰς σάρκας σοῦ λέγων· Βλέπετε, πῶς εἰμι ὅλος μεμελανωμένος τῶν ῥαβδισμῶν ἕνεκεν· ἐκεῖνοι δὲ ἐννοήσαντες τὴν ἀσθένειαν, ἀπῆλθον δηλοῦντες τῇ ἱερᾷ συνόδῳ, ὡς οὐ δύναται συνελθεῖν, ἀσθενεῖ γάρ. Ὅθεν ὁ φρὰ Ἰωάννης πάλιν εἶπεν· Ἐβουλόμην εἶναι τὸν Ἐφέσου ὧδε, καὶ συμπαρεῖναι ἡμῖν ἐν ταύτῃ τῇ συνελεύσει· ἀλλ' ὡς ἔοικεν, ἡττηθεὶς ἀπέγνω. διὰ φέρε πρὸς ὑμᾶς ποιήσωμαι τὴν ἀπόκρισιν καὶ προαγαγὼν τὰ τῶν ἀνατολικῶν διδασκάλων ῥητὰ, ἅπερ καὶ ἡμεῖς πρότερον ἐξεθέμεθα, καὶ ἄλλα πλεῖστα, ἡμεῖς γὰρ ὀλίγα προετείναμεν, γενναίως ἀπέδειξε καὶ λαμπρότερον τοῦ ἡλίου, ὅτι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· ἀνέτρεψέ τε ἀνδρείως τὰ παρὰ σοῦ πρότερον εἰρημένα, καὶ εἰς γῆν κατέστρεψεν ὡς ψευδῆ καὶ διεστραμμένα, καὶ παντελῶς ἀλλότρια τῆς τῶν ἁγίων θεολογίας καὶ διανοίας· καὶ ἐκτέθεικε τὰς χρήσεις τῶν ἡμετέρων διδασκάλων, τὰς σοὶ μὲν ῥηθεῖσαν ἐναντίας, τῇ δὲ ἀληθείᾳ τῷ ὄντι συνᾳδούσας, οὐ μὴν δ' ὡς σὺ διεστραμμένως ἐξηγοῦ καὶ ἐλάμβανες, ἀλλ' ὡς ἐκεῖνοι συνέγραψαν καὶ ὡς ἡ ἐκείνων εἶχεν ὀρθὴ διάνοια, σὲ κα-

ταλιπὼν ἔνθα καὶ κατωρύχθης, στόμα γέλωτος ἄξιον, ὅθεν ἀνακύψαι ὅλως οὐκ ἠδυνήθης.

Ὁ ἘΦΕΣΟΥ. Ἐπεὶ δέ μου σεσιωπηκότος, οὐδεὶς ἔτι τῶν ἡμετέρων πρὸς αὐτοὺς ἐθάῤῥησεν ἀντιτάξασθαι, τοῦτο μὲν τῶν ἀρχόντων οὕτω δέον εἶναι κρινόντων, τοῦτο δὲ καὶ ὀκνοῦντες ἅπαντες τὸν ἀγῶνα, καὶ μὴ εἰς ἔριδας καὶ ταραχὰς ἐμπέσωσι δεδιότες· ἐκεῖνοι τὴν ἡμετέραν σιωπὴν ὡς ἕρμαιον λογισάμενοι, καθάπερ τινὰς φυγάδας προεκαλοῦντο τοὺς ἡμετέρους πρὸς μάχην· καὶ μηδαμῶς ὑπακουόντων ἡμῶν, ἐπεκρότουν ὡς νικηταὶ, καὶ τὴν ἀλήθειαν μεθ' ἑαυτῶν ἔχοντες.

ἈΠΟΛΟΓ. Ἐπεκρότουν οὐχ ὡς νικηταὶ, ἀλλ' ὡς ἀθῷοι τῆς σῆς διαβολῆς. σὺ γὰρ καὶ οἱ κατὰ σὲ τοὺς Λατίνους αἱρετικοὺς εἴχετε διὰ τὸ λέγειν καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορευόμενον, καὶ ἐνεκαλεῖτε αὐτοῖς, καὶ τολμητὰς τοῦ συμβόλου καὶ παραχαράκτας ἐκαλεῖτε· ἐκεῖνοι δὲ τοὺς ἁγίους τοὺς ἀνατολικούς τε καὶ δυτικοὺς προκομίσαντες συμφωνοῦντας τῷ ἑαυτῶν δόγματι, ἢ βέλτιον φάναι τῇ ἀληθείᾳ, ἀπεκρότουν, ὡς οὐκ εἰσὶ τολμηταὶ τοῦ συμβόλου ἢ αἱρετικοὶ, ἀλλ' ὡς τὴν ἀλήθειαν λέγοντες, ἤδη τῆς ἀληθείας φανείσης διὰ τῶν διδασκάλων τῆς ἐκκλησίας. προεκαλοῦντο δὲ τοὺς ἡμετέρους, εἰ βούλονται ἀντειπεῖν τοῖς τῶν διδασκάλων ῥητοῖς· οἱ ἡμέτεροι οὖν ἀντιλέγειν οὕτω πρὸς τὰ φανότατα οὐκ ἐθάῤῥησαν, οὐδὲ ἁπλῶς ἀντιτάξασθαι ἤθελον, οὐχ ὡς ὀκνοῦντες, ἢ δεδιότες ὡς σὺ φῂς, ἀλλ' ὡς μωρίαν ἡγούμενοι ἀντιλέγειν τῇ ἀληθείᾳ, οὕτω φανερῶς δεικνυμένῃ διὰ τῶν ἀνατολικῶν τε καὶ δυτικῶν διδασκάλων. σὺ δὲ ἐσιώπησας τεχνιέντως, οὐχ ὡς βουλόμενος σιωπᾶν, ἀλλ' ὡς μὴ δυνάμενος ἀντιλέγειν· τίς γὰρ διαλεγόμενος ἐν σταδίῳ σιωπᾷ ἑκουσίως; ἡ γὰρ σιωπὴ νίκην εὐθὺς δείκνυσι. δεῖ οὖν τὸν διαλεγόμενον ἀεὶ λέγειν, ἕστ' ἂν νικήσῃ, ἢ νικηθῇ. σὺ δὲ μὴ δυνάμενος ἔτι λέγειν, σιωπὴν ἀκούσιον ἤσκησας, τὴν ἀσθένειαν ὑποκρινάμενος· καὶ τούτῳ τῷ τρόπῳ τοῦ ἀγῶνος ἐξέκλινας, δῆλον μετὰ τιμῆς ὡς οὐκ ἐνικήθης ἐν τῇ συνόδῳ· τὴν γὰρ αἰσχύνην πρὸ ὀφθαλμῶν ἔχων οὐκ ἠβουλήθης συνελθεῖν.

Ὁ ἘΦΕΣΟΥ. Τοῦτο δὲ καὶ ἀεὶ ποιεῖν ἔμελλον, οὕτω καθάπαξ παρεσκευασμένοι πρὸς πᾶν τὸ λεγόμενον ἀντιλέγειν, καὶ ἑαυτοῖς τὴν νίκην ἐπιφημίζειν.

ἈΠΟΛΟΓ. Παρεσκευασμένοι εἰσὶ πάντοτε οἱ τὴν ἀλήθειαν μεθ' ἑαυτῶν ἔχοντες ἀντιλέγειν τῷ ψεύδει. καὶ ἡμεῖς νῦν ἕτοιμοι καὶ παρεσκευασμένοι ἐσμὲν τοῖς ἐχθροῖς τῆς ἑνώσεως ἀντιτάσσεσθαι. καὶ οἱ Λατῖνοι οὖν καὶ τότε καὶ νῦν καὶ ἀεὶ παρεσκευασμένοι εἰσὶ καὶ ἔσονται οὐ πρὸς τὸ καλῶς λεγόμενον ἀντιλέγειν, ἀλλὰ πρὸς τὸ κακῶς καὶ ψευδῶς λεγόμενον γενναίως ἀνθίστασθαι καὶ ἀποσκορακίζειν, οὐχ ὡς ἐπιφημίζοντες ἑαυτοῖς τὴν νίκην, ἀλλ' ὡς ἐκπληροῦντες τὸ χρέος, τουτέστιν ἀποδιώκειν τὸ ψεῦδος ἀπὸ τῆς ἀληθείας, ἵνα μὴ αὐτὴν ἀμαυρώσῃ. καὶ σοῦ μὲν ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα λέγοντος, οὐκ ἔκ τινος δ' ὅμως τῶν διδασκάλων λαβόντος, ἀλλ' ἐκ τῆς σῆς κοιλίας τοῦτο φρονοῦντος, οὐκ ἠδυνήθησαν αὐτοὶ σιωπῆσαι, ἀλλ' ἔλεγον, ἕστ' ἂν ἀπεδείχθη σαφέστατα, ὅτι καὶ ἐκ τοῦ υἱοῦ. καὶ οὕτως ἐδίωξαν ἀπὸ τῆς ἀληθείας τὸ ψεῦδος.

Ὁ ἘΦΕΣΟΥ. Ἐντεῦθεν ἀρχὴν λαμβάνει τὰ τῆς οἰκονομίας καὶ συγκαταβάσεως ῥήματα, καί τις τῶν ἡμετέρων ἐπεχείρησε λέγειν, ὡς καλόν ἐστι τὴν εἰρήνην ἀσπάζεσθαι, καὶ τοὺς ἁγίους συμφώνους ἀποδεῖξαι πρὸς ἑαυτούς, ἵνα μὴ δοκῶσιν οἱ δυτικοὶ τοῖς ἀνατολικοῖς ἀντιφθέγγεσθαι.

ἈΠΟΛΟΓ. Ἐντεῦθεν ἀρχὴν ἔλαβεν ἡ ἀλήθεια ἐμφυτευθῆναι ταῖς τῶν ἱερῶν πατέρων ἐκείνων ψυχαῖς τὴν διχόνοιαν ἀποβαλλομέναις καὶ τὴν ματαίαν πρόσψιν, καὶ ἰδεῖν πρὸς αὐτὴν τὴν ἀλήθειαν τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ κυρίου πρὸ ὀφθαλμῶν θέντων, ἵνα μὴ λάθωσι φυγεῖν τὴν ἀληθῆ ἕνωσιν, καὶ σχίσωσι πάλιν τὸν τοῦ Χριστοῦ λαὸν ἀπὸ τῆς ἐκκλησίας, ὃν αὐτὸς ὁ Χριστὸς τῷ ἰδίῳ ἐξηγόρασεν αἵματι, καὶ τοῖς ποιμέσιν ὡς πρόβατα ἐνεχείρισε, καὶ αὐτοὺς ἡγεῖσθαι αὐτῶν ὡς ποιμένας κατέστησεν, ὁ δ' εἰπὼν ὡς καλόν ἐστι τὴν εἰρήνην ἀσπάσασθαι, καὶ τὰ λοιπά, ὁ Ῥωσίας Ἰσίδωρος οὗτος ἦν· συνηγόρησε δ' αὐτῷ καὶ Σχολάριος ὁ σοφός, ὃς καὶ λόγους τρεῖς ἐξέθετο περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, καὶ τοὺς ἁγίους ἀνατολικούς τε καὶ δυτικοὺς ἐν αὐτοῖς τοῖς λόγοις μάλα γενναίως συμφωνοῦντας ἀλλήλοις ἀπέδειξεν. χριστιανικώτατα δὲ εἶπε καὶ ἁγιώτατα, τὴν εἰρήνην λέγων ἀσπάσασθαι. τοῦτο καὶ ὁ σωτὴρ ἐνετείλατο ἐν εὐαγγελίοις· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, λέγων, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.* οὐ γὰρ δίκαιον, οὔτε μὴν ὅσιον ἀποβάλλεσθαι ἀδελφοὺς ὁμοπίστους τε καὶ χριστιανούς, ὑπὲρ

* Ἰω. 14, 27.

ὧν ὁ Χριστὸς τὸ ἴδιον αἷμα ἐξέχεε, μισεῖν τε αὐτοὺς καὶ διώκειν καὶ ὡς ἀλλοφύλους ἡγεῖσθαι.

Ὁ ἘΦΕΣΟΥ. Ἤδη δέ τις καὶ περὶ τῆς Διὰ φιλοσοφεῖν ἤρξατο, παρὰ τοῖς ἡμετέροις διδασκάλοις εὑρισκομένης, ὡς ταὐτὸν τῇ Ἐκ δυναμένης, καὶ τὴν αἰτίαν τοῦ πνεύματος τῷ υἱῷ διδούσης.

ἈΠΟΛΟΓ. Οὗτος ἦν ὁ Νικαίας ἀρχιερεὺς, ὁ περὶ τῆς Διὰ καὶ τῆς Ἐκ πολλοὺς καὶ καλοὺς φιλοσοφήσας λόγους, καὶ λόγον ἱκανὸν ἐκθεὶς, δογματικὸν ἢ περὶ ἑνώσεως ἐπιγραφὴν ἔχοντα· ἐν ᾧ καὶ περὶ τῆς Διὰ καὶ τῆς τοῦ πνεύματος ἐκπορεύσεως τῆς παρὰ τοῦ υἱοῦ σαφέστατα καὶ κάλλιστα εἶπέ τε καὶ ἐθεολόγησεν. εἰ δὲ ἀρνῇ σὺ τὴν Διὰ μὴ ταὐτὸν τῇ Ἐκ δύνασθαι, ἐνταῦθά σοι ἡμεῖς ἀποδείξομεν διὰ πολλῶν τῶν παραδειγμάτων. αὐτίκα γάρ τις δυνηθείη ἀρνήσασθαι τὴν Διὰ μὴ σημαίνειν αἰτίαν, καὶ ταὐτὸν τῇ Ἐκ δύνασθαι,

* Ἰω. 1, 3. ἔνθα ὁ εὐαγγελιστής φησι· Πάντα δι' αὐτοῦ ἐγένετο, * τοῦ υἱοῦ δηλονότι; ἆρα δυνάμεθα ἀρνήσασθαι μὴ τὴν Διὰ αἰτίαν σημαίνειν, καὶ ταὐτὸν τῇ Ἐκ δύνασθαι, καὶ τὸν υἱὸν αἰτίαν εἶναι τῶν πάντων; ὅτι δὲ ταὐτὸν ἡ Διὰ τῇ Ἐκ βούλεται, Βασίλειος καὶ Χρυσόστομος τοῦτο βούλονται, ἐξηγούμενοι τὸ ἐν τῇ Γενέσει εἰρημένον παρὰ

* Γεν. 4, 1. τοῦ Ἀδάμ· Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· * ὡς ταὐτὸν δηλονότι ἐστὶν εἰπεῖν τῷ ἐκ τοῦ θεοῦ, ὅθεν ὁ μὲν ἐν τῷ πρὸς Ἀμφιλόχιον κεφαλαιώδει λόγῳ οὕτω διασαφεῖ καὶ φησίν· Ἤδη δὲ καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίσταται ἡ Διὰ τῇ Ἐκ, ὅταν ἡ ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ· οἷον Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ, ἴσον λέγων τῷ ἐκ τοῦ θεοῦ. ὁ δὲ ἐν τῇ τοῦ κατὰ Ματθαῖον ὁμιλίᾳ νγ' φησίν· Οὐδὲ γὰρ τὸ δι' οὗ τὸ ὑφ' οὗ λέγειν ἡ γραφὴ, ὡς ὅταν λέγῃ. Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον μᾶλλον τι-

* Γεν. 40, 8. θεῖσα. καὶ πάλιν· Οὐχὶ ἐκ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; * καὶ Κύριλλος δὲ ὁ μακάριος ἐν τῇ πρὸς Νεστόριον ἐπιστολῇ, ἧς ἡ ἀρχή· Καταφλυαροῦσιν, ὡς μανθάνω τινές· φησίν· Ἀναγκαῖον ὁμολογεῖν, ὅτι καὶ γεγέννηται κατὰ σάρκα διὰ γυναικός. καὶ μετ' ὀλίγα· Γεγέννηται καθ' ἡμᾶς ἐκ γυναικός. καὶ πολλάκις ἐν τῇ αὐτοῦ ἐπιστολῇ ὑπαλλαττομέναις εὕροι τις ἂν αὐτὸν ταῖς προθέσεσι ταύταις ὅτε μὲν τῇ Διὰ, ὅτε δὲ τῇ Ἐκ, ὡς ἰσοδυναμούσαις ἀδιαφόρως χρώμενον. καὶ Παῦλος δὲ πρὸς Γαλάτας φησίν· Ἐξαπέ-

στειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός.* ὁ δὲ Δαμασκηνὸς ὁ μακάριος ποτὲ μὲν λέγει ᾄδων πρὸς τὴν Θεοτόκον· Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν· καὶ αὖ ὁ αὐτός· Ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς. ποτὲ δέ· Διὰ σοῦ, παρθένε, Θεὸς ἀνθρώποις ὡμίλησε· καί· Ὁ λυτρωτὴς διὰ σοῦ, παρθένε, ἐπεδήμησεν. Ὅτι δὲ ἀληθὲς ὑπάρχει, ὅτι ἰσοδυναμεῖ ἡ Διὰ τῇ Ἐκ, καὶ μίαν ἰσχὺν ἔχουσιν, ἐντεῦθεν δῆλον. Θεοδώριτος ὁ Κύρου ἐπίσκοπος ἐπιλαμβάνεται τοῦ μεγάλου Κυρίλλου ἐν πολλοῖς τῶν ιβ' κεφαλαίων ἃ φθάσας ὁ ἅγιος ἐξέθετο κατὰ τοῦ Νεστορίου· καὶ ἐν τῷ θ' ἀναθεματισμῷ, ἐν ᾧ Κύριλλός φησιν· Ἴδιον ἔχων ὁ υἱὸς τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ πνεῦμα ἅγιον, εἰργάζετο τὰς θεοσημείας· ὁ Θεοδώριτός φησιν· Εἰ μὲν ὡς ὁμοφυὲς ἔφη Κύριλλος καὶ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἴδε συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δ' ὡς ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον καὶ δυσσεβὲς ἀποῤῥίψομεν. Ἰδοὺ φανερῶς ἐδειλίασεν ὁ Θεοδώριτος εἰπεῖν τὴν Διὰ μετὰ τῆς Ἐκ ἐν τῇ προόδῳ τοῦ πνεύματος τῇ παρὰ τοῦ υἱοῦ. ἐκεῖνος γὰρ ἀρνούμενος παντελῶς τὸ πνεῦμα ἀπὸ τοῦ υἱοῦ εἶναι, καθὼς καὶ ὑμεῖς, οὔτε ἐκ τοῦ υἱοῦ, οὔτε διὰ τοῦ υἱοῦ κατεδέξατο· ὑμεῖς δὲ τὸ μὲν δι' υἱοῦ, ὁμολογεῖτε· τὸ δὲ ἐξ υἱοῦ, οὐδ' ἀκοῦσαι ἀνέχεσθε· ἀλλ' ὦ φίλος, τὸ αὐτὸ σημαίνει κατὰ τὸν Θεοδώριτον. ὅτι δὲ τὸ δι' υἱοῦ ὁμολογεῖτε, Δαμασκηνὸς ἐν τῷ η' καὶ ιγ' διαῤῥήδην βοᾷ· Ἐκ πατρὸς δι' υἱοῦ· καὶ ὑμεῖς μεγάλῃ τῇ φωνῇ ᾄδετε· Πνεῦμα μεταδοτικὸν ἀγαθότητος, ἐκ πατρὸς διὰ σοῦ, Χριστὲ, προερχόμενον. καὶ ἐν τῷ κανόνι τῆς πεντηκοστῆς· Σὺ γὰρ ποταμὸς θεότητος, ἐκ πατρὸς δι' υἱοῦ προερχόμενον. ἀλλ' εἰ καὶ ᾄδετε μὲν, ὅμως οὐ γινώσκετε, ὅτι ταὐτὸν ἡ Διὰ τῇ Ἐκ βούλεται· καὶ γὰρ μεῖζον ἢ ὑμεῖς Θεοδώριτος οἶδεν, ὅτι ἡ Διὰ τῇ Ἐκ ἰσοδυναμεῖ, διὰ τοῦτο ἀμφοτέρας τὰς προθέσεις ταύτας ἀρνεῖται. ἐπεὶ οὖν κατὰ τὰ εἰρημένα συμφωνοῦσιν αἱ προθέσεις αὗται, καλῶς καὶ ὁ Νικαίας ἀρχιερεὺς Βησσαρίων ὁ μέγας φιλοσοφεῖ τοῦτο, καὶ τὴν αἰτίαν τοῦ πνεύματος διὰ τῆς Διὰ τῷ υἱῷ δίδωσι· καὶ μάτην αὐτοὺς διασύρεις, τόν τε τὴν εἰρήνην εἰρηκότα δέον ἀσπάσασθαι, καὶ τὸν τὴν Διὰ τῇ Ἐκ ταὐτὸ δύνασθαι φιλοσοφοῦντα.

* Γαλ. 4, 4.

Ὁ ΕΦΕΣΟΥ. Οὕτω κατὰ μικρὸν ὁ λατινισμὸς ἐξεῤῥάγη· καὶ περὶ τοῦ τρόπου λοιπὸν τῆς ἑνώσεως ἤρξαντο πραγματεύεσθαι,

καί τινα ῥητὰ περιεργάζεσθαι, δι' ὧν ἑνωθήσονται, μέσον ἐπέχοντα χώραν, καὶ δυνάμενα κατ' ἀμφοτέρας τὰς δόξας λαμβάνεσθαι, καθάπερ τις κόθορνος. τοῦτο γὰρ αὐτοῖς πρὸς τὴν ἕνωσιν ἔδοξε σφόδρα συμβάλλεσθαι, τῶν τε ἡμετέρων δι' αὐτῶν ῥᾷον προσαγομένων, καὶ τῶν ἐναντίων ἐλπιζομένων ἀνεξετάστως αὐτὰ παραδέξασθαι.

ἈΠΟΛΟΓ. Οὕτω κατὰ μικρὸν ὁ χριστιανισμὸς ἐλαμπρύνετο· πρότερον γὰρ ἠμαύρωτο τῷ πάθει τοῦ σχίσματος, καὶ τὸν ἀρχαῖον σύνδεσμον λοιπὸν τῆς εἰρήνης ἐπραγματεύοντο ἀνακτήσασθαι οἱ Χριστοῦ ἱεράρχαι θείῳ πυρούμενοι ζήλῳ, ἵνα μὴ διῃρημένον καὶ πάλιν τὸ τῆς ἐκκλησίας πλήρωμα μένῃ, καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία ἡ ἄσπιλος νύμφη τὴν τῶν οἰκείων τέκνων διαίρεσιν ὀδύροιτο γοερῶς, ἀλλ' εὐφραίνοιτο ὡς εἰκὸς, ὁρῶσα τὰ ἑαυτῆς τέκνα ἑνωμένα πρὸς ἄλληλα. διὰ τοῦτο καὶ τὰ ῥητὰ τῶν ἁγίων συμφωνοῦντα ἀλλήλοις ἐσπούδαζον δεῖξαι, οὐ περιέργως ὡς σὺ φῂς, ἀλλ' εὐσεβῶς τε καὶ καθαρῶς αὐτὰ ἐξηγεῖσθαι. ἰδόντες τοίνυν καὶ καλῶς ἐννοήσαντες τὰ ῥητὰ, τὰ αὐτὰ τοῖς δυτικοῖς λέγοντα διδασκάλοις προθύμως ἡνώθησαν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, οὐ διὰ μεσότητός τινος· ἄπαγε ταύτης τῆς ἀτοπίας· οὐδὲ τὰ ῥητὰ τῶν ἁγίων μέσον ἐπέχοντα χώραν πρὸς ἀμφοτέρας τὰς δόξας ἡγήσαντο παντελῶς, οὐδὲ ἐπίνοιαν ἐκεῖνοι τοιαύτην ἔσχον, ὡς διὰ μεσότητος ῥητῶν τινων ἑνωθῆναι, ὥστε ἀνεξετάστως αὐτὰ παραδέξασθαι τοὺς Λατίνους, καὶ δι' αὐτῶν πεπλασμένην τινὰ συστῆναι τὴν ἕνωσιν· πόῤῥω τοῦτο τῆς ἐκείνων διανοίας ὑπῆρχε· ποία γὰρ μεσότης ἔσται μέσον ἀληθείας καὶ ψεύδους; ποία δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ γὰρ τὸ ἐκ μόνου τοῦ πατρὸς ἀληθές ἐστι, καὶ ψευδὲς τὸ ἐκ τοῦ υἱοῦ· ἢ τὸ ἐκ τοῦ υἱοῦ ἀληθὲς, καὶ ψευδὲς τὸ ἐκ μόνου, ὡς ἄμεσα ἐναντία· ἀμφότερα γὰρ οὐ θεμιτὸν ἵστασθαι. ποίαν ἄρα μεσότητα τὰ ῥητὰ δύνανται δοῦναι, ἢ ὅπερ σὺ φῂς κόθορνον; κόθορνος γὰρ σὺ κοθόρνου ἐπίνοιαν εἶχες, οὔτε ψυχρὸς ὢν, οὔτε θερμός· καὶ διὰ τοῦτο ἐμίσησέ σε θεὸς κατὰ τὸν Ἰωάννην ἐν τῇ Ἀποκαλύψει, καὶ ἐξέμεσέ σε· * τὸ γὰρ ἀμφοτεροδέξιον ὑπόδημα, ὅπερ ἐστὶν ὁ κόθορνος, ἑκατέρῳ ποδὶ ἀχρεῖόν ἐστι. καὶ σὺ τοίνυν παρόμοιος τῇ λέξει καὶ τῇ ἐπινοίᾳ σου ταύτῃ ὑπάρχων, ἀχρεῖος ἔδοξας τοῖς ἐχέφροσιν ἐν ἀμφοτέροις τοῖς μέρεσιν· οἱ δὲ ἱεροὶ ἐκεῖνοι καὶ θεῖοι

* Ἀποκ. 3, 16.

ἄνδρες τὰ ῥητὰ καλῶς ἐρευνήσαντες, ἐκ τοῦ υἱοῦ προφανῶς λέγοντα, τὸ δὲ ἐκ μόνου τοῦ πατρὸς παντελῶς ἀπηγορευμένον, ἐδέξαντο τοὺς ἁγίους καὶ τὰς αὐτῶν φωνὰς, καὶ τὴν ἕνωσιν λοιπὸν εἰκότως ἐπραγματεύοντο εὐσεβῶς τε καὶ εὐλαβῶς.

Ὁ ἘΦΕΣΟΥ. Καὶ δή τι συνθέντες γραμμάτιον τοιαῦτά τινα περιέχον, τὴν ἐκείνων δὲ δόξαν ὅμως καθαρῶς ἐκτιθέμενον, ἐξαπέστειλαν αὐτοῖς, ὡς διὰ τούτου τὴν ἕνωσιν ποιησόμενοι. τοῖς δὲ οὐκ ἀνεκτὸν ἐδόκει τὸ γραμμάτιον δέξασθαι χωρὶς ἐξετάσεως, ἀλλ' ἢ πρὸς ἀπολογίαν αὐτοὺς προυκαλοῦντο, καὶ λύσεις τῶν ἀμφισβητουμένων φωνῶν ἐν τῷ γράμματι, ἢ τὸ οἰκεῖον δέξασθαι παρηγγύων, ὅπερ αὐτοὶ φθάσαντες ἐξαπέστειλαν· ἦν δὲ ἐκεῖνο συμφώνησις παντελὴς περὶ τὸ δόγμα Λατίνων τε καὶ Γραϊκῶν, καὶ ὁμολογία τοῦ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι.

ἈΠΟΛΟΓ. Γραμμάτιον ἐπέδωκαν οἱ ἡμέτεροι τὰ τῶν ἁγίων ῥητὰ συμβιβάζοντες κατὰ τὴν τοῦ Μαξίμου φωνὴν ὅπερ ἀπέστειλαν πρὸς τὸν ἄκρον ἀρχιερέα πρότερον τοῦτο ζητήσαντες παρὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐγγράφως, τίνι τρόπῳ γενήσεται ὁ ὅρος, καὶ πῶς τὸ δόγμα ἐν αὐτῷ ἐγγραφήσεται· ὅπερ ποιήσασα ἀπέστειλε τοῖς Γραϊκοῖς· οἳ λαβόντες, ἔγνων αὐτὸ φανερῶς λέγον τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ. εἶτ' ἔγγραψαν καὶ αὐτοὶ λέγοντες· Εἰ καὶ ἔστι τὸ ἐκ τοῦ υἱοῦ ταὐτὸν τῷ διὰ τοῦ υἱοῦ, καὶ τὸ διὰ τοῦ υἱοῦ ταὐτὸν τῷ ἐκ τοῦ υἱοῦ, καθὼς ὑμεῖς ἀπεδώκατε, ὅμως ἡμεῖς ὁμολογοῦμεν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἀϊδίως ἐστίν. ἡ Ῥωμαϊκὴ οὖν ἐκκλησία οὐκ ἠθέλησε το γραμμάτιον δέξασθαι χωρὶς ἐξετάσεως, ἀλλ' ἔλεγεν· Ἡμεῖς οὐ βουλόμεθα ἕνωσιν πεπλασμένην ποιήσασθαι, οὐδὲ τοὺς Γραϊκοὺς θέλομεν μεθ' ἡμῶν ἑνωθῆναι μετὰ αἱρέσεως καὶ ἀπάτης· ἀλλ' εἰδέναι βουλόμεθα τὴν ἐξήγησιν τοῦ γραμματίου τούτου, πῶς καὶ τίνι τρόπῳ τὴν Διὰ ἐννοοῦσιν. οὐδὲ γὰρ δώσομεν τοῦτό ποτε, τὴν Διὰ ἐννοεῖσθαι αἰτίαν ὀργανικὴν, ἢ ὑπουργικήν. ἡ Διὰ γὰρ ἴσμεν ὅτι τρισσῶς νοεῖται, ὀργανικὴ, ὑπουργικὴ, καὶ φυσική. εἰ μὲν οὖν φυσικῶς νοοῦσι, διατί οὐ χρῶνται καὶ τῇ Ἐκ ταὐτὸν τῇ Διὰ δυναμένῃ; εἰ δὲ ὀργανικῶς, ἢ ὑπηρετικῶς, ἡμεῖς τούτοις οὐ βουλόμεθα κοινωνῆσαι. διὰ τοῦτο, αἰδέσιμοι ἐζήτουν ἐξήγησιν τοῦ γραμματίου, οὐ γὰρ ἐβούλοντο χωρὶς ἐξετάσεως ἕνωσιν οὐδεμίαν ποιήσασθαι· καὶ δικαίως· εἰ

γὰρ νῦν μετὰ τοσαύτης ἐξετάσεως ἐγένετο σπουδῆς τε καὶ ἀγρυπνίας, καὶ οἱ ἡμέτεροι αὐτῇ μάχονται ἀναιδῶς, τί ἂν ἔλεγον, εἰ χωρὶς ἐξετάσεως ἐγεγόνει; διὰ τοῦτο ἐζήτουν αὐτοὺς ἐξήγησιν εἰς τὸ γραμμάτιον. εἰ δ' οὐ βούλονται ἐξηγηθῆναι τὸ γραμμάτιον, δεξάσθωσαν ἔλεγον τὸ ἡμέτερον, ὅπερ διαλάμβανει τὴν ἀληθῆ τῶν διδασκάλων ἔννοιαν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. ὅτι δὲ τοῦτ' ἀληθὲς, ἐδείξαμεν πρότερον διὰ τῶν ἀνατολικῶν καὶ δυτικῶν ἁγίων, καὶ οὐ χρὴ περὶ τούτου παλιλογεῖν.

Ὁ ἘΦΕΣΟΥ. Τρίβεται πολὺς ἐπὶ τούτοις χρόνος, καὶ οἱ ἡμέτεροι τὴν ἀναβολὴν ἐδυσχέραινον, καὶ τὴν πενίαν ὠδύροντο, καὶ πρὸς τὸν λιμὸν ἠγανάκτουν. καὶ γὰρ δὴ καὶ τοῦτ' αὐτοῖς ἐποιεῖτε, μηδενὶ μηδὲν διδόναι τῶν συγκειμένων ἀναλωμάτων, ἵνα ἀναγκασθέντες ἐκ τούτου, κατὰ μικρὸν αὐτοῖς ὑποκύψωσιν.

ἈΠΟΛΟΓ. Ἐν τούτοις σε παραστήσω τοῖς ἀκούουσι ψεύστην καὶ παντελῶς ἀσύνετον, ὡς τοιαῦτα λέγοντα. ἄνθρωπε, οὐκ ᾐδέσθης οὔτε θεὸν οὔτ' ἀνθρώπους λέγων τοιοῦτον φανερώτατον ψεῦδος; τίς ἐστερήθη τῶν τεταγμένων χρυσίνων; τίς ἀφ' ἡμῶν ἐλυπήθη, ἢ ἠγανάκτησεν; πῶς γὰρ ὤφειλε τοῦτο γενέσθαι παρόντος βασιλέως, καὶ πατριάρχου, καὶ ἀρχιερέων τε καὶ ἀρχόντων καὶ τῶν λοιπῶν; οὐκ ἔχει λόγον γενέσθαι τοιοῦτόν τί ποτε. εἰ γὰρ ἦν τοῦτο ὃ σὺ λέγεις νῦν, ὁ βασιλεύς τε καὶ ὁ πατριάρχης οὐκ ἐσιώπησαν, ἀλλὰ παῤῥησίᾳ εἶπον ἂν, ὅτι βίᾳ θέλετε συμπεραν-θῆναι τὴν σύνοδον· τοῦτο οὐ νόμιμον. εἶτα τίς ἐπείνασε; τίς διὰ τὴν πενίαν ἐλυπήθη; τίς διὰ τὸν λιμὸν ἠγανάκτησεν; οὐ γὰρ μόνον τὰ πρὸς τροφὰς ἐλάμβανον χρήματα, ἀλλὰ πολλῷ πλείω, ὥστ' ἔχειν ποιεῖν καὶ ἐνδύματα, καὶ ζώνας, καὶ σκεύη ἀργυρᾶ, κἀκεῖθεν εἰς τὴν πατρίδα ἐπανέστρεψαν πλούσιοι. πῶς σὺ λέγεις, ὅτι ἠγανάκτουν, καὶ ὠδύροντο, καὶ οὐκ εἶχον ἀγοράσαι βρώματα; εἶτα τίνα ἐβίασαν ὑπογράψαι, ἢ ἑνωθῆναι; πάντας ἀφῆκαν κυρίους τοῦ ἑαυτῶν θελήματος. Εἰ δὲ τριβὴ τοῦ καιροῦ καὶ ἀναβολὴ γέγονεν, οὐκ ἀπὸ τῶν Λατίνων ἐγένετο· φαίνεται γὰρ ἐν τοῖς πρακτικοῖς ἡ αἰσχύνη ὑμῶν, ὅτι ἀεὶ διήγειρον ὑμᾶς ὁ ἄκρος ἀρχιερεὺς ἔρχεσθαι εἰς τὰς διαλέξεις, καὶ συνεχῶς τὰς διαλέξεις ποιεῖν, ὅπως εὑρεθῇ ἡ ἀλήθεια· καὶ γὰρ, ἔλεγεν, οὐ δυνατόν ἐστιν εὑρεθῆναί ποτε τὴν ἀλήθειαν, εἰ μὴ ἐν τῇ διαλέξει. ἀλλ' ὑμεῖς φο-

βούμενοι τὴν αἰσχύνην, ἣν οὐ λέγω διὰ τὴν τοῦ γένους τιμὴν, ὅτι τοῦ αὐτοῦ γένους καὶ ἔθους κἀγὼ ὑπάρχω οὐκ ἐβούλεσθε διαλέγεσθαι· καὶ νῦν φθονοῦντες τῇ συνόδῳ καὶ τῇ εἰρήνῃ τῆς ἐκκλησίας τοιαῦτα ἐρεύγεσθε.

Ὁ ἘΦΕΣΟΥ. Τί δεῖ πολλὰ λέγειν; οὐκ ἐπαύσαντο πάντα λίθον κινοῦντες οἱ τῆς ἑαυτῶν σωτηρίας καὶ εὐσεβείας προδόται, μέχρι διεπράξαντο συναγαγόντες τὴν σύνοδον ἐκρῆξαι τὸν λατινισμὸν εἰς τὸ φανερὸν, βασιλέως τε καὶ πατριάρχου προκαθημένων, καὶ τοῦ δεσπότου τούτοις συνεδριάζοντος. τὰ γὰρ δοκοῦντα συνηγορεῖν τοῖς Λατίνοις ῥητὰ προαγαγόντες εἰς μέσον ἔκ τε τῶν διδασκάλων αὐτῶν ἐκείνων καὶ τοῦ μεγάλου Κυρίλλου, πρότερον ἐμοὶ διαμαχεσάμενοι, καὶ κατὰ ταὐτὸν ἐκ διαδοχῆς ἀλλήλων ἐπιπηδήσαντες ἰταμῶς τοῖς σοφίσμασιν, οὕτως ἠρώτων τὴν σύνοδον, ἥντινα γνώμην ἔχουσι περὶ τῶν ῥητῶν ἐκείνων, καὶ εἰ τὸν υἱὸν αἴτιον ποιοῦσι τοῦ πνεύματος.

ἈΠΟΛΟΓ. Αὕτη ἡ σύνοδος γέγονε μὲν ἰδίᾳ καὶ μυστικῶς, συνηγμένων τῶν ἀνατολικῶν τε καὶ ἡμετέρων μόνον, προκαθημένων ὡς φῂς, τοῦ τε βασιλέως καὶ πατριάρχου, καὶ ἁπλῶς πάντων τῶν ἀνατολικῶν ἀρχιερέων. συνῆξε δὲ ταύτην ὁ ἀοίδιμος βασιλεὺς ἐκεῖνος εἰς τὸ τοῦ πατριάρχου ταμεῖον, διὰ τὸ ἀσθενεῖν ἐκεῖνον, οὐκ εἰς τὸ ἐκρῆξαι ὡς ἀσέβειαν, καθὸ σὺ ἡγῇ, τὸν λατινισμὸν, ἀλλ' εἰς τὸ ἀποδεῖξαι τὴν εὐσέβειαν εἰς τὸ φανερόν. εὐσεβεῖς μὲν γὰρ οἱ Λατῖνοι, οὐχὶ δὲ ἀσεβεῖς· ἐν ᾗ ἐδημηγόρησεν ὁ βασιλεὺς πρὸς ὑμᾶς πάντας, ὀνειδίζων δῆθεν ὡς ἀμελοῦντας τοῦ θείου τῆς ἑνώσεως ἔργου, καὶ ῥαθύμως ἐν ἀλλοδαπῇ τὸν καιρὸν διατρίβοντας εἰπών.

Δεσπόται ἀρχιερεῖς, τί ποιοῦμεν εἰς τὴν Ἰταλίαν τοσοῦτον καιρὸν, καὶ οὐ σπουδάζομεν ἰδεῖν τὸ τέλος ταύτης τῆς ὑποθέσεως; ὁρᾶτε καὶ προσέχετε, μήποτε λάθωμεν καὶ ἀποτύχωμεν τούτου τοῦ ἀγαθοῦ. ἐγὼ βασιλεὺς ὢν τῇ χάριτι τοῦ χρίσαντός με θεοῦ οὐκ ὀφείλω δοῦναι τῷ θεῷ λόγον, ὅσον ὑμεῖς· τὸ γὰρ χρέος τοῦ βασιλέως ἐστὶν ὑπερασπίζειν τῆς ἀποφάσεως τῆς συνόδου. ὑμεῖς ἐστε ποιμένες τῆς ἐκκλησίας. πρὸς ὑμᾶς οἱ Χριστιανοὶ πάντες ἀφορῶσιν, ἡγήτορας τῶν ψυχῶν αὐτῶν. ὑμεῖς ὀφείλετε ἀποδοῦναι λόγον τῷ θεῷ ὑπὲρ τῶν ψυχῶν αὐτῶν. Οὐκοῦν βλέψατε καλῶς· σκέψασθε τὸ δίκαιον καὶ τῷ θεῷ ἀρέσκον. ἐνταῦθά εἰσι δύο

τρόποι μεγάλοι καὶ ὄλεθροι ἐπικίνδυνοι, ἑνώσεώς τε καὶ διαστάσεως. ἔστι μὲν ὁ κίνδυνος, ἐὰν ἡ ἕνωσις ᾖ καλὴ καὶ ὀρθόδοξος, καὶ ἡμεῖς πλανηθῶμεν μὴ δέξασθαι αὐτήν· ἔστι δὲ κίνδυνος διαιρέσεως, ἐὰν μὴ διαιρεθῶμεν δικαίως. διὰ τοῦτο σκέψασθε τὸ κρεῖττον καὶ τὸ συμφέρον. δότε γνώμας μὴ βλαπτούσας τὰς ὑμετέρας ψυχάς· ἡ γὰρ ἕνωσις τῶν ἐκκλησιῶν ἁγία ἐστίν, εἰ μόνον ἐπ' εὐσεβείας· ἡ διαίρεσις πάλιν φρικτή τέ ἐστι καὶ λέγεται. ὥστε ἐὰν μὴ ἑνωθῶμεν εὐσεβῶς βλάψομεν τὰς ἡμετέρας ψυχάς· ἐὰν δὲ διαιρεθῶμεν ἀδίκως, πάλιν ταὐτὸ ποιησόμεθα. λοιπὸν βλέπετε, τί μέλλει γενήσεσθαι. ἴστε γὰρ, ὅσον κακὸν τὸ σχίσμα τῶν ἐκκλησιῶν ἐποίησεν· ἀφ' οὗ γὰρ ἐγένετο ἕως τοῦ νῦν, οἱ Γραικοὶ τοὺς Λατίνους κύνας ἡγοῦνται, καὶ οἱ Λατῖνοι ὁμοίως τοὺς Γραικούς. οἶμαι γοῦν, ὅςτις δι' ἀνθρωπαρέσκειαν ἐμποδίσει τὴν εὐσεβῆ τῆς ἐκκλησίας ἕνωσιν, χεῖρον τόπον ἕξει τοῦ Ἰούδα. ἀλλ' ὑμεῖς, πατέρες αἰδέσιμοι, σκέψασθε τὸ δίκαιον, τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν ἔχοντες, μὴ θελήσητε διὰ πρόσκαιρον δόξαν ἢ τοῦ ἑνὸς μέρους ἢ τοῦ ἄλλου βλάψαι τὰς ὑμετέρας ψυχὰς καὶ τὸ αἷμα τῶν ἐπιλοίπων Χριστιανῶν, τῶν εἰς ὑμᾶς βλεπόντων ὡς ποιμένας καὶ

* Φύλλ. 291. ἡγουμένους αὐτῶν.* Ταῦτα ἀκούσαντες οἱ ἀρχιερεῖς, μιᾷ φωνῇ πάντες εἶπον· Ὅςτις ἐμποδίσει τὴν εὐσεβῆ τῶν Χριστιανῶν ἕνωσιν, ἔστω ὑπὸ ἀνάθεμα. καὶ οὕτως ἔδωκαν γνώμας ἕκαστος αὐτῶν ἀπὸ στόματος, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως, ἀρξάμενοι ἀπὸ τοῦ ἱεροῦ πατριάρχου. ὅθεν εἷς ἐκ τῆς συνόδου, ἁγιωσύνῃ κεκοσμημένος καὶ ἀρετῇ, ἔφη· Δίκαιόν ἐστι συμβιβάσαι τὰ ῥητὰ τῶν ἁγίων ἡμῶν, ἐπεὶ σύμφωνά εἰσι, τὸ γὰρ αὐτὸ πνεῦμα ἐλάλησεν ἐν αὐτοῖς, καὶ οὐκ ἔστι διαφωνία, καὶ ἑνωθῆναι ἡμᾶς τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ. ὁ δ' ἀπεκρίθης καὶ σὺ λέγων, ὅτι οἱ Λατῖνοι οὐ μόνον εἰσὶ σχισματικοὶ, ἀλλὰ καὶ αἱρετικοί· διὸ οὐδὲ πρέπει ὅλως ἑνωθῆναι αὐτοῖς, εἰ μὴ ἐκβάλωσι τὴν προσθήκην ἀπὸ τοῦ συμβόλου, καὶ ὁμολογήσωσι τὸ σύμβολον ὡς καὶ ἡμεῖς. τοῦτο ἀκούσας ὁ Νικαίας ἀρχιερεὺς ἀντέφησε· Καὶ λοιπὸν οἱ λέγοντες τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ, αἱρετικοί εἰσι; καὶ εὐθὺς σὺ ἀπεκρίθης· Ναί· κἀκεῖνος· Ἔλεός μοι θεὲ καὶ οἱ ἅγιοι οἱ λέγοντες τοῦτο αἱρετικοί εἰσιν· ἄλαλα γενηθήτω τὰ χείλη τὰ λαλοῦντα κατὰ τῶν ἁγίων. καὶ οὕτως προήνεγκε τὰ ῥητὰ τῶν ἀνατολικῶν διδασκάλων, καὶ ἀνέγνω πάσῃ τῇ συνόδῳ· ἃ σὺ

οὐδέποτε ἔγνως ἢ οἶδας, ἀλλ' ἢ τὰ τοῦ Καβάσιλά τε καὶ Παλαμᾶ. ἰδόντες δὲ οἱ πατέρες τὰ ῥητὰ τῶν ἁγίων τῶν ἀνατολικῶν, καὶ ἀναγνώσαντες καὶ ἐκ τῶν δυτικῶν διδασκάλων, καὶ εὑρόντες αὐτὰ συμφωνοῦντα ἐκείνοις ἐπείσθησαν ἅπαντες τῇ ἀληθείᾳ ἀναφανείσῃ· οὐ γὰρ δίκαιον τοῦ φωτὸς δειχθέντος καμμύειν τὰ ὄμματα. καὶ οὕτως ἔδωκαν γνώμας ὁμοφωνοῦντες τοῖς τῶν ἁγίων ῥητοῖς, καὶ τὸν υἱὸν ἔδωκαν εἶναι κατὰ μὲν τοὺς Γραϊκοὺς αἰτίαν, κατὰ δὲ τοὺς Λατίνους ἀρχὴν τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως ὥσπερ καὶ τὸν πατέρα.

Ὁ ἘΦΕΣΟΥ. Περὶ μὲν τῶν ῥητῶν οὐκ ἀμφιβάλλειν ἔφασαν, εἰ γνήσια τῶν διδασκάλων εἰσὶ, παρὰ τῆς ἐπιστολῆς τοῦ θείου Μαξίμου τοῦτο πιστούμενοι· τὴν αἰτίαν μέν τοι τοῦ πνεύματος τῷ υἱῷ διδόναι παντελῶς ἀπηγόρευσαν οἵ γε πλείονες· οὕτω γὰρ καὶ τὸν σοφὸν διορίζεσθαι Μάξιμον.

ἈΠΟΛΟΓ. Περὶ τῶν ῥητῶν ἔτι οὐκ ἀμφιβάλλοντες ἦσαν, ἐπειδὴ ἔγνων αὐτὰ συμφωνοῦντα ἀλλήλοις, ὡς γνήσια ὄντα τῶν διδασκάλων· καὶ ὅτι ἔγνωσαν, ταύτην τὴν δόξαν εἶναι ἐν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ πρόπαλαι. ὁ γὰρ ἅγιος Μάξιμος πρὸ τῆς ἕκτης ὢν οἰκουμενικῆς συνόδου, μαρτυρεῖ τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ τοῦτο ᾀδούσῃ, καὶ συμφώνους ἐν τούτῳ προκομίζει Ῥωμαίους πατέρας, ἔτι γε μὴν καὶ Κύριλλον τὸν Ἀλεξανδρείας. τὸ δὲ ἰσχυρότερόν σου τῶν λόγων ἐστὶν, ὡς οὐκ αἰτίαν ποιοῦντας τὸν υἱὸν, ἔφη Μάξιμος, σφᾶς αὐτοὺς οἱ πατέρες ἐκεῖνοι ἀπέδειξαν, ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι· τοῦτο γὰρ καὶ οὗτοι νῦν, ὡς φὴς, δειλιάσαντες τοῖς μὲν ῥητοῖς συνεφώνησαν καὶ αὐτοὶ κατὰ τὸν Μάξιμον, τὴν δὲ αἰτίαν τῷ υἱῷ διδόναι παντελῶς ἀπηγόρευσαν, οἵ γε πλείονες αὐτῶν. Ἡμεῖς δὲ καὶ πρὸς ταῦτα ὀλίγα ἐροῦμεν· ὅτι τὸ τοῦ σεπτοῦ Μαξίμου οὕτω νοεῖται, ὡς οὐκ ἀρχοειδῶς οὐδὲ προκαταρκτικῶς αἰτίαν τὸν υἱὸν εἶναι νομίζει τοῦ πνεύματος, οὐδ' ἀρχὴν ἄναρχον, οὐδ' αἰτίαν ἀναίτιον, τοῦτο γὰρ τῷ πατρὶ μόνῳ πρόσεστι, τῷ δὲ υἱῷ οὐχ οὕτως, ἀλλ' ὃ ἔχει ὁ υἱὸς παρὰ τοῦ πατρὸς λαβὼν ἔχει καὶ αὐτὸ τὸ εἶναι. ὅθεν εἰ λέγοιτο καὶ ὁ υἱὸς αἰτία καὶ ἀρχὴ τοῦ ἁγίου πνεύματος, ἐκ τοῦ πατρὸς τοῦτ' ἔλαβε· δυνάμεθα γὰρ καὶ ἡμεῖς εἰπεῖν κατὰ τὸν ἐν θεολογίᾳ μέγαν Γρηγόριον, ἡ ἐκ τῆς αἰτίας αἰτία, τὸ ἐκ τοῦ φωτὸς φῶς, ὁ ἐκ θεοῦ θεὸς, ὥσπερ ἐκεῖνός φησιν· Ἡ ἐκ τῆς ἀρχῆς ἀρχή. ὥστε

εἰ καὶ ὁ υἱὸς αἰτία λέγεται, ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ ἀρχοειδῶς, ἀλλ' ἐκ τοῦ πατρὸς μὲν ἀρχοειδῶς, διὰ τοῦ υἱοῦ δὲ καὶ ἐκ τοῦ υἱοῦ. καὶ τοῦτό ἐστιν ὅ φησι Μάξιμος· Οὐκ αἰτίαν ἀρχοειδῆ τὸν υἱὸν ποιοῦντας τοῦ πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν, ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι. καὶ οὗτοι οὖν οὕτω νοήσαντες δοῦναι τῷ υἱῷ τὴν μὴ προκαταρκτικὴν αἰτίαν, καλῶς καὶ εὐσεβῶς ἐποίησαν. καὶ γὰρ οὐδ' ἡμεῖς λέγομεν ἀρχοειδῆ ἢ προκαταρκτικὴν τὸν υἱὸν αἰτίαν τοῦ πνεύματος, ἀλλ' ἐκ τοῦ πατρὸς ὡς πρώτης ἀρχῆς ἀνάρχου καὶ ἀρχοειδοῦς, ἐκ τοῦ υἱοῦ δὲ καὶ διὰ τοῦ υἱοῦ ὡς δι' αὐτοῦ ἐκ τοῦ πατρός· καὶ οὕτω πιστεύομεν, καὶ γενναίως κηρύττομεν.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλ' οἱ τολμηροὶ τὴν δυσσέβειαν, καὶ ὅσοι τούτοις παρὰ τὴν ἀρχὴν ἠκολούθησαν, ἐπαγγελίαις λαμπραῖς ὑπαχθέντες καὶ δόγμασιν, γυμνῇ τῇ κεφαλῇ τὸν υἱὸν ἀπεφήναντο τοῦ πνεύματος αἴτιον· ὃ μηδ' ἐν τοῖς τῶν Λατίνων ῥητοῖς εὕρηταί που φανερῶς κείμενον.

ἈΠΟΛΟΓ. Οὐ τολμηροὶ τὴν δυσσέβειαν, ἀλλ' εὐλαβεῖς τὴν εὐσέβειαν ἦσαν ἐκεῖνοι, οὓς σὺ συκοφαντεῖς. οὐ γὰρ ἠβουλήθησαν διαμεῖναι καὶ ἔτι τῷ σχίσματι καὶ τῇ κακίᾳ διαιρούμενοι τῶν ἀδελφῶν καὶ τῆς ἐκκλησίας, οὐδ' ἦσαν οὕτω μωροὶ ἀρνήσασθαι τὴν ἀλήθειαν, ὅς ἐστιν ὁ Χριστὸς, ἔμπροσθεν τῶν ἀνθρώπων. διὸ καὶ γυμνῇ τῇ κεφαλῇ ἀνεκήρυξαν, ἐκ τοῦ σκότους τῆς κακίστης προλήψεως ἀνανήψαντες, καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς ἀνελύθησαν, σὲ κάτω κείμενον ἐλεεινῶς καταλιπόντες μετὰ τῶν ἀπ' αἰῶνος ἁπάντων σχισματικῶν εἶναί σε. οὐχ ὑπαχθέντες δὲ δώροις τε καὶ ἐπαγγελίαις, ὡς σὺ φῂς, ἀλλὰ φοβηθέντες τὸν ἀλάθητον ὀφθαλμὸν, ὃ ἔγνωσαν δίκαιον, ὡμολόγησαν. Ὅτι δὲ οὐχ εὕρηται ὁ υἱὸς αἴτιος τοῦ πνεύματος ἐν τοῖς τῶν Λατίνων ῥητοῖς φανερῶς κείμενον, ἐδείξαμεν πρότερον, τὰ ῥητὰ θέντες τῶν δυτικῶν διδασκάλων. οὐκ οἶδα δὲ, εἰ καὶ ἄλλως σὺ νοεῖς τὸ εἶναι αἴτιον τοῦ πνεύματος, καὶ ἄλλως τὸ ἐξ αὐτοῦ ἐκπορευόμενον. ἐγὼ δὲ ὅταν ἀκούσω, παρὰ τοῦ υἱοῦ τὸ εἶναι ἔχει, καὶ παρ' αὐτοῦ ἐκπορεύεται, τὸ αὐτοῦ αἴτιον ἐννοῶ· εἰ δὲ ἄλλο ἐστὶ τὸ εἶναι ἔχειν παρ' αὐτοῦ, ἄλλο δὲ τὸ εἶναι αἴτιον, δεῖξον σὺ τοῦτο, ἡμεῖς σιγήσομεν· ἀλλ' οὐ δυνήσῃ τοῦτο δεῖξαί ποτε, ἀλλὰ μάτην πτερυγίζεις πολλὰ κάμνων.

Ὁ ἘΦΕΣΟΥ. Τούτοις δὲ καὶ ὁ πατριάρχης ἐπεψηφίσατο, προ-

διεφθαρμένος ἤδη καὶ αὐτὸς ὁ τάλας, καὶ ἅμα διψῶν τὴν ἐκεῖθεν ἀπαλλαγὴν, εἰ καὶ τὸ χρεὼν αὐτὸν συνήλαυνε πρὸς τὸν θάνατον.

'ΑΠΟΛΟΓ. Ὁ ἱερὸς πατριάρχης ἐψηφίσατο πρῶτος, ὅτι οἱ ἀνατολικοὶ ἅγιοι τοῖς δυτικοῖς συμφωνοῦσι, καὶ μετὰ ταῦτον οἱ λοιποὶ συνῄνεσαν θεῖοι ἄνδρες. ὃς εἴπερ ἔζη, οὐκ ἂν σὺ τοιαῦτ' ἔλεγες, οὔτε μὴν ἔπραττες· ἀλλ' οὐδὲ τολμῆσαι εἶχες εἰπεῖν προδιεφθαρμένον αὐτὸν, ἂν τὴν σκιὰν αὐτοῦ μόνον ἔβλεπες· ὃς οὐ διὰ φόβον τινὰ, οὐδὲ διὰ δόξαν, οὐδὲ διψῶν τὴν ἐκεῖθεν ἀπαλλαγὴν, τὴν ἱερὰν ἐγλίχετο ἕνωσιν, ἀλλ' ὅτι εἶδεν ἀκριβῶς, ὃ πολλοὶ πρὸ αὐτοῦ πατριάρχαι ἐπεθύμησαν ἰδεῖν καὶ οὐκ εἶδον. εἶδε γὰρ τὴν εἰρήνην τῆς ἐκκλησίας, τὰ μέλη τοῦ δεσποτικοῦ σώματος ἡνωμένα, ἠγαλλιάσατο τῷ πνεύματι, καὶ ὑπέγραψεν εὐλαβῶς, ὁμολογήσας τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ, τὴν κάθαρσιν τῶν ψυχῶν, τὸν Ῥώμης ἀρχιερέα κεφαλὴν πάντων τῶν ἱερέων· καὶ οὕτω θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἄρας τὰς χεῖρας εἰς οὐρανὸν εὐχαρίστησε τῷ θεῷ, καὶ οὕτως ἀπέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχήν. σὺ δὲ ὁ ἀναιδῶς συκοφαντῶν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ οὐχ οὕτως, ἀλλ' ὁμοῦ σὺν τῷ κόπρῳ τοῦ ἀφεδρῶνος ἐξέπνευσας· μαρτυρεῖ τοῦτο πᾶσα ἡ πόλις· οὕτως οἶδεν ἡ θεία δίκη ταλαντεύειν ἕκαστον κατὰ τὴν ἑαυτοῦ πίστιν, ὡς πάλαι τὸν τῆς μανίας ἐπώνυμον Ἄρειον, ὃς κάτω τὰ ἔγκατα ἔπεμψεν, σὺ δὲ ἄνω τὴν κόπρον.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ δὲ τὴν ἐμαυτοῦ γνώμην ἅμα καὶ ὁμολογίαν τῆς πίστεως συγγεγραμμένην ἔχων· οὕτω γάρ που διείρητο πρότερον, ἐγγράφως ἐπιδοῦναι τὴν ἑαυτοῦ γνώμην ἕκαστον· ὡς εἶδον αὐτοὺς ἐκθύμως ἤδη πρὸς τὴν ἕνωσιν ὡρμημένους, καὶ τοὺς ἐμοὶ συνεστῶτας πρότερον, ἄρτι συμπεπτωκότας ἐκείνοις, ἐγγράφων δὲ οὐδὲ μεμνημένους, ἐπέσχον καὶ αὐτὸς τὴν γραφὴν, ἵνα μὴ πρὸς ὀργὴν αὐτοὺς ἐρεθίσας, εἰς προὖπτον ἤδη τὸν κίνδυνον ἐμαυτὸν ἐμβάλω.

'ΑΠΟΛΟΓ. Εἴρητο μὲν πρότερον, ἕκαστον τὴν ἑαυτοῦ δοῦναι ὁμολογίαν, ἐγγράφως δηλονότι, πρὸ τοῦ ἰδεῖν τὰ ῥητὰ τῶν ἁγίων. ἰδόντες δ' αὐτὰ, καὶ συμφωνήσαντες πρὸς ἐκεῖνα, οὐκ ἦν ἀνάγκη ἐγγράφους διδόναι ὁμολογίας, τῶν ἁγίων διὰ τῶν ῥητῶν δῆλα τὰ πάντα ποιούντων. διὰ τοῦτο οὐδεὶς ἔδωκε γνώμην ἐγγράφως ἐκεῖ, ἀλλ' ἀπὸ στόματος ὀλίγοι τινὲς, ἐρχομένου τοῦ βασιλέως καὶ τῶν

πρώτων τεσσάρων ἢ πέντε, οἱ δ' ἄλλοι ἄπειροι ὄντες γραμμάτων ἐγνωμοδότησαν μόνον εἰς τὰ ῥητὰ τῶν ἁγίων. καὶ σὺ μὲν τὴν ὁμολογίαν σου ἔχων ἐγγεγραμμένην, πλήρη αἱρέσεων καὶ ἀδολεσχίας, ἐδειλίασας δοῦναι, ἵνα μὴ ὀφλήσῃς ἀντὶ τιμῆς γέλωτα· εἶδες δὲ καὶ τοὺς πρότερον μετὰ σοῦ ἐλεεινῶς κατακειμένους εἰς τὸ τοῦ ᾅδου βάραθρον, γενναίως ἀναστάντας, καὶ ἀνανήψαντας ἐκ τοῦ σχίσματος, καὶ ἐλθόντας εὐλαβῶς εἰς τὸν σύνδεσμον τῆς εἰρήνης, καὶ μετὰ σπουδῆς ὡρμημένους πρὸς τὴν ἱερὰν ἕνωσιν· καὶ οὐκ ἔφερες βλέπειν γενέσθαι μὲν αὐτοὺς καὶ ὀνομασθῆναι πατέρας καὶ διδασκάλους τῆς ἐκκλησίας, σὲ δὲ αὐτῶν ἀλλότριον καὶ ἐχθρόν.

Ὁ ἘΦΕΣΟΥ. Διὰ στόματος μέντοι τὴν ἐμαυτοῦ γνώμην ἐδήλωσα παῤῥησίᾳ, μὴ ἂν ἄλλως δύνασθαι τὰ ῥητὰ τῶν δυτικῶν καὶ ἀνατολικῶν συμφωνῆσαι πατέρων, εἰ μὴ κατὰ τὴν ἐξήγησιν τῆς ἐπιστολῆς τοῦ σεπτοῦ Μαξίμου, τὸν υἱὸν μὴ φαίημεν αἴτιον εἶναι τοῦ πνεύματος· προσεπισημηνάμενος ἅμα καὶ περὶ τῆς προσθήκης, ὡς οὐδὲ ταύτην συγχωρῶ τοῖς Λατίνοις, ἅτε μὴ καλῶς μηδ' εὐλόγως κατὰ τοὺς εἰρημένους λόγους γεγεννημένην. Ἐντεῦθεν οἱ μὲν τὰ ἑαυτῶν ἔπραξαν, καὶ πρὸς τὴν συνθήκην ὅρου καὶ τὰ λοιπὰ τῆς ἑνώσεως ἔβλεψαν.

ἈΠΟΛΟΓ. Διὰ στόματος μὲν σὺ ἐξέμεσας αἱρέσεις καὶ βλασφημίας ἔμπροσθεν βασιλέως καὶ πατριάρχου καὶ ἁπάσης τῆς ἀνατολικῆς συνάξεως, εἰπὼν τοὺς Λατίνους σχισματικοὺς καὶ αἱρετικούς· ἔνθα κατεγέλασάν σε ἅπαντες, ἀκούσαντες τοὺς τοιούτους λόγους· ποία γὰρ σύνοδος ἔφη ποτὲ τοὺς Λατίνους αἱρετικούς; πῶς οὐκ ἐτόλμησας εἰπεῖν τοῦτο ἔμπροσθεν τῶν Λατίνων; διότι οὐκ ἴσχυες ἀποδεῖξαι. ὅτε δὲ καὶ τὸ πνεῦμα ἐκ μόνου τοῦ πατρὸς ἀναιδῶς ἐξεβόησας, οἱ πατέρες ἀκούσαντες συνετρίβοντο, καὶ πρὸς ἀλλήλους ἐμβλέψαντες συνέσχον τὰ ὦτα αὐτῶν, καὶ τὰς βίβλους καὶ τὰ ῥητὰ τῶν ἁγίων κομίσαντες ἐδείκνυον τὴν ἀλήθειαν· ἅπερ ἰδὼν ἀφωνίᾳ κατεσχέθης. Ὅτε δὲ καὶ μωρῶς ἐφθέγξω, ὅτι οὐ συγκοινωνήσεις Λατίνοις ποτὲ, ἐὰν μὴ τὴν προσθήκην ἐκβάλωσιν ἀπὸ τοῦ συμβόλου, ὅτι αἱρετικοί εἰσιν οἱ λέγοντες καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα, ἤκουσας· Ἄλαλα γενηθήτω τὰ χείλη τὰ λαλοῦντα κατὰ τῶν ἁγίων· οἱ ἅγιοι γὰρ τῆς ἐκκλησίας λέγουσι τοῦτο· καὶ ᾐσχύνθης, καὶ ἐσιώπησας. οἱ δὲ λοιποὶ πατέρες συμφωνήσαντες τοῖς ῥητοῖς τῶν


ἀνατολικῶν καὶ δυτικῶν πατέρων κατὰ τὸν νοῦν τοῦ σεπτοῦ Μαξίμου, ἡνώθησαν πρῶτον μὲν τοῖς ἁγίοις, εἶτα καὶ πρὸς ἀλλήλους· ἔπειτα δὲ καὶ πρὸς τὴν συνθήκην τοῦ ὅρου ἔβλεψαν ὡς εἰκὸς, καὶ τὰ λοιπὰ τῆς εἰρήνης ἔπραξαν, ἵνα λάβῃ τέλος τὸ θεῖον ἔργον τοῦτο καὶ ἅγιον τῆς τῶν Χριστιανῶν ὁμονοίας τε καὶ ἑνώσεως.

Ὁ ἘΦΕΣΟΥ. Ἐγὼ δὲ χωρισθεὶς αὐτῶν ἐκ τότε καὶ ἐμαυτῷ σχολάσας, ἵνα τοῖς ἁγίοις μου πατράσι καὶ διδασκάλοις διατελῶ συνημμένος, πᾶσι καταφανῆ ποιῶ τὴν ἐμαυτοῦ γνώμην διὰ τῆσδε μου τῆς γραφῆς· ὡς ἂν ἐξῇ δοκιμάζειν τῷ βουλομένῳ, πότερον ὑγιέσι δόγμασι χαίρων, ἢ διεστραμμένοις τισὶ, τὴν γεγενημένην ἕνωσιν οὐ παρεδεξάμην.

ἈΠΟΛΟΓ. Καὶ σὺ μὲν χωρισθεὶς ἀπὸ τῶν πατέρων τῆς ἱερᾶς συνόδου, κεχωρισμένος εἶ καὶ τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης· κεχωρισμένος οὖν τῆς τοῦ Χριστοῦ μάνδρας, ἔξω εἶ τῆς σωστικῆς κιβωτοῦ· τὸν δὲ ἔξω τῆς νηὸς ὄντα ἀνάγκη βασανίζεσθαι ὑπὸ τῶν κυμάτων τῆς μοχθηρᾶς αἱρέσεως. πᾶς γὰρ ὁ τῆς οἰκουμενικῆς συνόδου χωρισθεὶς, ἐχθρὸς ἀποδείκνυται ταύτης· οἱ δὲ τῶν οἰκουμενικῶν συνόδων ἐχθροὶ οὐκ ἄλλο λαμβάνουσιν ὄνομα, ἢ αἱρετικοὶ ὀνομάζονται. Ἡμεῖς δὲ ἵνα μὴ τὴν ἀνίατον ταύτην νοσήσωμεν νόσον, καὶ αἱρετικοὶ καὶ ἐχθροὶ διὰ ταύτης γενώμεθα τῆς τοῦ Χριστοῦ ἐκκλησίας, τῇ ἱερᾷ ταύτῃ καὶ ἁγίᾳ συνόδῳ ὑποτασσόμεθα, καὶ ἐν ἑνώσει ἐσμέν. Καὶ σὺ μὲν σχολάσας μωρίαις, καὶ δοξοφανίαις, καὶ τιμαῖς τῶν κοινῶν ἀνθρώπων, καὶ ταύταις ἐντρυφῶν καθ᾽ ἑκάστην, βλασφήμους ἀπέῤῥιπτες λόγους κατὰ τῆς ἱερᾶς καὶ ἁγίας συνόδου· ἡμεῖς δὲ σχολάσαντες τοῖς τῶν ἁγίων ῥητοῖς τιμῶμεν αὐτὴν, καὶ αὐτῆς ὑπερασπίζομεν καθ᾽ ἑκάστην. Ὅπως οὖν καὶ τὸ ἀναιδές σου στόμα, τὸ λαλῆσαν ἀδικίαν εἰς τὸ ὕψος καὶ βλασφημίαν, ἐπληρώθη αἰσχύνης ἐν τῷ καιρῷ τῆς σῆς πικρᾶς ἀναλύσεως, ἴσασιν οἱ τἀληθῆ λέγειν μεμαθηκότες. Καὶ σὺ μὲν συνήφθης, ὡς φῂς, τοῖς ἁγίοις σου πατράσι καὶ διδασκάλοις, Φωτίῳ τῷ πρώτῳ σχισματικῷ, μᾶλλον δὲ αὐτουργῷ καὶ δημιουργῷ τοῦ σχίσματος καὶ τῆς διαιρέσεως, Καβασίλᾳ, Παλαμᾷ, Καματηρῷ, Φουρνῇ, Ψελλῷ, Μοσχάμπαρι Βουλγαρίας, Νικολάῳ Μεθώνης, Παναρέτῳ, καὶ τοῖς λοιποῖς, τοῖς μετὰ τὸ σχίσμα καὶ τὴν πολλὴν ἔριν κατὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας εἰποῦσι, καὶ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα ἀμα-

θῶς τε καὶ ἀναιδῶς φλυαρήσασι, Νεστορίῳ τῷ φρενοβλαβεῖ κατὰ πάντα ὁμονοοῦσιν, εἰπόντι κἀκείνῳ ἐκ μόνου τοῦ πατρός· χωρισθεὶς πρῶτον πάντων τῶν θείων καὶ ἁγίων πατέρων τῶν ἐν ταῖς οἰκουμενικαῖς διαπρεψάντων συνόδοις, εἶτα πάντων τῶν συγγράμματα θεῖα καταλιπόντων, δι' ὧν ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι πνεῦμα διαῤῥήδην ἐμφαίνεται· καὶ δι' υἱοῦ, καὶ ἐξ υἱοῦ, καὶ ἐξ ἀμφοτέρων, καὶ τὰ λοιπὰ θεολογούντων ἀναφανδόν· οἵτινές εἰσιν, Ἱλάριος, Ἀθανάσιος, Αὐγουστῖνος, Βασίλειος, Ἱερώνυμος, Ἀμβρόσιος, Γρηγόριος ὁ διάλογος, Γρηγόριος ὁ θεολόγος, ὁ μέγας Χρυσόστομος, Ἐπιφάνιος, Κύριλλος, Λέων ὁ μέγας, Μάξιμος, Ἀναστάσιος, Ταράσιος, Δαμασκηνὸς, καὶ ἕτεροι. Ἡμεῖς δὲ, ὧν μὲν σὺ συνήφθης, παντελῶς χωριζόμεθα, καὶ οὐδεμίαν κοινωνίαν βουλόμεθα ἢ θέλομεν μετ' αὐτῶν ἔχειν· ὧν δὲ σὺ ἐχωρίσθης, ἡμεῖς εὐλαβῶς συναπτόμεθα. Καὶ σὺ μὲν μετὰ τῶν ἐκ μόνου τοῦ πατρὸς εἰπόντων τὸ πνεῦμα ἐν τῇ δευτέρᾳ τοῦ Χριστοῦ παρουσίᾳ εὑρεθείης συντεταγμένος, ἡμεῖς δὲ μετὰ τῶν θεολογησάντων αὐτὸ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεσθαι εὑρεθείημεν συνημμένοι. Καὶ σὺ μὲν ὧδε ἐχθρὸς τῆς συνόδου καὶ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ὑπάρχων, κἀκεῖ εὑρεθήσῃ ἐχθρὸς αὐτῆς· ἡμεῖς δὲ ὧδε φίλοι καὶ ὑποτακτικοὶ τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ τῆς οἰκουμενικῆς ὄντες συνόδου, κἀκεῖ εὐχόμεθα ἵν' εὑρεθῶμεν οὕτως. Τὴν δὲ σαυτοῦ γνώμην ταύτην, ἣν καταφανῆ πᾶσι ποιεῖς, ἡμεῖς ἤδη τῇ τοῦ θεοῦ χάριτι ἀνετρέψαμεν, πῇ μὲν τὸ ἄτοπον ταύτης ἐλέγχοντες, πῇ δὲ τοὺς λόγους ψευδεῖς δεικνύντες διὰ μαρτυριῶν τῶν τῆς ἐκκλησίας διδασκάλων· ὅπως ἐξῇ δοκιμάζειν ἕκαστον, πότερον ἀλήθειαν φῂς ἢ ψεῦδος· καὶ ἵνα γνῶσι πάντες, ὅτι τοῖς διεστραμμένοις τῶν προειρημένων σου διδασκάλων δόγμασιν ἐξακολουθήσας, τὴν ὀρθόδοξον, καὶ ἀμώμητον, καὶ ἀληθῆ, καὶ ἀθόλωτον, καὶ ἁγίαν ἕνωσιν ὑποδέξασθαι οὐκ ἠθέλησας, ἣν ἡμεῖς τιμῶμεν, καὶ εὐλαβῶς ἐπαινοῦμεν ὡς ἀληθῆ δογματίσασαν· καὶ τὰ ἐν αὐτῇ δὲ κηρυχθέντα, οὐ διεστραμμένα, ὡς σὺ φλυαρεῖς, ἀλλ' ὡς ὀρθὰ καὶ ὑγιῆ στέργομεν καὶ ἀποδεχόμεθα· πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν ἁγίαν Τριάδα ὁμολογοῦντες μίαν ἀρχὴν, μίαν βασιλείαν, μίαν δύναμιν, μίαν θεότητα, μίαν θέλησιν καὶ ἐνέργειαν· πατέρα ἀπ' οὐδενὸς, ἀγέννητον, ἄναρχον, παντοδύναμον· υἱὸν ἐκ τοῦ πα-

τρὸς μόνου γεννητὸν, συνάναρχον ὁμοδύναμον· πνεῦμα ἅγιον συνάναρχον, συναΐδιον, ὁμοούσιον, ὁμοδύναμον, πατρὸς καὶ υἱοῦ πνεῦμα, ἐξ ἀμφοτέρων ἀϊδίως ἐπίσης ἐκπορευόμενον ὡς ἐκ μιᾶς ἀρχῆς καὶ ἑνὸς προβολέως. Οὕτω πιστεύομεν, οὕτω κηρύττομεν, οὕτως ὁμολογοῦμεν, καὶ οὕτως εὐχόμεθα διαμεῖναι ἡμᾶς μέχρι καὶ τῆς τελευταίας ἀναπνοῆς ἐξερχομένους τοῦ παρόντος βίου· ἐν δὲ τῇ φρικτῇ τοῦ σωτῆρος παρουσίᾳ, ὅταν ἔλθῃ κρῖναι τὴν οἰκουμένην, μετὰ ταύτης τῆς ὁμολογίας τῷ ἐρχομένῳ ἐν νεφέλαις ἀπαντῆσαι. ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΑΠΟΛΟΓΙΑ

ΓΡΗΓΟΡΙΟΥ ῾ΙΕΡΟΜΟΝΑΧΟΥ,

Τοῦ μαγάλου πρωτοσυγκέλλου καὶ πνευματικοῦ, τοῦ ὕστερον χρηματίσαντος πατριάρχου, καὶ ἐν ῾Ρώμῃ ταφέντος, καὶ θαυματουργοῦντος, εἰς τὴν τοῦ ᾿Εφέσου ἐπιστολὴν ἐκ διαφόρων ἁγίων.

῾Ο ᾿ΕΦΕΣΟΥ. Τοῖς ἁπανταχοῦ τῆς γῆς καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς, Μάρκος ἐπίσκοπος τῆς ᾿Εφεσίων μητροπόλεως ἐν κυρίῳ χαίρειν.

᾿ΑΠΟΛΟΓ. Τὸ μὲν προοίμιον τοῦ αἰδεσίμου ᾿Εφέσου τοὺς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων πρὸς ἀκρόασιν τῶν αὐτοῦ διεγείρει· ἡμεῖς δὲ πάλιν πρὸς τοὺς κατοικοῦντας πάντα τῆς γῆς τὰ πέρατα φαμὲν, ἀκροᾶσθαι τῶν αὐτοῦ λογίων πρότερον, εἶτα τῶν ἡμετέρων. διὰ τοῦτο γὰρ καὶ προτίθεμεν τὰ αὐτοῦ πρότερον, εἶτα τὰς ἡμετέρας ἐπάγομεν ἀπολογίας, ἵνα ἡ ἀλήθεια φανερὰ τοῖς πᾶσι γένηται. ὥσπερ γὰρ ὁ αἰσθητὸς ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων δείκνυσί τε ἑαυτὸν, καὶ τὰ ὑπ᾿ αὐτὸν γενόμενα πράγματα φανερὰ καθίστησι· καὶ γὰρ ἡλίου φανέντος, οὐ δεόμεθα τῶν διδασκόντων καὶ δεικνυόντων ἡμῖν τὸ φῶς, αὐτῆς τῆς ἀκτῖνος δήλην ποιούσης τὴν τοῦ ἡλίου φανέρωσιν· οὐδ᾿ ἔστιν ὁ λέγων τῷ πλησίον Βλέπε τὸν ἥλιον· οὕτω καὶ ὁ τῶν θείων δογμάτων ἀληθὴς λόγος διὰ τῆς τῶν ἱερῶν πατέρων γλώττης ἐμφαινόμενος, ἡλίου δίκην λάμπων, τὴν ἀλήθειάν τε ἐμφαίνει τοῖς μὴ τὴν διάνοιαν τυφλώττουσι, καὶ πληροφορίαν παρέχει τῆς τε εἰλικρινείας τῶν θείων δογμάτων, καὶ τοῦ καθαροῦ καὶ ἀδόλου τῆς πίστεως, καὶ πάντας αὐτομολεῖν ποιεῖ πρὸς τὴν ἀλήθειαν. καὶ γὰρ ὥσπερ ἡ παρουσία

τοῦ φωτὸς τὸ ἀνούσιον σκότος ἀπελαύνει· οὐδὲ γὰρ δύναται τὸ ἀνούσιον πρὸς τὸ ἐνούσιον ἀντιβαίνειν· οὕτω καὶ ἡ τοῦ θείου πνεύματος ἔλλαμψις διὰ τῆς τῶν θεοφόρων πατέρων θεολογίας τήν τε ἀλήθειαν ἐμφαίνει, τούς τε λέγοντας καὶ ἐχομένους τῆς τούτων διανοίας ἢ συγγράφοντας φωτίζει, καὶ τοῖς ἀκούουσι τὸν ἄνωθεν σωτήριον φωτισμὸν ἐπιβραβεύει. ἕνεκεν οὖν τῆς κοινῆς ταύτης ὠφελείας, καὶ τῆς τῆς ἀληθείας ἀνευρέσεως, ἥτις ὀφείλει ζητεῖσθαι οὐ μόνον ἐπὶ τῶν θείων δογμάτων, ἀλλὰ καὶ ἐπὶ παντὸς ἄλλου πράγματος, καθώς φησιν ὁ κύριος· Ζητεῖτε καὶ εὑρήσετε· * ταύτην καὶ ἡμεῖς ἐκζητήσωμεν ἐκ τῆς τῶν διδασκάλων θεολογίας, καὶ τὴν αὐτοαλήθειαν Χριστὸν τὸν θεὸν ἡμῶν ἱκετεύσωμεν, ὅπως τὸν φωτισμὸν καὶ τὴν ἄνωθεν χάριν καταπέμψας καταυγάσῃ τὸ τῆς διανοίας ἡμῶν ὄμμα, εἰς τὸ μὴ κατόπιν τῆς ἀληθείας ἐλθεῖν· αὐτὸς γάρ ἐστιν ὁ εἰπών· Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· καί· Πᾶς ὁ αἰτῶν λαμβάνει. * αὐτοαλήθεια γὰρ ὢν ἀληθείας ἐκζητεῖ, καθὼς καὶ ὁ θεῖος Δαυίδ φησιν· Ἀληθείας ἐκζητεῖ, κύριος· καί· Ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου. * Ἐπεὶ οὖν καὶ ὁ αἰδέσιμος οὗτος τοῖς ἁπανταχοῦ γῆς ἐπιστέλλει καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς, ὡς ἂν ἐκ τῶν ἤδη πρὸς αὐτοὺς ἐπεσταλμένων τὴν τῆς πίστεως ἀλήθειαν λάβωσι, καὶ τοὺς τὴν τῶν Λατίνων ἕνωσιν τηροῦντας ἀποστραφῶσιν, φέρε καὶ ἡμεῖς ταῦτα δὴ τὰ ἐπισταλμένα ἐξετάσωμεν· καὶ εἰ μὲν ὁ τίμιος οὗτος τῆς ἀληθείας ἔχεται, καὶ ἡμεῖς μετ' αὐτοῦ στησόμεθα ταύτην ἀνακηρύττοντες, καὶ αὐτὸν μεγαλύνοντες, ὡς τῆς ἀληθείας ἐχόμενον. εἰ δὲ πόῤῥω που τῆς ἀληθείας λέγει, τὰ τῶν ἁγίων πατέρων προθέντες, δι' αὐτῶν τὴν ἀπολογίαν τοῖς ἐντυγχάνουσι κατάδηλον ποιήσομεν· ὅπως γνῶσιν, ὁπότερον μέρος τἀληθῆ λέγει, καὶ τὸ λευκότερον μεθ' ἑαυτοῦ ἔχει· τίς δὲ ὁ παρασυλλογιζόμενος καὶ τὰ ψευδῆ λέγων καὶ ἀμαυρά. ἀλλ' ἐπεὶ καὶ ἄμφω τὰ μέρη αὐτός τε δηλοῖ, καὶ ἡμεῖς τὸ κρεῖττον καὶ ἀληθὲς κατέχειν νομίζομεν, ἕπεσθαι πάντως ἀνάγκη ταῖς τῶν θεοφόρων πατέρων μαρτυρίαις ὥσπερ φωτί· ἵνα δύο χρωμάτων ὄντων, ἐρυθροῦ τε καὶ μέλανος, καὶ ἑκάστου λέγοντος τὸ ἐρυθρὸν κατέχειν καὶ βασιλικὸν καὶ χρήσιμον, διὰ τὸ ὑπὸ τοῦ φωτὸς μὴ ἐλέγχεσθαι τὸ ἑκάστου, τοῦ μὲν ἡ πλάνη, τοῦ δὲ φανερωθῇ ἡ ἀλήθεια· οὐκ ἄλλοθεν δὲ τὸ φῶς, ὡς εἴρηται, εἰ μὴ ὑπὸ τῶν θεο-

* Ματθ. 7, 7.

* Ἰω. 15, 5. Ματθ. 7, 8.

* Ψαλμ. 30, 24. Παροιμ. 8, 7.

φόρων καὶ ἁγίων πατέρων οὕτως ὑπὸ τοῦ θείου πνεύματος ἐλλαμφθέντες τοῖς τῆς ἀληθείας δόγμασι, δίκην ἡλίου φωτίζουσι τοὺς ἐκζητοῦντας ὁλοσχερῶς καὶ τὸν νοῦν αὐτῶν ἐρευνῶντας. ποθήσαντες γὰρ ἐξεζήτησαν, καὶ ἐκζητήσαντες εὗρον, ὥς φησιν ἡ σοφία· Οἱ ζη-
* Σοφ. 6, 13. τοῦντές με γὰρ εὑρήσουσί με. * καὶ ἡμᾶς εἰς τοῦτο προτρέπουσιν, ἵνα μὴ ψιλῷ τῷ γράμματι τῆς ἀληθείας ἐπιστῶμεν ὡς οἱ Ἰουδαῖοι. τοῦτο σὺν τοῖς ἄλλοις πατράσι καὶ Βασίλειος ὁ μέγας ἐν τῷ κατ' Εὐνομίου πρώτῳ λόγῳ φησίν· Ὡς εἴ τις ἀβασανίστως κατὰ τὴν πρόχειρον ἐκδοχὴν ψιλῷ παρίστασθαι φιλονεικοίη τῷ πράγματι, πρὸς ἰουδαϊκοὺς καὶ γραώδεις μύθους ἀνατραπεὶς, πτωχὸς παντελῶς τῶν ἀξίων περὶ Θεοῦ νοημάτων καταγηράσει. κατὰ γοῦν τὴν ἀπαγγελίαν ἡμῶν πρότερον τὰ τοῦ αἰδεσίμου Ἐφέσου προθέντες κατὰ μέρος, ἑπομένως καὶ τὰς ἡμετέρας ἀπολογίας ἐπιθήσομεν μετὰ καὶ τῆς τῶν θεοφόρων πατέρων καὶ ἁγίων μαρτυρίας, ἵν' ἐξ αὐτῶν ἡ ἀλήθεια φανερὰ γένηται· ὁ γὰρ ἐνδόξων λόγος βεβαιούμενος ἀναντίῤῥητον ἔχει τὴν ἀπόδειξιν.

Ὁ ἘΦΕΣΟΥ. Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν αἰχμαλωτεύσαντες, καὶ πρὸς τὴν Βαβυλῶνα τῶν λατινικῶν ἐθνῶν καὶ δογμάτων θελήσαντες κατασῦραι, τοῦτο μὲν οὐκ ἠδυνήθησαν ἀγαγεῖν εἰς πέρας, αὐτόθεν τε ἀπεμφαῖνον ὁρῶντες καὶ ἄλλως ἀδύνατον, ἐν μέσῳ δέ που τῆς ὁδοῦ καταμείναντες αὐτοί τε καὶ ὅσοι τούτοις ἐπηκολούθησαν, οὔτ' ἐκεῖνο λοιπὸν μεμενήκασιν, οὔτε τοῦτο γεγόνασιν· Ἱεροσόλυμα μὲν ἀπολιπόντες, τὴν ὡς ἀληθῶς ὅρασιν τῆς εἰρήνης, καὶ τὸ Σιὼν ὄρος, τὴν βεβαίαν πίστιν καὶ ἄσειστον. καὶ Βαβυλώνιοι δὲ γενέσθαι ποτὲ καὶ κληθῆναι μήτε βουλόμενοι μήτε δυνάμενοι, καὶ διὰ τοῦτ' ἂν δικαίως κληθέντες Γραικολατῖνοι, καλούμενοι δ' οὖν ὑπὸ τῶν πολλῶν λατινόφρονες.

ἈΠΟΛΟΓ. Τοῖς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων ἐπιστείλας ὁ τίμιος οὗτος ἀνὴρ, καὶ χαίρειν προσειπὼν, εὐθὺς ἀπὸ ἱστορίας ἄρχεται τῆς πάλαι ποτὲ γενομένης αἰχμαλωσίας ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, τὸν λόγον ἡδύτερον κατασκευάσαι βουλόμενος, καὶ τοὺς ἀκροατὰς διεγεῖραι πρὸς τὴν τῶν ῥηθησομένων ἀκρόασιν. ὁ γὰρ ἀλληγορικὸς λόγος πρὸς τὴν θέλησιν τίθεται κυρίως τοῦ χρωμένου τὸν λόγον ἢ τὸ πρᾶγμα, καθ' ὃ λέγεται· διὸ καὶ τὴν ἱστορίαν προὔθηκε ταύτην, ἵνα τῷ ἀλληγορικῷ σχήματι χρήσηται καθὼς

βούλεται. ἔξεστιν οὖν καὶ ἡμῖν ἀληθεύουσιν εἰπεῖν, ὡς τὴν Ἱερουσαλὴμ μᾶλλον κατέχομεν, καὶ ἐν ταύτῃ ἐσμὲν, ἥτις ἑρμηνεύεται εἰρήνη, ἣν καὶ ὁ κύριος ἡμῖν ἐνετείλατο λέγων· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.* ταύτην οὖν τὴν τοῦ κυρίου φωνὴν τὴν τοῦτο κελεύουσαν ὥσπερ τὸ Σιὼν ὄρος κατέχοντες, τοὺς σχίζοντας τὴν τοῦ Χριστοῦ ἐκκλησίαν Βαβυλωνίους καλοῦμεν· Βαβυλώνιοι δὲ ἡμεῖς οὔτε γεγόναμεν, ὡς τὴν σύγχυσιν καὶ τὸ σχίσμα ἀποσειόμενοι, οὔτε ποτὲ θελήσομεν γενέσθαι, μαθηταὶ ὄντες κατὰ ἀλήθειαν τοῦ κελεύοντος· Εἰρήνην διώκετε.* Γραϊκολατίνους δὲ ἡμᾶς διασύρων ὀνομάζει, καινότερόν τι ὄνομα καὶ προσῆκον ὡς ἐνόμισεν εὑρών· ὅπερ ἡμεῖς οὐ διασυρμὸν τοῦτο λογιζόμεθα, ἀλλ' ἀληθὲς εἶναι ὁμολογοῦμεν· τοῦ γὰρ μεγάλου Κωνσταντίνου ἐκεῖθεν ὁρμωμένου, καὶ τοὺς λίαν εὐγενεστάτους μεγιστᾶνας Ῥωμαίων ἐκ Ῥώμης μετοικισαμένου εἰς τὴν ἐπ' ὀνόματι αὐτοῦ ἀνεγερθεῖσαν πόλιν, τὴν καὶ νέαν Ῥώμην ὀνομασθεῖσαν, οἱ ἐξ ἐκείνων φῦντες τὴν μὲν τῶν Ἑλλήνων ἐξασκήσαντες γλῶτταν, καὶ διὰ ταύτης φθεγγόμενοι, τὸ δὲ γένος ἐκεῖθεν ἕλκοντες, εἰκότως καὶ Γραϊκολατῖνοι, ὀφείλουσι λέγεσθαι, διότι οἱ Λατῖνοι τοὺς Ἕλληνας Γραϊκοὺς ὀνομάζουσι· καὶ ὅπερ αὐτὸς ὁ τίμιος ἀνὴρ καθ' ἡμῶν προφέρει, ἡμεῖς ἀληθές τε εἶναι ἡγούμεθα καὶ ὁμολογοῦμεν. ἐῶμεν νῦν λέγειν, ὅτι καὶ οἱ βασιλεύοντες ἡμῶν Ῥωμαῖοί εἰσιν ἐκεῖθεν ἕλκοντες τὸ γένος. ἀλλὰ τὸ περὶ Γραϊκολατίνων παιδιᾶς χάριν εἴρηται. διὰ γὰρ τῆς τοῦ Χριστοῦ χάριτος ἐκ παντὸς τρόπου δεικνύντες ὡς τἀληθὲς ζητοῦμεν, καὶ τοὺς μὴ ταύτης ἐστερημένους εἰς κοινωνίαν δεχόμεθα, εἴτε Γραϊκοί εἰσιν, εἴτε Λατῖνοι, εἴτε βάρβαροι, εἴτε Σκύθαι. ἓν γὰρ μόνον οἴδαμέν τε καὶ λέγομεν, ὅτι οἱ τῆς οἰκουμενικῆς συνόδου τῇ ἀποφάσει μὴ στέργοντες καὶ ἐξακολουθοῦντες, ἐκεῖνοι καὶ ἕτερον ὄνομα λαμβάνουσιν ὡς Ἀρειανοὶ μὴ στέργοντες τῇ τῆς συνόδου ἀποφάσει ἀλλὰ τῷ Ἀρείῳ, Ἀρειανοὶ ἐκλήθησαν· καὶ οἱ τῷ Εὐνομίῳ, Εὐνομιανοί· καὶ οἱ τῷ Νεστορίῳ, Νεστοριανοί· οὐ μὴν δὲ καὶ οἱ τῇ οἰκουμενικῇ ἀποφάσει στέργοντες ἕτερον ὄνομα λαμβάνουσιν. ὅτι δὲ καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Φλωρεντίᾳ, οὐδεὶς ἂν ἀρνήσαιτο· ἀλλ' ὁ λόγος ἐπὶ τὸ πρόσω χωρῶν ἐν τῷ προσήκοντι τόπῳ περὶ τούτου τὴν ἀπόδειξιν ποιήσει. οὕτως οὖν ἀρξάμενος, καὶ οὕτω τὸν λόγον κατασκευάσας, ἤδη πως πάλιν ἄρχεται.

* Ἰω. 14, 27.

* Ψαλμ. 33, 15.

Ὁ ἘΦΕΣΟΥ. Οὗτοι τοίνυν οἱ μιξόθηρες ἄνθρωποι κατὰ τοὺς ἐν μύθοις ἱπποκενταύρους, μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι καὶ τὸν υἱὸν αἴτιον ἔχειν τῆς ἑαυτοῦ ὑπάρξεως· οὕτω γὰρ καὶ ὁ αὐτῶν ὅρος διαλαμβάνει· μεθ' ἡμῶν δὲ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγουσι.

ἈΠΟΛΟΓ. Πάλιν ἀπὸ ἱστορίας ἄρχεται ἑλληνικῆς, τῆς μὴ οὔσης μέν, ἀναπλασθείσης δὲ ὑπὸ τῶν κενεμβατούντων τὴν λέξιν καὶ τὴν διάνοιαν· ἔδει γὰρ αὐτὸν ἐκ τῶν ὄντων ὑπόδειγμα λαβεῖν, ἵνα τούτῳ καὶ προσηκόντως ἐφαρμόσῃ. πᾶς γὰρ λογογράφος ἐκ τῶν ἀληθῶς ὄντων προφέρει τὰς ὁμοιώσεις καὶ τὰ παραδείγματα, καὶ μάλιστα ἐπὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων. ἀλλ' ὁ αἰδέσιμος οὗτος τὸ μὴ ὂν ὡς ὂν προθεὶς, καὶ ὥσπερ πράγματος ὑποκειμένου ἐξομοιώσας, μιξόθηρας ἡμᾶς ὀνομάζει, ὑπὸ θυμοῦ κινούμενος, ἵν' εὐλογώτερον εἴπωμεν· δῆλον γὰρ ὡς πάντῃ ἀπειρικὸς τὸ παράδειγμα ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἐξομοιοῖ, πῶς οὖν ἐφαρμόσει τοῦτο μετὰ τοῦ ὄντος καὶ ὑφεστηκότος; ἀλλ' ἵνα μὴ πρὸς οὐδὲν λέγοντες δόξωμεν, ἀφέντες τὸν προκείμενον σκοπόν· οὐ γὰρ ἐλέγχειν τοῦτο βουλόμεθα θυμούμενοί τε καὶ ὀργιζόμενοι, ἀλλὰ τὴν ἀλήθειαν ἐρευνᾶν, καὶ ταύτην φανεροῦν· φέρε καθ' εἱρμὸν τὰ παρ' αὐτοῦ εἰρημένα ἐξετάσωμεν. φησὶ γὰρ οὕτως· Μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ ἐκ τοῦ υἱοῦ, καὶ τὰ λοιπά· μεθ' ἡμῶν δὲ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγουσι. ταῦτα δὲ λέγων ἀγνοεῖν προσποιεῖται, ὅτι καὶ Λατῖνοι ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι μεθ' ἡμῶν ὁμολογοῦσι· τὸ δὲ καὶ ἐκ τοῦ υἱοῦ, μετὰ Λατίνων μὲν ὁμολογοῦμεν, παρὰ δὲ τῶν ἁγίων τοῦτο μαθόντες λέγομεν. Ὅτι δὲ οὕτως ἔχει, αὐτοὺς τοὺς διδασκάλους τε καὶ θεολόγους τοὺς τοῦτο λέγοντας εἰς μέσον προθῶμεν οὐ πάντας οὐδὲ πάντα τὰ ὑπ' αὐτῶν ἐν ταύτῃ τῇ ὑποθέσει εἰρημένα, ἀλλά τινας, καὶ ἐξ αὐτῶν ὀλίγα εἰς μερικήν τινα πληροφορίαν, ὅτι ἐκ τῶν ἁγίων τοῦτο λαβόντες λέγομεν. Καὶ δή φαμεν, ὡς ὁ θεῖος Κύριλλος ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχή· Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τῆς ἀνωτάτω, φησί· Βαπτίζειν ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ. Καὶ ἐν τῷ πρὸς Νεστόριον λόγῳ,

οὗ ἀρχή· Τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, φησίν· Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ πνεῦμα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ καθὸ πνεῦμά ἐστι καὶ οὐχ υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ· πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια· καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ πατρός. Ὅτι δὲ τὸ Προχεῖται, ἀντὶ τοῦ Ἐκπορεύεται ὁ ἅγιος λέγει, παρίστησι τοῦτο ὁ αὐτὸς ἐν τῇ τοῦ συμβόλου ἐξηγήσει· φησὶ γάρ· Καὶ προχεῖται, ἤγουν ἐκπορεύεται, ὡς ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ πατρός· Ἀλλὰ τὸ Προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, τί ἂν νοήσοι τίς; εἰ γὰρ τὸ προχεῖται ἁπλῶς ἔλεγεν, εἶχε χώραν ἄλλο τι νοεῖν· εἰ δὲ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, οὐδεμίαν πρόφασιν κατέλιπε τοῖς ἐθέλουσι λέγειν· καὶ ὁ μέγας Βασίλειος ἐν τῷ κατ' Εὐνομίου, ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή· Ὅτι ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα ἔχει, οὕτω τὸ πνεῦμα πρὸς τὸν υἱόν· φησί· Διὰ τοῦτο καὶ Θεοῦ μὲν λόγος ὁ υἱὸς, ῥῆμα δὲ υἱοῦ πνεῦμα· φέρων γάρ, φησι, τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.* καὶ ἐπειδὴ ῥῆμα υἱοῦ, διὰ τοῦτο τὴν μάχαιράν φησι τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ· Λόγος δὲ Θεοῦ καὶ ῥῆμα ζῶν καὶ ἐνεργόν. Ὁ δὲ ἅγιος Ἀμβρόσιος, ᾧ ὁ θεῖος Βασίλειος ἐπιστέλλων ἔλεγεν· Ἄγε δὴ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ἐπειδὴ οὐ παρ' ἀνθρώπων παρέλαβες ἢ ἐδιδάχθης τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν προεδρίαν τῶν ἀποστόλων μετέθηκεν. οὗτος δὴ πρὸς Γρατιανὸν τὸν βασιλέα ἐν τῷ πρώτῳ βιβλίῳ τῷ περὶ τοῦ ἁγίου πνεύματος, κεφαλαίῳ δεκάτῳ, φησίν· Ἀλλ' οὔτε ἐπειδὰν ἐκ τοῦ πατρὸς ἐξέρχεται, ἀπὸ τόπου ἀναχωρεῖ, καὶ ὥσπερ σῶμα χωρίζεται ἀπὸ σώματος· οὐδὲ γὰρ ἐν τῷ πατρὶ ὡς δῆθεν ἐν σώματι ἅτε δὴ σῶμα ἐμπεριλκείεται· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἡνίκα ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεται, οὐ χωρίζεται τοῦ πατρὸς, οὐ χωρίζεται τοῦ υἱοῦ· τίνα γὰρ τρόπον δύναται χωρίζεσθαι τοῦ πατρὸς, πνεῦμα στόματος αὐτοῦ ὂν, ὃ πάντως καὶ τῆς ἀϊδιότητος δεῖγμά ἐστι, καὶ τῆς θεότητος ἐμφαίνει τὴν ἑνότητα· Ὁ ἅγιος Ἀγάθων ἐν τῇ ἐπιστολῇ αὐτοῦ, ἣν πρὸς τὴν ἁγίαν ἕκτην σύνοδον ἔπεμψε, παρὰ ἑκατὸν εἴκοσιν ἐπισκόπων βεβαιουμένην, περὶ τοῦ μακαρίου Αὐγουστίνου τοιάδε φάσκει· Ὁ μακάριος Αὐγουστῖνος ὁ ἐξοχώτατος διδάσκαλος·

* Ἑβρ. 1, 3.

καὶ πάλιν· Ὁ σοφώτατος τῆς ἀληθείας κήρυξ ὁ μακάριος Αὐγουστῖνος· οὗτος οὖν ὁ μακάριος Αὐγουστῖνος πρὸς Ὀρόσιον γράφων, οὕτω φησί· Τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς εἰς τὸν υἱὸν ἐκπορεύεται, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται ἐπὶ τῷ ἁγιάσαι τὴν κτίσιν, ἀλλ' ἅμα ἐξ ἀμφοτέρων ἐκπορεύεται. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ κατὰ Μαξιμίνου γ' βιβλίῳ φησί· Ζητεῖς παρ' ἐμοῦ, εἰ ἐκ τῆς οὐσίας τοῦ πατρός ἐστιν ὁ υἱὸς. ἐκ τῆς οὐσίας τοῦ πατρός ἐστι καὶ τὸ πνεῦμα τὸ ἅγιον, διατί ὁ μὲν εἷς ἐστιν υἱὸς, τὸ δὲ ἕτερον οὐκ ἔστιν υἱός; ἰδοὺ ἀποκρίνομαι, κἄν τε λάβῃς, κἄν τε μὴ λάβῃς· ἐκ τοῦ πατρός ἐστιν ὁ υἱὸς, ἐκ τοῦ πατρός ἐστι καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ἐκεῖνος γεννητὸς, τοῦτο ἐκπορευόμενον· διὸ ἐκεῖνος μὲν υἱός ἐστι τοῦ πατρὸς, ἀφ' οὗ ἐγεννήθη· τοῦτο δὲ τὸ πνεῦμα ἑκατέρου, ὅτι ἐξ ἀμφοτέρων ἐκπορεύεται· ἀλλὰ διὰ τοῦτο περὶ ἐκείνου
* Ἰω. 15, 26. λέγων ὁ υἱὸς, ἔφη· Ἐκ τοῦ πατρὸς ἐκπορεύεται· * ὅτι ὁ πατὴρ τῆς ἐκπορεύσεως αὐτοῦ ἐστιν ἀρχηγὸς, ὃς τοιοῦτον υἱὸν ἐγέννησε, καὶ ἐν τῷ γεννᾶν δίδωκεν αὐτῷ, ἵνα καὶ ἐξ αὐτοῦ ἐκπορεύηται τὸ πνεῦμα τὸ ἅγιον. καὶ γὰρ εἰ μὴ ἐξεπορεύετο τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐξ
* Ἰω. 20, 22. αὐτοῦ, οὐκ ἂν εἶπε τοῖς μαθηταῖς· Λάβετε πνεῦμα ἅγιον· * καὶ τοῦτο ἐδίδου ἐμφυσῶν, ἵνα καὶ παρ' αὐτοῦ ἐκπορεύεσθαι παραδηλῶν, ἀποκεκαλυμμένως ἐμφυσῶν ἀποδείξῃ, ὅπερ πνέων κεκαλυμμένως ἐδίδου. ἐπειδήπερ οὖν εἰ ἐγεννᾶτο, οὐ μόνον ἐκ τοῦ πατρὸς, οὔτε μόνον ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐξ ἀμφοῖν δήπουθεν ἂν ἐγεννᾶτο, ἀναντιῤῥήτως υἱὸς ἀμφοῖν ἂν ἐλέγετο. καὶ διὰ τοῦτο, υἱὸς γὰρ ἀμφοῖν οὐδαμῶς εἶναι δύναται, οὐκ ἔδει γεννηθῆναι αὐτὸ ἐξ ἀμφοῖν. ἀμφοῖν ἄρα πνεῦμά ἐστιν, ἐκπορευόμενον ἐξ ἀμφοῖν. Καὶ κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ· Ἀρκείτω τοίνυν ἡμῖν, ὅτι ὁ υἱὸς οὐκ ἔστιν ἐξ ἑαυτοῦ, ἀλλ' ἐξ οὗ ἐγεννήθη· οὐκ ἔστιν ἐξ ἑαυτοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐξ οὗ ἐκπορεύεται· καὶ ἐπεὶ παρ' ἀμφοτέρων ἐκπορεύεται, ὡς ἤδη ἀπεδείξαμεν, ὅθεν πνεῦμα πατρὸς εἴρηται· καὶ τὰ λοιπά. ὁ δὲ ἅγιος Ἀναστάσιος, περὶ οὗ ἡ ἁγία ἕκτη σύνοδος λέγει· Ἀποδεχόμεθα τὸν ἅγιον Ἀναστάσιον· καὶ Θεόδωρος ὁ Μελιτηνῆς ἀπεκρίθη· Ἅγιον ἀποκαλεῖ πᾶσα ἡ ἀνατολὴ τοῦτον τὸν τῆς ὁσίας μνήμης Ἀναστάσιον, τὸν γενόμενον ἐπίσκοπον Ἀντιοχείας· καὶ τὸν μὴ δεχόμενον αὐτὸν ὁ Θεὸς ἀναθεματίσῃ. καὶ πάντες ὁμοφώνως εἶπον τὸ ἀμήν. οὗτος οὖν ὁ ἅγιος ἐν τῷ λόγῳ αὐτοῦ, οὗ ἡ

μὲν ἐπιγραφὴ, περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν δογμάτων τῆς ἀληθείας· ἡ δὲ ἀρχή· Τῶν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως· οὕτω φησί· Τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δῆλον τοῦ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ μονογενοῦς. καὶ· Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον, οὐ μόνον παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ υἱοῦ. καὶ μετά τινα· Καὶ μὴν ὁ κύριος ἐξ αὐτοῦ δεικνὺς αὐτὸ ὑπάρχων, ἐμφυσῶν τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγε· Λάβετε πνεῦμα ἅγιον.* Ὅτι δὲ τοῦδε ὁ λόγος, μαρτυρήσει καὶ ἡ σύνοδος ἡ κατὰ Ἀκινδύνου, μαρτυρίας ἐκ τούτου προκομίζουσα καὶ κὺρ Νεῖλος ὁ Καβάσιλας· Ὁ δὲ ἅγιος Ἐπιφάνιος, περὶ οὗ ὁ ἅγιος Θεόδωρος ὁ στουδίτης ἐν τῷ τέλει τοῦ β' αὐτοῦ βιβλίου τοῦ κατὰ εἰκονομάχων λέγει· Ἐπιφάνιον ἴσμεν καὶ ἅγιον καὶ μέγιστον ἐν θαυματουργίαις. καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Ναύκρατον ἐπιστολῇ αὐτοῦ, ἧς ἡ ἀρχή· Πάλιν ἑτέρα σοι φυλακὴ τέκνον ἠγαπημένον, φησίν· Ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με περί τε τῶν αἱρέσεων καὶ βαπτισμάτων κατ' ἔπος ἐπιστολῆς ὑπερβαίνει μέτρον. καὶ πάλιν· Περιττολογεῖν ἐστι τὰ αὐτὰ ἀφηγεῖσθαι, ἃ ὁ θεοφόρος Ἐπιφάνιος ἐξεῦρε καὶ διέγραψεν, ὡς οὐδεὶς τῶν πατέρων· ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ, κἀκεῖσε διαγνώσῃ, ἃ μαθεῖν ἐφίεσαι. Ἡ δὲ ἁγία οἰκουμενικὴ ἕκτη σύνοδος ἐν τόμῳ τετάρτῳ, πράξει δεκάτῃ, περὶ τοῦδε τοῦ ἁγίου τάδε λέγει· Ἀνεγνώσθησαν καὶ ἄλλων πολλῶν μαρτυρίαι, ἔτι καὶ χρήσεις τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων, ἀπὸ λόγου ξθ'. καὶ πάλιν ἡ αὐτὴ λέγει· Καὶ πειθέτω ἡμᾶς ὁ περιφανὴς πατὴρ ἡμῶν Ἐπιφάνιος ἐν τῷ κατὰ Ἀρειομανιτῶν λόγῳ. Καὶ ἡ ἁγία οἰκουμενικὴ ζ' σύνοδος ἐν τῇ ἕκτῃ πράξει αὐτῆς οὕτω λέγει· Αἱ βίβλοι τοῦ ἁγίου πατρὸς ἡμῶν Ἐπιφανίου, ἥ τε λεγομένη Ἀγκυρωτὸς, καὶ αἱ λοιπαὶ εἰς πᾶσαν τὴν οἰκουμένην διαβεβόηνται, καὶ ὁ φθόγγος αὐτῶν ἐξήχηται, καὶ παρὰ μικρὸν κατὰ πᾶσαν ἐκκλησίαν διεσπαρμέναι εἰσίν· οὗτος οὖν ὁ ἅγιος ἐν τοῖς εἰρημένοις βιβλίοις, ἐν μὲν τοῖς Παναρίοις ἐκ τοῦ κατὰ Ἡμιαρείων λόγου φησίν· Ὁμολογοῦσι μίαν θεότητα καὶ βασιλείαν καὶ ἀρχὴν, ὁμοίως τὰ πρόσωπα ἐν ταῖς ἰδιότησι τῶν ὑποστάσεων εὐσεβῶς γνωρίζουσι· τὸν

* Ἰω. 20, 22.

πατέρα ἐν τῇ πατρικῇ αὐθεντίᾳ ὑφεστῶτα νοοῦντες· καὶ τὸν υἱὸν οὐ μέρος ὄντα τοῦ πατρὸς ἀλλὰ καθαρῶς τέλειον ἐκ τελείου γεγεννημένον καὶ ὑφεστῶτα ὁμολογοῦντες· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἡ θεία γραφὴ παράκλητον ὀνομάζει, ἐκ πατρὸς δι' υἱοῦ ὑφεστῶτα γνωρίζοντες. ἐν δὲ τῷ Ἀγκυρωτῷ· Πνεῦμα ἅγιον πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ. καὶ μετ' ὀλίγα· Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν
* Ματθ. 11, 27. εἰ μὴ ὁ πατὴρ,* οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ πνεῦμα, εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει· καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα, εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ. καὶ μετά τινα· Τοίνυν πατὴρ ἦν ἀεὶ, καὶ υἱὸς ἦν ἀεὶ, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς καὶ υἱοῦ πνέει. πρόδηλον οὖν ἐστι καὶ φανερὸν, ὅτι καὶ ἡμεῖς τε καὶ οἱ Λατῖνοι παρὰ τῶν διδασκάλων καὶ θεολόγων τῆς ἐκκλησίας τὸ Καὶ ἐκ τοῦ υἱοῦ, παρελάβομεν· ἐξ ὧν αἱ ἅγιαι οἰκουμενικαὶ σύνοδοι μαρτυρίας ἐν ζητήσει θεολογικοῦ πράγματος προεκόμιζον, ὡς προδεδήλωται.

Ὁ ἘΦΕΣΟΥ. Καὶ μετ' ἐκείνων μὲν θεμιτῶς καὶ εὐλόγως τὴν προσθήκην ἐν τῷ συμβόλῳ γεγονέναι φασὶ, μεθ' ἡμῶν δὲ λέγειν ταύτην οὐ καταδέχονται· καίτοι γε τὸ θεμιτῶς καὶ εὐλόγως γινόμενον τίς ἂν παραιτήσαιτο λέγειν;

ἈΠΟΛΟΓ. Τὸ μὲν οὖν θεμιτῶς καὶ εὐλόγως λέγει, τὸ δὲ πρὸ τούτου παρασιωπᾷ· ποῖον δὴ τοῦτο; τὸ τὴν τῶν ῥημάτων ἐκείνων ἀνάπτυξιν τὴν Καὶ ἐκ τοῦ υἱοῦ, χάριν τοῦ τὴν ἀλήθειαν σαφηνισθῆναι, ἀνάγκης τότε ἐπικειμένης, θεμιτῶς καὶ εὐλόγως ἐν τῷ συμβόλῳ προστεθῆναι. τί οὖν; πᾶσαν ἀνάπτυξιν καὶ σαφήνειαν ἀνάγκη ἀεὶ προσκεῖσθαι τῷ κειμένῳ, καὶ χωρὶς ταύτης μὴ ἀναγινώσκεσθαι τὸ κείμενον τῆς θείας γραφῆς; ἢ διὰ τὸ μὴ ἀναγινώσκεσθαι οὕτω συνημμένως, οὐ θεμιτῶς καὶ εὐλόγως ἐροῦμεν τὴν ἀνάπτυξιν γεγονέναι καὶ τὴν σαφήνειαν τὴν μετὰ τοῦ κειμένου ἡνωμένην; καὶ τίς ἂν τοῦτο ἐρεῖ νοῦ καὶ φρενῶν κύριος; ἡμεῖς γὰρ ἔγνωμεν τὴν ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ δεκάλογον παρὰ Βασιλείου τοῦ μεγάλου σαφηνισθεῖσαν· καὶ τὸ αὐτὸ ἅπαν ἱερὸν εὐαγγέλιον παρὰ Ἰωάννου τοῦ Χρυσοστόμου τὴν σαφήνειαν δεξάμενον, καὶ παρὰ τοῦ θεσπεσίου Κυρίλλου καὶ ἄλλων· ἀλλ' οὐ μετὰ τῆς

ἐξηγήσεως καὶ σαφηνείας ἀεὶ ἐπ' ἐκκλησίας ἀναγινώσκεται. διὸ εἰ μὲν τὸ ἐλλεῖπον ἢ τὸ παραλελειμμένον ἐλέγομεν προστεθῆναι ἢ ἀναπληρωθῆναι, εἶτα οὐ μετὰ τοῦ προστεθέντος εἰς ἀναπλήρωσιν ἐψάλλομεν, καλῶς ἂν εἶχεν ἐγκαλεῖν ἡμῖν· ἐπεὶ δὲ ἀνάπτυξιν ἀκούει καὶ σαφήνειαν, ἡ δὲ ἀνάπτυξις οὐκ ἀεὶ μετὰ τοῦ κειμένου ἀναγινώσκεται, οὐ δικαίως ἐγκαλεῖ ἡμῖν. τοῦτο μόνον ἐστὶν ἀνάγκη, ὅτι πᾶν τὸ ἐξαπλούμενον ἢ σαφηνιζόμενον ἐκ τῶν ἁγίων δεῖ ἔχειν τὴν μαρτυρίαν. καὶ, ὅτι ἂν ποιήσῃ σύνοδος, οὐκ ἄλλον ὅρον ποιεῖ διὰ τῆς ἐπεισαγωγῆς τῶν προστεθέντων, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν πρῶτον ὅρον ἐξαπλοῖ καὶ ἐπεξεργάζεται· καὶ ὅτι τοῦθ' οὕτως ἔχει, ἄκουσον καὶ τοῦ ἱεροῦ Μαξίμου οὕτω βεβαιοῦντος· φησὶ γὰρ ἐν τῇ συντόμῳ ἀπολογίᾳ αὐτοῦ, ἣν ποιεῖται ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, ἧς ἡ ἀρχή· Ἐπειδὴ λίαν γενναίως ἢ ἀγεννῶς εἰπεῖν οἰκειότερον· Εἰ γάρ ἐστι τἀληθῆ ὑπὲρ ἀληθείας εἰπεῖν, πάντες οἱ μετὰ τὴν Νικαίων θεόκριτοι πατέρες, καὶ πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν, οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, πλεῖστον παραληροῦντες, καὶ τὸ ὅλον μαινόμενοι· ἀλλ' αὐτὸν ὡς πρῶτον καὶ μόνον τὸν ἐκ τῶν, τιή, πατέρων νομοθετηθέντα βεβαίως ἐκύρωσαν, τρανοῦντες αὐτὸν καὶ οἷον ἐπεξηγούμενοί τε καὶ ἐπεξεργαζόμενοι διὰ τοὺς ἐκεῖνον καὶ τὰ ἐκείνου δόγματα πρὸς τὴν οἰκείαν κακῶς ἐκλαμβάνοντας καὶ παρεξηγουμένους δυσσέβειαν.

Ὁ ἘΦΕΣΟΥ. Καὶ μετ' ἐκείνων μὲν τὸ ἄζυμον, σῶμα τοῦ Χριστοῦ λέγουσι, μεθ' ἡμῶν δὲ αὐτοῦ μεταλαμβάνειν οὐκ ἂν τολμήσαιεν.

ἈΠΟΛΟΓ. Ὅτι μὲν οὖν ἐγκαλεῖ ἡμῖν, καὶ διασύρει ἕνεκεν τῶν ἀζύμων, οἶδεν· ὅτι δὲ ὁ κύριος δι' ἀζύμου τὴν μυστικὴν ἐτέλεσε θυσίαν τότε, οὐκ οἶδεν, οὐδὲ ἀδιάφορον ἡγεῖται τὸ δι' ἐνζύμου ἢ δι' ἀζύμου τὴν θυσίαν τελεῖσθαι. ἀλλ' ὡς οἴεται, πάντα, ἥ τε ἱερωσύνη καὶ τὸ θυσιαστήριον, καὶ ἡ φωνὴ ἣν προήκατο ὁ κύριος· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ τὰ θεῖα ῥήματα· Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου,* καὶ πᾶσα τελετὴ ἀργά εἰσι διὰ τὸ μὴ ἔχειν ἐκ τοῦ αὐτοῦ ὑποκειμένου, ἢ ἐκ τῆς αὐτῆς ὕλης ὀξώδη μικρὰν ζύμην. Ὅτι δὲ ὁ κύριος ἡμῶν καὶ θεὸς τὸ νομικὸν πάσχα ἐτέλεσεν, εἶτα τὰ μυστήρια δέδωκε τοῖς μαθηταῖς, ἄκουσον

* Λουκ. 22, 19.

ΑΠΟΛΟΓΙΑ

ΓΡΗΓΟΡΙΟΥ ἹΕΡΟΜΟΝΑΧΟΥ,

Τοῦ μεγάλου πρωτοσυγκέλλου καὶ πνευματικοῦ, τοῦ ὕστερον χρηματίσαντος πατριάρχου, καὶ ἐν Ῥώμῃ ταφέντος, καὶ θαυματουργοῦντος, εἰς τὴν τοῦ Ἐφέσου ἐπιστολὴν ἐκ διαφόρων ἁγίων.

Ὁ ἘΦΕΣΟΥ. Τοῖς ἁπανταχοῦ τῆς γῆς καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς, Μάρκος ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως ἐν κυρίῳ χαίρειν.

ἈΠΟΛΟΓ. Τὸ μὲν προοίμιον τοῦ αἰδεσίμου Ἐφέσου τοὺς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων πρὸς ἀκρόασιν τῶν αὐτοῦ διεγείρει· ἡμεῖς δὲ πάλιν πρὸς τοὺς κατοικοῦντας πάντα τῆς γῆς τὰ πέρατα φαμὲν, ἀκροᾶσθαι τῶν αὐτοῦ λογίων πρότερον, εἶτα τῶν ἡμετέρων. διὰ τοῦτο γὰρ καὶ προτίθεμεν τὰ αὐτοῦ πρότερον, εἶτα τὰς ἡμετέρας ἐπάγομεν ἀπολογίας, ἵνα ἡ ἀλήθεια φανερὰ τοῖς πᾶσι γίνηται. ὥσπερ γὰρ ὁ αἰσθητὸς ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων δείκνυσί τε ἑαυτὸν, καὶ τὰ ὑπ' αὐτὸν γενόμενα πράγματα φανερὰ καθίστησι· καὶ γὰρ ἡλίου φανέντος, οὐ δεόμεθα τῶν διδασκόντων καὶ δεικνυόντων ἡμῖν τὸ φῶς, αὐτῆς τῆς ἀκτῖνος δῆλον ποιούσης τὴν τοῦ ἡλίου φανέρωσιν· οὐδ' ἔστιν ὁ λέγων τῷ πλησίον Βλέπε τὸν ἥλιον· οὕτω καὶ ὁ τῶν θείων δογμάτων ἀληθὴς λόγος διὰ τῆς τῶν ἱερῶν πατέρων γλώττης ἐμφαινόμενος, ἡλίου δίκην λάμπων, τὴν ἀλήθειάν τε ἐμφαίνει τοῖς μὴ τὴν διάνοιαν τυφλώττουσι, καὶ πληροφορίαν παρέχει τῆς τε εἰλικρινείας τῶν θείων δογμάτων, καὶ τοῦ καθαροῦ καὶ ἀδόλου τῆς πίστεως, καὶ πάντας αὐτομολεῖν ποιεῖ πρὸς τὴν ἀλήθειαν. καὶ γὰρ ὥσπερ ἡ παρουσία

τοῦ φωτὸς τὸ ἀνούσιον σκότος ἀπελαύνει· οὐδὲ γὰρ δύναται τὸ ἀνούσιον πρὸς τὸ ἐνούσιον ἀντιβαίνειν· οὕτω καὶ ἡ τοῦ θείου πνεύματος ἔλλαμψις διὰ τῆς τῶν θεοφόρων πατέρων θεολογίας τήν τε ἀλήθειαν ἐμφαίνει, τούς τε λέγοντας καὶ ἐχομένους τῆς τούτων διανοίας ἢ συγγράφοντας φωτίζει, καὶ τοῖς ἀκούουσι τὸν ἄνωθεν σωτήριον φωτισμὸν ἐπιβραβεύει. ἕνεκεν οὖν τῆς κοινῆς ταύτης ὠφελείας, καὶ τῆς τῆς ἀληθείας ἀνευρέσεως, ἥτις ὀφείλει ζητεῖσθαι οὐ μόνον ἐπὶ τῶν θείων δογμάτων, ἀλλὰ καὶ ἐπὶ παντὸς ἄλλου πράγματος, καθώς φησιν ὁ κύριος· Ζιτεῖτε καὶ εὑρήσετε·* ταύτην καὶ ἡμεῖς ἐκζητήσωμεν ἐκ τῆς τῶν διδασκάλων θεολογίας, καὶ τὴν αὐτοαλήθειαν Χριστὸν τὸν θεὸν ἡμῶν ἱκετεύσωμεν, ὅπως τὸν φωτισμὸν καὶ τὴν ἄνωθεν χάριν καταπέμψας καταυγάσῃ τὸ τῆς διανοίας ἡμῶν ὄμμα, εἰς τὸ μὴ κατόπιν τῆς ἀληθείας ἐλθεῖν· αὐτὸς γάρ ἐστιν ὁ εἰπών· Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· καί· Πᾶς ὁ αἰτῶν λαμβάνει.* αὐτοαλήθεια γὰρ ὢν ἀληθείας ἐκζητεῖ, καθὼς καὶ ὁ θεῖος Δαυίδ φησιν· Ἀληθείας ἐκζητεῖ, κύριος· καί· Ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου.* Ἐπεὶ οὖν καὶ ὁ αἰδέσιμος οὗτος τοῖς ἁπανταχοῦ γῆς ἐπιστέλλει καὶ τῶν νήσων εὑρισκομένοις Χριστιανοῖς, ὡς ἂν ἐκ τῶν ἤδη πρὸς αὐτοὺς ἐπεσταλμένων τὴν τῆς πίστεως ἀλήθειαν λάβωσι, καὶ τοὺς τὴν τῶν Λατίνων ἕνωσιν τηροῦντας ἀποστραφῶσιν, φέρε καὶ ἡμεῖς ταῦτα δὴ τὰ ἐπισταλμένα ἐξετάσωμεν· καὶ εἰ μὲν ὁ τίμιος οὗτος τῆς ἀληθείας ἔχεται, καὶ ἡμεῖς μετ᾽ αὐτοῦ στησόμεθα ταύτην ἀνακηρύττοντες, καὶ αὐτὸν μεγαλύνοντες, ὡς τῆς ἀληθείας ἐχόμενον. εἰ δὲ πόῤῥω που τῆς ἀληθείας λέγει, τὰ τῶν ἁγίων πατέρων προθέντες, δι᾽ αὐτῶν τὴν ἀπολογίαν τοῖς ἐντυγχάνουσι κατάδηλον ποιήσομεν· ὅπως γνῶσιν, ὁπότερον μέρος τἀληθῆ λέγει, καὶ τὸ λευκότερον μεθ᾽ ἑαυτοῦ ἔχει· τίς δὲ ὁ παρασυλλογιζόμενος καὶ τὰ ψευδῆ λέγων καὶ ἀμαυρά. ἀλλ᾽ ἐπεὶ καὶ ἄμφω τὰ μέρη αὐτός τε δηλοῖ, καὶ ἡμεῖς τὸ κρεῖττον καὶ ἀληθὲς κατέχειν νομίζομεν, ἕπεσθαι πάντως ἀνάγκη ταῖς τῶν θεοφόρων πατέρων μαρτυρίαις ὥσπερ φωτί· ἵνα δύο χρωμάτων ὄντων, ἐρυθροῦ τε καὶ μέλανος, καὶ ἑκάστου λέγοντος τὸ ἐρυθρὸν κατέχειν καὶ βασιλικὸν καὶ χρήσιμον, διὰ τὸ ὑπὸ τοῦ φωτὸς μὴ ἐλέγχεσθαι τὸ ἑκάστου, τοῦ μὲν ἡ πλάνη, τοῦ δὲ φανερωθῇ ἡ ἀλήθεια· οὐκ ἄλλοθεν δὲ τὸ φῶς, ὡς εἴρηται, εἰ μὴ ὑπὸ τῶν θεο-

* Ματθ. 7, 7.

* Ἰω. 15, 5. Ματθ. 7, 8.

* Ψαλμ. 30, 24. Παροιμ. 8, 7.

φόρων καὶ ἁγίων πατέρων οἵτινες ὑπὸ τοῦ θείου πνεύματος ἐλλαμφθέντες τοῖς τῆς ἀληθείας δόγμασι, δίκην ἡλίου φωτίζουσι τοὺς ἐκζητοῦντας ὁλοσχερῶς καὶ τὸν νοῦν αὐτῶν ἐρευνῶντας. ποθήσαντες γὰρ ἐξεζήτησαν, καὶ ἐκζητήσαντες εὗρον, ὥς φησιν ἡ σοφία· Οἱ ζη-
* Σοφ. 6, 13. τοῦντές με γὰρ εὑρήσουσί με. * καὶ ἡμᾶς εἰς τοῦτο προτρέπουσιν, ἵνα μὴ ψιλῷ τῷ γράμματι τῆς ἀληθείας ἐκπέσωμεν ὡς οἱ Ἰουδαῖοι. τοῦτο σὺν τοῖς ἄλλοις πατράσι καὶ Βασίλειος ὁ μέγας ἐν τῷ κατ' Εὐνομίου πρώτῳ λόγῳ φησίν· Ὡς εἴ τις ἀβασανίστως κατὰ τὴν πρόχειρον ἐκδοχὴν ψιλῷ παρίστασθαι φιλονεικοίη τῷ πράγματι, πρὸς ἰουδαϊκοὺς καὶ γραώδεις μύθους ἀνατραπεὶς, πτωχὸς παντελῶς τῶν ἀξίων περὶ θεοῦ νοημάτων καταγηράσει. κατὰ γοῦν τὴν ἀπαγγελίαν ἡμῶν πρότερον τὰ τοῦ αἰδεσίμου Ἐφέσου προθέντες κατὰ μέρος, ἑπομένως καὶ τὰς ἡμετέρας ἀπολογίας ἐπιθήσομεν μετὰ καὶ τῆς τῶν θεοφόρων πατέρων καὶ ἁγίων μαρτυρίας, ἵν' ἐξ αὐτῶν ἡ ἀλήθεια φανερὰ γένηται· ὁ γὰρ ἐνδόξων λόγος βεβαιούμενος ἀναντίῤῥητον ἔχει τὴν ἀπόδειξιν.

Ὁ ἘΦΕΣΟΥ. Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν αἰχμαλωτεύσαντες, καὶ πρὸς τὴν Βαβυλῶνα τῶν λατινικῶν ἐθνῶν καὶ δογμάτων θελήσαντες κατασῦραι, τοῦτο μὲν οὐκ ἠδυνήθησαν ἀγαγεῖν εἰς πέρας, αὐτόθεν τε ἀπεμφαῖνον ὁρῶντες καὶ ἄλλως ἀδύνατον, ἐν μέσῳ δέ που τῆς ὁδοῦ καταμείναντες αὐτοί τε καὶ ὅσοι τούτοις ἐπηκολούθησαν, οὔτ' ἐκεῖνο λοιπὸν μεμενήκασιν, οὔτε τοῦτο γεγόνασιν· Ἱεροσόλυμα μὲν ἀπολιπόντες, τὴν ὡς ἀληθῶς ὅρασιν τῆς εἰρήνης, καὶ τὸ Σιὼν ὄρος, τὴν βεβαίαν πίστιν καὶ ἄσειστον. καὶ Βαβυλώνιοι δὲ γενέσθαι ποτὲ καὶ κληθῆναι μήτε βουλόμενοι μήτε δυνάμενοι, καὶ διὰ τοῦτ' ἂν δικαίως κληθέντες Γραικολατῖνοι, καλούμενοι δ' οὖν ὑπὸ τῶν πολλῶν λατινόφρονες.

ἈΠΟΛΟΓ. Τοῖς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων ἐπιστείλας ὁ τίμιος οὗτος ἀνὴρ, καὶ χαίρειν προσειπὼν, εὐθὺς ἀπὸ ἱστορίας ἄρχεται τῆς πάλαι ποτὲ γενομένης αἰχμαλωσίας ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, τὸν λόγον ἡδύτερον κατασκευάσαι βουλόμενος, καὶ τοὺς ἀκροατὰς διεγεῖραι πρὸς τὴν τῶν ῥηθησομένων ἀκρόασιν. ὁ γὰρ ἀλληγορικὸς λόγος πρὸς τὴν θέλησιν τίθεται κυρίως τοῦ χρωμένου τὸν λόγον ἢ τὸ πρᾶγμα, καθ' ὃ λέγεται· διὸ καὶ τὴν ἱστορίαν προὔθηκε ταύτην, ἵνα τῷ ἀλληγορικῷ σχήματι χρήσηται καθὼς

βούλεται. ἔξεστιν οὖν καὶ ἡμῖν ἀληθεύουσιν εἰπεῖν, ὡς τὴν Ἱερουσαλὴμ μᾶλλον κατέχομεν, καὶ ἐν ταύτῃ ἐσμὲν, ἥτις ἑρμηνεύεται εἰρήνη, ἣν καὶ ὁ κύριος ἡμῖν ἐνετείλατο λέγων· Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.* ταύτην οὖν τὴν τοῦ κυρίου φωνὴν τὴν τοῦτο κελεύουσαν ὥσπερ τὸ Σιὼν ὄρος κατέχοντες, τοὺς σχίζοντας τὴν τοῦ Χριστοῦ ἐκκλησίαν Βαβυλωνίους καλοῦμεν· Βαβυλώνιοι δὲ ἡμεῖς οὔτε γεγόναμεν, ὡς τὴν σύγχυσιν καὶ τὸ σχίσμα ἀποσειόμενοι, οὔτε ποτὲ θελήσομεν γενέσθαι, μαθηταὶ ὄντες κατὰ ἀλήθειαν τοῦ κελεύοντος· Εἰρήνην δίωκετε.* Γραϊκολατίνους δὲ ἡμᾶς διασύρων ὀνομάζει, καινότερόν τι ὄνομα καὶ προσῆκον ὡς ἐνόμισεν εὑρών· ὅπερ ἡμεῖς οὐ διασυρμὸν τοῦτο λογιζόμεθα, ἀλλ' ἀληθὲς εἶναι ὁμολογοῦμεν· τοῦ γὰρ μεγάλου Κωνσταντίνου ἐκεῖθεν ὁρμωμένου, καὶ τοὺς λίαν εὐγενεστάτους μεγιστᾶνας Ῥωμαίων ἐκ Ῥώμης μετοικισαμένου εἰς τὴν ἐπ' ὀνόματι αὐτοῦ ἀνεγερθεῖσαν πόλιν, τὴν καὶ νέαν Ῥώμην ὀνομασθεῖσαν, οἱ ἐξ ἐκείνων φῦντες τὴν μὲν τῶν Ἑλλήνων ἐξασκήσαντες γλῶτταν, καὶ διὰ ταύτης φθεγγόμενοι, τὸ δὲ γένος ἐκεῖθεν ἕλκοντες, εἰκότως καὶ Γραϊκολατῖνοι, ὀφείλουσι λέγεσθαι, διότι οἱ Λατῖνοι τοὺς Ἕλληνας Γραϊκοὺς ὀνομάζουσι· καὶ ὅπερ αὐτὸς ὁ τίμιος ἀνὴρ καθ' ἡμῶν προφέρει, ἡμεῖς ἀληθές τε εἶναι ἡγούμεθα καὶ ὁμολογοῦμεν. ἐῶμεν νῦν λέγειν, ὅτι καὶ οἱ βασιλεύοντες ἡμῶν Ῥωμαῖοί εἰσιν ἐκεῖθεν ἕλκοντες τὸ γένος. ἀλλὰ τὸ περὶ Γραϊκολατίνων παιδιᾶς χάριν εἴρηται. διὰ γὰρ τῆς τοῦ Χριστοῦ χάριτος ἐκ πάντος τρόπου δεικνύντες ὡς τἀληθὲς ζητοῦμεν, καὶ τοὺς μὴ ταύτης ἐστερημένους εἰς κοινωνίαν δεχόμεθα, εἴτε Γραϊκοί εἰσιν, εἴτε Λατῖνοι, εἴτε βάρβαροι, εἴτε Σκύθαι. ἓν γὰρ μόνον οἴδαμέν τε καὶ λέγομεν, ὅτι οἱ τῆς οἰκουμενικῆς συνόδου τῇ ἀποφάσει μὴ στέργοντες καὶ ἐξακολουθοῦντες, ἐκεῖνοι καὶ ἕτερον ὄνομα λαμβάνουσιν ὡς Ἀρειανοὶ μὴ στέργοντες τῇ τῆς συνόδου ἀποφάσει ἀλλὰ τῷ Ἀρείῳ, Ἀρειανοὶ ἐκλήθησαν· καὶ οἱ τῷ Εὐνομίῳ, Εὐνομιανοί· καὶ οἱ τῷ Νεστορίῳ, Νεστοριανοί· οὐ μὴν δὲ καὶ οἱ τῇ οἰκουμενικῇ ἀποφάσει στέργοντες ἕτερον ὄνομα λαμβάνουσιν. ὅτι δὲ καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Φλωρεντίᾳ, οὐδεὶς ἂν ἀρνήσαιτο· ἀλλ' ὁ λόγος ἐπὶ τὸ πρόσω χωρῶν ἐν τῷ προσήκοντι τόπῳ περὶ τούτου τὴν ἀπόδειξιν ποιήσει. οὕτως οὖν ἀρξάμενος, καὶ οὕτω τὸν λόγον κατασκευάσας, ἤδη ὥσπερ πάλιν ἄρχεται.

* Ἰω 14, 27.

* Ψαλμ. 33, 15.

Ὁ ἘΦΕΣΟΥ. Οὗτοι τοίνυν οἱ μιξόθηρες ἄνθρωποι κατὰ τοὺς ἐν μύθοις ἱπποκενταύρους, μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι καὶ τὸν υἱὸν αἴτιον ἔχειν τῆς ἑαυτοῦ ὑπάρξεως· οὕτω γὰρ καὶ ὁ αὐτῶν ὅρος διαλαμβάνει· μεθ᾽ ἡμῶν δὲ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγουσιν.

ἈΠΟΛΟΓ. Πάλιν ἀπὸ ἱστορίας ἄρχεται ἑλληνικῆς, τῆς μὴ οὔσης μὲν, ἀναπλασθείσης δὲ ὑπὸ τῶν κεμβατούντων τὸν λογισμὸν καὶ τὴν διάνοιαν· ἔδει γὰρ αὐτὸν ἐκ τῶν ὄντων ὑπόδειγμα λαβεῖν, ἵνα τούτῳ καὶ προσηκόντως ἐφαρμόσῃ. πᾶς γὰρ λογογράφων ἐκ τῶν ἀληθῶς ὄντων προφέρει τὰς ὁμοιώσεις καὶ τὰ παραδείγματα, καὶ μάλιστα ἐπὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων. ἀλλ᾽ ὁ αἰδέσιμος οὗτος τὸ μὴ ὂν ὡς ὂν προθεὶς, καὶ ὥσπερ πράγματος ὑποκειμένου ἐξομοιώσας, μιξόθηρας ἡμᾶς ὀνομάζει, ὑπὸ θυμοῦ κινούμενος, ἵν᾽ εὐλογώτερον εἴπωμεν· δῆλον γὰρ ὡς πάντη ἀπεοικὸς τὸ παράδειγμα, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἐξομοιοῖ, πῶς οὖν ἐφαρμόσει τοῦτο μετὰ τοῦ ὄντος καὶ ὑφεστηκότος; ἀλλ᾽ ἵνα μὴ πρὸς οὐδὲν λέγοντες δόξωμεν, ἀφέντες τὸν προκείμενον σκοπόν· οὐ γὰρ ἐλέγχειν τοῦτο βουλόμεθα θυμούμενόν τε καὶ ὀργιζόμενον, ἀλλὰ τὴν ἀλήθειαν ἐρευνᾶν, καὶ ταύτην φανεροῦν· φέρε καθ᾽ εἱρμὸν τὰ παρ᾽ αὐτοῦ εἰρημένα ἐξετάσωμεν. φησὶ γὰρ οὕτως· Μετὰ τῶν Λατίνων μὲν ὁμολογοῦσι τὸ ἐκ τοῦ υἱοῦ, καὶ τὰ λοιπά· μεθ᾽ ἡμῶν δὲ τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγουσι. ταῦτα δὲ λέγων ἀγνοεῖν προσποιεῖται, ὅτι καὶ Λατῖνοι ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι μεθ᾽ ἡμῶν ὁμολογοῦσι· τὸ δὲ καὶ ἐκ τοῦ υἱοῦ, μετὰ Λατίνων μὲν ὁμολογοῦμεν, παρὰ δὲ τῶν ἁγίων τοῦτο μαθόντες λέγομεν. Ὅτι δὲ οὕτως ἔχει, αὐτοὺς τοὺς διδασκάλους τε καὶ θεολόγους τοὺς τοῦτο λέγοντας εἰς μέσον προθῶμεν οὐ πάντας οὐδὲ πάντα τὰ ὑπ᾽ αὐτῶν ἐν ταύτῃ τῇ ὑποθέσει εἰρημένα, ἀλλά τινας, καὶ ἐξ αὐτῶν ὀλίγα εἰς μερικήν τινα πληροφορίαν, ὅτι ἐκ τῶν ἁγίων τοῦτο λαβόντες λέγομεν. Καὶ δή φαμεν, ὡς ὁ θεῖος Κύριλλος ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχή· Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τῆς ἀνωτάτω, φησί· Βαπτίζειν ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ᾽ ὡς θεὸν κατὰ φύσιν μετ᾽ ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ. Καὶ ἐν τῷ πρὸς Νεστόριον λόγῳ,

οὗ ἀρχή· Τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, φησίν· Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ πνεῦμα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ καθὸ πνεῦμά ἐστι καὶ οὐχ υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ· πνεῦμα γὰρ ἀληθείας ὠνόμασται, καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια· καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ θεοῦ καὶ πατρός. Ὅτι δὲ τὸ Προχεῖται, ἀντὶ τοῦ Ἐκπορεύεται ὁ ἅγιος λέγει, παρίστησι τοῦτο ὁ αὐτὸς ἐν τῇ τοῦ συμβόλου ἐξηγήσει· φησὶ γάρ· Καὶ προχεῖται, ἤγουν ἐκπορεύεται, ὡς ἀπὸ πηγῆς τοῦ θεοῦ καὶ πατρός· Ἀλλὰ τὸ Προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, τί ἂν νοήσοι τίς; εἰ γὰρ τὸ προχεῖται ἁπλῶς ἔλεγεν, εἶχε χώραν ἄλλο τι νοεῖν· εἰ δὲ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, οὐδεμίαν πρόφασιν κατέλιπε τοῖς ἐθέλουσι λέγειν· καὶ ὁ μέγας Βασίλειος ἐν τῷ κατ' Εὐνομίου, ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή· Ὅτι ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα ἔχει, οὕτω τὸ πνεῦμα πρὸς τὸν υἱόν· φησί· Διὰ τοῦτο καὶ θεοῦ μὲν λόγος ὁ υἱὸς, ῥῆμα δὲ υἱοῦ πνεῦμα· φέρων γάρ, φησι, τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.* καὶ ἐπειδὴ ῥῆμα υἱοῦ, διὰ τοῦτο τὴν μάχαιράν φησι τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ· Λόγος δὲ θεοῦ καὶ ῥῆμα ζῶν καὶ ἐνεργόν. Ὁ δὲ ἅγιος Ἀμβρόσιος, ᾧ ὁ θεῖος Βασίλειος ἐπιστέλλων ἔλεγεν· Ἄγε δὴ, ὦ ἄνθρωπε τοῦ θεοῦ, ἐπειδὴ οὐ παρ' ἀνθρώπων παρέλαβες ἢ ἐδιδάχθης τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν προεδρίαν τῶν ἀποστόλων μετέθηκεν. οὗτος δὴ πρὸς Γρατιανὸν τὸν βασιλέα ἐν τῷ πρώτῳ βιβλίῳ τῷ περὶ τοῦ ἁγίου πνεύματος, κεφαλαίῳ δεκάτῳ, φησίν· Ἀλλ' οὔτε ἐπειδὰν ἐκ τοῦ πατρὸς ἐξέρχεται, ἀπὸ τόπου ἀναχωρεῖ, καὶ ὥσπερ σῶμα χωρίζεται ἀπὸ σώματος· οὐδὲ γὰρ ἐν τῷ πατρὶ ὡς δῆθεν ἐν σώματι ἅτε δὴ σῶμα ἐμπεριχλείεται· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἡνίκα ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεται, οὐ χωρίζεται τοῦ πατρὸς, οὐ χωρίζεται τοῦ υἱοῦ· τίνα γὰρ τρόπον δύναται χωρίζεσθαι τοῦ πατρὸς, πνεῦμα στόματος αὐτοῦ ὂν, ὃ πάντως καὶ τῆς ἀϊδιότητος δεῖγμά ἐστι, καὶ τῆς θεότητος ἐμφαίνει τὴν ἑνότητα· Ὁ ἅγιος Ἀγάθων ἐν τῇ ἐπιστολῇ αὐτοῦ, ἣν πρὸς τὴν ἁγίαν ἕκτην σύνοδον ἔπεμψε, παρὰ ἑκατὸν εἴκοσιν ἐπισκόπων βεβαιουμένην, περὶ τοῦ μακαρίου Αὐγουστίνου τοιάδε φάσκει· Ὁ μακάριος Αὐγουστῖνος ὁ ἐξοχώτατος διδάσκαλος·

* Ἑβρ. 1, 3.

καὶ πάλιν· Ὁ σοφώτατος τῆς ἀληθείας κήρυξ ὁ μακάριος Αὐγου-
στῖνος· οὗτος οὖν ὁ μακάριος Αὐγουστῖνος πρὸς Ὀρώσιον γράφων
οὕτω φησί· Τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς εἰς τὸν υἱὸν
ἐκπορεύεται, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται ἐπὶ τῷ ἁγιάσαι τὴν κτί-
σιν, ἀλλ' ἅμα ἐξ ἀμφοτέρων ἐκπορεύεται· Καὶ πάλιν ὁ αὐτὸς ἐν
τῷ κατὰ Μαξιμίνου γ' βιβλίῳ φησί· Ζητεῖς παρ' ἐμοῦ, εἰ ἐκ τῆς
οὐσίας τοῦ πατρός ἐστιν ὁ υἱὸς. ἐκ τῆς οὐσίας τοῦ πατρός ἐστι καὶ
τὸ πνεῦμα τὸ ἅγιον, διατί ὁ μὲν εἷς ἐστιν υἱὸς, τὸ δὲ ἕτερον οὐκ
ἔστιν υἱός; ἰδοὺ ἀποκρίνομαι, κἄν τε λάβῃς, κἄν τε μὴ λάβῃς·
ἐκ τοῦ πατρός ἐστιν ὁ υἱὸς, ἐκ τοῦ πατρός ἐστι καὶ τὸ πνεῦμα τὸ
ἅγιον· ἀλλ' ἐκεῖνος γεννητὸς, τοῦτο ἐκπορευόμενον· διὸ ἐκεῖνος μὲν
υἱός ἐστι τοῦ πατρὸς, ἀφ' οὗ ἐγεννήθη· τοῦτο δὲ τὸ πνεῦμα ἑκα-
τέρου, ὅτι ἐξ ἀμφοτέρων ἐκπορεύεται· ἀλλὰ διὰ τοῦτο περὶ ἐκείνου
* Ἰω. 15, 26. λέγων ὁ υἱὸς, ἔφη· Ἐκ τοῦ πατρὸς ἐκπορεύεται· * ὅτι ὁ πατὴρ τῆς
ἐκπορεύσεως αὐτοῦ ἐστιν ἀρχηγὸς, ὃς τοιοῦτον υἱὸν ἐγέννησε, καὶ ἐν
τῷ γεννᾶν δέδωκεν αὐτῷ, ἵνα καὶ ἐξ αὐτοῦ ἐκπορεύηται τὸ πνεῦμα
τὸ ἅγιον. καὶ γὰρ εἰ μὴ ἐξεπορεύετο τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐξ
* Ἰω. 20, 22. αὐτοῦ, οὐκ ἂν εἶπε τοῖς μαθηταῖς· Λάβετε πνεῦμα ἅγιον· * καὶ
τοῦτο ἐδίδου ἐμφυσῶν, ἵνα καὶ παρ' αὐτοῦ ἐκπορεύεσθαι παρα-
δηλῶν, ἀποκεκαλυμμένως ἐμφυσῶν ἀποδείξῃ, ὅπερ πνέων κεκαλυμ-
μένως ἐδίδου. ἐπειδήπερ οὖν εἰ ἐγεννᾶτο, οὐ μόνον ἐκ τοῦ πατρὸς,
οὔτε μόνον ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐξ ἀμφοῖν δήπουθεν ἂν ἐγεννᾶτο,
ἀναντιῤῥήτως υἱὸς ἀμφοῖν ἂν ἐλέγετο. καὶ διὰ τοῦτο, υἱὸς γὰρ
ἀμφοῖν οὐδαμῶς εἶναι δύναται, οὐκ ἔδει γεννηθῆναι αὐτὸ ἐξ ἀμφοῖν.
ἀμφοῖν ἄρα πνεῦμά ἐστιν, ἐκπορευόμενον ἐξ ἀμφοῖν. Καὶ κατωτέρω
ἐν τῷ αὐτῷ κεφαλαίῳ· Ἀρκείτω τοίνυν ἡμῖν, ὅτι ὁ υἱὸς οὐκ ἔστιν
ἐξ ἑαυτοῦ, ἀλλ' ἐξ οὗ ἐγεννήθη· οὐκ ἔστιν ἐξ ἑαυτοῦ τὸ πνεῦμα
τὸ ἅγιον, ἀλλ' ἐξ οὗ ἐκπορεύεται· καὶ ἐπεὶ παρ' ἀμφοτέρων ἐκ-
πορεύεται, ὡς ἤδη ἀπεδείξαμεν, ὅθεν πνεῦμα πατρὸς εἴρηται· καὶ
τὰ λοιπά. ὁ δὲ ἅγιος Ἀναστάσιος, περὶ οὗ ἡ ἁγία ἕκτη σύνοδος
λέγει· Ἀποδεχόμεθα τὸν ἅγιον Ἀναστάσιον· καὶ Θεόδωρος ὁ Με-
λιτηνῆς ἀπεκρίθη· Ἅγιον ἀποκαλεῖ πᾶσα ἡ ἀνατολὴ τοῦτον τὸν
τῆς ὁσίας μνήμης Ἀναστάσιον, τὸν γενόμενον ἐπίσκοπον Ἀντιοχείας·
καὶ τὸν μὴ δεχόμενον αὐτὸν ὁ Θεὸς ἀναθεματίσῃ. καὶ πάντες ὁμο-
φώνως εἶπον τὸ ἀμήν. οὗτος οὖν ὁ ἅγιος ἐν τῷ λόγῳ αὐτοῦ, οὗ ἡ

μὲν ἐπιγραφὴ, περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν δογμάτων τῆς ἀληθείας· ἡ δὲ ἀρχή· Τῶν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως· οὕτω φησί· Τοῦ δὲ σώματος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων παρεστήσαμεν διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας· ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δῆλον τοῦ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον λέγεται, στόματος ὄντος τοῦ μονογενοῦς. καί· Πνεῦμα πάλιν ἐξ αὐτοῦ ἐκπορευόμενον καὶ ἀποστελλόμενον, οὐ μόνον παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ παρὰ τοῦ υἱοῦ. καὶ μετά τινα· Καὶ μὴν ὁ κύριος ἐξ αὐτοῦ δεικνὺς αὐτὸ ὑπάρχων, ἐμφυσῶν τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγε· Λάβετε πνεῦμα ἅγιον.* Ὅτι δὲ τοῦδε ὁ λόγος, μαρτυρήσει καὶ ἡ σύνοδος ἡ κατὰ Ἀκινδύνου, μαρτυρίας ἐκ τούτου προκομίζουσα καὶ κὺρ Νεῖλος ὁ Καβάσιλας· Ὁ δὲ ἅγιος Ἐπιφάνιος, περὶ οὗ ὁ ἅγιος Θεόδωρος ὁ στουδίτης ἐν τῷ τέλει τοῦ β' αὐτοῦ βιβλίου τοῦ κατὰ εἰκονομάχων λέγει· Ἐπιφάνιον ἴσμεν καὶ ἅγιον καὶ μέγιστον ἐν θαυματουργίαις. καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Ναύκρατον ἐπιστολῇ αὐτοῦ, ἧς ἡ ἀρχή· Πάλιν ἑτέρα σοι φυλακὴ τέκνον ἠγαπημένον, φησίν· Ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με περί τε τῶν αἱρέσεων καὶ βαπτισμάτων κατ' ἴσως ἐπιστολῆς ὑπερβαίνει μέτρον. καὶ πάλιν· Περιττολογεῖν ἐστι τὰ αὐτὰ ἀφηγεῖσθαι, ἃ ὁ θεοφόρος Ἐπιφάνιος ἐξεῦρε καὶ διέγραψεν, ὡς οὐδεὶς τῶν πατέρων· ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ, κἀκεῖσε διαγνώσῃ, ἃ μαθεῖν ἐφίεσαι. Ἡ δὲ ἁγία οἰκουμενικὴ ἕκτη σύνοδος ἐν τόμῳ τετάρτῳ, πράξει δεκάτῃ, περὶ τοῦδε τοῦ ἁγίου τάδε λέγει· Ἀνεγνώσθησαν καὶ ἄλλων πολλῶν μαρτυρίαι, ἔτι καὶ χρήσεις τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων, ἀπὸ λόγου ξθ'. καὶ πάλιν ἡ αὐτὴ λέγει· Καὶ πειθέτω ἡμᾶς ὁ περιφανὴς πατὴρ ἡμῶν Ἐπιφάνιος ἐν τῷ κατὰ Ἀρειομανιτῶν λόγῳ. Καὶ ἡ ἁγία οἰκουμενικὴ ζ' σύνοδος ἐν τῇ ἕκτῃ πράξει αὐτῆς οὕτω λέγει· Αἱ βίβλοι τοῦ ἁγίου πατρὸς ἡμῶν Ἐπιφανίου, ἥ τε λεγομένη Ἀγκυρωτὸς, καὶ αἱ λοιπαὶ εἰς πᾶσαν τὴν οἰκουμένην διαβεβόηνται, καὶ ὁ φθόγγος αὐτῶν ἐξήχηται, καὶ παρὰ μικρὸν κατὰ πᾶσαν ἐκκλησίαν διεσπαρμέναι εἰσίν· οὗτος οὖν ὁ ἅγιος ἐν τοῖς εἰρημένοις βιβλίοις, ἐν μὲν τοῖς Παναρίοις ἐκ τοῦ κατὰ Ἡμιαρείων λόγου φησίν· Ὁμολογοῦσι μίαν θεότητα καὶ βασιλείαν καὶ ἀρχὴν, ὁμοίως τὰ πρόσωπα ἐν ταῖς ἰδιότησι τῶν ὑποστάσεων εὐσεβῶς γνωρίζουσι· τὸν

* Ἰω. 20, 22.

πατέρα ἐν τῇ πατρικῇ αὐθεντίᾳ ὑφεστῶτα νοοῦντες· καὶ τὸν υἱὸν
οὐ μέρος ὄντα τοῦ πατρὸς ἀλλὰ καθαρῶς τέλειον ἐκ τελείου γε-
γεννημένον καὶ ὑφεστῶτα ὁμολογοῦντες· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον,
ὃ ἡ θεία γραφὴ παράκλητον ὀνομάζει, ἐκ πατρὸς δι' υἱοῦ ὑφε-
στῶτα γνωρίζοντες. ἐν δὲ τῷ Ἀγκυρωτῷ· Πνεῦμα ἅγιον πνεῦμα
ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ. καὶ μετ' ὀλίγα·
Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν
* Ματθ. 11, 27. εἰ μὴ ὁ πατὴρ,* οὕτω τολμῶ λέγειν, ὅτι οὐδὲ τὸ πνεῦμα, εἰ μὴ
ὁ πατὴρ καὶ ὁ υἱὸς, παρ' οὗ ἐκπορεύεται, καὶ παρ' οὗ λαμβάνει·
καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα, εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον,
τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὁ παρὰ τοῦ πατρὸς
καὶ ἐκ τοῦ υἱοῦ. καὶ μετά τινα· Τοίνυν πατὴρ ἦν ἀεὶ, καὶ υἱὸς
ἦν ἀεὶ, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς καὶ υἱοῦ πνέει. πρόδηλον
οὖν ἐστι καὶ φανερὸν, ὅτι καὶ ἡμεῖς τε καὶ οἱ Λατῖνοι παρὰ τῶν
διδασκάλων καὶ θεολόγων τῆς ἐκκλησίας τὸ Καὶ ἐκ τοῦ υἱοῦ,
παρελάβομεν· ἐξ ὧν αἱ ἅγιαι οἰκουμενικαὶ σύνοδοι μαρτυρίας ἐν
ζητήσει θεολογικοῦ πράγματος προεκόμιζον, ὡς προδεδήλωται.

Ὁ ἘΦΕΣΟΥ. Καὶ μετ' ἐκείνων μὲν θεμιτῶς καὶ εὐλόγως τὴν
προσθήκην ἐν τῷ συμβόλῳ γεγονέναι φασὶ, μεθ' ἡμῶν δὲ λέγειν
ταύτην οὐ καταδέχονται· καίτοι γε τὸ θεμιτῶς καὶ εὐλόγως γι-
νόμενον τίς ἂν παραιτήσαιτο λέγειν;

ἈΠΟΛΟΓ. Τὸ μὲν οὖν θεμιτῶς καὶ εὐλόγως λέγει, τὸ δὲ πρὸ
τούτου παρασιωπᾷ· ποῖον δὴ τοῦτο; τὸ τὴν τῶν ῥημάτων ἐκείνων
ἀνάπτυξιν τὴν Καὶ ἐκ τοῦ υἱοῦ, χάριν τοῦ τὴν ἀλήθειαν σα-
φηνισθῆναι, ἀνάγκης τότε ἐπικειμένης, θεμιτῶς καὶ εὐλόγως ἐν τῷ
συμβόλῳ προστεθῆναι. τί οὖν; πᾶσαν ἀνάπτυξιν καὶ σαφήνειαν
ἀνάγκη ἀεὶ προσκεῖσθαι τῷ κειμένῳ, καὶ χωρὶς ταύτης μὴ ἀνα-
γινώσκεσθαι τὸ κείμενον τῆς θείας γραφῆς; ἢ διὰ τὸ μὴ ἀναγι-
νώσκεσθαι οὕτω συνημμένως, οὐ θεμιτῶς καὶ εὐλόγως ἐροῦμεν τὴν
ἀνάπτυξιν γεγονέναι καὶ τὴν σαφήνειαν τὴν μετὰ τοῦ κειμένου
ἡνωμένην; καὶ τίς ἂν τοῦτο ἐρεῖ νοῦ καὶ φρενῶν κύριος; ἡμεῖς γὰρ
ἔγνωμεν τὴν ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ δεκάλογον παρὰ Βα-
σιλείου τοῦ μεγάλου σαφηνισθεῖσαν· καὶ τὸ αὐτὸ ἅπαν ἱερὸν εὐαγ-
γέλιον παρὰ Ἰωάννου τοῦ Χρυσοστόμου τὴν σαφήνειαν δεξάμενον
καὶ παρὰ τοῦ θεσπεσίου Κυρίλλου καὶ ἄλλων· ἀλλ' οὐ μετὰ τῆς

ἐξηγήσεως καὶ σαφηνείας ἀεὶ ἐπ' ἐκκλησίας ἀναγινώσκεται. διὸ εἰ μὲν τὸ ἐλλεῖπον ἢ τὸ παραλελειμμένον ἐλέγομεν προστεθῆναι ἢ ἀναπληρωθῆναι, εἶτα οὐ μετὰ τοῦ προστεθέντος εἰς ἀναπλήρωσιν ἐψάλλομεν, καλῶς ἂν εἶχεν ἐγκαλεῖν ἡμῖν· ἐπεὶ δὲ ἀνάπτυξιν ἀκούει καὶ σαφήνειαν, ἡ δὲ ἀνάπτυξις οὐκ ἀεὶ μετὰ τοῦ κειμένου ἀναγινώσκεται, οὐ δικαίως ἐγκαλεῖ ἡμῖν. τοῦτο μόνον ἐστὶν ἀνάγκη, ὅτι πᾶν τὸ ἐξαπλούμενον ἢ σαφηνιζόμενον ἐκ τῶν ἁγίων δεῖ ἔχειν τὴν μαρτυρίαν. καὶ, ὅτι ἂν ποιήσῃ σύνοδος, οὐκ ἄλλον ὅρον ποιεῖ διὰ τῆς ἐπεισαγωγῆς τῶν προστεθέντων, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν πρῶτον ὅρον ἐξαπλοῖ καὶ ἐπεξεργάζεται· καὶ ὅτι τοῦθ' οὕτως ἔχει, ἄκουσον καὶ τοῦ ἱεροῦ Μαξίμου οὕτω βεβαιοῦντος· φησὶ γὰρ ἐν τῇ συντόμῳ ἀπολογίᾳ αὐτοῦ, ἣν ποιεῖται ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, ἧς ἡ ἀρχή· Ἐπειδὴ λίαν γενναίως ἢ ἀγεννῶς εἰπεῖν οἰκειότερον· Εἰ γάρ ἐστι τἀληθῆ ὑπὲρ ἀληθείας εἰπεῖν, πάντες οἱ μετὰ τὴν Νικαίων θεόκριτοι πατέρες, καὶ πᾶσα σύνοδος ὀρθοδόξων καὶ ἁγίων ἀνδρῶν, οὐκ ἄλλον πίστεως ὅρον διὰ τῆς ἐπεισαγωγῆς τῶν οἰκείων ῥημάτων παντελῶς ἐπεισήγαγον, ὡς ὑμεῖς ἀποφαίνεσθε, πλεῖστον παραληροῦντες, καὶ τὸ ὅλον μαινόμενοι· ἀλλ' αὐτὸν ὡς πρῶτον καὶ μόνον τὸν ἐκ τῶν, τιη, πατέρων νομοθετηθέντα βεβαίως ἐκύρωσαν, τρανοῦντες αὐτὸν καὶ οἷον ἐπεξηγούμενοί τε καὶ ἐπεξεργαζόμενοι διὰ τοὺς ἐκεῖνον καὶ τὰ ἐκείνου δόγματα πρὸς τὴν οἰκείαν κακῶς ἐκλαμβάνοντας καὶ παρεξηγουμένους δυσσέβειαν.

Ὁ ἘΦΕΣΟΥ. Καὶ μετ' ἐκείνων μὲν τὸ ἄζυμον, σῶμα τοῦ Χριστοῦ λέγουσι, μεθ' ἡμῶν δὲ αὐτοῦ μεταλαμβάνειν οὐκ ἂν τολμήσαιεν.

ἈΠΟΛΟΓ. Ὅτι μὲν οὖν ἐγκαλεῖ ἡμῖν, καὶ διασύρει ἕνεκεν τῶν ἀζύμων, οἶδεν· ὅτι δὲ ὁ κύριος δι' ἀζύμου τὴν μυστικὴν ἐτέλεσε θυσίαν τότε, οὐκ οἶδεν, οὐδὲ ἀδιάφορον ἡγεῖται τὸ δι' ἐνζύμου ἢ δι' ἀζύμου τὴν θυσίαν τελεῖσθαι. ἀλλ' ὡς οἴεται, πάντα, ἥ τε ἱερωσύνη καὶ τὸ θυσιαστήριον, καὶ ἡ φωνὴ ἣν προήκατο ὁ κύριος· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ τὰ θεῖα ῥήματα· Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου,* καὶ πᾶσα τελετὴ ἀργά εἰσι διὰ τὸ μὴ ἔχειν ἐκ τοῦ αὐτοῦ ὑποκειμένου, ἢ ἐκ τῆς αὐτῆς ὕλης ὀξώδη μικρὰν ζύμην. Ὅτι δὲ ὁ κύριος ἡμῶν καὶ θεὸς τὸ νομικὸν πάσχα ἐτέλεσεν, εἶτα τὰ μυστήρια δέδωκε τοῖς μαθηταῖς, ἄκουσον

* Λουκ. 22, 19.

τοῦ θείου Χρυσοστόμου ἐν ὁμιλίᾳ πα´ λέγοντος· Τίνος δὲ ἕνεκεν
τὸ πάσχα ἐτέλει; διὰ πάντων δεικνὺς μέχρι τῆς ἐσχάτης ἡμέρας,
ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ. ὅρα τί φησιν· Ἵνα μὴ ἐναντίος γί-
νηται τῷ νόμῳ, τὸ πάσχα ἐπετέλει. τί οὖν; ἐναντίον τοῦ νόμου
ἐποίει φυλάττων τὸν ἔνζυμον ἄρτον, ἀλλ᾽ ὅτι καὶ ἐν ἑπτὰ ἡμέραις
κατ᾽ ἐκεῖνο καιροῦ ἡ ζύμη οὐχ εὑρίσκετο, μαρτυρήσει τοῦτο πάλιν
ὁ θεῖος Χρισόστομος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ· Πρό-
τερον εἴπωμεν, διὰ τί ἐκ τῶν ὁρίων πάντων ἀπελαύνεται ἡ ζύμη.
τί οὖν ἐστι τὸ αἴνιγμα; πάσης πονηρίας ἀπηλλάχθαι δεῖ τὸν
πιστόν. ὥσπερ γὰρ ἐκεῖνος ἀπόλλυται, ὅπου ἂν εὑρεθῇ παλαιὰ
ζύμη, οὕτω καὶ παρ᾽ ἡμῖν ἔνθα ἂν εὑρεθῇ πονηρία· οὐ γὰρ δή
που ἐπὶ μὲν τῆς σκιᾶς πολλὴ ἡ κόλασις, ἐπὶ δὲ ἡμῶν οὐ πολλῷ
μείζων· εἰ γὰρ τὰς οἰκίας οὕτω καθαίρουσιν, ὡς καὶ μυῶν ὀπὰς
περιεργάζεσθαι, πολλῷ μᾶλλον ἡμᾶς τὴν ψυχὴν διερευνᾶσθαι δεῖ.
Ἐπεὶ οὖν μυῶν ὀπὰς περιειργάζοντο, ὁ δὲ ἅγιος λέγει, ὅτι μέχρι
τῆς ἐσχάτης ἡμέρας, ἵνα μὴ ἐναντίος γένηται τῷ νόμῳ, τὸ πάσχα
ἐπετέλει, μᾶλλον ἂν ἐναντίος ἦν τὸ πάσχα τελῶν καὶ τὸ ἔνζυμον
φυλάττων· Ὅτι δὲ ὁ νόμος ἀπαγορεύει τοῦτο, ἄκουσον οὕτω προ-
στάττοντος. φησὶ γάρ· Ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε· ἀπὸ δὲ τῆς
ἡμέρας τῆς πρώτης ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν. πᾶς
ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ.
καὶ μετά τινα· Ἐναρχόμενοι τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς
τοῦ πρώτου, ἀφ᾽ ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ
εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται
ἐν ταῖς οἰκίαις ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυματὸν, ἐξολοθρευθήσεται
* Ἐξ. 12, 15. ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς Ἰσραήλ.* Ὅτι δὲ κατὰ νόμον ὁ Χρι-
στὸς τὸ πάσχα ἐτέλεσεν, οἱ δὲ Ἰουδαῖοι παρανόμως ἐποίησαν πα-
ραβιβάσαντες τὸ πάσχα, ἄκουσον τοῦ Χρυσοστόμου πατρὸς ἐν πδ´
ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην, εἰς τό· Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ
* Ἰω. 18, 28. Καϊάφα εἰς τὸ πραιτώριον·* Διατί ἐκεῖ ἀπήγαγον αὐτὸν, ἔνθα ἅπαντες
ἦσαν συνηγμένοι; ἵνα μετὰ γνώμης πάντων ποιήσωσι τῶν ἀρχιερέων.
ἐκεῖνος γὰρ ἦν τότε ἀρχιερεὺς, καὶ πάντες ἦσαν αὐτὸν ἀναμένοντες.
οὕτω διενυκτέρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ· οὐδὲ γὰρ ἔφαγον τότε
τὸ πάσχα φησὶν, ἀλλὰ διὰ τοῦτο ἠγρύπνουν. εἰπὼν γὰρ, ὅτι πρωΐα
ἦν, ὁ Ἰωάννης ἐπήγαγεν· Οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ

μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. τί οὖν ἐστιν ἐκεῖνο; ὅτι ἐν ἑτέρᾳ ἔφαγον, καὶ τὸν νόμον ἔλυσαν διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην. οὐδὲ γὰρ ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ πάσχα, ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες καὶ μυρίους καταπατοῦντες νόμους. Τούτων οὕτως ἐχόντων πῶς κατηγορήσομεν τοὺς μετὰ ἀζύμων τὴν θυσίαν τελοῦντας; περὶ δὲ ἡμῶν αὐτῶν οὕτω λέγομεν, ὅτι οὕτω παρελάβομεν, καὶ οὕτω στέργομεν, ὡς οἱ ἀπόστολοι κατ' οἶκον κλῶντες ἄρτον τὴν θυσίαν ἐπετέλουν· καὶ οὐδαμοῦ φαίνεται ὡς ἄζυμον ζητοῦντες τὴν θυσίαν ἐπετέλουν· καὶ πάλιν ἐν ταῖς τῶν ἀζύμων ἡμέραις μηδαμοῦ ἐν Ἱεροσολύμοις ἐνζύμου εὑρισκομένου, οὐδαμοῦ πάλιν φαίνεται, ὅτι ἔνζυμον αἰτοῦντες, οὕτως ἐποίουν. ᾔδεισαν γὰρ, ὅτι τὸ αὐτό ἐστιν ὑποκείμενον, ὁ ἐκ τοῦ σίτου ἄλευρος. οὐ γὰρ διὰ τὸ μὴ ἔχειν μικρὰν ζύμην, ἤδη πάντα τὰ τελούμενα ἀργὰ, καὶ μάλιστα τὰ τοῦ κυρίου ῥήματα, ἅτινα καὶ μεταποιοῦσι τὸν ἄρτον καὶ τὸν οἶνον σὺν τῷ ὕδατι εἰς σῶμα καὶ αἷμα αὐτοῦ. Ὅτι δὲ αὐτὰ τὰ ῥήματα μεταῤῥυθμίζουσι τὴν ὕλην ταύτην εἰς τὰ εἰρημένα, ἄκουσον τοῦ θείου Χρυσοστόμου ἐν τῷ λόγῳ, οὗ ἡ ἐπιγραφή· Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, καὶ εἰς τὸν μυστικὸν δεῖπνον τοῦ σωτῆρος, καὶ κατὰ Ἰουδαίων· ἡ δὲ ἀρχὴ τοῦ λόγου· Ἐβουλόμην ἀγαπητοὶ τῆς κατὰ τὸν πατριάρχην πάλιν ὑποθέσεως· πάρεστι καὶ νῦν ὁ Χριστὸς ἐκεῖνος τὴν τράπεζαν ταύτην κοσμῶν· ὁ γὰρ τὴν τράπεζαν ἐκείνην κοσμήσας τότε οὗτος καὶ ταύτην διακοσμεῖ νῦν. οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ποιῶν τὰ προκείμενα γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' αὐτὸς ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν Χριστός. σχῆμα πληρῶν ὁ ἱερεὺς μόνον ἕστηκε, καὶ προσφέρει τὴν δέησιν τὰ ῥήματα φθεγγόμενος ἐκεῖνα, ἡ δὲ χάρις καὶ ἡ δύναμίς ἐστι τοῦ θεοῦ, ἡ πάντα ἐργαζομένη· τοῦτό μού ἐστι τὸ σῶμά φησι, τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταῤῥυθμίζει· καὶ καθάπερ ἐκείνη ἡ φωνὴ ἡ λέγουσα· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν *, * Γεν. 1, 28.
ἐῤῥέθη μὲν ἅπαξ, διὰ παντὸς δὲ τοῦ χρόνου γίνεται ἔργον, δυναμοῦσα τὴν φύσιν τὴν ἡμετέραν πρὸς παιδοποιΐαν, οὕτω καὶ αὕτη ἡ φωνὴ ἅπαξ λεχθεῖσα παρὰ τῆς θείας γλώττης ἐκείνης, τό· Τοῦτό ἐστι τὸ σῶμα, καθ' ἑκάστην τράπεζαν ἐν ταῖς ἐκκλησίαις, ἐκείνου τοῦ ῥήματος ἡ δύναμις μέχρι τῆς σήμερον, καὶ ἄχρι τῆς αὐτοῦ παρουσίας τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεται. Εἰ οὖν τοῦτο τὸ ῥῆμα εἰς σῶμα

Χριστοῦ καὶ αἷμα τὰ προκείμενα μεταποιεῖ, καὶ φρικτὰ μυστήρια ἀπεργάζεται, ἀδυνατεῖ δὲ ταῦτα εἶναι τέλεια διὰ τὸ μὴ ἔχειν μικρὰν ζύμην, θαῦμα ἂν εἴη· καὶ ταῦτα ἐν ταύτῃ τῇ ὕλῃ τοῦ Χριστοῦ τελέσαντες, ὡς προαποδέδεικται.

Ὁ ἘΦΕΣΟΥ. Ἀρ' οὐχ ἱκανὰ ταῦτα τὴν γνώμην αὐτῶν διαδεῖξαι, καὶ ὅτι οὐκ ἀληθείας ἔρευναν ποιούμενοι τοῖς Λατίνοις συνῆλθον, ἣν ἐν χερσὶν ἔχοντες προσδεδώκασιν, ἀλλὰ χρυσοχοῆσαι βουλόμενοι, καὶ πεπλασμένην οὐκ ἀληθῆ συστήσασθαι ἕνωσιν;

ἈΠΟΛΟΓ. Ὅτι μὲν οὖν ἀληθείας ἔρευναν ποιούμενοι μᾶλλον, διὰ ταύτης Λατίνοις ἡνώθημεν, πρόδηλον καὶ φανερὸν τοῖς μὴ φιλονεικεῖν ἐθέλουσι· διὰ γὰρ τῆς τῶν ἁγίων θεολογίας ἡ ἔρευνα γέγονε, καὶ οὐχ ὡς αὐτός φησιν, ὅτι προσδεδώκαμεν καὶ ἣν εἴχομεν· τοῦτο γὰρ καὶ ἐπὶ πάσης οἰκουμενικῆς συνόδου ἐλέγετο ἄν, ὅτι τὴν πρώτην πίστιν ἐάσαντες, ἑτέραν ἔσχον· ἀλλ' οὐδαμοῦ τοῦτο γέγραπται, ὅτι διὰ τῆς ἐξαπλώσεως ἑτέραν πίστιν ἔσχον. μαρτυρέει τοῦτο καὶ ὁ ἐν ἁγίοις Μάξιμος ἐν τῷ προμνημονευθέντι λόγῳ αὐτοῦ· φησὶ γάρ· Τίνι λόγῳ καὶ πῶς τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον, καίτοι πατρικαῖς προδήλως ἀποχρησαμένην φωναῖς, αἰτιᾶσθε, καὶ ὡς ἄλλον πίστεως ὅρον εἰσάγουσαν, τῇ δὲ κἀκεῖσε καὶ ἐγγράφως καὶ ἀγράφως διαλοιδορεῖτε καὶ διασκώπτετε; μὴ κατ' ὄψιν κρίνετε διὰ τὸν εἰπόντα θεὸν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. τίς ἡ ἐπὶ τῆς αὐτῆς καὶ μιᾶς ὑποθέσεως τῶν ἐν Χαλκηδόνι πατέρων ἔγκλησις ὑμῶν, καὶ τίς ἡ τῶν προλαβόντων ἀνάῤῥυσις; εἰ γάρ ἐστι κατὰ τῆς Χαλκηδονίων ἄλλον αἰτιᾶσθαι πίστεως ὅρον διὰ τὰς οὐκ ἐγκειμένας τῷ ὅρῳ τῆς Νικαέων φωνὰς, τοῦτό γε πάντως ἕψεται λέγειν διὰ τὴν αὐτὴν αἰτίαν καὶ κατὰ Κυρίλλου καὶ κατὰ τῶν ἑκατὸν πεντήκοντα· εἰ δὲ κατ' αὐτῶν οὐκ ἔστι, πῶς κατ' ἐκείνης, συνιδεῖν οὐκ ἔχω. Ὅτι οὖν πατρικαῖς ἑπόμενοι φωναῖς, διὰ τούτων τὴν ἕνωσιν πεποιήκαμεν ἀποδέδεικται, διὸ οὐδὲ δικαίως ἐγκαλεῖ, ὅτι ἣν εἴχομεν προσδεδώκαμεν. ἀλλ' οὐδὲ χρυσοχοῆσαι βουλόμενοι τὴν ἕνωσιν πεποιήκαμεν· καὶ γὰρ καὶ αὐτὸς ὁμοίως ἡμῖν τὸ τεταγμένον ἐλάμβανε, καὶ τῶν χρυσινῶν στατήρων οὐκ ἀμέτοχος ἦν· ἀλλὰ καὶ ἐκ τῶν σταλέντων ἐνταῦθα δι' ἐφόδια τοῦ πλοῦ, καὶ ἐν τῇ Βενετίᾳ, καὶ τὸ κατὰ μῆνα διδόμενον ἐκεῖσε, ὁμοίως ἐλάμβανεν. οὐκ οἴδαμεν δὲ, εἰ διότι τὸν ἅγιον Εὐγένιον ἱστόρησεν, ἵνα δόσῃ

τῷ πάπᾳ, καὶ ὅτι προσφωνητικὸν ἔγραψε πρὸς ἐκεῖνον, γράφων καὶ τοῦτο· Πάτερ Ἀβραὰμ ἔπαρον τὰς χεῖράς σου, καὶ εὐλόγησον τὰ τέκνα σου ἥκοντα ἐξ ἑώας· καὶ μὴ λαβὼν ἀντιμισθίαν τούτων, μηδὲ χρυσοχούσας, τὰ τοιαῦτα ἐρεύγεται.

Ὁ ἘΦΕΣΟΥ. Τίνα δὲ καὶ τρόπον αὐτοῖς ἡνώθησαν, ἐπισκεπτέον. πᾶν γὰρ τὸ ἑτέρῳ ἑνούμενον, δι' ἑνός τινος μέσου πάντως ἑνοῦται. τῇ μὲν οὖν δόξῃ τῇ περὶ τοῦ ἁγίου πνεύματος ἔδοξαν ἑνωθῆναι σὺν αὐτοῖς, ἀποφηνάμενοι καὶ ἐκ τοῦ υἱοῦ τοῦτο ἔχειν τὴν ὕπαρξιν· τὰ δ' ἄλλα πάντα διάφορα, καὶ οὐδὲν ἐν αὐτοῖς ἓν, οὐδὲ μέσον, οὐδὲ κοινόν.

ἈΠΟΛΟΓ. Ἡμεῖς διὰ μέσου ἡνώθημεν τῆς τῶν ἁγίων θεολογίας, οὐ καταλιπόντες ἣν εἴχομεν πρότερον, ὡς προαποδέδεικται μάλα καλῶς καὶ περιφανῶς. κατὰ γὰρ τὰ ἄνωθεν εἰρημένα παρὰ τῶν θεοφόρων πατέρων, πᾶν τὸ ἐξαπλούμενον καὶ ἐπεξεργαζόμενον οὐκ ἀνατρέπει τὸ πρῶτον, οὐκ ἀλλοιοῖ, ἀλλ' οὐδ' ἀμαυροῖ, οὐδ' ἀφανίζει, ἀλλὰ μᾶλλον συνίστησι καὶ διατρανοῖ, καὶ φανερώτερον καθίστησιν· Ὅτι δὲ ἀληθὴς ἡ περὶ τοῦ ἁγίου πνεύματος δόξα ἡ καὶ ἐκ τοῦ υἱοῦ, προαποδέδεικται, ὅτι τῶν μακαρίων πατέρων ἐστὶν ἡ φωνὴ αὕτη. μεσότητα δὲ οὐδ' ὅλως ἐνενοήσαμεν ἄλλην, εἰ μὴ τὴν ἀλήθειαν, ἣν καὶ Γρηγόριος ὁ θεολόγος φησί· Μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω· καὶ ἀλλαχοῦ· Ἡμεῖς δὲ τὴν μέσην ὁδὸν καὶ βασιλικὴν βαδίζοντες, ἐν ᾗ καὶ τὸ τῶν ἀρετῶν ἕστηκεν ἀκρότατον. ταύτην μόνην τὴν μεσότητα καὶ ἡμεῖς ἀεὶ στέργομεν κυρίως, εἰδότες ὅτι τὸ μέσον ἐστὶ καὶ ἑνούσιον, τὰ δὲ παρ' ἑκάτερα τοῦ μέσου κακία ἀνούσιος· καὶ οὔτε ἐκ μόνου τοῦ πατρὸς, οὔτε μὴν ἐκ μόνου τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι λέγομεν, ἀλλὰ τὴν μέσην ὁδὸν τῶν ἁγίων καὶ ἐκ τοῦ πατρὸς, καὶ ἐξ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλὰ δύο μὲν σύμβολα καὶ παρηλλαγμένα λέγεται πάλιν ὥσπερ καὶ πρότερον· διτταὶ δὲ καὶ διάφοροι λειτουργίαι τελοῦνται, ἡ μὲν δι' ἐνζύμου θυσίας, ἡ δὲ δι' ἀζύμου.

ἈΠΟΛΟΓ. Δύο μὲν σύμβολα οὐκ εἰσὶν, οὐδὲ παρηλλαγμένα· ἓν γάρ ἐστι τὸ τῆς πίστεως σύμβολον, ὃ ψάλλομεν ἡμεῖς τε καὶ Λατῖνοι· οὐ γὰρ διὰ τὴν σαφήνειαν, ἣν ἐδέξατο παρ' ἐκείνων, ἤδη ἄλλο σύμβολόν ἐστιν. εἰ δὲ καὶ δύο ἦσαν, οὐδ' οὕτως ἂν ἐκαλοῦντο

δύο· καὶ γὰρ καὶ τὸ ἐν Νικαίᾳ σύμβολόν ἐστιν ἄλλο, καὶ τὸ τῶν
ἀποστόλων ἕτερον ἀλλὰ κατὰ τὸν νοῦν οὐ διαφέρουσι, διὰ τοῦτο
οὐδὲ παρηλλαγμένα, διτταὶ δὲ λειτουργίαι οὔτε εἰσὶν, οὔτε λέγον-
ται, διότι εἷς ἐστιν ὁ σκοπὸς τοῦ τὸν ἱερέα ὑπηρέτην γενέσθαι τῆς
τοιαύτης θυσίας· καὶ ταύτην ἔχει θεμέλιον πᾶς ἱερεὺς ἀρχόμενος
τῆς θείας μυσταγωγίας, τὴν κυριακὴν φωνὴν, ἣν ὁ κύριος προεί-
* Λουκ. 22, 19. κατο· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν* διὰ τοῦ ἐκ τοῦ σίτου
ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος, ὥστε διὰ τούτων, καὶ διὰ
πάσης τελετῆς, καὶ τῶν κυριακῶν θείων ῥημάτων, καὶ τοῦ θυσια-
στηρίου τελεῖσθαι τὸ μυστήριον, καὶ γίνεσθαι σῶμα καὶ αἷμα τοῦ
σωτῆρος Χριστοῦ, αὐτοῦ μεταποιοῦντος τῇ παντοδυνάμῳ θεότητι.
καὶ αὐτὸς δὲ ὁ τίμιος ἀνὴρ ὁμολογήσει, ὅτι καὶ πρὸς τοῦ ἱεροῦ
Βασιλείου, καὶ τοῦ θείου Χρυσοστόμου ἡ τελετὴ τῆς θείας λειτουρ-
γίας οὐ διέλειπεν, ἀλλ' οὐ διὰ τῶν ἐκθέσεων τῶν εἰρημένων ἁγίων
ἐτελεῖτο· πῶς γὰρ, μήπω γεγονότων; καὶ πάλιν γενομένων, οὐδεὶς
ἂν ἔχοι δεῖξαι, ὡς ἐν τοῖς ἑσπερίοις διὰ τῶν ἐκθέσεων τῶν εἰ-
ρημένων ἁγίων ἐτελεῖτο ἡ μυστικὴ αὕτη θυσία· ἀλλ' οὐδέποτε διτταὶ
λειτουργίαι ἐῤῥέθησαν, διότι μία ἡ διὰ τῶν θείων ῥημάτων, καὶ
τοῦ σκοποῦ, τῆς ὕλης, καὶ τοῦ ἱερέως ὑπηρέτου τάξιν ἔχοντος,
καὶ τῆς ἄνωθεν θείας χάριτος τελουμένη. καὶ γὰρ, ὡς προείρηται,
ὁ σκοπός ἐστιν, ὅτι ὁ κύριος εἶπε· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη-
σιν· ὕλη ὁ ἐκ τοῦ σίτου ἄλευρος ἤτοι ἄρτος, καὶ ὁ οἶνος, καὶ ὕδωρ,
ἐφ' οἷς ὁ κύριος εἶπε· Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι
τὸ αἷμά μου· καὶ ἀεὶ εἰς σῶμα αὐτοῦ ἡ ὕλη αὕτη γίνεται τῇ τοῦ
μεταποιοῦντος αὐτὰ δυνάμει. μία οὖν ἐστιν ἡ θυσία αὕτη, εἰ μόνον
κατὰ τὸν παραδοθέντα ἡμῖν ὑπὸ τοῦ κυρίου ὅρον τε καὶ λόγον
τελεῖται, καθὼς ἐδηλώσαμεν. περὶ δὲ δι' ἐνζύμου ἢ δι' ἀζύμου
ἤδη προαπεδείχθη· καὶ γὰρ ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ ν' ὁμιλίᾳ τοῦ
κατὰ Ματθαῖόν φησι· Πιστεύσατε τοίνυν, ἐκεῖνο καὶ νῦν τὸ δεῖπνόν
ἐστιν, ἐν ᾧ καὶ αὐτὸς ἀνέκειτο· οὐδὲν γὰρ ἐκείνου τοῦτο διενήνοχεν·
οὐδὲ γὰρ τοῦτο μὲν ἄνθρωπος ἐργάζεται, ἐκεῖνο δὲ αὐτός. ἀλλὰ
τὸ περὶ μυστηρίου ἀρκούντως ἐδείχθη. ἐν τοῖς συναξαρίοις δὲ ἡμῶν
περὶ τοῦ μακαρίου Γρηγορίου ἐν τῷ μαρτίῳ μηνὶ καὶ τοῦτο πε-
ριέχεται· Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου, ἐν μέσῳ δὲ τοῦ χοροῦ
τῶν ἀγγέλων γενόμενος· ὁ ὅσιος Γρηγόριος πάσης σοφίας καὶ γραφῆς

ἔμπειρος πολλὰ συγγράμματα καταλέλοιπε. καὶ μετ' ὀλίγα. Οὐ δι' ἀνθρωπίνων συλλογισμῶν καὶ τῆς ἐν λόγοις σοφίας μόνον συντεθέντα, ἀλλὰ διὰ πνεύματος ἁγίου, ὡς μετὰ τὴν αὐτοῦ ἐκ τοῦ βίου ἀνάλυσιν Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι, καὶ οἷον ἐξηγουμένην καὶ προσορμῶσαν πρὸς τοῖς γεγραμμένοις· καὶ μετὰ βραχέα· Φασὶ δὲ, ὅτι ἐπιτελεῖσθαι λειτουργίαν τελείαν παρὰ Ῥωμαίοις ἐν ταῖς νηστίμοις ἡμέραις οὗτός ἐστιν ὁ νομοθετήσας, ὅπερ κρατεῖτε μέχρι τῆς σήμερον παρ' αὐτοῖς. ἀλλ' οὐ διὰ τοῦτο ἐσχίσθημεν, οὐδὲ διττὰς λειτουργίας ὠνόμασαν οἱ τότε ὄντες· ἀλλ' οὐδ' ἡμεῖς πότε ἐκείνοις ἐνεκαλέσαμεν, ἀλλ' οὐδ' ἡμᾶς ἠνάγκασαν οὕτω ποιεῖν· ταῦτα γὰρ τὴν τῆς πίστεως ἀλήθειαν οὐ παραβλάπτουσιν.

Ὁ ἘΦΕΣΟΥ. Διττὰ δὲ βαπτίσματα, τὸ μὲν διὰ τριτῆς καταδύσεως τελειοῦν, τὸ δὲ δι' ἐπιχύσεως ὕδατος ἐκ κορυφῆς ἄνωθεν· καὶ τὸ μὲν τῷ μύρῳ προσχρώμενον, τὸ δ' οὐδ' ὁτιοῦν αὐτοῦ χρείαν ἔχον.

ἈΠΟΛΟΓ. Βαπτίσματα δὲ διττὰ οὐδέποτε ἐῤῥέθησαν· ἓν γάρ ἐστι τὸ θεῖον βάπτισμα τὸ εἰς τὸ ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· καὶ ὁ οὕτω βαπτιζόμενος τέλειός ἐστι Χριστιανός· δηλοῖ δὲ διὰ μὲν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὰς τρεῖς θεαρχικὰς ὑποστάσεις· διὰ δὲ τοῦ κοινοῦ ὀνόματος, τὸ ἓν τῆς οὐσίας καὶ ταὐτὸν, καὶ τὸ ἐν τρισὶν ὑποστάσεσιν ἴσον τε καὶ ἀχώριστον καὶ ὁμοδύναμον· Καὶ ὅστις οὕτω βαπτίζεται, οὐκ ἀναβαπτίζεται, εἰ δὲ μετὰ προσθήκης ἢ ἐλλείψεως βαπτίζεται, τοῦτο οὐ βάπτισμα λέγεται οὔτε ἐστί. τὸ γὰρ βάπτισμα κυρίως μὲν ἐκ θεοῦ, οὕτω γὰρ καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῷ κατὰ Ματθαῖον ἐν τῇ πεντηκοστῇ ὁμιλίᾳ φησίν· Ὑπηρέτης γάρ ἐστιν ὁ ἱερεύς· ὥσπερ γὰρ ὅταν βαπτίζῃ, οὐκ αὐτός σε βαπτίζει, ἀλλ' ὁ θεός ἐστιν ὁ κατέχων σου τὴν κεφαλὴν ἀοράτῳ δυνάμει, καὶ οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, οὔτε ἄλλος τις δύναται προσελθεῖν καὶ ἅψασθαι, οὕτω καὶ νῦν. ὅταν γὰρ ὁ θεὸς ἀναγεννᾷ, αὐτοῦ μόνου ἐστὶν ἡ δωρεά. Ἐπεὶ οὖν αὐτός ἐστιν ὁ βαπτίζων θεὸς καὶ κατέχων τὴν κεφαλὴν τοῦ βαπτιζομένου, ὡς φησιν ὁ ἅγιος, πῶς αὐτὸς φάσκει, ὅτι δύο βαπτίσματά εἰσι; πόθεν τοῦτο λαβὼν ἔχει, τοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύ-

μάτος βαπτιζομένους μὴ εἶναι τελείους Χριστιανούς; Ὅτι μὲν ἀναγκαῖόν ἐστι * καὶ τὸ διὰ τριῶν καταδύσεων φανερόν· οὕτω γὰρ καὶ ὑπὸ τῶν ἁγίων παρεδόθη, ὡς τὴν τριήμερον τοῦ κυρίου ταφὴν εἰκονίζον· οὕτως ἐστὶ παραδεδομένον, καὶ τὰ τακτικὰ τῶν Λατίνων οὕτω λέγουσι. τὸ ἀναγκαῖον οὖν καὶ ἀπαραίτητόν ἐστιν ἡ ἀποταγὴ τοῦ σατανᾶ, καὶ τῆς πομπῆς αὐτοῦ καὶ τῆς λατρείας καὶ τῶν ἔργων αὐτοῦ, καὶ συνταγὴ εἰς τὸν Χριστὸν, καὶ ἡ ὁμολογία τῆς πίστεως, καὶ ἡ μετ' εὐχῆς τοῦ ἐλαίου χρίσις, ἅπερ καὶ Λατῖνοι ποιοῦσιν ἀπαραιτήτως. ἀλλ' οὐδ' ἡμεῖς καταδύομεν τὰ νήπια μέχρις ὅλης κορυφῆς, διότι οὐ δυνάμεθα παραγγέλλειν αὐτοῖς φυλάττειν τὴν εἰσπνοὴν καὶ ἐκπνοὴν τῆς ῥινὸς, ἵνα ταύτης φυλαττομένης καὶ ἡ δι' ὤτων τοῦ ἱεροῦ ὕδατος εἴσοδος φυλάττηται· ἀλλ' οὐδὲ τὸ στόμα τοῦ νηπίου κλείειν δυνάμεθα. ἀλλ' ἐμβάλλομεν αὐτὰ εἰς τὴν κολυμβήθραν, ὡς πάνυ ἀναγκαῖον καὶ παραδεδομένον, οἱονεὶ τῆς κολυμβήθρας μήτραν εἰκονιζούσης, καὶ τὴν ἀναγέννησιν διὰ τούτου δηλούσης· καὶ ἵνα μὴ ἡ κεφαλὴ, ἔνθα ἡ τῶν αἰσθήσεων ξυνωρὶς καὶ τὸ τῆς ψυχῆς ὄχημα, ἄμοιρος γένηται τοῦ θείου βαπτίσματος, ὑποκοιλαίνοντες τὴν χεῖρα, καὶ ταύτην ἐκ τοῦ ἁγίου ὕδατος ἐμπλήσαντες, ἐπιχέομεν ἐπάνω αὐτῆς, τὸ θεῖον ἐκφωνοῦντες ὄνομα, καὶ ἑκάστης ὑποστάσεως ἰδίωμα. Καὶ ὁ ἅγιος δὲ Ἀπολλώνιος ὀνειδισθεὶς παρὰ τοῦ τυράννου, ὡς ἀβάπτιστος εἴη καὶ οὐκ ἔστι Χριστιανός· στὰς εἰς προσευχὴν, ὁ θεὸς θέλων πληροφορῆσαι αὐτὸν τὴν δέησιν αὐτοῦ οὐ παρεῖδεν, ἀλλὰ νεφέλην πέμψας δρόσον κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· εἰ οὖν τὸ χεόμενον ἐπὶ κεφαλῆς οὐ βάπτισμα, οὐκ ἂν οὕτως γέγονεν, ἀλλ' ἑτέρῳ τρόπῳ· Ἀλλὰ τί χρὴ λέγειν πολλὰ περὶ τούτου; καὶ οὗτος ὁ τίμιος ἀνὴρ ἓν οἶδε τὸ βάπτισμα τό τε ἡμέτερον καὶ τὸ τῶν Λατίνων, καὶ οὐ δύο· καὶ γὰρ τρόφιμος ὢν τῆς ἐκκλησίας οὐδέποτε εἶδε παρ' ἡμῶν τοὺς Λατίνους ἀναβαπτιζομένους· ὅμως ὑπὸ ἀηδίας κινούμενος ταῦτα λέγει, καὶ οὐ χρὴ τὰ ὑπὸ ἀηδίας λεγόμενα πολυπραγμονεῖν. ἀλλὰ καὶ τῷ μύρῳ τοὺς βαπτιζομένους οἱ Λατῖνοι χρίουσι, καὶ ὡς ἡμεῖς ἓν τῶν ἑπτὰ μυστηρίων τῆς ἐκκλησίας τὴν τελετὴν τοῦ μύρου λέγουσι· χρίουσι δὲ τοῦτο, ὅταν τελείας ἡλικίας ἐπιλάβωνται οἱ ἄνθρωποι, ἡνίκα καὶ ἀκοῦσαί τι μυστικὸν καὶ ἀποκρίνασθαι δυνατὸν, κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον.

* ἀνάγκην νοεῖ τὴν κατὰ τὸ ἔθος τῆς ἐκκλησίας, οὐχὶ καθ' ἣν οὐκ ἔστιν ἄλλως γενέσθαι.

Ὁ ἘΦΕΣΟΥ. Διττὰ δὲ τὰ ἔθη πάντα καὶ ἐν πᾶσι παρηλλαγμένα νηστεῖαί τε καὶ ἐκκλησιαστικαὶ τάξεις, καὶ εἴ τι τοιοῦτον. τίς οὖν ἡ ἕνωσις, ὅταν μὴ φανερὸν καὶ ἐπίδηλον σημεῖον ἔχῃ, καὶ πῶς ἠνώθησαν οἱ τὰ οἰκεῖα στέργειν βουλόμενοι; τοῦτο γάρ που καὶ συνεφώνησαν καὶ μὴ τοῖς ἐκ τῶν πατέρων παραδιδομένοις ἀκολουθοῦντες.

ἈΠΟΛΟΓ. Οὐκ οἶδεν οὖν, ὡς ἔοικεν, ὁ τίμιος οὗτος, ὅτι καὶ ἐν ταύτῃ τῇ μεγαλοπόλει διάφορα ἔθη εἰσὶ, νηστεῖαί τε καὶ ἐκκλησιαστικαὶ τάξεις παρηλλαγμέναι. καὶ γὰρ οἱ μὲν ἀπὸ τῆς ιδ' τοῦ νοεμβρίου ἄρχονται νηστεύειν τὸ τεσσαρακονθήμερον· οἱ δὲ ἀπὸ τῆς ἕκτης τοῦ δεκεμβρίου. οἱ δὲ ἀπὸ τῆς κ'. καὶ ἕτεροι δὲ ἀπ' ἀρχῆς τοῦ μαΐου διὰ τὴν ἑορτὴν τῆς Χριστοῦ ἀναλήψεως· καὶ ἄλλοι ἄλλας νηστείας. καὶ οἱ μὲν τὰ σάββατα καὶ τὰς κυριακὰς τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς ἰχθύας ἐσθίουσιν, ἕτεροι δὲ καὶ ἄλλας ἡμέρας, ἄλλοι δὲ τούτων ἀπέχονται· τί οὖν; ἀσυμφώνους καὶ περὶ δὲ τὴν πίστιν ἐροῦμεν; ὁμοίως καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς τάξεσι διαφορὰν ἔστιν εὑρεῖν· καὶ γὰρ ἡ καθολικὴ ἐκκλησία ἐν ταῖς ψαλμῳδίαις ἄλλην τάξιν ἔχει, καὶ ἄλλην αἱ μεγάλαι μοναὶ, καὶ ἄλλην τὰ ἡσυχαστήρια, καὶ ἄλλην αἱ κοσμικαὶ ἐκκλησίαι. καὶ οἱ Ταβεννησιῶται δὲ ἐν τῇ αὐτῇ καὶ μιᾷ μονῇ διαφόρους νηστείας καὶ διαφόρους ψαλμῳδίας ἐπετέλουν· καὶ οἱ μὲν αὐτῶν διὰ δύο ἡμερῶν ἐνήστευον, οἱ δὲ δι' ἑβδομάδος· καὶ οἱ μὲν ἀφ' ἑσπέρας, οἱ δὲ ἀπὸ μέσης νυκτὸς τὴν ὑμνῳδίαν ἐπετέλουν· ὁμοίως καὶ ἐν τῇ τῶν Ἀκοιμήτων μονῇ. καὶ ὁ ἅγιος δὲ Συμεὼν ὁ στυλίτης τεσσαράκοντα ἡμερῶν νηστεῖαν ἐπετέλεσε μηδοτιοῦν γευσάμενος, ὁμοίως καὶ Δανιὴλ ὁ ὅσιος, ἀλλ' οὐδεὶς ταῦτα ἐνεκάλεσέ ποτε μέχρι καὶ τήμερον· καὶ τοῦ κανόνος δὲ λέγοντος, τὰς παρασκευὰς πάσας νηστεύειν, ἡμεῖς καταλύομεν, ὅσας δῆτα καταλύομεν, Λατῖνοι δὲ πάσας νηστεύουσιν, εἰ μὴ τῶν Χριστουγέννων ἡμέρα τύχῃ· καὶ πάλιν τοῦ κανόνος λέγοντος τὰ σάββατα μὴ νηστεύειν, Σωκράτης δὲ πρὸ τῆς τρίτης συνόδου ὢν, φησίν· Ἐν τοῖς ἑσπερίοις τὰ σάββατα νηστεύουσιν· ἀλλ' οἱ τῷ τότε ὄντες τοῦτο οὐκ ἐνεκάλεσαν. ᾔδεισαν γὰρ, ὅτι τὸ διάφορον τῶν νηστειῶν καὶ τῶν ἐθῶν διαφορὰν πίστεως οὐκ εἰσάγει. θαυμάσειε δ' ἄν τις τοῦτον, πῶς καὶ τὸ διάφορον τῆς γλώττης καὶ τὸ τῶν ἐνδυμάτων οὐκ ἐνεκάλεσεν· ἢ πῶς ἐκεῖνοι τὸ γόνυ κλίνοντες προσκυνοῦσι καὶ προσεύχονται

κατὰ τὴν ἀρχαίαν τάξιν, ἡμεῖς δὲ οὐχ οὕτως· ἀλλ' οἶμαι τό· Καὶ εἴ τι τοιοῦτον, οὕτω δηλοῦντός ἐστιν, ὃ καὶ παράδοξον εἶναι δοκεῖ.

Ὁ ἘΦΕΣΟΥ. Ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος; οὐδέποτέ φησιν ἡ τῶν Γραικῶν ἐκκλησία τὸ, ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι, ἔλεγεν, ἀλλ' ἁπλῶς, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι· τοῦτο δὲ τὸν υἱὸν οὐκ ἐκβάλλει τῆς ἐκπορεύσεως· ὥστε κατὰ τοῦτο καὶ πρότερον ἦμεν καὶ νῦν ἐσμεν ἡνωμένοι. φεῦ τῆς ἀνοίας, φεῦ τῆς τυφλώσεως. εἰ δὲ ἀεὶ ἡ τῶν Γραικῶν ἐκκλησία τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι ἔλεγεν, ἐξ αὐτοῦ Χριστοῦ καὶ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν ἐν ταῖς συνόδοις πατέρων παραλαβοῦσα, τὸ δὲ ἐκ τοῦ υἱοῦ οὐδέποτε ἔλεγεν, οὐδὲ γὰρ παρέλαβε τοῦτο παρ' οὐδενὸς, τί γε ἄλλο, ἢ τὸ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι ἔλεγεν; εἰ γὰρ οὐκ ἐκ τοῦ υἱοῦ, δῆλον ὡς ἐκ μόνου τοῦ πατρός.

ἈΠΟΛΟΓ. Ὅτι δὲ ἡ τῶν Γραικῶν ἐκκλησία τὸ ἐκ μόνου οὐκ ἐκήρυττεν, οὐδὲ κηρύττει, φανερόν ἐστι, διότι τὸ ἐκ μόνου τὸ δι' υἱοῦ ἀναιρεῖ. ταῖς πατρικαῖς οὖν παραδόσεσιν ἑπομένη, καὶ τῶν ἁγίων ἀκροωμένη λεγόντων, δι' υἱοῦ καὶ ἐξ υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι πνεῦμα, καὶ τὴν ὀρθοδοξίαν ἀσπαζομένη, πῶς ἂν τὸ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον ἐφρόνει; τὸ γὰρ ἐκ τοῦ πατρὸς οὐ τὸ μόνον δηλοῖ, διότι ὁ πατέρα λέγων καὶ υἱὸν συννοεῖ. φησὶ γὰρ ὁ μέγας Βασίλειος εἰς τὰ ἀντιλεγόμενα περὶ τοῦ υἱοῦ ἐν τῇ καινῇ καὶ παλαιᾷ διαθήκῃ, ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή· Εἰ φύσει θεὸς ὁ υἱός· Πατέρα δὲ εἰπεῖν ἀδύνατον μὴ ὄντος υἱοῦ καὶ ὁ εἰπὼν πατέρα, οὐχ ἁπλῶς λέγει πατέρα, ἀλλὰ τινός· Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς πρὸς Ἀμφιλόχιόν φησι· Παρασιωπήσας τοίνυν ὡς ὁμολογούμενον τὸ ἑαυτοῦ πρόσωπον ὁ κύριος, εἰδέναι τὸν πατέρα μόνον φησὶ, τὴν τοῦ πατρὸς γνῶσιν κατὰ τὸ σιωπώμενον καὶ ἑαυτοῦ εἶναι λέγων· καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν τῷ λόγῳ, οὗ ἡ ἐπιγραφή· Ὅτι ἡ ἐν Νικαίᾳ σύνοδος ἐφωρακυῖα τὴν πανουργίαν· ἡ δὲ ἀρχὴ τοῦ λόγου· Καλῶς ἐποιήσας· οὕτω φησί· Καὶ τὸ τοῦ πατρὸς ὄνομα λέγοντες, ἐπιγινώσκομεν ἐκ τοῦ ὀνόματος τούτου καὶ τὸν ἐν πατρὶ λόγον. ἆρα οὐκ ἀληθῶς λέγουσιν, ὅτι τὸ τοῦ πατρὸς ὄνομα ἐκβάλλει τὸν υἱὸν, ἀλλὰ μᾶλλον καὶ συνεισάγει. Ὅτι δὲ τὸ δι' υἱοῦ ἀναιρεῖ τὸ ἐκ μόνου, ἄκουσον τῶν ἱερῶν πατέρων τοῦτο κηρυττόντων. φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος

ἐν τῷ λόγῳ, ὃς ἐπιγέγραπται Ἔλεγχος ὑποκρίσεως τῶν περὶ Μελίτιον καὶ Εὐσέβιον· οὗ ἡ ἀρχή· Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονεν· Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς ὂν ἐκ Θεοῦ δι' υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν· Ἔτι ὁ αὐτὸς ἐν ᾗ ἐκτίθεται διαλέξει ὀρθοδόξου καὶ Μακεδονιανοῦ· Ἐὰν οὖν δειχθῇ τῆς αὐτῆς εἶναι φύσεως καὶ θεότητος τῷ υἱῷ καὶ τῷ πατρὶ τὸ πνεῦμα τὸ ἐξ αὐτοῦ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκχυθὲν, καὶ προσκυνητὸν καὶ λατρευτὸν ἀποδειχθήσεται. Καὶ ὁ μέγας Βασίλειος ἐν τῷ κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή· Εἰ μὴ τὸ πνεῦμα ἐκ Θεοῦ λέγοι τις, οὐδὲ τὸν λόγον· φησί· Πῶς ἂν οὖν χωρίζοιτο τὰ ἀχώριστα, λόγος Θεοῦ, καὶ πνεῦμα ἐκ Θεοῦ δι' υἱοῦ; Καὶ ὁ Δαμασκηνὸς Ἰωάννης ἐν τῷ ιγ' κεφαλαίῳ φησί· Τὸ δὲ πνεῦμα τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρός ἐστι δι' υἱοῦ ἐκπορευομένη ὡς οἶδε. Καὶ τί δεῖ τοὺς κατὰ μέρος ἁγίους τοῦτο κηρύττοντας ἀπαριθμεῖν, αὐτῆς τῆς ἁγίας οἰκουμενικῆς ἑβδόμης συνόδου τοῦτο λεγούσης; καὶ γὰρ αὐτὴ διὰ Ταρασίου τοῦ πατριάρχου φησί· Πιστεύω καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν ὄν τε καὶ γνωριζόμενον. εἰ δέ τινες τὸ δι' υἱοῦ τὸ μετὰ τοῦ υἱοῦ ἢ σὺν τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι λέγουσιν, οὐ καλῶς τοῦτο ἐννοοῦσι. φησὶ γὰρ ὁ θεῖος Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, ἧς ἡ ἀρχή· Τὰ γράμματα τῆς σῆς ἱερᾶς διαθέσεως· ἐν τῷ Χριστῷ ἦν τὸ πνεῦμα, ὥσπερ ὁ υἱὸς ἐν τῷ πατρί· καὶ πάλιν ἐν τῇ αὐτῇ· Ἡ ἁγία καὶ μακαρία τριὰς ἀδιαίρετος καὶ ἡνωμένη πρὸς ἑαυτήν ἐστι, καὶ λεγομένου τοῦ πατρὸς πρόσεστι καὶ ὁ τούτου Λόγος καὶ τὸ ἐν τῷ υἱῷ πνεῦμα. καὶ πάλιν ἐν ἑτέρᾳ ἐπιστολῇ πρὸς τὸν αὐτὸν, ἧς ἡ ἀρχή· Ἴσως θαυμάσεις· φησίν· Οὐ γὰρ ἐκτός ἐστι τοῦ λόγου τὸ πνεῦμα, ἀλλ' ἐν τῷ λόγῳ ὂν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστιν. Ὅθεν δείκνυται, ὅτι τὸ μετὰ τοῦ υἱοῦ ἢ σὺν τῷ υἱῷ τὸ πνεῦμα ἐκπορεύεσθαι, οὐ συμφωνεῖ μετὰ τῶν προειρημένων καὶ τῶν λοιπῶν τῶν ὡσαύτως λεγόντων, ἃ διὰ τὸ πλῆθος παρήκαμεν. καὶ ἄλλως ὁ τρόπος οὗτος ἑνώσεως μᾶλλόν ἐστι καὶ οὐ διακρίσεως· διὰ ταῦτο οἱ θεολόγοι τῆς ἐκκλησίας οὐ λέγουσιν οὐδὲ νοοῦσι τοῦτο οὕτως, ἀλλὰ τὴν προειρημένην διάκρισιν ἀποδιδόασι, καὶ μάλιστα τὴν Διὰ μετὰ τῆς Ἐκ

οἴδασι συμφωνεῖν, καὶ αἰτίαν ταύτην νομίζειν ἐξ ἅπαντος, ὥς φησιν
ὁ θεῖος Χρυσόστομος ἐν τῷ κατὰ Ματθαῖον ἐν νθ΄ ὁμιλίᾳ· Οὐδὲ
γὰρ τὸ δι' υἱοῦ τὸ ὑφ' οὗ λέγειν ἡ γραφή· ὡς ὅταν λέγῃ· Ἐκτη-
* Γεν. 4, 1. σάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· * οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ
πρῶτον τιθεῖσα. καὶ πάλιν· Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις
* Γεν. 40, 8. αὐτῶν ἐστι; * καί· Πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς διακονίαν.*
* Κορ. α΄. 1, 9. Ὁρᾷς τό· Δι' υἱοῦ, πῶς αἰτίαν σημαίνει προφανῶς καὶ ἀναντιῤ-
ῥήτως; ἀλλ' ἵνα καὶ ἔτι βεβαιότερον δειχθῇ, ὅτι ἀντιμεθίσταται
ἡ Διὰ τῇ Ἐκ, καὶ αἰτίαν σημαίνει, τῶν λοιπῶν ἁγίων ἀκούσωμεν.
φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν τῷ οὑτωσί πως ἐπιγραφομένῳ περὶ
τοῦ ἁγίου πνεύματος κεφαλαιώδει λόγῳ κεφ. ε΄. οὗ ἡ ἀρχή· Τὰ
μὲν δὴ ἐκείνων τοιαῦτα, ἡμεῖς δὲ δείξομεν ὃ προϊθέμεθα· Ἤδη
δὲ καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθί-
στανται ἡ Διὰ καὶ ἡ Ἐκ, ὅταν ἑτέρα τῆς ἑτέρας σημασίαν ἀντιλαμ-
βάνῃ· οἷον· Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. καὶ ἑτέρωθι· Ὅσα
ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ προστάγματος κυρίου. καὶ πά-
λιν· Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν; ἀντὶ τοῦ ἐκ τοῦ
θεοῦ εἰπεῖν, διὰ τοῦ θεοῦ εἴρηκεν. Ὁ δὲ ἅγιος Κύριλλος ἐν τῇ πρὸς
Νεστόριον ἐπιστολῇ, ἧς ἡ ἀρχή· Καταφλυαροῦσι μὲν, ὡς μανθάνω,
τινὲς τῆς ἐμῆς ὑπολήψεως· φησίν· Ἐπειδὴ σάρκα λαβὼν κεχρημά-
τικε καὶ υἱὸς ἀνθρώπου, ἀναγκαῖον ὁμολογεῖν, ὅτι γεγέννηται κατὰ
σάρκα διὰ γυναικός. καὶ μετὰ βραχέα· Ὁ ἐκ θεοῦ πατρὸς λόγος
ἐκ τῆς ἁγίας παρθένου ἐστί. καὶ παρακατιών· Γεγέννηται καθ'
ἡμᾶς ἐκ γυναικός· καὶ μετ' ὀλίγα· Ὁ ἐκ θεοῦ πατρὸς λόγος ἐν
μορφῇ τοῦ γεγεννηκότος ὑπάρχων κατῴκησεν ἐν ἀνθρώπῳ γεννηθέντι
διὰ γυναικός. Ἐπεὶ οὖν ἀντιμεθίσταται ἡ Διὰ τῇ Ἐκ, λέγουσι δὲ
οἱ δυτικοὶ πατέρες καὶ ἐκ τοῦ υἱοῦ, οἱ δὲ ἀνατολικοὶ διὰ τοῦ
υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ, οὐ δίκαιόν ἐστι τούτους παριδόντας, τὴν Διὰ
ἀντὶ τῆς Μετὰ καὶ ἀντὶ τῆς Σὺν ἐννοεῖν· τὸ γὰρ σὺν τῷ υἱῷ ἐκ-
πορευόμενον, ἢ μετὰ τοῦ υἱοῦ ἐκπορευόμενον, οὐδεὶς τῶν ἁγίων εἴ-
ρηκε· διότι, ὡς καὶ προείρηται, ὁ τρόπος οὗτος ἑνώσεως μᾶλλόν
ἐστι καὶ οὐ διακρίσεως. διὰ τοῦτο καὶ τὴν διάκρισιν ταύτην εἰδότες
οἱ καλῶς ἐπιστάμενοι τὰ τοῦ πνεύματος λέγειν, οὐ μετὰ τοῦ υἱοῦ
ἢ σὺν τῷ υἱῷ τὸ πνεῦμα ἐκπορεύεσθαι ἔφησαν· εἰ γὰρ τοῦτο ἔγνωσαν,
οὐκ ἂν ὁ μέγας Ἀθανάσιος ἡ πηγὴ τῆς θεολογίας ἐν τῷ κατὰ

Ἀρειανῶν τετάρτῳ λόγῳ ἔλεγεν· Οὐ τὸ πνεῦμα συνάπτει τὸν λόγον τῷ πατρὶ, ἀλλὰ μᾶλλον τὸ πνεῦμα παρὰ τοῦ λόγου τοῦτο λαμβάνει. καὶ ἐν τῇ πρὸς Σεραπίωνα· Ἐν Χριστῷ ἦν τὸ πνεῦμα, ὥσπερ ὁ υἱὸς ἐν τῷ πατρί. καί· Τοιαύτην φύσιν καὶ τάξιν ἔχει τὸ πνεῦμα πρὸς τὸν υἱὸν, οἵαν ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα. Καὶ Βασίλειος δὲ ὁ μέγας ὁ τῆς θεολογίας βυθὸς ἐν ιζ' τῶν πρὸς Ἀμφιλόχιον οὕτω φάσκει· Ὡς τοίνυν ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, οὕτω καὶ πρὸς τὸν υἱὸν τὸ πνεῦμα κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ λόγου σύνταξιν· εἰ δὲ τὸ πνεῦμα τῷ υἱῷ συντέτακται, ὁ δὲ υἱὸς τῷ πατρὶ, καὶ τὸ πνεῦμα τῷ πατρὶ δῆλον. καὶ ἔτι Ἀθανάσιος ἐν τῷ λόγῳ τῷ κατὰ πασῶν τῶν αἱρέσεων, οὗ ἡ ἀρχή· Τὸ προκείμενον ἀπὸ τοῦ εὐαγγελίου· φησίν· Ὁμοίως καὶ ὁ μέγας Παῦλος· Ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον Ἀββᾶ ὁ πατήρ.* καὶ αὐτὸς ὁ πατὴρ λέγει διὰ τοῦ μεγάλου προφήτου· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι·* καὶ αὐτὸς ὁ κύριος ἐλθὼν σῶσαι τὸ γένος ἡμῶν τῶν ἀνθρώπων, αὐθεντικῇ φωνῇ εἶπεν· Ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· καί· Ἐγώ εἰμι ἡ ἀλήθεια. καί· Ἐὰν ἀπέλθω πρὸς τὸν πατέρα μου, οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἀλλὰ ἀποστέλλω ὑμῖν τὸν παράκλητον τὸ πνεῦμα τῆς ἀληθείας.* ἰδοὺ τὸ πνεῦμα ἐν τῇ ἀληθείᾳ, ἡ ἀλήθεια ἐν τῷ πατρί· ἰδοὺ ἡ τριὰς ἀδιαίρετος. Οἱ οὖν λέγοντες τὴν Διὰ ἀντὶ τῆς Μετὰ καὶ τῆς Σὺν, οὐ προδήλως ἐναντίως λέγουσι ταῖς τῶν πατέρων θεολογίαις;

* Γαλ. 4, 6.

* Ἰωήλ. 2, 28.

* Ἰω. 14, 6. 10. 18. 16, 13.

Ὁ ἘΦΕΣΟΥ. Ὅρα δὲ καὶ ἐπὶ τῆς γεννήσεως, τὸν ἐκ τοῦ πατρός φησι γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· μή τις ἐνταῦθα τὸ ἐκ μόνου προστίθησιν; ἀλλ' οὐδὲν ἧττον νοοῦμεν τοῦτο, καὶ λέγομεν ἡνίκα δεήσῃ· παρ' οὐδενὸς γὰρ ἄλλου γεννᾶσθαι τὸν υἱὸν μεμαθήκαμεν.

ἈΠΟΛΟΓ. Ὅτι μὲν ἐκ μόνου τοῦ πατρὸς τὸν υἱὸν εἶναι καὶ μὴ προσκειμένου ἐν τῷ συμβόλῳ, καὶ αὐτὸς ὁ τίμιος ἀνὴρ ὁμολογεῖ· νοεῖ γὰρ οὕτω καὶ λέγει φησὶν ἡνίκα δεήσῃ. καὶ ἡμεῖς μὴ προσκειμένου ἐν τῷ συμβόλῳ· Καὶ ἐκ τοῦ υἱοῦ, νοοῦμεν τοῦτο καὶ λέγομεν ἡνίκα δεήσῃ· ὡσαύτως καὶ διὰ τοῦ υἱοῦ. διατί; ὥσπερ γὰρ οἱ ἅγιοι ἐκ μόνου τοῦ πατρὸς τὸν υἱὸν λέγουσι, κἂν ἐν τῷ συμβόλῳ οὐ προσκεῖνται, καὶ ἡμεῖς οὕτω κηρύττομεν, οὕτω καὶ τὸ

πνεῦμα τὸ ἅγιον οὐκ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεσθαι λεγόντων, ἀλλ' ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, καὶ μὴ προσκειμένου ἐν τῷ συμβόλῳ, νοοῦμεν καὶ λέγομεν. Ὅτι δὲ τὸ ἐκ μόνου τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι οὐ θεολογοῦσιν οἱ ἅγιοι, τὸ δὲ ἐκ μόνου τοῦ πατρὸς τὸν υἱὸν γεννᾶσθαι λέγουσιν, ἄκουσον· φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν τοῖς ἀντιῤῥητικοῖς, ἐν κεφαλαίῳ οὗ ἡ ἐπιγραφή· Ὅτι οὐ κτίσμα ὁ υἱός· Μονογενὴς ὁ υἱὸς διὰ τὸ μόνος ἐκ μόνου γεννᾶσθαι. Καὶ ὁ θεῖος Ἰωάννης ὁ ἐκ Δαμασκοῦ ἐν τῷ ιγ' τῶν θεολογικῶν φησί· Πατὴρ δὲ μόνου υἱοῦ. καὶ ἐν τῷ περὶ τριάδος τοῦ αὐτοῦ θείου Δαμασκηνοῦ, οὗ ἡ ἀρχή· Πιστεύομεν τοιγαροῦν· φησί· Μονογενὴς δὲ, ὅτι μόνος ἐκ μόνου τοῦ πατρὸς μόνως ἐγεννήθη. Καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ εἰς τὸν Ἡρωνά φησιν· Ἀληθῶς υἱὸν τὸν υἱὸν, ὅτι μόνος καὶ μόνου καὶ μόνως καὶ μόνον, οὐ γὰρ καὶ πατὴρ, καὶ ὅλον υἱὸς καὶ ὅλου καὶ ἀπ' ἀρχῆς. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ περὶ υἱοῦ β' λόγῳ φησί· Μονογενὴς δὲ, οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως οὐχ ὡς τὰ σώματα. Τοῦτο καὶ Μάξιμος μετὰ Ἀνομοίου διαλεγόμενός φησιν· Ἐπειδὴ μόνος ἐκ μόνου. καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῇ ἀποκαλύψει τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ φησίν· Εἷς θεὸς καὶ πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου, τέλειος τελείου, γεννήτωρ υἱοῦ μονογενοῦς· καὶ εἷς κύριος μόνος ἐκ μόνου. καὶ πολλοὺς ἄλλους τῶν ἁγίων εὑρήσεις τοῦτο λέγοντας. Εἰ οὖν ἐκ μόνου τοῦ πατρὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορευόμενον ᾔδεισαν, ἔλεγον ἄν, καὶ ἡμεῖς καὶ μὴ προσκειμένου ἐν τῷ συμβόλῳ ἐκηρύττομεν, ὥσπερ καὶ ἐκ μόνου τοῦ πατρὸς τὸν υἱὸν ἔγνωμεν, καὶ λέγωμεν παρ' αὐτῶν διδαχθέντες· ἀλλ' οὔτε ἐν τῷ συμβόλῳ, οὔτε ἐν τοῖς τῶν ἱερῶν πατέρων συγγράμμασι γέγραπται. ἀλλὰ καὶ ἐρωτώμενοι παρὰ τῶν αἱρετικῶν οἱ ἅγιοι, οὐκ εἶπον ἐκ μόνου. φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου, ἐν ἑνὶ τῶν κεφαλαίων οὗ ἡ ἐπιγραφή· Διατί μὴ υἱὸς τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· Οὐ διὰ τὸ μὴ εἶναι ἐκ θεοῦ δι' υἱοῦ, ἀλλ' ἵνα ἡ τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευθεῖσα. ἀλλὰ λέγεις· Εἰ θεοῦ μὲν εἰκὼν ὁ υἱὸς, υἱοῦ δὲ τὸ πνεῦμα· καὶ εἰ θεοῦ μὲν λόγος ὁ υἱὸς, ῥῆμα δὲ υἱοῦ τὸ πνεῦμα, διατί μὴ υἱὸς τοῦ

υἱοῦ τὸ πνεῦμα εἴρηται; τούτῳ γὰρ ἰσχυροτάτῳ πρὸς τὴν ασέβειαν ἐχρήσω· ἢ γὰρ υἱὸν, ἢ κτίσμα κελεύεις νοεῖν. Ταῦτα καὶ Γρηγόριος ὁ Θεολόγος παρὰ τῶν αἱρετικῶν ἐρωτώμενος, ὡς αὐτός φησιν ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ, οὐδ᾽ αὐτὸς εἶπεν ἐκ μόνου τοῦ πατρός· εἰ γὰρ οἶδεν ἐκ μόνου τοῦ πατρὸς ἐκπορευόμενον τὸ πνεῦμα τὸ ἅγιον, ἔλεγεν ἂν, καὶ λόγων ἀπηλλάγη πολλῶν. καὶ Ἀθανάσιος ὁ πολὺς τὰ θεῖα ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, ἧς ἡ ἀρχή· Ἐνέτυχον καὶ τῇ νῦν γραφείσῃ· ἐπάγει ὡς ἀπὸ τῶν αἱρετικῶν ταῦτα· Εἶτα ἐπιλέγουσιν, ὡς γράφεις, εἰ ἐκ τοῦ υἱοῦ λήψεται τὸ πνεῦμα, καὶ παρ᾽ αὐτοῦ δίδοται· * οὕτω γὰρ γέγραπται· εὐθὺς ἐπάγουσιν· * Ἰω. 15, 26.
Οὐκοῦν πάππος ὁ πατὴρ, καὶ ἔκγονον αὐτοῦ ἐστι τὸ πνεῦμα· εἰ οὖν ἐκ μόνου τοῦ πατρὸς ᾔδεισαν τὸ πνεῦμα εἶναι οἱ ἅγιοι, ἔλεγον ἂν, ὥσπερ καὶ ἐκ μόνου τοῦ πατρὸς τὸν υἱὸν ἐθεολόγησαν· ἀλλ᾽ οὐδαμοῦ τοῦτο εἶπον, καίτοι γε παρὰ τῶν κακοδόξων πολλὰ ἀναγκασθέντες· πόθεν οὖν ὁ τίμιος οὗτος τὸ ἐκ μόνου ἔλαβε καὶ λέγει, οὐ συνορῶμεν· ἔδει γὰρ καὶ τοὺς τοῦτο θεολογοῦντας λέγειν, καὶ μὴ παρασιωπᾶν· πρὸ γὰρ τοῦ σχίσματος οὐδεὶς τῶν ἁγίων τοῦτο εἴρηκεν· διὸ ἀρκεῖν ἡγούμεθα λέγειν καὶ μόνον, ὅτι τὸ μὲν οἱ ἅγιοι λέγουσι, τὸ δὲ οὐ λέγουσι· καὶ ὃ μὲν λέγουσι, καὶ μὴ προσκείμενον ἐν τῷ συμβόλῳ, λέγομεν καὶ πιστεύομεν· ὃ δὲ οὐ λέγουσιν, οὔτε φρονοῦμεν οὔτε κηρύττομεν.

Ὁ ἘΦΕΣΟΥ. Διὰ τοῦτο καὶ ὁ Δαμασκηνὸς Ἰωάννης ἐκ προσώπου τῆς ἐκκλησίας ἁπάσης καὶ τῶν Χριστιανῶν ἁπάντων, ἐκ τοῦ υἱοῦ φησι τὸ πνεῦμα οὐ λέγομεν. εἰ δὲ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν, δῆλον ὡς ἐκ τοῦ πατρὸς μόνου λέγομεν. διὸ καὶ μικρὸν ἀνωτέρω τὸν υἱόν φησιν, οὐ λέγομεν αἴτιον. καὶ ἐν τῷ ἐφεξῆς κεφαλαίῳ· Μόνος αἴτιος ὁ πατήρ.

ἈΠΟΛΟΓ. Εἰ μὲν οὖν ὁ θεῖος Δαμασκηνὸς, ἔνθα τίθησι τὸ Οὐ λέγομεν, τὸ Οὐκ ἔστιν ἐδήλου, καλῶς ἂν εἴχομεν καὶ ἐνταῦθα νοεῖν· εἰ δὲ καὶ ἀλλαχοῦ τίθησι τὸ Οὐ λέγομεν, οὐ διὰ τὸ μὴ εἶναι, ἀλλὰ διὰ τὸ μὴ λέγεσθαι διὰ τοὺς αἱρετικοὺς, πῶς ἐνταῦθα τὸ Οὐ λέγομεν, διὰ τὸ μὴ εἶναι φρονήσομεν; ὅτι δὲ οὕτως ἔχει, ἄκουσον αὐτοῦ οὕτω δηλοῦντος· φησὶ γὰρ ἐν τῷ οζ κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή· Ὅτι θεοτόκος ἡ ἁγία παρθένος· χριστοτόκον οὐ λέγομεν τὴν ἁγίαν παρθένον· καὶ ἐν ἑτέρῳ λόγῳ αὐτοῦ, οὗ ἡ ἐπιγραφή· Ἔπος ἀκριβ-

στατον κατὰ τῆς θεοστυγοῦς αἱρέσεως τῶν Νεστοριανῶν· ἡ ἀρχή· Πρὸς τοὺς Νεστορίου ὁμόφρονας· φησὶ περὶ τὸ τέλος τοῦ λόγου· Διὸ καὶ θεοτόκον τὴν ἁγίαν παρθένον κηρύττομεν, ὡς θεὸν κυρίως καὶ ἀληθῶς ἐξ αὐτῆς σαρκωθέντα γεννήσασαν· χριστοτόκον δὲ αὐτὴν ἴσμεν, Χριστὸν γὰρ ἐγέννησεν, ἀλλ' ἐπειδὴ ἐπ' ἀναιρέσει τῆς θεοτόκου φωνῆς ὁ θεώλης Νεστόριος ταύτῃ κατεχρήσατο, οὐ χριστοτόκον, ἀλλ' ἐκ τοῦ κρείττονος ταύτην θεοτόκον κατονομάζομεν· Ὁρᾷς, ὅπως χριστοτόκον οἶδε μὲν τὴν ἁγίαν παρθένον, οὐ λέγει δὲ, οὐ διὰ τὸ μὴ εἶναι χριστοτόκον, ἀλλὰ διὰ τὸ μὴ λέγεσθαι. οἶδε γὰρ καὶ Γρηγόριον τὸν θεολόγον ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ φάσκοντα· Τῶν πραγμάτων τὰ μὲν οὐκ ἔστι, λέγεται δέ· τὰ δὲ ὄντα οὐ λέγεται· τὰ δὲ οὔτε ἔστι, οὔτε λέγεται· τὰ δὲ ἄμφω καὶ ἔστι καὶ λέγεται· Ὥσπερ γὰρ ἐνταῦθα σαφέστατα ἐδήλωσε, διὰ τὸν Νεστόριον καὶ τοὺς κατ' αὐτὸν χριστοτόκον οὐ λέγομεν, οὐ διὰ τὸ μὴ εἶναι· οὕτω καὶ διὰ τὸν Εὐνόμιον λέγοντα ἐκ μόνου τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα, ἐκ τοῦ υἱοῦ φησι τὸ πνεῦμα οὐ λέγομεν. εἰ γὰρ ᾔδει, ὅτι οὐκ ἔστιν ἔλεγεν ἂν καὶ περὶ τούτου, ὥσπερ λέγει καὶ περὶ τοῦ υἱοῦ, τὸν δὲ υἱὸν οὔτε τοῦ πνεύματος λέγομεν, οὔτε μὴν ἐκ τοῦ πνεύματος· ὡς καὶ ὁ Νύσσης Γρηγόριός φησιν· ὁ δὲ υἱὸς ἐκ τοῦ θεοῦ ὤν, οὐκέτι καὶ τοῦ πνεύματος οὔτε ἔστιν οὔτε λέγεται, οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη. σημείωσαι καὶ ἄλλως· ὅταν γὰρ φησιν, ἐκ τοῦ υἱοῦ οὐ λέγομεν, οὐ μέχρι τούτου ἵσταται, ἀλλ' εὐθὺς συνημμένως ἐπιφέρει, διὰ τοῦ υἱοῦ· φησὶ γὰρ καὶ ἐν τῷ ιγ' τῶν Θεολογικῶν· Τὸ πνεῦμα τὸ ἅγιον πνεῦμα τοῦ πατρὸς ἐκπορευόμενον, οὐδεμία γὰρ ὁρμὴ ἄνευ πνεύματος· καὶ υἱοῦ δὲ πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. οἶδε γὰρ ὁ ἅγιος ἀκριβῶς, ὡς ἐπιστήμων τῆς ἑλληνικῆς σοφίας, ὡς ὅπου ἂν τίθεται ἡ Ἐκ πρόθεσις, ἀνώτερόν τι οὐ ζητεῖ, ἀλλ' ἐκεῖθεν ἔχει τὴν πρώτην ἀρχὴν, κἀκεῖσε ἵστησι τὸν ἀκροατήν· ἡ δὲ Διὰ πρόθεσις ὅπου ἂν τίθεται, ἐξ ἅπαντος ἑτέραν ἐπιζητεῖ τὴν ἀρχοειδῆ καὶ προκαταρκτικήν. τούτου οὖν χάριν τὸ ἐκ τοῦ υἱοῦ ἀπαρνεῖται, τὸ δὲ δι' υἱοῦ καὶ πάνυ τίθεται· ἐκ τοῦ υἱοῦ οὐ λέγομέν φησιν· οὐ γὰρ λέγει, ὅτι καὶ ἐκ τοῦ υἱοῦ οὐ λέγομεν μετὰ τοῦ καὶ συμπλεκτικοῦ συνδέσμου, ἀλλ' ἐκ τοῦ υἱοῦ φησιν οὐ λέγομεν. ὁ γὰρ Καὶ σύνδεσμος καὶ ἄλλο τι ζητεῖ, ὥσπερ καὶ ἡ Διὰ πρόθεσις, καὶ προεπινοούμενον ἔχει τὸν

καὶ σύνδεσμον. ὅρα δὲ τὸ διὰ τοῦ υἱοῦ, ὅπως ἑπόμενος τοῖς λοιποῖς πρὸ αὐτοῦ ἁγίοις λέγει· φησὶ γάρ· Τὸ πνεῦμα τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρός ἐστι δι' υἱοῦ ἐκπορευομένη, ὡς οἶδε. καὶ πάλιν· Αὐτὸς μὲν ἐστι νοῦς, ὁ πατὴρ δῆλον, λόγου ἄβυσσος, λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος. Οἱ γοῦν λέγοντες, ὅτι ἡ Διὰ πρόθεσις ἀντὶ τῆς Μετὰ προθέσεως λαμβάνεται καὶ τῆς Σὺν, νοείτωσαν καὶ λεγέτωσαν καὶ ἐνταῦθα, ὅτι ὁ νοῦς ὁ λόγου ὢν ἄβυσσος, ὁ λόγου γεννήτωρ μετὰ τοῦ λόγου προβάλλει τὸ πνεῦμα, ἢ σὺν τῷ λόγῳ προβάλλει· ἀλλ' οὐ θελήσουσιν, ὡς οἶμαι· καὶ ἐντεῦθεν ἡ μηχανὴ τῆς παρεξηγήσεως ἐλεγχθήσεται. οὐ γὰρ μάτην ὁ ἅγιος, ὅταν τὴν Ἐκ πρόθεσιν ἀρνῆται, ἑπομένως τὴν Διὰ ἐπιφέρει, ἀλλὰ διὰ τὴν προειρημένην αἰτίαν καὶ τὸν Εὐνόμιον καὶ τοὺς κατ' αὐτὸν ἀποσοβῶν, ἐκ μόνου τοῦ υἱοῦ τὸ πνεῦμα λέγοντας· οἶδε γὰρ οὗτος ἐκ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὕτω θεολογεῖ, δῆλον γὰρ ἐκ τῶν προειρημένων, καὶ ἐν οἷς πρὸς κύριον ἐν ὕμνοις ψάλλει· Ἵλεων νέμοις ἡμῖν πνεῦμα μεταδοτικὸν ἀγαθότητος, ἐκ πατρὸς διὰ σοῦ προερχόμενον. οὕτω καὶ ἡμεῖς ὁμολογοῦμεν, ὡς οὐκ ἂν ἐκ τοῦ υἱοῦ προηγουμένως λεχθείη τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ· χρεὼν γὰρ ὁμολογεῖσθαι τὴν πατρικὴν ὑπόστασιν ἀρχὴν καὶ αἰτίαν υἱοῦ καὶ πνεύματος· τὸν δὲ υἱὸν οὐκ ἂν ἀρχικὸν αἴτιον ὁμολογήσαιμεν, οὐδὲ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐροῦμεν, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ μετὰ τὸν πατέρα, μετὰ τοῦ καὶ συμπλεκτικοῦ συνδέσμου. ὁ μὲν γὰρ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα λέγων, ὑποψίαν παρέχει τὸν υἱὸν ἀρχικὸν αἴτιον νοεῖν. διὰ τοῦτο καὶ ὁ θεῖος Ἰωάννης φησίν· Ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν. ὁ δὲ λέγων, τὸ πνεῦμα ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, ἢ ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ, προδήλως ὁμολογεῖ τὸν πατέρα μόνον ἀρχικὸν αἴτιον τῆς τοῦ πνεύματος ἐκπορεύσεως· πάντα γὰρ ὅσα ἔχει ὁ υἱὸς, ἔχει λαβὼν ταῦτα παρὰ τοῦ πατρὸς, οὐσιωδῶς δηλαδὴ καὶ φυσικῶς, ὡς κυρίως υἱὸς ἐκ κυρίως πατρός· μᾶλλον δὲ πάντα ἔχει μετὰ τοῦ πατρὸς, ὡς αὐτὸς ὁ κύριός φησι, καὶ ὡς ὁ Κύριλλος ἐξηγεῖται· φησὶ γὰρ ἐν τῇ ἀπολογίᾳ τῇ πρὸς Θεοδώριτον τοῦ θ' κεφαλαίου, ἧς ἡ ἀρχή· Φθάσας ἔφην, ὅτι τοῖς Νεστορίου βατταρισμοῖς ἤγουν δυσφημίαις· Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρὸς

* Ἰω. 15, 26. τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ σωτῆρος φωνὴν*, ἀλλ' οὐκ ἀλ-
λότριόν ἐστι τοῦ υἱοῦ, πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός· καὶ τοῦτο
αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου πνεύματος· Πάντα ὅσα ἔχει
ὁ πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον· Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ
* Ἰω. 16, 15. ἀναγγελεῖ ὑμῖν.* Καὶ οὕτω νοοῦμεν τὸν ἅγιον Ἰωάννην συμφωνεῖν
μετὰ τῶν λοιπῶν ἁγίων τῶν λεγόντων, καὶ ἐκ τοῦ υἱοῦ, διὰ τοῦ
υἱοῦ, καὶ ἐξ ἀμφοῖν· εἰ δὲ οὐχ ὡς ἀρχικὸν αἴτιον νοοῖμεν τὸν ἅγιον
φρονεῖν καὶ λέγειν, ἐκ τοῦ υἱοῦ δὲ οὐ λέγομεν, ἀλλ' ἁπλῶς καὶ
ἀπολελυμένως, οὔτε πρὸς ἑαυτὸν τὸν ἅγιον συμφωνήσομεν, οὔτε μετὰ
τῶν λοιπῶν ἁγίων· τὸ γάρ· Διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ
πνεύματος· καί· Δεῖ τὸν λόγον καὶ πνεῦμα ἔχειν, ὡς ἐν τῷ ζ τῶν
Θεολογικῶν φησιν, οὐ συγχωρεῖ ὅλως μὴ εἶναι καὶ ἐκ τοῦ υἱοῦ, ἢ
διὰ τοῦ υἱοῦ. τοῦτο δὲ καὶ Κύριλλος ὁ θεῖος παρίστησιν εἰς τό·
* Ἰω. 15, 26. Ὅταν ἔλθῃ ὁ παράκλητος·* φησὶ γάρ· Ὥσπερ γάρ ἐστιν ἴδιον τὸ
πνεῦμα τοῦ υἱοῦ φυσικῶς, ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ
προϊὸν, οὕτω καὶ τοῦ πατρός· οἷς δὲ τὸ πνεῦμα κοινὸν, τούτοις
εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. Τὸ δέ·
Μόνος αἴτιος ὁ πατὴρ, ἐν τοῖς παλαιοτάτοις τῶν βιβλίων οὐχ εὑ-
ρίσκεται· ἀλλ' ἡμεῖς καὶ τοῦτο δεχόμεθα, καὶ καλῶς ἔχειν λέ-
γομεν· καὶ γὰρ πάντα ὅσα ἔχει ὁ υἱὸς, πρὸς τὴν πρώτην αἰτίαν
τὸν πατέρα ἀνάγονται, καθὼς καὶ ὁ μέγας Βασίλειος ἐν τῷ πρὸς
Ἀμφιλόχιον, περὶ τοῦ μὴ ἀγνοεῖν τὴν ἡμέραν τοῦ τέλους τὸν κύ-
ριον, οὕτω φησίν· Οὕτω καὶ οὐδεὶς οἶδε τὴν ἡμέραν τοῦ τέλους, εἰ
μὴ ὁ πατὴρ μόνος, τὴν πρώτην εἴδησιν τῶν τε ὄντων τῶν τε ἐσο-
μένων ἐπὶ τὸν πατέρα ἀνάγοντος τοῦ υἱοῦ, καὶ διὰ πάντων τὴν
πρώτην αἰτίαν τοῖς ἀνθρώποις ὑποδεικνύοντος, εἰρῆσθαι νομίζο-
μεν· καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῇ τῆς εὐαγγελικῆς περικοπῆς
ἐξηγήσει οὕτω φησίν· Ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὴ καὶ ἡ
γνῶσις τῶν μεγίστων ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννή-
τορος. δοκεῖ δέ μοι τις μηδ' ἂν ἐκείνως ἀναγνοὺς, ὡς τῶν καθ'
ἡμᾶς φιλολόγων τις, μικρὸν ἐννοῆσαι; ὅτι οὐδὲ ὁ υἱὸς ἄλλως οἶδε
τὴν ἡμέραν ἢ τὴν ὥραν, ἢ ὡς ὁ πατήρ· τὸ γὰρ συναγόμενον ὁπόθεν;
ἐπειδὴ ὁ πατὴρ γινώσκει, διὰ τοῦτο καὶ ὁ υἱός· ὡς δῆλον, ὅτι
μηδενὶ γνωστὸν τοῦτο μηδὲ ληπτὸν, πλὴν τῆς πρώτης φύσεως. Ἀλλὰ
καὶ τῶν δημιουργημάτων ὁ μέγας Βασίλειος τὴν αἰτίαν, ὧν καὶ ὁ

υἱὸς δημιουργός τε καὶ αἴτιος ὑπάρχει, ἐπὶ τὸν πατέρα ἀναφέρει· φησὶ γὰρ πρὸς τὸν θεὸν καὶ πατέρα ὁ κύριος· καθώς φησι Βασίλειος ὁ μέγας ἐν τῷ η' τῶν πρὸς Ἀμφιλόχιον· Τὰ ἐμὰ πάντα σά ἐστιν, * ὡς ἐπ' αὐτὸν τῆς ἀρχῆς τῶν δημιουργημάτων ἀναγομένης· καὶ τὰ σὰ ἐμὰ, ὡς ἐκεῖθεν αὐτῷ τῆς αἰτίας τοῦ δημιουργεῖν καθηκούσης. ὧν δὲ ἡ δύναμις ἴση, ἴση που πάντως καὶ ἡ ἐνέργεια· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία· * καὶ οὕτω πάντα δι' αὐτοῦ ἐγένετο. * Ὁ αὐτὸς δὲ Βασίλειος μάλα καλῶς παρίστησιν ἐν τοῖς κατ' Εὐνομίου ἀντιῤῥητικοῖς, ἐλέγχων ἐκεῖνον, ὅπως τὴν αἰτίαν μόνον τῷ μονογενεῖ ἐτίθη, ἀφαιρῶν ταύτην ἐκ τοῦ πατρὸς, καὶ ποίημα τοῦ υἱοῦ τὸ πνεῦμα λέγων· ὁ ἅγιος πιστούμενος, ὡς καὶ ὁ πατήρ ἐστιν αἴτιος, καὶ οὐ μόνος ὁ υἱός φησιν· Ἐκεῖνο δὲ τίνι τῶν ἁπάντων ἄδηλον, ὅτι οὐδεμία ἐνέργεια τοῦ υἱοῦ ἀποτετμημένη ἐστὶ τοῦ πατρὸς, οὐδ' ἔστι τι ἐν τοῖς οὖσι τῷ υἱῷ ὑπάρχον, ὃ τοῦ πατρὸς ἠλλοτρίωται; πάντα γάρ φησι τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. πῶς οὖν τοῦ πνεύματος τὴν αἰτίαν τῷ μονογενεῖ μόνῳ προστίθησι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ τὴν τούτου λαμβάνει δημιουργίαν; εἰ μὲν οὖν δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις ταῦτά φησι, μετὰ Μανιχαίου καὶ Μαρκίωνος συντριβήσεται· εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα, τὸ παρὰ τοῦ υἱοῦ γεγενῆσθαι λεγόμενον πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. ὥστε κἂν πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ τοῦ θεοῦ λόγου πιστεύομεν, ἀλλὰ τὸ πάντων αἴτιον εἶναι τὸν θεὸν τῶν ὅλων οὐκ ἀφαιρούμεθα. Καὶ οὕτω νοοῦμεν καὶ πιστεύομεν καὶ τὸν ἱερὸν Μάξιμον πρὸς τὸν πατέρα ἀναφέρειν τὴν αἰτίαν.

* Ἰω. 17, 10.

* Κορ. α'. 1, 24.

* Ἰω. 1, 3.

Ὁ ἘΦΕΣΟΥ. Τί ἔτι; οὐδέποτέ φησι τοὺς Λατίνους ὡς αἱρετικοὺς εἴχομεν, ἀλλὰ μόνον σχισματικούς. τοῦτο μὲν οὖν παρ' αὐτῶν ἐκείνων εἰλήφασι· σχισματικοὺς γὰρ ἡμᾶς ἐκεῖνοι καλοῦσιν, οὐδὲν ἡμῖν ἐγκαλεῖν ἔχοντες περὶ τὴν ἡμετέραν δόξαν, ἀλλ' ὅτι τῆς ὑποταγῆς αὐτῶν ἀπεσχίσθημεν, ἣν ὀφείλομεν, ὡς ἐκεῖνοι νομίζουσιν. εἰ δὲ καὶ ἡμᾶς τοῦτο δίκαιον ἐκείνοις ἀντιχαρίζεσθαι, καὶ οὐδὲν αὐτοῖς ἐγκαλοῦμεν περὶ τὴν δόξαν, σκεπτέον.

ἈΠΟΛΟΓ. Ὅτι μὲν οὖν κἀκεῖνοι σχισματικοὺς ἡμᾶς ἔλεγον, ἀληθές· τί γὰρ ἂν καὶ εἶχον ἡμῖν ἐγκαλεῖν ὀρθοδόξοις οὖσι, κἀκεῖνοι ὀρθόδοξοι ὄντες; * εἰ γὰρ κυρίως κακόδοξοι ὑπῆρχον, οὐ

* Ὀρθοδόξους ἐκείνους λέγει τους Γραικούς, οἷς οὐχὶ τῷ ἀποκλείειν τὸν υἱὸν τῆς προβλητικῆς δυνάμεως, ἀλλὰ διὰ τὸ νομίζειν διαρχίαν ὑπὸ τῶν Λατίνων δογματίζεσθαι, ὕποπτος ἦν ἡ πρὸς ἐκείνους ἕνωσις· ὡς ἔστιν ἰδεῖν ἐν τῷ ὅρῳ τῆς ἐν Φλωρεντίᾳ συνόδου· καὶ οἵτινες ἑτοίμως εἶχον ὑπὸ οἰκουμενικῆς διορθωθῆναι συνόδου.

σχισματικοὺς ἡμᾶς ἐκάλουν ἀλλ' αἱρετικοὺς, διότι πάντες οἱ αἱρετικοὶ τοὺς ὀρθοδόξους αἱρετικοὺς ἀπεκάλουν καὶ οὐ σχισματικούς. καὶ ἡμεῖς δὲ αἱρετικοὺς ἐκείνους οὔτε νομίζομεν οὔτε λέγομεν· εἰ γὰρ αἱρετικοὺς εἴχομεν, οὐκ ἂν ὁ αὐτῶν πάπας μακαριώτατος καὶ ἁγιώτατος καὶ ἄκρος ἀρχιερεὺς παρὰ τῆς ἡμετέρας ἐκκλησίας ἐπιτιτλογραφεῖτο· τοὺς γὰρ κακοδόξους μετὰ τὴν τοσούτου καιροῦ παρέμπτωσιν οὐχ οὕτω γράφουσιν οἱ ὀρθόδοξοι.

'Ο ἘΦΕΣΟΥ. Τὴν μὲν αἰτίαν τοῦ σχίσματος ἐκεῖνοι δεδώκασι, τὴν προσθήκην ἐξενεγκόντες ἀναφανδὸν, ἣν ὑπ' ὀδόντα πρότερον ἔλεγον. ἡμεῖς δὲ αὐτῶν ἐσχίσθημεν πρότερον, μᾶλλον δὲ ἐσχίσαμεν αὐτοὺς καὶ ἀπεκόψαμεν τοῦ κοινοῦ τῆς ἐκκλησίας σώματος.

'ΑΠΟΛΟΓ. Ὅτι μὲν τὴν αἰτίαν τοῦ σχίσματος ἐκεῖνοι δεδώκασι διὰ τῆς ἐν τῷ συμβόλῳ προσθήκης, δῆλον· * οὐχ ὅτι ταύτην ὑπ' ὀδόντα ἔλεγον· μαρτυρήσει γὰρ καὶ αὐτὸς τὴν φωνὴν ταύτην προϊόντος τοῦ λόγου τὴν Ἐκ τοῦ υἱοῦ, ὅτι οἱ τῆς ἑσπέρας ἅγιοι ἔλεγον. τὸν γὰρ νοῦν ἴσως καὶ αὐτὸς ἀρνήσεται, καὶ ἄλλως νοήσει, ὥσπερ δὴ καὶ νοεῖ· τὴν δὲ λέξιν αὐτὴν τὴν Καὶ ἐκ τοῦ υἱοῦ, οὐ δυνηθείη ἀρνήσασθαι· ἐπεὶ καὶ τὸν ἅγιον Μάξιμον εἰσάγει μάρτυρα διὰ τὸν σκοπὸν, ὃν βούλεται συστῆσαι, καὶ μέρος τῆς ἐπιστολῆς αὐτοῦ τίθησιν, εἰ καὶ τὸ διὰ τοῦ υἱοῦ παρατρέχει. πῶς οὖν ὑπ' ὀδόντα ἔλεγον, ἣν παρὰ τῶν ἁγίων παρέλαβον; ἀλλ' ὅτι μόνοι τὰ κοινὰ βουλόμενοι ποιεῖν, αἱ λοιπαὶ ἐκκλησίαι οὐ κατεδέξαντο. διὸ καὶ τοὺς τὰ κοινὰ βουλομένους ποιεῖν καὶ μόνους κατελίπομεν καὶ μέχρι παντὸς ἂν μόνους κατελίπομεν, εἰ μὴ κατεδέξαντο ὑπὸ οἰκουμενικῆς συνόδου κατὰ τὴν ἀρχαίαν τάξιν τὰ κοινὰ ἐξετάζεσθαι καὶ κανονίζεσθαι, ὅπερ καὶ νῦν γέγονε.

'Ο ἘΦΕΣΟΥ. Διατί εἰπέ μοι; πότερον ὡς ὀρθὴν ἔχοντας δόξαν ἢ ὀρθῶς τὴν προσθήκην ἐξενεγκόντας; καὶ τίς ἂν τοῦτο εἴποι μὴ σφόδρα τὸν ἐγκέφαλον διασεσεισμένος; ἀλλ' ὡς ἄτοπα καὶ δυσσεβῆ φρονοῦντας, καὶ παραλόγως τὴν προσθήκην ποιήσαντας. οὐκοῦν ὡς αἱρετικοὺς αὐτοὺς ἀπεστράφημεν, καὶ διὰ τοῦτο αὐτῶν ἐχωρίσθημεν· διατί γὰρ ἄλλο; φασὶ γὰρ οἱ φιλευσεβεῖς νόμοι· Αἱρετικός ἐστι, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν νόμοις ὑπόκειται ὁ καὶ μικρὸν γοῦν τι παρεκκλίνων τῆς ὀρθῆς πίστεως.

'ΑΠΟΛΟΓ. Διὰ τὴν προειρημένην αἰτίαν καὶ μόνην, καθ' ἣν

* Ἡ ἐν τῷ συμβόλῳ καλουμένη προσθήκη παρὰ Λατίνων ἐλέγετο καθ' ὃν ἦν χρόνον ὁ Φώτιος, ὡς αὐτὸς ἐκεῖνος μαρτυρεῖ ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ ἐπιστολῇ, καὶ ἐν ἄλλοις, ὅπου κατὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας γράφει. δῆλον οὖν ὡς οὐ γέγονεν ἡ προσθήκη αἰτία τοῦ σχίσματος, εἴπερ λεγομένης τῆς προσθήκης οἱ μετὰ τὸν Φώτιον οὐκ ἐσχίζοντο. Δῆλον δὲ κἀκεῖνο, ὡς καὶ πᾶσιν ἐν ἄλλαις πρὸ τῆς ἐν Φλωρεντίᾳ συνόδοις οἰκουμενικαῖς σπουδὴ γέγονε περὶ ἑνώσεως, ὑφ' ὧν καὶ τὸ περὶ τῆς ἐκπορεύσεως δόγμα λαμπρῶς ἐξητάσθη.

οἱ κατ' αὐτῶν συγγράφοντές ἔλεγον τὰ ἀπὸ τῆς προσθήκης ὑπονοούμενα ἄτοπα ἐγκαλοῦντες, καὶ τὸ ἐκ τοῦ υἱοῦ ὁμολογοῦντες μὲν εἶναι τῶν πατέρων φωνὴν, τὴν δὲ ἔννοιαν ἀρνούμενοι, καὶ ὡς εἰς δύο ἀρχὰς, ἢ συναλοιφὴν τὴν φωνὴν ἐνάγοντες. καίτοι γε εἰ τοῦτο ἦν, οὐ πρὸς αὐτοὺς τὸ ἔγκλημα, ἀλλὰ πρὸς τοὺς ἁγίους πατέρας τοὺς ταύτην τὴν φωνὴν πρώτως εἰπόντας· αὐτοὶ δὲ τὰ ἐκ τῆς φωνῆς ταύτης ὑπονοούμενα ἄτοπα τῷ ἀναθέματι καθυποβάλουσι. διὸ οὐδὲ διασεσειμένοι ὅλως τὸν ἐγκέφαλον, ὡς αὐτὸς ἡμᾶς διαλοιδορεῖ· ἀλλ' οὐδ' ὡς ἄτοπα καὶ δυσσεβῆ κηρύττοντας αὐτοὺς ἀπεστράφημεν· εἰ γὰρ ἄτοπα καὶ δυσσεβῆ ἐκήρυττεν, οὐκ ἂν ἡ καθ' ἡμᾶς ἐκκλησία τε καὶ βασιλεία συνεχεῖς πρεσβείας ἐποίουν, σύνοδον αἰτοῦντες γενέσθαι· τοὺς γὰρ αἱρετικοὺς ἅπαξ τοῦ τῆς ἐκκλησίας πληρώματος ἀποτεμόντες οἱ ὀρθόδοξοι, οὐδαμῶς ἀξιοῦσι λόγου, ἀλλ' οἱ ἡμέτεροι οἱ κατὰ σοφίαν καὶ ἀρετὴν θαυμάσιοι, Νικομηδείας τε Μακάριος, καὶ Εὐθύμιος ὁ ἐσύστερον ἐπὶ τὴν προεδρίαν τῆς Κωνσταντινουπόλεως προβιβασθεὶς, καὶ Ἰωάσαφ ὁ Ἐφέσου, καὶ Μακάριος ὁ τῆς μονῆς τοῦ Παντοκράτορος προϊστάμενος ἐκεῖσε παραγενόμενοι εὐλογίαν παρὰ τοῦ πάπα ἐλάμβανον· ἀλλὰ καὶ αὐτὸς ὁ ταῦτα γράφων ὁμοίως τοῖς ἄλλοις πεποίηκεν. οὐκοῦν οὐχ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεστράφημεν. ἐπεὶ δὲ καὶ νόμον προβάλλεται, καὶ Λατῖνοι νόμον ἐροῦσιν· ὡς ἀπὼν οὐδεὶς καταδικάζεται· οὕτω γάρ φησιν ὁ νόμος· Ἐὰν δὲ κληθεὶς ὁ κατηγορούμενος οὐκ ἀπαντήσει, τῷ τῆς φυγοδικίας καὶ μόνον ὑπόκειται ἐπιτιμίῳ, ἕως οὗ ἀπαντήσῃ εἰς τὸ κριτήριον. διὰ τοῦτο καὶ τῶν διπτύχων τὸ τοῦ πάπα ὄνομα ἐξεβλήθη· Ὅτι δὲ ὁ ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως αἱρετικός ἐστιν, οὐ χρεία νόμου· πάντες γὰρ οἱ Χριστιανοὶ τοῦτο πιστεύουσι καὶ κηρύττουσι καὶ πρὸ τοῦ νόμου καὶ μετὰ τὸν νόμον. ἀλλ' οὐκ ἀπέδειξε τοῦτο ἐκεῖσε παρὼν καὶ διαλεγόμενος, ἀλλὰ μᾶλλον ἐν τῷ καιρῷ τῆς διαλέξεως ἀπεῖπατο τὴν διάλεξιν· εἰ γὰρ τοῦτο ἀπεδείκνυεν, οὐδεὶς ἂν ἐν Χριστιανοῖς συνέθετο καταδέξασθαι τὴν τῶν Λατίνων ἕνωσιν, καὶ μάλιστα οἱ τῆς ἐκκλησίας προστάται καὶ κληρικοὶ ὑπογράψαντες· οὐδεὶς γὰρ διὰ τῆς χάριτος τοῦ Χριστοῦ, οὐ μικρὸς οὐ μέγας ἠθέλησε καταδέξασθαι τὴν τῶν Λατίνων ἕνωσιν, εἰ αὐτὸς ἀπεδείκνυεν αὐτοὺς κακοδόξους. ἀλλ' ὥσπερ ἐν ταύτῃ τῇ ἐπιστολῇ τὸ ἐκ μόνου λέγει, οὕτω κἀκεῖσε τὸ

ἐκ μόνου συμπεραίνων, οἱ Λατῖνοι τὰς τῶν πατέρων μαρτυρίας προκομίσαντες, αὐτὸς ἀπηνήνατο τὴν διάλεξιν, μηδόλως ἐθελήσας ἀπαντῆσαι· καίτοι γε τοῦ προσδιαλεγομένου βοῶντος ἐνώπιον βασιλέως, καὶ ἀρχόντων, καὶ ἀρχιερέων, καὶ παντὸς τοῦ λαοῦ· Τὸν κύριον τὸν αἰδέσιμον τὸν Ἐφέσου ἐθέλω ἐλθεῖν, ἵνα ἀκούσῃ τὰς ἀπολογίας εἰς ἃ ἐκεῖνος εἶπε, καὶ λόγον ἀποδοῦναι· ἀλλ' οὐκ ἠθέλησεν ἀπαντῆσαι, πολλὰ παρὰ πάντων ἀναγκασθείς. πῶς οὖν ταῦτα λέγει νῦν, ἃ μήτ' ἄλλοι εἶπον, μήτ' αὐτὸς ἐδυνήθη ἀποδεῖξαι; ἐκεῖσε οὖν ὑπῆρχεν ἡ πάλη, καὶ οἱ λόγοι, καὶ αἱ ἀπολογίαι, καὶ οὐκ ἠθέλησεν ἀπαντῆσαι, καὶ νῦν λέγει ὅσα καὶ βούλεται· δὴ οὐδὲ χρεία πολλῆς ἀπολογίας.

Ὁ ἘΦΕΣΟΥ. Εἰ μὲν οὖν οὐδέν τι παρεκκλίνουσιν οἱ Λατῖνοι τῆς ὀρθῆς πίστεως, μάτην αὐτοὺς ὡς ἔοικεν ἀπεκόψαμεν· εἰ δὲ παρεκκλίνουσιν ὅλως, καὶ ταῦτα περὶ τὴν θεολογίαν τοῦ πνεύματος, εἰς ὃ βλασφημῆσαι κινδύνων ὁ χαλεπώτατος, αἱρετικοί εἰσιν ἄρα, καὶ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεκόψαμεν.

ἈΠΟΛΟΓ. Εἴτε παρεκκλίνουσιν εἴτε μὴ, προαποδέδεικται. τὸ δὲ βλασφημῆσαι περὶ τὴν θεολογίαν τοῦ πνεύματος, ὅπως ὁ κύριος
* Ματθ. 12, 31. τότε τοῖς Ἰουδαίοις εἴρηκεν, * οὐκ οἶδα πῶς ἀγνοεῖ· ἡμεῖς γὰρ εἰς ὁποτέραν τῶν θείων ὑποστάσεων βλασφημήσει τις, κινδύνων λέγομέν ἐστιν ὁ χαλεπώτατος· ἐπίσης γὰρ τὰ θεῖα πρόσωπα ὁμολογοῦμεν ἔν τε ἀϊδιότητι καὶ δυνάμει καὶ θεότητι· καὶ ὃς εἰς πρόσωπον τῶν θεαρχικῶν ὑποστάσεων βλασφημήσει, οὐχ ἕξει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. τοῦτο καὶ ὁ μέγας Ἀθανάσιος ἐν
* Ματθ. 11, 27. τῇ ἐξηγήσει τοῦ εὐαγγελικοῦ ῥητοῦ· Πάντα μοι παρεδόθη, * διαβεβαιοῖ· Ὁ γὰρ εἰς ὁποτέραν φησὶ τῶν θείων ὑποστάσεων βλασφη-
* Ματθ. 12, 31. μῶν οὐχ ἕξει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.* Καὶ Γρηγόριος ὁ θεολόγος οὕτω φησίν· Ὡς ὅ, τι ἂν τῶν τριῶν κάτω βάλῃς, τὸ πᾶν ἴσῃ καθῃρηκώς, καὶ σαυτῷ τὴν τελείωσιν. Καὶ οἱ Λατῖνοι οὖν ἐκ τῶν τριῶν οὐδὲν κάτω βάλλουσιν, ἐπίσης γὰρ τὰ θεῖα πρόσωπα ὁμολογοῦσιν ἔν τε δυνάμει καὶ κυριότητι καὶ θεότητι καὶ ἀϊδιότητι· πῶς οὖν λέγει, ὅτι εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημοῦσι; πόθεν τοῦτο μαθὼν λέγει; ὅτι δὲ λέγει· Αἱρετικοί εἰσι, καὶ ὡς αἱρετικοὺς αὐτοὺς ἀπεκόψαμεν, ἀναμνησθήτω πρότερον Ἰωάννου τοῦ Ἀντιοχείας καὶ Κυρίλλου· ἀμφότεροι γὰρ τῆς ὀρθῆς πίστεως

εἴχοντο, ἀλλὰ διὰ τὸ μὴ προσμεῖναι τὸν Κύριλλον, ἀλλὰ ἀποφήνασθαι κατὰ Νεστορίου πρὸ τοῦ παραγενέσθαι τὸν Ἰωάννην, κατὰ Κυρίλλου τοῦ θείου οἱ περὶ τὸν Ἰωάννην Ἀντιοχείας ἔγραφον. καὶ τοῦτο μαρτυρήσουσι τὰ τῆς τρίτης συνόδου πρακτικά. εἰ δὲ ὡς αἱρετικοὺς ἀπεκόψαμεν, ὡς αὐτός φησιν, ἐμφανισάτω τὴν κατ' αὐτῶν ἀπόφασιν τῆς συνόδου, ὅπως καὶ πότε κατεδικάσθησαν· καὶ εἰ ἐμμένωσι τῇ κριθείσῃ κακοδοξίᾳ, δι' ἣν κατεδικάσθησαν· ἵνα καὶ ἡμεῖς τὴν κρίσιν γνόντες καὶ τὴν ἀπόφασιν στέρξωμεν ἀσμενέστατα· ἀλλ' οὐκ ἔχει ταῦτα δεῖξαι, ὅτι αἵρεσιν κηρύττουσιν οἱ Λατῖνοι; εἰ μὴ, ὅτι ἔπεται. οἱ δὲ Λατῖνοί φασιν, εἰ καὶ ἕπεται, ὑμεῖς λέγετε· ἀλλ' ὡν ἡμεῖς, οὐχ ἕπεται, ὁμολογοῦμεν· πρῶτον μὲν ὅτι οἱ πατέρες ἡμῶν οἱ ἅγιοι ταύτην λέγουσι τὴν φωνήν· δεύτερον, ὅτι οὐχ οὕτω νοοῦμεν, ὡς ἀπὸ ταύτης τῆς φωνῆς ἡ παρασαλεύεται ἡ προσωπικὴ διάκρισις, ἢ ἑνοῦται οὕτως ὡς συναλείφεσθαι, ὡς ὑμεῖς διϊσχυρίζεσθε· ἀλλὰ καὶ τὴν ἕνωσιν νοοῦμεν πάνυ καλῶς, καὶ τὴν διάκρισιν μάλα θαυμασίως, καὶ ἐντεῦθεν οὔτε δύο ἀρχαί εἰσιν ὁ πατὴρ καὶ ὁ υἱὸς τοῦ ἁγίου πνεύματος, οὔτε ἓν πρόσωπόν ἐστιν ὁ πατὴρ καὶ ὁ υἱὸς ἐν τῇ προβολῇ τοῦ ἁγίου πνεύματος· ἢ γὰρ ἂν καὶ δύο ἦσαν οἱ πέμποντες, ἐπεὶ πέμπει ὁ πατὴρ καὶ ὁ υἱός· ἀλλ' οὐχ οὕτως ἔχει· τὸ μὲν γὰρ, ἐκ μόνου, οὔτε ἔστιν, οὔτε ἐῤῥέθη παρά του τῶν ἁγίων· πῶς γάρ; αὐτῶν λεγόντων ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ διὰ τοῦ υἱοῦ, καὶ ἐξ ἀμφοῖν οὐσιωδῶς; ταῦτα γὰρ πρὸς τὸ, ἐκ μόνου, ἀντίφασίς ἐστιν· ὡς γὰρ ἡλίου ὄντος ὑπὲρ γῆν ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστι· καὶ πάλιν ἡλίου ὑπὸ γῆν ὄντος νύξ ἐστιν, ἡμέρα οὐκ ἔστιν· οὕτως οὐδ' ἐκ μόνου, καὶ ἐκ τοῦ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ καὶ ἐξ ἀμφοῖν οὐσιωδῶς, συμφωνήσει ποτέ· ταῦτα γὰρ λέγεται παρὰ τῶν διδασκάλων, καὶ θεολόγων τῆς ἐκκλησίας, οὓς αἱ ἅγιαι οἰκουμενικαὶ σύνοδοι ἁγίους ἀνεκήρυξαν, καὶ τὰ αὐτῶν ἐνστερνίζονται· τὸ δὲ, ἐκ μόνου, μετὰ τὸ σχίσμα καὶ τὴν φιλονεικίαν. καὶ γὰρ ἐὰν ἀπὸ τοῦ Ἕπεται κρίνειν βουλώμεθα τὰ τῆς θεολογίας, εἰς πολλὰ ἄτοπα ἐμπεσεῖν ἔχομεν· καὶ θεὸν ἐκ θεοῦ λέγοντες, ἄρα δύο θεοὶ, καὶ οὐχ εἷς ὁ παρ' ἡμῖν πιστευόμενος θεός· καὶ γεννηθέντα λέγοντες χρόνον ἐννοήσωμεν· καὶ κατελθόντα ἐκ τῶν οὐρανῶν, τόπῳ περιγράψωμεν. καὶ τί δεῖ παραιτέρω χωρεῖν, ὅσα ἀπὸ τοῦ Ἕπεται

νομισθήσονται; πάντα γὰρ τὰ προκείμενα ἐρεῖ τις τῶν κακοδόξων ἀπὸ τοῦ Ἔσται· ἀλλ' ἡμεῖς ἄνθρωποι ὄντες ἐκ πηλοῦ καὶ χώματος οὐ δυνάμεθα λόγους εὑρεῖν ἁρμόζοντας τῷ Θεῷ· διὸ καὶ πάντα τὰ περὶ τὸν Θεὸν ἀνθρωποπρεπῶς λέγομεν, καὶ οὐ δεῖ κατακρίνειν ἡμᾶς ἀπὸ τοῦ ἔσεσθαι, ἀλλὰ ἀπὸ τοῦ ὁμολογεῖν· καὶ ἀληθῶς μετὰ τοῦ Θεοῦ τὰ τοῦ Θεοῦ κρίνομεν.

Ὁ ἘΦΕΣΟΥ. Διατί δὲ καὶ χρίομεν τῷ μύρῳ τοὺς ἐξ αὐτῶν ἡμῖν προσιόντας; οὐκ εὔδηλον ὡς αἱρετικοὺς ὄντας; λέγει γὰρ ὁ τῆς δευτέρας οἰκουμενικῆς συνόδου κανὼν ἕβδομος· Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν· Ἀρειανοὺς μὲν, καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς, καὶ Τεσσαρεσκαιδεκατίτας ἤγουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, καὶ σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. Ὁρᾷς τίσι συντάττομεν τοὺς ἐκ Λατίνων ἡμῖν προσιόντας; εἰ οὖν οὗτοι πάντες αἱρετικοὶ, δῆλον κἀκεῖνοι. Τί δὲ ὁ σοφώτατος πατριάρχης Ἀντιοχείας Θεόδωρος ὁ ἐν ταῖς πρὸς Μάρκον τὸν ἁγιώτατον πατριάρχην Ἀλεξανδρείας ἀποκρίσεσι περὶ τούτων γράφει;

Ἐρώτησις Μάρκου.

Αἰχμάλωτοι Λατῖνοι καὶ ἕτεροι παρουσιάζοντες εἰς τὰς καθολικὰς ἐκκλησίας ἡμῶν ζητοῦσι μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων. εἰ οὖν ἐγχωρητέον τοῦτό ἐστι, ζητοῦμεν μαθεῖν.

Ἀπόκρισις Θεοδώρου.

Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ'
* Λουκ. 11, 23. ἐμοῦ, σκορπίζει. * ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς ἐκκλησίας, τῆς Ῥώμης φαμὲν, τὸ περιώνυμον ἄθροισμα ἐκ

τῆς τῶν ἑτέρων τεσσάρων ἁγιωτάτων πατριαρχῶν κοινωνίας, ἀποσχοινισθὲν εἰς ἔθη καὶ δόγματα τῆς καθολικῆς ἐκκλησίας καὶ τῶν ὀρθοδόξων ἀλλότρια· διὰ γὰρ τοῦτο οὔτε ἐν ταῖς θείαις ἱεροτελεστίαις κοινῆς τῶν πατριαρχικῶν ὀνομάτων ἀναφορᾶς ὁ πάπας ἠξίωται· οὐκ ὀφείλει γένος Λατινικὸν ἐκ χειρὸς ἱερατικῆς διὰ τῶν θείων καὶ ἀχράντων μυστηρίων ἁγιάζεσθαι, εἰ μὴ καταθῆται πρότερον ἀποσχέσθαι τῶν Λατινικῶν δογμάτων τε καὶ συνηθειῶν, καὶ κατὰ κανόνας κατηχηθῇ, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῇ. Ἀκούεις; ἀπεσχίσθησαν οὐ μόνον εἰς ἔθη, ἀλλὰ καὶ δόγματα τῆς ἐκκλησίας ἀλλότρια· τὰ δὲ τῶν ὀρθοδόξων ἀλλότρια, πάντως αἱρετικά· καὶ ὅτι κατὰ κανόνας κατηχηθῆναι ὀφείλει, καὶ τοῖς ὀρθοδόξοις ἐξισωθῆναι; εἰ δὲ κατηχηθῆναι, δηλονότι καὶ τῷ μύρῳ χρισθῆναι. πόθεν οὖν ἡμῖν ἀνεφάνησαν ἐξαίφνης ὄντες ὀρθόδοξοι οἱ διὰ τοσούτων χρόνων καὶ ὑπὸ τοσούτων πατέρων καὶ διδασκάλων κριθέντες αἱρετικοί;

ἈΠΟΛΟΓ. Τὸν κανόνα προκομίσας τὸν νομοθετοῦντα, τίνας δεῖ χρίειν, μηδὲν περὶ τῶν Λατίνων λέγοντα, καὶ ἐπισυνάψας καὶ τὴν τοῦ Βαλσαμῶν πρὸς τὸν Ἀλεξανδρείας ἀπόκρισιν καὶ μόνην, ἐπιφέρει· οἱ διὰ τοσούτων πατέρων κριθέντες αἱρετικοί. πρόδηλον οὖν, ὡς οὐχ ὑπὸ πολλῶν πατέρων ἐκρίθησαν, ἀλλ' ὑπὸ τοῦ Βαλσαμὼν καὶ μόνου, καὶ ταῦτα μετὰ τὸ σχίσμα καὶ τὴν φιλονεικίαν. εἰ οὖν ὁ Ἀλεξανδρείας μετὰ τοσούτων χρόνων παρέμπτευσιν, τριακόσιοι γὰρ χρόνοι παρῆλθον, οὐκ οἶδε περὶ τοῦ ὅπως δεῖ τοὺς ἀπὸ Λατίνων προσερχομένους προσδέχεσθαι, πρόδηλον ὡς οὐχ αἱρετικοὶ ὑπὸ πολλῶν πατέρων ἐκρίθησαν· πάντως γὰρ καὶ ὁ Ἀλεξανδρείας καὶ αἱ λοιπαὶ ἐκκλησίαι ἐγίνωσκον ἂν τὴν κατὰ Λατίνων κρίσιν τε καὶ καταδίκην. ἀλλὰ καὶ Λατῖνοι τοὺς ἡμετέρους ἔχριον καὶ κρισμαρισμένους ὠνόμαζον.* ὅτι δὲ οὐ κατὰ δίκαιον λόγον ταῦτα ἐγίνοντο, δῆλον, ὅτι ἐν τῇ ἑνώσει ἡμῶν οὐδένα λόγον εἶχον εἰπεῖν καθ' ἡμῶν, ἀλλ' ὀρθόδοξοι ὄντες παρὰ τῶν ὀρθοδόξων ὀρθόδοξοι ἐκρίθημεν.

* χρίσαν ἐνίοτε οἱ Λατῖνοι τοὺς Γραϊκοὺς μετὰ προσδιορισμοῦ καὶ διαστολῆς, ἐπειδήπερ οἱ πρεσβύτεροι οὐκ εἰσὶν οἰκεῖοι τοῦ μυστηρίου τούτου ὑπηρέται.

Ὁ ἘΦΕΣΟΥ. Τίς αὐτοὺς οὕτω ῥᾳδίως ὀρθοδόξους πεποίηκεν; ὁ χρυσός, εἰ βούλοιο τἀληθῆ λέγειν, καὶ κέρδη τὰ σά· μᾶλλον μὲν οὖν ἐκείνους οὐ πεποίηκεν ὀρθοδόξους, σὲ δὲ ποιήσας, ἐκείνοις ὅμοιον, εἰς τὴν αἱρετικὴν ἀπεώσατο μοῖραν.

ʼΑΠΟΛΟΓ. Ῥᾳδίως αὐτοὺς ὀρθοδόξους πεποίηκεν ἡ θέλησις αὐτῶν τοῦ κριθῆναι ὑπὸ οἰκουμενικὴν σύνοδον τὸ παρ' αὐτῶν ἐν τῇ ἐκκλησίᾳ εἰσαγόμενον, ὅπερ πρότερον οὐ κατεδέχοντο· *ἔτι δὲ καὶ τὰ ἐμφανισθέντα τῶν θείων πατέρων ῥητὰ, τὰ καὶ ἐκ τοῦ υἱοῦ λέγοντα τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἡ ἀπὸ τῆς ἐπιστολῆς μαρτυρία τοῦ θείου Μαξίμου, δηλοῦσα ὅτι γνήσιά εἰσι ταῦτα· καὶ τῶν πατέρων αἱ φωναὶ, οὓς καὶ ἡμεῖς δοξάζομεν ἁγίους καὶ διδασκάλους τῆς ἐκκλησίας· ἀλλὰ καὶ ὁ ἐνώπιον πάντων ἀναθηματισμὸς τῆς διαρχίας, καὶ συναλοιφῆς, δι' ἃ ἐνεκαλοῦντο, ὡς καὶ αὐτὸς ὁμολογήσει παρὼν ἐκεῖσε καὶ ἀκούων· χρυσοῦ δὲ πάλιν μέμνηται ἢ χρυσὸν φιλῶν, ἢ χρυσοῦ ἐστερημένος τοῦ παρ' αὐτοῦ φιλουμένου.

*Δόξα τοῦ συγγραφέως· πάλαι γὰρ ἐξήταστο ἐν ἄλλαις συνόδοις τὸ δόγμα τοῦτο.

Ὁ ʼΕΦΕΣΟΥ. ʼΑλλ' εἰ μεσότητά τινά, φησιν, ἐπινοήσαιμεν τῶν δογμάτων, ἐκείνοις τε συναφθησόμεθα δι' αὐτῆς, καὶ πρὸς ἡμᾶς αὐτοὺς καλῶς ἕξομεν, οὐδὲν ἀναγκαζόμενοι λέγειν παρὰ τὰ εἰωθότα καὶ παραδεδομένα. Τοῦτ' ἔστιν ἐκεῖνο, τὸ τοὺς πολλοὺς ἐξ ἀρχῆς ἀπατῆσαν, καὶ πεῖσαν ἀκολουθεῖν τοῖς εἰς τὸν κρημνὸν τῆς δυσσεβείας ἀπάγουσι. πιστεύσαντες γὰρ εἶναί τι μέσον ἀμφοῖν τῶν δοξῶν, ὅπερ ἐπί τινων ἐναντίων συμβαίνει, πρὸς τὸ δεινὸν ηὐτομόλησαν. ἀλλὰ λέξιν μὲν ἐνδέχεται μέσην δύο δοξῶν εὑρεθῆναι, τὴν ἀμφοτέρας σημαίνουσαν ὁμωνύμως, δόξαν δὲ μέσην, ἐναντίων δοξῶν περὶ τοῦ αὐτοῦ πράγματος, ἀδύνατον· εἰ δὲ μὴ καὶ ἀληθείας καὶ ψεύδους ἔσται τι μέσον, καὶ καταφάσεως καὶ ἀποφάσεως· ἀλλ' οὐκ ἔστιν· ἐπὶ παντὸς γὰρ ἡ κατάφασις ἢ ἡ ἀπόφασις· εἰ μὲν οὖν τὸ λατινικὸν ἀληθὲς δόγμα, τὸ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ψευδὲς τὸ ἡμέτερον, τὸ ἐκ τοῦ πατρὸς μόνου, διὰ τοῦτο γὰρ ἐχωρίσθημεν· εἰ δὲ τὸ ἡμέτερον ἀληθὲς, ψευδὲς ἂν εἴη δήπου τὸ ἐκείνων. τί οὖν ἂν εἴη μέσον τούτων; οὐδέν· πλὴν εἰ μὴ λέξις πρὸς ἄμφω τὰς δόξας ὁρῶσα, καθάπερ τις κόθορνος. αὕτη οὖν ἡμᾶς ἑνωθῆναι ποιήσει; καὶ τί δράσομεν, ὅταν ἀλλήλους ἐξετάζωμεν περὶ τῶν νοημάτων καὶ τῶν δοξῶν; ἵνα καὶ ἀμφοτέρους ἡμᾶς προσειπεῖν ὀρθοδόξους τοὺς τἀναντία φρονοῦντας; ἐγὼ μὲν οὐκ οἶμαι, σὺ δ' ἂν εἰδείης ὁ πάντα φύρων, καὶ πάντα ῥᾳδίως ἐπονομάζων.

ʼΑΠΟΛΟΓ. Ἡμεῖς ἄνωθέν τε καὶ ἐκ πρώτων παρελάβομεν, καὶ παρὰ Γρηγορίου τοῦ θεολόγου τὴν μεσότητα ἐν τῇ πίστει φυ-

λάττειν, ἐπεὶ ἡ μεσότης ἐστὶ καὶ ἀλήθεια, τὰ δὲ παρ' ἑκάτερα τοῦ μέσου ὑπερβολαὶ λέγονται καὶ ἐλλείψεις καὶ ἐξ ἀνάγκης καὶ τὸ ἀνούσιον ἔχουσαι· καλῶς οὖν μετὰ Γρηγορίου τοῦ θεολόγου ταῦτα λέγομεν· μεσότητα δὲ ὅταν εἴπω φησὶ, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν καὶ μόνον, καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν. Καὶ πάλιν· Ἡμεῖς τὴν μέσην ὁδὸν βαδίζοντες καὶ βασιλικὴν, ἐν ᾗ καὶ τὸ τῶν ἀρετῶν ἕστηκεν ἀκρότατον. Ταύτην καὶ ἡμεῖς λέγομεν· ἣν δὲ αὐτὸς λέξιν μέσην δύο δοξῶν εἰσάγει, οὐκ οἴδαμεν πόθεν καὶ παρὰ τοῦ λαβὼν φάσκει· διὸ ὃ οὔτε ἡμεῖς οἴδαμεν λέγειν, οὔτ' ἄλλους ἠκούσαμεν λέγοντας, πῶς ἀπολογίαν δῶμεν; αὐτὸς γὰρ εἰσάγει τὰ μὴ παρὰ τῶν ἁγίων εἰρημένα, καὶ κατὰ τὴν θέσιν αὐτοῦ κατάφασιν ποιεῖ καὶ ἀπόφασιν. τὸ γὰρ, ἐκ μόνου, οἱ ἅγιοι οὐ λέγουσιν, ἀλλὰ διὰ τοῦ υἱοῦ καὶ ἐξ ἀμφοῖν, ὡς προαπεδείχθη. διὸ καὶ τὰ μὴ εἰρημένα παρὰ τῶν ἁγίων ἡ ἐκκλησία οὐκ ἐφρόνει ποτέ· ἡμεῖς δὲ τὰ παρὰ τῶν ἁγίων εἰρημένα στέργομέν τε καὶ φυλάττομεν, καὶ φυλάξομεν, μηδὲν περὶ μεσότητος ἄλλης λέγοντες, πλὴν τῆς παραδεδομένης παρὰ τῶν ἁγίων, κἂν αὐτὸς ταύτην ἀναπλάττῃ, ὡς βούλεται.

Ὁ ἘΦΕΣΟΥ. Βούλει παρὰ Γρηγορίου τοῦ θεολόγου μαθεῖν, οἷα περὶ τῆς μεσότητος γράφει; ἡ πρὸς πάντας ὁρῶσα τοὺς παριόντας εἰκὼν, ὁ κοινὸς ἀμφοτέρων τῶν ποδῶν κόθορνος, ἡ κατὰ πάντα ἄνεμον λίκμησις, ἐξουσίαν λαβοῦσα τὴν ἔγγραφον κακουργίαν καὶ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν· τὸ γὰρ ὅμοιον κατὰ τὰς γραφὰς τῆς εὐσεβείας πρόσχημα ἦν τῷ χαλκῷ τῆς ἀσεβείας περικείμενον· Ταῦτα μὲν οὖν περὶ τῆς ἐπινοηθείσης τότε μεσότητος. περὶ δὲ τῆς αὐτὴν ἐξευρούσης συνόδου τοιάδε πάλιν φησίν· Εἴτε τὸν Χαλάνης πύργον, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν, * ὡς ὄφελόν γε καὶ ταύτας, ἐπὶ κακῷ γὰρ ἡ συμφωνία· εἴτε τὸ Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται· εἴτε τι ἄλλο τοιοῦτον τὴν σύνοδον ἐκείνην ὀνομαστέον, ἣ πάντα ἀνέτρεψε καὶ συνέχεεν, τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς τριάδος συνήγορον καταλύσασα τῷ βαλεῖν χάρακα, καὶ μηχανήμασι κατασείσαι τὸ ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῶν γεγραμμένων καὶ λεγομένων μεσότητος· σοφοὶ γὰρ ἐγένοντο τοῦ κακοποιῆσαι, τὸ δὲ καλοποιῆσαι

* Γεν. 11.

οὐκ ἔγνωσαν. Τοσαῦτα μὲν ἡμῖν ἀρκεῖ περὶ τῆς μεσότητος, ὅτι τε οὐδ' ἔστιν ὅλως μεσότης ἱκανῶς ἀποδεδειχόσι, καὶ ὅτι τὰ τοιαῦτα ζητεῖν ἀσεβὲς καὶ τῆς ἐκκλησίας ἀλλότριον.

'ΑΠΟΛΟΓ. Ταῦτα δὲ λέγων ὁ τίμιος οὗτος προσποιεῖται ἄγνοιαν, ὅπως ἄλλως νοεῖται τὸ ὁμοιοούσιον, καὶ ἄλλως τὸ ὁμοούσιον· τὸ γὰρ ὁμοιοούσιον οὐ ταὐτὸν τῇ οὐσίᾳ κατὰ τὸν τεχνίτην εἰπεῖν, οὐδὲ κατὰ τὴν τῶν ἁγίων πατέρων ἀληθῆ ἐξήγησιν. τὸ μὲν γὰρ, ἤγουν τὸ ὁμοούσιον, τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ· τὸ δὲ ὁμοιοούσιον, τὸ ὁμοιώσει ὅμοιον· ὡς τό· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
* Ματθ. 13, 31. κόκκῳ σινάπεως· * καί· Ὅταν ὁ Χριστὸς φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσό-
* Ἰω. α'. 1, 3. μεθα· * οὐ τῇ οὐσίᾳ δηλοῖ. ἐπὶ δὲ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ σωτῆρος ἡμῶν οὐχ οὕτως, ἀλλ' ὁμοούσιον ἔγνωμεν, αὐτοῦ τοῦ Χριστοῦ
* Ἰω. 10, 30. ἀκούοντες λέγοντος· Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. * διὰ τοῦ Ἕν, τὸ ταὐτὸν τῆς οὐσίας ἐμφαίνων καὶ ἀπαράλλακτον· διὰ δὲ τοῦ Ἐσμὲν, τὰς δύο ὑποστάσεις δηλῶν. Ὅθεν οἱ περὶ τὸν Ἄρειον μὴ φρονοῦντες τὸν υἱὸν τοῦ ἀληθινοῦ θεοῦ καὶ πατρὸς τῆς αὐτῆς οὐσίας κατὰ πάντα ἀπαράλλακτον, καὶ ἴσον τῷ πατρὶ πλὴν τοῦ γεννᾶν, ἀμείβοντες τὸ ὁμοούσιον, τὸ ὁμοιοούσιον ἐτίθεσαν, καὶ μεσότητα ὠνόμαζον ἀπατῶντες τοὺς ἀφιλαστέρους. πῶς ἐφαρμόσει τοῦτο ἐφ' ἡμῶν τε καὶ Λατίνων, οἵτινες κοινῶς ὁμολογοῦμεν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ἕνα θεόν· καὶ πάντα ὅσα ὁ πατὴρ, ταῦτα καὶ ὁ υἱός. καὶ ὅσα ὁ πατὴρ καὶ ὁ υἱὸς, ταῦτα καὶ τὸ πνεῦμα τὸ ἅγιον ἔν τε δυνάμει καὶ κυριότητι καὶ ἐξουσίᾳ καὶ θεότητι τηρουμένων τῶν ἰδιοτήτων ἀκινήτων;

'Ο 'ΕΦΕΣΟΥ. Ἀλλὰ τί, φησι, δράσομεν πρὸς τοὺς μέσους τούτους Γραικολατίνους, οἳ τὴν μεσότητα περιέποντες, τὰ μὲν ἐπαινοῦσι τῶν Λατινικῶν ἐθῶν καὶ δογμάτων ἀναφανδόν· τὰ δ' ἐπαινοῦσι μὲν, ἀλλ' οὐκ ἂν ἕλοιντο· τὰ δ' οὐδ' ἐπαινοῦσιν ὅλως; φευκτέον αὐτοὺς, ὡς φεύγει τις ἀπὸ ὄφεως. ὡς αὐτοὺς ἐκείνους, ἢ κἀκείνων πολλῷ δήπου χείρονας τοὺς χριστοκαπήλους καὶ χριστεμπόρους. οὗτοι γάρ εἰσι, κατὰ τὸν θεῖον ἀπόστολον, οἱ πορισμὸν ἡγούμενοι
* Τιμ. α'. 6, 5. τὴν εὐσέβειαν· * περὶ ὧν ἐπάγει λέγων· Ἀφίστατο ἀπὸ τῶν τοιούτων· οὐ γὰρ ἵνα μάθωσιν, ἀλλ' ἵνα λάβωσι πρὸς ἐκείνους αὐτομολοῦσι. ποία δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

'ΑΠΟΛΟΓ. Ἐνταῦθα οὐδεμία ἀπολογίας χρεία, ὕβρεις γὰρ καθ' ἡμῶν προφέρει θυμούμενος μᾶλλον καὶ ὀργιζόμενος. εἴτε οὖν καλῶς λέγει εἴτε μὴ, αἱ προαναγεγραμμέναι ἀπολογίαι δηλοῦσι, καὶ ἔτι αἱ ὁδῷ προβαίνουσαι· καὶ ὁ νοῶν νοήσει.

Ὁ 'ΕΦΕΣΟΥ. Ἡμεῖς μὲν γὰρ μετὰ τοῦ Δαμασκηνοῦ, καὶ τῶν πατέρων ἁπάντων, ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν· οὗτοι δὲ μετὰ τῶν Λατίνων ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα λέγουσι.

'ΑΠΟΛΟΓ. Καὶ ἡμεῖς μετὰ τοῦ ἁγίου Δαμασκηνοῦ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ· διότι ὁ συμπλεκτικὸς σύνδεσμος παρίστησι μάλα καλῶς καὶ ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ· τὸ δ' ἐκ τοῦ υἱοῦ ἀπολελυμμένως λέγειν, προκαταρκτικὸν αἴτιον τὸν υἱὸν τίθησιν, ὅπερ ὁ Εὐνόμιος καὶ οἱ κατὰ τὸν Εὐνόμιον ἐφρόνουν. ἡμεῖς δὲ μετὰ τοῦ Δαμασκηνοῦ καὶ τῶν πατέρων ἁπάντων καὶ ἐκ τοῦ υἱοῦ, καὶ διὰ τοῦ υἱοῦ λέγομεν· τὸ μὲν γάρ ἐστιν Εὐνομίου, ἐκ μόνου τοῦ υἱοῦ τὸ πνεῦμα λέγοντος, καὶ βαθμοὺς θεοτήτων εἰσάγοντος· τὸ δὲ καὶ ἐκ τοῦ υἱοῦ, τῶν πατέρων ἐστὶ φωνή· ἀλλὰ καὶ ἐξηγητὴν τῶν ἑαυτοῦ λόγων τὸν Δαμασκηνὸν Ἰωάννην διασαφοῦντα τὰ ἑαυτοῦ προεκομίσαμεν, καὶ καλῶς τὴν διασάφησιν τὴν περὶ τούτου πεποιήκαμεν ἐν τοῖς ἔμπροσθεν.

Ὁ 'ΕΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν μετὰ τοῦ θείου Διονυσίου μόνην πηγὴν τῆς ὑπερουσίου θεότητος τὸν πατέρα λέγομεν, οὗτοι δὲ μετὰ τῶν Λατίνων καὶ τὸν υἱὸν πηγὴν τοῦ ἁγίου πνεύματος λέγουσιν, ἐκβάλλοντες αὐτὸ δηλαδὴ τῆς θεότητος.

'ΑΠΟΛΟΓ. Ὡσαύτως καὶ ἡμεῖς μετὰ τοῦ θείου Διονυσίου καὶ πάντων τῶν ἁγίων μόνην πηγὴν καὶ ἀρχὴν τῆς θεότητος τὸν πατέρα ἔγνωμεν, οὐδὲ προεπινοεῖται ταύτης ἄλλη· ἀλλὰ μὴν καὶ ἐκ ταύτης τῆς πηγῆς τοῦ πατρὸς πηγὴν τὸν υἱὸν γινώσκομεν τοῦ ἁγίου πνεύματος. φησὶ γὰρ ὁ πολὺς τὰ θεῖα, ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας λόγῳ, οὗ ἡ ἀρχή· Οἱ κακοτέχνως τὰς θείας γραφὰς βουλόμενοι νοεῖν· Οἶδε γὰρ παρὰ τῷ θεῷ πατρὶ ὄντα τὸν υἱὸν πηγὴν τοῦ ἁγίου πνεύματος. καὶ ὁ μέγας Βασίλειος, πηγὴ ζωῆς ὁ υἱός· φησὶ γὰρ ὁ Δαβὶδ πρὸς τὸν πατέρα, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. * καὶ πάλιν ἕτερος προφήτης λέγει περὶ τῶν Ἰουδαίων· Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, * ὕδωρ δὲ

* Ψαλμ. 35, 10.
* Ἱερεμ. 2, 13.

* Ἰω. 4, 14. ζῶν ὀνομάζεται τὸ πνεῦμα τὸ ἅγιον· * περὶ οὗ ὁ κύριος εἴρηκεν ἐν
τοῖς εὐαγγελίοις· Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ,
ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· τοῦτο
δὲ ἔλεγε περὶ τοῦ πνεύματος, ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες
* Ἰω. 7, 38. 39. εἰς αὐτόν· * δι' ὧν δείκνυσι σαφῶς, πηγὴν τοῦ ζῶντος ὕδατος εἶναι
τοῦ πνεύματος ὄντα τὸν υἱόν. καὶ ὁ χρυσοῦς τὴν γλῶτταν ἐν τῷ
λόγῳ τῷ εἰς τὸ μυστήριον τοῦ βαπτίσματος· οὗ ἡ ἀρχή· Πάλιν
ἡμῖν ἡ τοῦ μακαρίου Δαβὶδ πνευματικὴ κιθάρα· φησί· Διὰ τοῦτο
ὁ σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ πνεῦμα
τὸ ἅγιον· συμφώνως καὶ ὁ ἅγιος Ἀμβρόσιος ἐν τῷ πρὸς Γρατιανὸν
βασιλέα πρώτῳ βιβλίῳ ἐν ιε' κεφαλαίῳ· Τοίνυν ὥσπερ τὸ ῥῆμα τῆς
ζωῆς ζωή ἐστιν, οὕτω καὶ τῆς ζωῆς τὸ πνεῦμα ζωή ἐστι. δέχου
δή, ὅτι καθάπερ ὁ πατὴρ πηγὴ ζωῆς ἐστιν, οὕτω καὶ τὸν υἱὸν
ὅτι πλεῖστοι πηγὴν ζωῆς ἐμνημόνευσαν σημαινόμενον, ὅτι παρὰ σοί,
φησι, θεὲ παντοδύναμε ὁ υἱός σου πηγὴ ζωῆς ἐστι, τουτέστι πηγὴ
τοῦ ἁγίου πνεύματος, ὅτι πνεῦμα ζωή ἐστι, καθὼς ὁ κύριός φησι·
* Ἰω. 6, 64. Τὰ ῥήματα ἃ ἐγὼ ἐλάλησα ὑμῖν, πνεῦμά εἰσι καὶ ζωή· * καὶ γὰρ
ὅπου τὸ πνεῦμα καὶ ζωή· καὶ ὅπου ζωή, καὶ τὸ πνεῦμα τὸ ἅγιόν
ἐστι· πολλοὶ μέντοι ἐν τῷδε τῷ χωρίῳ τὸν πατέρα βούλονται μόνον
πηγὴν σημαίνεσθαι, καίπερ ὁρῶντές τι ὑπέμνησεν ἡ γραφή· Παρὰ
* Ψαλμ. 35, 10. σοὶ πηγὴ ζωῆς ἐστι, * τουτέστι παρὰ τῷ πατρὶ ὁ υἱός· ὅτι ὁ λόγος
πρὸς τὸν θεόν, ὃς ἦν ἐν ἀρχῇ, καὶ ἦν πρὸς τὸν θεόν· ἀλλ' εἴτε
τὸν πατέρα ἐν τῷδέ τις τῷ χωρίῳ, εἴτε τὸν υἱὸν νοοίη πηγήν, πη-
γὴν πάντως νοοῦμεν οὐ τούτου τοῦ ὕδατος ὅπερ κτίσις ἐστίν, ἀλλὰ
τῆς θείας ἐκείνης χάριτος, δηλαδὴ τοῦ ἁγίου πνεύματος· αὐτὸ γάρ
ἐστι τὸ ὕδωρ τὸ ζῶν. Καὶ Γρηγόριος δὲ ὁ θεολόγος ἐν τῷ περὶ
πνεύματος λόγῳ, οὗ ἡ ἀρχή· Ὁ μὲν δὴ περὶ τοῦ υἱοῦ λόγος τοιοῦ-
τος· φησίν· Ὀφθαλμόν τινα καὶ πηγὴν καὶ ποταμὸν ἐνενόησα, καὶ
γὰρ καὶ ἄλλοι. Εἰ οὖν διότι λέγομεν ὅτι πηγὴ ὁ υἱὸς τοῦ ἁγίου
πνεύματος ἐκ πηγῆς τοῦ πατρὸς κατὰ τοὺς ἱεροὺς καὶ θείους τού-
τους πατέρας, ἐκβάλλομεν αὐτὸ τῆς θεότητος, ὡς αὐτὸς διϊσχυ-
ρίζεται, πάντως ἂν καὶ αὐτὸς ἐκβάλλοι τὸν υἱὸν τῆς θεότητος διὰ
τὸ τὸν πατέρα μόνον εἶναι πηγὴν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύ-
ματος· ἀλλ' ὅπερ ἂν αὐτὸς ὡς ἄτοπον ἐκφεύγοι τοῦτο μᾶλλον κα-
λῶς καὶ ἀληθῶς καὶ περὶ ἡμῶν νοεῖται· εἰς τριάδα γὰρ πιστεύομεν

ὁμοούσιον καὶ ὁμοδύναμον καὶ θεὸν ἕνα, εἰ καὶ ἀδίκως ἡμᾶς καὶ ἐν τούτῳ ὡς καὶ ἐν τοῖς ἄλλοις διασύρει.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν μετὰ τοῦ θεολόγου Γρηγορίου τῇ αἰτίᾳ διακρίνομεν τοῦ υἱοῦ τὸν πατέρα· οὗτοι δὲ μετὰ τῶν Λατίνων τῇ αἰτίᾳ τούτους συνάπτουσιν.

ἈΠΟΛΟΓ. Συνάπτομεν τὸν πατέρα καὶ τὸν υἱὸν τῇ φύσει καὶ θεότητι ὡς πατέρα καὶ υἱόν, οὐ τῇ αἰτίᾳ· εἰ δ' ὡς αὐτὸς λέγει, συνάψει καὶ αὐτὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα, διὰ τὸ ἄμφω αἰτιατὰ εἶναι καὶ λέγεσθαι. ἓν μόνον ὁρῶμεν, ὅτι βούλεται διασύρειν, καὶ πολλὰς ἐννοεῖ αἰτίας ὅσας καὶ βούλεται, μᾶλλον δὲ ὅσας ἀναπλάττει· διὸ οὐδὲ πολλῶν ἀποδείξεων δεόμεθα εἰς τὰ μὴ ἀναγκαῖα.*

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μετὰ τοῦ σεπτοῦ Μαξίμου καὶ τῶν τότε Ῥωμαίων καὶ τῶν δυτικῶν πατέρων οὐ ποιοῦμεν τὸν υἱὸν αἰτίαν τοῦ πνεύματος· οὗτοι δὲ κατὰ μὲν τοὺς Γραϊκοὺς αἰτίαν, κατὰ δὲ τοὺς Λατίνους ἀρχὴν τοῦ πνεύματος τὸν υἱὸν ἐν τῷ ὅρῳ αὐτῶν ἀποφαίνονται· τιμᾶν γὰρ αὐτὸν οὕτω δίκαιον γράφοντας, ἐπεὶ καὶ ὀρρωδοῦντες αὐτοὶ τούτῳ συνέθεντο.

ἈΠΟΛΟΓ. Ἔδει γὰρ τὸν τίμιον ἄνδρα τοῦτον ὅλον ἐκθεῖναι τὸ μέρος τῆς ἐπιστολῆς τὸ περὶ τούτου φάσκον, καὶ μὴ τὸ μὲν Διὰ τοῦ υἱοῦ παραδραμεῖν, τὸ δέ· Οὐκ αἰτίαν ποιοῦντας τὸν υἱὸν σφᾶς αὐτοὺς ἀπέδειξαν, καὶ μόνον προκομίζειν. ἀλλ' ἡμεῖς τὸ χωρίον ὅλον ἐκθήσωμεν, ἵνα καὶ σαφέστερα γένηται ἡ δήλωσις, ὡσαύτως καὶ ἡ ἀπάντησις. Φησὶ γάρ· Τῶν τοῦ νῦν ἁγιωτάτου πάπα συνοδικῶν οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις οἱ τῆς βασιλίδος ἐπελάβοντο, δυσὶ δὲ μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας, ὅτι τέ φησιν εἰπεῖν, ἐκπορεύεσθαι κἀκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· τὸ δ' ἄλλο περὶ τῆς θείας σαρκώσεως. Καὶ μετὰ πάνυ βραχέα· καὶ τῷ μὲν πρώτῳ συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων πατέρων, ἔτι γε μὲν καὶ Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς πονηθείσης αὐτῷ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην ἱερᾶς πραγματείας. ἐξ ὧν οὐ τὸν υἱὸν αἰτίαν ποιοῦντας τοῦ πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν· μίαν γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν, τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατ' ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν. Οὐκ ἔδει οὖν τὸν αἰδέσιμον ἄνδρα

* Αὐτὸς οὗτος Γρηγόριος ὁ πρωτοσύγκελλος ἐν τῇ ἀπολογίᾳ πρὸς τὴν τοῦ Ἐφέσου ὁμολογίαν, ἀποκρινόμενος πρὸς τοῦτό φησιν. Ὁ δὲ θεολόγος εἰπὼν πάντα ὅσα ἔχει ὁ πατὴρ τοῦ υἱοῦ, πλὴν τῆς αἰτίας ἐπιφέρει πάντα δὲ ὅσα τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος, πλὴν τῆς υἱότητος αἰτίαν λέγων ἐνταῦθα τὴν κατὰ τὸ γεννᾶν καθὼς αὐτὸς διασαφεῖ ἐν τῷ λόγῳ περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων· φησὶ γάρ· Ὁ δὲ υἱός, ἐὰν αἴτιον τὸν πατέρα λαμβάνεις, οὐκ ἄναρχος· ἀρχὴ γὰρ ὁ πατὴρ υἱοῦ, ὡς αἴτιος· οὐδὲν ἄρα συμπεραίνει ὁ Ἐφέσου, ὁμωνυμίᾳ χρησάμενος.

τοῦτον λέγειν τὸ ἐκ μόνου· ἰδοὺ γὰρ προφανῶς καὶ ἀριδήλως ὁ ἅγιος Μάξιμος μαρτυρεῖ, ὡς οἱ ἅγιοι πατέρες οἱ τῆς ἑσπέρας μετὰ καὶ τοῦ θείου Κυρίλλου καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ ἅγιον πνεῦμα θεολογοῦσιν. εἰ οὖν καὶ ἐκ τοῦ υἱοῦ, δῆλον ὡς οὐκ ἐκ μόνου τοῦ πατρὸς, ὡς αὐτὸς πολλάκις εἴρηκε. περὶ δὲ τοῦ· Οὐκ αἰτίαν τὸν υἱὸν ποιοῦντας, τουτέστιν οἵαν ὁ Εὐνόμιος ἔλεγεν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐδηλώσαμεν· καὶ γὰρ αἰτίαν κυρίως οἱ ἅγιοι τὴν ἀρχοειδῆ καὶ προκαταρκτικὴν εἰώθασι λέγειν, καθὼς καὶ ὁ θεολόγος Γρηγόριος δηλοῖ ἐν τῷ εἰς τὸν κατάπλουν τὸν ἀπ' Αἰγύπτου φάσκων οὕτως· Θεὸς ἐν τρισὶν ἵσταται τοῖς μεγίστοις, αἰτίῳ, καὶ δημιουργῷ, καὶ τελειοποιῷ, τῷ πατρὶ λέγω καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. τί οὖν, οὐκ αἴτιος ὁ υἱὸς τῆς τοῦ κόσμου δημιουργίας; πῶς οὖν φαμεν ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως· Δι' οὗ τὰ πάντα ἐγένετο; ἀλλ' ὁ θεολόγος καὶ ὁ Βασίλειος τὸ Αἴτιος ἐπὶ μόνου τοῦ πατρὸς ἔφησαν. ἀλλ' οὐδὲ μάτην ὁ θεῖος Μάξιμος τὸ δι' αὐτοῦ προϊέναι ἐπιφέρει· ἐπεὶ ἀδύνατον διὰ τοῦ υἱοῦ προϊέναι, καὶ μὴ καὶ τὸν υἱὸν αἴτιον ὑπάρχειν τῆς τοῦ πνεύματος ἐκπορεύσεως. Τοῦτο καὶ Γρηγόριος ὁ Νύσσης μάλα καλῶς βεβαιοῖ ἐν τῷ κατ' Εὐνομίου ἀντιῤῥητικῷ αὐτοῦ λόγῳ πρώτῳ, λέγων οὕτως· Εἰ μὲν οὖν χρονικὴν ἔμφασιν ὑπερετίθη τῆς τοῦ μονογενοῦς ὑποστάσεως ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ υἱοῦ λόγος ἐκινδυνεύετο. Καὶ μετά τινα· Ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱὸς, καὶ τῷ ἐξ αὐτοῦ εἶναι οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν· οὕτω πάλιν τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως. καὶ Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον ἐν τῷ ιϛ' κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή· Ὅτι ἀχώριστον ἐπὶ πάσης ἐννοίας πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα, φησίν· Ἐννόησόν μοι τὴν προκαταρκτικὴν αἰτίαν τῶν γινομένων τὸν πατέρα, τὴν δημιουργικὴν τὸν υἱὸν, τὴν τελειωτικὴν τὸ πνεῦμα τὸ ἅγιον. Οὗτοι γὰρ πάντες τὴν αἰτίαν ἐπὶ τὸν πατέρα ἀναφέρουσιν, ἀλλὰ καὶ ὁ υἱὸς αἴτιος τούτων ἁπάντων ἐστίν· ἡ ἀρνείσθωσαν καὶ ἐκ τῶν εἰρημένων τὴν αἰτίαν, καὶ κακῷ τὸ κακὸν διορθούτωσαν. καὶ ἔτι δηλοῦσι μάλιστα σαφέστερον τὰ τῶν ἁγίων ῥητὰ τὰ παριστῶντα καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἃ καὶ Μάξιμος ὁ θεῖος

διαβεβαιοῖ, οὐκ ἰδίαν αἰτίαν λέγοντα τὸν υἱὸν παρὰ τὸν πατέρα· καὶ γὰρ πάντα ὅσα ἔχει ὁ υἱὸς φυσικῶς, ἐκ τοῦ πατρὸς λαβὼν ἔχει. Φησὶ γὰρ ὁ θεῖος Κύριλλος ἐν τῷ κατὰ Ἰωάννην, εἰς τὸ ῥητὸν τό· Κἀγὼ ἐρωτήσω τὸν πατέρα.* Τῶν τοῦ θεοῦ καὶ πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων κοινωνὸς ὁ υἱὸς, ἔχει καὶ τὸ πνεῦμα κατὰ τοῦτον τὸν τρόπον, καθ' ὅνπερ ἂν νοοῖτο καὶ ὁ πατὴρ οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν· εὔηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν· ἀλλ' ὥσπερ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει· διά γάρ τοι τοῦτο καὶ σωματικῶς ἐνεφύσησεν ὁ Χριστὸς, δεικνὺς ὅτι καθώσπερ ἐκ στόματος τοῦ ἀνθρωπίνου πρόεισι τὸ πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτῆς. ὅτε τοίνυν αὐτὸ τὸ πνεῦμα τοῦ τε θεοῦ καὶ πατρός ἐστι καὶ τοῦ υἱοῦ, πῶς οὐχὶ πάντως μίαν ἕξουσι τὴν ἐξουσίαν διῃρημένως τε ἅμα καὶ συνημμένως; πατὴρ γὰρ ὁ πατὴρ καὶ οὐχ υἱὸς, καὶ υἱὸς ὁ υἱὸς καὶ οὐχὶ πατήρ. πλὴν ὁ πατὴρ ἐν υἱῷ, καὶ ὁ υἱὸς ἐν πατρί. Ὁ αὐτὸς θεῖος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν προφήτην Ἰωὴλ τοῦ· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου,* οὕτω φησίν· Ἡ μὲν γάρ ἐστι θεὸς, καὶ ἐκ θεοῦ κατὰ φύσιν ὁ υἱὸς, γεγέννηται γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός. καὶ ὁ μακάριος Λέων ὁ πάπας ἐν τῷ εἰς τὴν πεντηκοστὴν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχή· Τὴν σήμερον πανήγυριν ἀδελφοὶ ποθεινότατοι· οὕτω φησί· Τὸ δὲ πνεῦμα τὸ ἅγιον πατρὸς καὶ υἱοῦ πνεῦμα ὂν, οὐχ ὥς τι τῶν κτισμάτων, ἅπερ πατρός εἰσι καὶ υἱοῦ, ἀλλ' ὡς μετ' ἀμφοτέρων ζῶν καὶ δυνάμενον, καὶ ἀϊδίως ἐκ τούτου ὅπερ ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱὸς ὑφιστάμενον. Καὶ ὁ ἅγιος Ἱλάριος ἐν τῷ λόγῳ τῷ μετὰ τὴν πεντηκοστὴν ἀναγινωσκομένῳ ἐν τῇ ἑορτῇ τῆς ἁγίας τριάδος, οὕτω φησί· Πιστεύομεν εἰς τὴν ἁγίαν τριάδα, τουτέστι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ἕνα θεὸν παντοδύναμον, μιᾶς οὐσίας, μιᾶς ὑπάρξεως, μιᾶς ἐξουσίας, δημιουργὸν πάντων τῶν κτισμάτων· ἐξ οὗ πάντα, δι' οὗ πάντα, ἐν ᾧ πάντα· πατέρα ἀφ' ἑαυτοῦ, ἀλλ' οὐκ ἀφ' ἑτέρου· υἱὸν ἐκ τοῦ πατρὸς γεννητὸν, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, οὐ μὴν δύο φῶτα ἀλλ' ἓν φῶς· πνεῦμα

* Ἰω. 14, 16.

* Ἰωήλ. 2, 29.

ἅγιον παρὰ πατρὸς καὶ υἱοῦ ἐπίσης ἐκπορευόμενον· Καὶ ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ πέμπτῳ περὶ Τριάδος τοιάδε φησίν· Εἰ τοίνυν καὶ ὃ δίδοται ἀρχὴν ἔχει τοῦτον, ἀφ' οὗ δίδοται, καὶ γὰρ οὐκ ἄλλοθεν ἔλαβεν ὃ παρ' αὐτοῦ ἐκπορεύεται, ὁμολογητέον ἐστὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ ἁγίου πνεύματος, οὐ δύο ἀρχάς· ἀλλὰ καθάπερ ὁ πατὴρ καὶ ὁ υἱὸς εἷς Θεὸς, καὶ πρὸς τὴν κτίσιν ἀναφορικῶς εἷς κτίστης καὶ εἷς κύριος, οὕτως ἀναφορικῶς πρὸς τὸ πνεῦμα τὸ ἅγιον μίαν ἀρχὴν καθάπερ πρὸς τὴν κτίσιν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀρχὴ μία εἰσὶν, ὥσπερ εἷς δημιουργὸς καὶ εἷς κύριος. Δέδεικται σαφῶς, ὅτι αἱ χρήσεις, ἃς μαρτυρεῖ ὁ θεῖος Μάξιμος, καὶ τὸν υἱὸν αἴτιον τῆς τοῦ πνεύματος ὑπάρξεως μαρτυροῦσιν. Ὅτι δὲ διὰ τῶν δύο ρρ λέγει τιμᾶν τὸν ὅρον· οὕτω γάρ, φησι, τιμᾶν αὐτὸν δίκαιον· καὶ τὰ ἑξῆς. πρῶτον μὲν θαυμάζω τὴν τοῦ ἀνδρὸς εὐλάβειαν, καὶ ὅτι οὐκ οἶδεν ὅσου τιμῆς ἄξιον τὸ θεῖον ὄνομα. εἰ γὰρ τὰ ὑπὸ τοῦ Δαθὰν καὶ Ἀβειρὼν κατασκευασθέντα εἰς ὑπουργίαν καὶ λατρείαν Θεοῦ ὁ θεόπτης
*Ἀριθμ. 16, 37. Μωϋσῆς οὐκ ἠθέλησε κοινὰ εἶναι, * διὰ τὸ ἅπαξ εἰς ὑπουργίαν θεοῦ καὶ λατρείαν ὀνομασθῆναι, τοῦτο γὰρ καὶ ὁ Θεὸς τῷ θεράποντι αὐτοῦ ἐνετείλατο· αὐτὸς ἐν τῷ ὅρῳ τῷ τοῦ Θεοῦ φρικτὸν ὄνομα περιέχοντι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος πολλαχοῦ μηδ' ὅλως εὐλαβηθεὶς τοιαῦτα ἐρεύγεται. ἀλλ' ἡμεῖς πάντοθεν τὸ σεμνὸν περιποιούμενοι ἐν ταῖς ἀπολογίαις ἀναπολόγητον τοῦτο ἐῶμεν, ὥσπερ καὶ τἄλλα, ἅπερ ἀπὸ θυμοῦ καὶ ὀργῆς, ὡς ἔοικε, κινούμενος λέγει, μηδ' ὅλως διὰ τῶν ἐλέγχων ἀπαντᾶν βουλόμενοι· μόνην γὰρ τὴν ἀλήθειαν φανεροῦν ἐθέλοντες, τἄλλα παροράμεν ἅπερ οὐ πρὸς αὐτὴν φέρουσιν, ἀλλὰ πρὸς μόνην ἐπίδειξιν.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν μετὰ τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου, ὡς ὁ υἱὸς ἐκ τοῦ πατρὸς, οὕτω καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς λέγομεν· οὗτοι δὲ μετὰ τῶν Λατίνων τὸν μὲν υἱὸν ἀμέσως, τὸ δὲ πνεῦμα ἐμμέσως ἐκ τοῦ πατρὸς λέγουσι. καὶ ἡμεῖς μὲν μετὰ τοῦ Δαμασκηνοῦ καὶ τῶν πατέρων ἁπάντων τὴν διαφορὰν τῆς γεννήσεως καὶ ἐκπορεύσεως ἀγνοεῖν ὁμολογοῦμεν, οὗτοι δὲ μετὰ τοῦ Θωμᾶ καὶ τῶν Λατίνων τῷ ἐμμέσῳ καὶ ἀμέσῳ διαφέρειν φασὶ τὰς προόδους.

ἈΠΟΛΟΓ. Καὶ ἡμεῖς ἐκ τοῦ πατρὸς λέγομεν τὸν υἱὸν καὶ τὸ

πνεῦμα, πλὴν τοῦ τρόπου τῆς ὑπάρξεως, ὡς αὐτὸς πάλιν ὁ ἅγιος κἂν αὐτὸς τοῦτο παρέδραμεν. εἰ γὰρ καὶ ἀμφοτέρων ὁ πατὴρ αἴτιός ἐστιν, ἀλλὰ τοῦ μὲν ἔστι κατὰ γέννησιν, τοῦ δὲ κατ' ἐκπόρευσιν. καὶ τοῦ μὲν ὡς γεννήτωρ, τοῦ δὲ ὡς προβολεύς· καὶ τοῦ μὲν προσεχῶς καὶ ἀμέσως, δηλαδὴ τοῦ υἱοῦ ἐκ τοῦ πατρὸς, τοῦ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πατρὸς, τουτέστιν ἐμμέσως καὶ διὰ τοῦ υἱοῦ, τουτέστι τοῦ πνεύματος. καὶ ταῦτα μαθόντες οὐ παρὰ Λατίνων, ὡς αὐτός φησιν, ἀλλὰ ἀμφότερα ἀπὸ τῶν τῆς ἐκκλησίας διδασκάλων. Καὶ ὁ μὲν Γρηγόριος ὁ Θεολόγος· Τὸ τῆς ἐκφάνσεως διάφορόν, φησι, διάφορον καὶ τὴν κλῆσιν πεποίηκεν. ὁ δὲ Νύσσης Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ φησί· Τὸ μὲν γάρ ἐστι προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένειν, καὶ ἐκ τοῦ πατρὸς τὸ πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης· Ὁ δὲ Κύριλλος ἐν τοῖς Θησαυροῖς φησι· Γεννᾷ ὁ πατὴρ τὸν υἱὸν ἀμεσιτεύτως. καὶ πάλιν ὁ αὐτὸς εἰς τὸ ῥητὸν τό· Πάντα δι' αὐτοῦ ἐγένετο,* φησί· Συνεῖναι τῷ υἱῷ τὸν πατέρα νοοῦμεν διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας, καὶ τὸ ἄκρως προσεχές τε καὶ ἄμεσον αὐτοῦ. Καὶ Ἀθανάσιος ὁ μέγας ἐν τῷ κατὰ Ἀρειομανιτῶν, οὗ ἡ ἀρχή· Οἱ Ἀρειομανῖται ὡς ἔοικε, κρίναντες· φησίν· Οὐ τὸ πνεῦμα συνάπτει τὸν λόγον τῷ πατρὶ, ἀλλὰ μᾶλλον τὸ πνεῦμα παρὰ τοῦ λόγου τοῦτο λαμβάνει. Καὶ ὁ θεῖος Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου φησίν· Ὡς γὰρ ἐκεῖνο ἀνόητον τὸ ἐρώτημα, ἐπὶ τοῦ ἀνάρχου καὶ ἀγεννήτου ζητεῖν τὸ ἀνώτερον, οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ ἀϊδίως τῷ πατρὶ συνόντος, καὶ οὐδὲν ἔχοντος μέσον ἑαυτοῦ τε καὶ τοῦ γεννήσαντος. τούτους οὖν ἡμεῖς ἔχοντες διδασκάλους ἀμφότερα ταῦτα λέγομεν· καὶ εἰ θέλει ἐγκαλεῖν ἡμῖν, ἔτι ἐγκαλείτω. ἀξιοπιστοτέρους γὰρ νομίσει καὶ αὐτὸς καὶ πάντες οὓς ἔχομεν μάρτυρας, ἢ τὰ αὐτοῦ αὐτός τε καὶ πάντες· διὰ τοῦτο τὸ ἐμμέσως καὶ ἀμέσως λίαν καλῶς λέγομεν καὶ ἀληθῶς, καὶ ὡς θεολογοῦσιν οἱ ἅγιοι, κἂν αὐτὸς ἀπαρέσκηται.

* Ἰω. 1, 3.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν τῆς ἀκτίστου καὶ θείας φύσεως ἄκτιστον καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν εἶναί φαμεν κατὰ τοὺς πατέρας· οὗτοι δὲ μετὰ Λατίνων καὶ τοῦ Θωμᾶ τὴν μὲν θέ-

λησιν ταὐτὸν τῇ οὐσίᾳ, τὴν δὲ θείαν ἐνέργειαν κτιστὴν εἶναι λέγουσι, * κἄν τε θεότης ὀνομάζοιτο, κἄν τε θεῖον καὶ ἄϋλον φῶς, κἄν τε πνεῦμα ἅγιον, κἄν τέ τι τοιοῦτον ἕτερον· καὶ οὕτω κτιστὴν θεότητα, καὶ κτιστὸν θεῖον φῶς, καὶ κτιστὸν πνεῦμα ἅγιον τὰ πονηρὰ πρεσβεύουσι κτίσματα.

* Ταῦτα συκοφαντίας ὑπερβολή.

ʼΑΠΟΛΟΓ. Ἡμεῖς καὶ Λατῖνοι τοῖς θείοις πατράσιν ἀκολουθοῦντες καὶ Γρηγορίῳ τῷ θεολόγῳ, ὃν καὶ συστατικὸν τῆς πίστεως ὀνομάζουσι· καὶ γὰρ οὕτως ἔχει διὰ τὸ περιὸν τῆς σοφίας, καὶ τὸ τῶν δογμάτων ὕψος· σὺν αὐτῷ ὁμολογοῦμεν, ὡς ἐν τῷ Συντακτηρίῳ ἀποφαίνεται· Κτίσμα δὲ θεοῦ μὲν λεγέσθω, μέγα γὰρ ἡμῖν τοῦτο, θεὸς δὲ μηδαμῶς· ἢ τότε δέξομαι κτίσμα εἶναι θεὸν, ὅταν κἀγὼ γένωμαι κυρίως θεός. ἔχει γὰρ οὕτως· εἰ μὲν θεὸς οὐ κτίσμα, μεθ᾽ ἡμῶν γὰρ τὸ κτίσμα τῶν οὐ θεῶν· εἰ κτίσμα δὲ, οὐ θεὸς, ἤρξατο γὰρ χρονικῶς· ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν· οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν· τὸ δὲ μὴ κυρίως ὂν, πῶς θεός; οὔτε οὖν κτίσμα τῶν τριῶν οὐδὲ ἕν· οὔτε, ὃ τούτου χεῖρον, δι᾽ ἐμὲ γενόμενον, ἵνα μὴ κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. πῶς οὖν ἡμεῖς τὸ μὴ ἀρξάμενον χρονικῶς ἐν τῇ μακαρίᾳ τριάδι ἐννοήσωμεν κτιστόν; καὶ ὁ θεῖος Βασίλειος ἐν τοῖς ʼΑντιῤῥητικοῖς, ἐν κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή· Περὶ τοῦ ἁγίου πνεύματος, φησίν· Ὅτι τὰ κοινὰ τῆς κτίσεως ἀκοινώνητα τῷ ἁγίῳ πνεύματι, καὶ τὰ ἴδια τοῦ πνεύματος ἀκοινώνητα τῇ κτίσει, ἐξ ὧν συνάγεται μὴ εἶναι κτίσμα τὸ πνεῦμα· ὅτι τὰ κοινὰ τῷ πατρὶ καὶ τῷ υἱῷ, ταῦτα κοινὰ καὶ τῷ πνεύματι· ὅτι ἐν οἷς χαρακτηρίζεται θεὸς ὁ πατὴρ καὶ ὁ υἱὸς ἐν τῇ γραφῇ, ἐν αὐτοῖς χαρακτηρίζεται καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐξ ὧν συνάγεται τῆς αὐτῆς θεότητος τὸ πνεῦμα τῷ πατρί. ὅτι τὰ μόνῳ προσόντα τῷ πατρὶ ὡς θεῷ καὶ οὐχ ὡς πατρὶ, καὶ τῷ υἱῷ ὡς θεῷ, ταῦτα μόνῳ πρόσεστι καὶ τῷ πνεύματι, οὐκέτι δὲ καὶ τῇ κτίσει, ὡς τὰ ἀκοινώνητα ὀνόματα καὶ πράγματα τῇ κτίσει, μόνῃ κοινὰ τῇ τριάδι, ἐξ ὧν συνάγεται ὁμοούσιος ἡ τριάς. οὕτω δοξαζόντων ἡμῶν, πῶς τοιαῦτα φθέγγεται; τίς οὖν ἐστιν ὁ δοξάζων, ὡς αὐτός φησι, κτίσμα τὸ πνεῦμα, δι᾽ οὗ θεούμεθα; τοσοῦτον οἴεται ἀμαθαίνειν ἡμᾶς περὶ τὴν εὐσέβειαν, ὡς κτίσμα λατρεύειν; ὁ κτίσμα λατρεύων μὴ ἴδῃ ἑωσφόρον ἀνατέλλοντα, ὥς φησιν ὁ θεολόγος Γρηγόριος. οὐδὲν γὰρ

κτιστὸν ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ τριάδι τῇ ἀπαραλλάκτῳ καὶ ἀμερίστῳ οὐσίᾳ καὶ ἐνεργείᾳ ἐννοοῦμεν, τοῦτο γὰρ ἀλλότριον τῆς τοῦ Χριστοῦ ἐκκλησίας.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν οὔτε τοὺς ἁγίους ἀπολαβεῖν τὴν ἡτοιμασμένην αὐτοῖς βασιλείαν καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ, οὔτε τοὺς ἁμαρτωλοὺς εἰς τὴν γέενναν ἐμπεσεῖν ἤδη φαμέν· ἀλλ' ἐκδέχεσθαι τὸν ἴδιον ἑκατέρους κλῆρον, καὶ εἶναι τοῦτο καιροῦ τοῦ μέλλοντος κατὰ τὴν ἀνάστασιν καὶ τὴν κρίσιν. οὗτοι δὲ μετὰ τῶν Λατίνων τοὺς μὲν αὐτίκα μετὰ θάνατον ἀπολαβεῖν ἤδη τὰ κατ' ἀξίαν ἐθέλουσι, τοῖς δὲ μέσοις εἴτουν τοῖς ἐν μετανοίᾳ τετελευτηκόσι πῦρ αὐτοὶ καθάρσιον ἕτερόν τι τῆς γεέννης ὑπάρχον ἀναπλάσαντες ἀποδιδοῦσιν, ἵνα δι' αὐτοῦ, φησι, καθαιρόμενοι τὰς ψυχὰς μετὰ θάνατον ἐπὶ τὴν βασιλείαν καὶ αὐτοὶ μετὰ τῶν δικαίων ἀποκαταστῶσι· τοῦτο δὲ καὶ ὁ ὅρος αὐτῶν περιέχει.

ἈΠΟΛΟΓ. Ἐνταῦθα καὶ ἑαυτῷ ὁ αἰδέσιμος οὗτος ἐν προοιμίοις ἀντιλέγει, καὶ οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ πᾶσι τοῖς ᾀδομένοις ἐπ' ἐκκλησίας, καὶ πᾶσι τοῖς ἁγίοις. διὸ χρεὼν ἐστι πρότερον τὰ αὐτοῦ προθεῖναι, μετὰ δὲ ταῦτα καὶ ὀλίγα τινὰ ἐκ τῶν ἁγίων. Οἱ ἐν τῇ περιωνύμῳ νήσῳ Κρήτῃ ἠξίωσαν αὐτὸν τὸν αἰδέσιμον Ἐφέσου λόγον ποιῆσαι, ἵνα ἀναγινώσκωσιν ἐν τῇ ἐτησίῳ μνήμῃ τοῦ ἁγίου Ἠλιοῦ. ὁ δὲ δεξάμενος τὴν οὐκ ἄμισθον παράκλησιν, τὴν μὲν ἀπὸ τοῦ ἁγίου, τὴν δὲ καὶ ἀπὸ τοῦ οἴνου μετὰ οὑτωσί πως ὀνομαζομένου βαρελίου, λόγον ἐποίησεν, οὗ ἡ ἀρχή· Ἔδει μὲν ἀληθῶς ἡμῖν οὐρανοδρόμου τοῦ λόγου, συνεπαρθῆναι δι' αὐτοῦ τῷ θεόπτῃ προθυμουμένοις. ἐν τούτῳ φησίν· Ἐγὼ δ' ὅτι μὲν ἔξεστιν αὐτῷ, καθάπερ καὶ ταῖς τῶν ἁγίων ψυχαῖς, ὅποι ποτὲ βούλεται κατὰ καιρὸν ἐπιχωριάζειν, ναοῖς τε οἰκείοις ἐμφιλοχωρεῖν, καὶ τοῖς ἑκάστοτε δεομένοις ἐπιφοιτᾶν, ἀναγκαῖόν τε ἡγοῦμαι καὶ ἀληθὲς εἶναι. οὐ μὴν διὰ ταῦτα φαίην ἂν αὐτὸν τῶν οὐρανῶν ἀπολείπεσθαι, καὶ τῆς ἐκεῖσε λαμπροφορίας, καὶ μετὰ τῶν ἀγγέλων δεσποτικῆς παραστάσεως· ἦ γὰρ ἂν ἔλαττον εἶχε τῶν ἄλλων ἁγίων ὁ ὑπὲρ πάντας σχεδὸν, εἴ γε διὰ τὸ τὴν σάρκα φορεῖν ἀφειστήκει τῆς μετ' αὐτῶν κοινωνίας καὶ τῆς τοῦ θεοῦ πρὸς πρόσωπον θεωρίας, ἧς καὶ παρὰ πάντα τὸν βίον ἐξαιρέτως ἀπήλαυσε. μαρτυρεῖ μοι τῷ λόγῳ καὶ τὸ εἰς αὐτὸν παρὰ τῆς ἐκκλησίας

ᾀδόμενον οὕτως ἔχον· Προφῆτα κήρυξ Χριστοῦ τοῦ Θρόνου τῆς μεγαλωσύνης οὐδέποτε χωρίζῃ, καὶ ἑκάστῳ ἀσθενοῦντι ἀεὶ παρίστασαι, ἐν τοῖς ὑψίστοις λειτουργῶν τὴν οἰκουμένην εὐλογεῖς, πανταχοῦ δοξαζόμενος. Ἰδοὺ λαμπρῶς καὶ προφανῶς ὁ τίμιος οὗτος τῆς πρὸς πρόσωπον θεωρίας τοῦ Θεοῦ τοὺς ἁγίους ἀπολαύειν διϊσχυρίζεται, καὶ τὸν ἅγιον Ἠλίαν καὶ μετὰ τοῦ σώματος τῆς τοιαύτης ἀξιοῦσθαι θεωρίας φάσκει. εἰ οὖν ἄλλο τί ἐστιν ἡ ἡτοιμασμένη βασιλεία καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ εἰ μὴ ἡ τοῦ Θεοῦ θεωρία ἡ πρόσωπον πρὸς πρόσωπον, ἐμφανισάτω ἡμῖν· ἔσται γὰρ ἐκείνη μείζων τῆς θεωρίας αὐτοῦ τοῦ Θεοῦ ἡ ἀπόλαυσις· ἀλλ' οὐδεὶς τῶν ἁγίων μέχρι καὶ τήμερον τοῦτ' εἴρηκεν, ὅτι ἔστι τι μεῖζον εἰς ἀπόλαυσιν, εἰ μὴ μόνη ἡ τοῦ Θεοῦ θεωρία. ἀλλὰ καὶ τὸ παρὰ τοῦτον τὸν βίον τοιαύτης ἀξιοῦσθαι θεωρίας, ὡς αὐτός φησιν, οὐδεὶς εἴρηκε· τὸ δὲ πρόσωπον πρὸς πρόσωπον ὁρᾷν τοὺς ἁγίους νῦν τὸν Θεὸν, καλῶς καὶ ἀληθῶς λέγει· ἔχει γὰρ καὶ ἄλλους τῶν ἁγίων λέγοντας τοῦτο, ἀλλὰ καὶ τὸν πατέρα καὶ διδάσκαλον Ἰωάννην τὸν χρυσοῦν τὴν γλῶτταν· φησὶ γὰρ ἐν τῷ λόγῳ, οὗ ἡ ἐπιγραφή· Ὅτι τοὺς ἁμαρτωλοὺς δεῖ θρηνεῖν, καὶ ὅτι μεγάλως ὠφελοῦσι τοὺς κεκοιμένους αἱ ὑπὲρ αὐτῶν λειτουργίαι. ἡ δὲ ἀρχὴ τοῦ λόγου· Ὁ θάνατος, ἀδελφοὶ, τῶν ἀδιαφόρων ἐστί· Χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες ἐλεεινοὶ πᾶσίν εἰσιν, ἐπειδὴ προσκρούουσιν· οὗτοι καὶ ἐκεῖ μεταστάντες μακάριοι, ὅτι πρὸς Χριστὸν ἀπῆλθον· οἱ ἁμαρτωλοὶ ὅπου ἂν ὦσι, πόῤῥω τοῦ βασιλέως εἰσὶ, διὰ τοῦτο καὶ δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι ἄν τε ἐνταῦθα, ἄν τε ἐκεῖ, μετὰ τοῦ βασιλέως εἰσὶ, κἀκεῖ μᾶλλον καὶ ἐγγύτερον, οὐ διὰ ἐσόπτρου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον. Καὶ Γρηγόριος δὲ ὁ Θεολόγος ἐν τῷ τέλει τοῦ λόγου τοῦ εἰς τὸν ἅγιον Κυπριανόν φησι. Καὶ τὴν τῆς ἁγίας τριάδος ἔλλαμψιν, ἧς νῦν παραστάτης. Ἔτι πλατύτερον ὁ αὐτὸς περὶ τούτου ἐν τῷ εἰς τὴν ἀδελφὴν ἐπιταφίῳ. καὶ τί δεῖ πολλὰς εἰσάγειν μαρτυρίας; ἐν γὰρ τῇ περὶ τούτου πραγματείᾳ πλατύτερον εἴπομεν καὶ σαφέστερον, ὑπεραπολογούμενοι τοῦ ἐν τῷ ὅρῳ τετάρτου κεφαλαίου· καὶ ὁ ἐντυχὼν ἐκείνοις καὶ τὰς λοιπὰς εὑρήσει μαρτυρίας. εἰ οὖν οἱ ἅγιοι παρίστανται τῇ ἁγίᾳ τριάδι, καὶ πρόσωπον πρὸς πρόσωπον ὁρῶντες τὸν Θεὸν οὐκ ἀπολαμβάνουσι τελείοις, ἀλλὰ ἄλλο

τί ἐστιν ἡ ἀπόλαυσις, ἐμφανισάτω αὐτὸς, καὶ ἡμεῖς σιγήσομεν· ἀλλ' οὐκ ἔχει τι πλέον δεῖξαι, εἰ μὴ τὴν θεωρίαν ταύτην. ἓν μόνον ἐστὶν, ᾧ οἱ πολλοὶ καὶ διαφωνοῦντας τοὺς ἁγίους νομίζουσιν, ὅτι ποτὲ μὲν τελείως λέγουσιν ἀπολαμβάνειν τοὺς ἁγίους, ποτὲ δὲ οὐ τελείως. ὅταν γὰρ περὶ τῶν ψυχῶν αὐτῶν ἐννοῶσι καὶ λέγουσιν, ἀπολαμβάνειν τελείως φασίν· ὅταν δὲ περὶ τοῦ ὅλου ἀνθρώπου, οὐ τελείως· πῶς γὰρ τῆς κοινῆς ἀναστάσεως μὴ ἐλθούσης τὸ συναμφότερον ἀπολαμβάνοι; διὰ καθὸ μὲν ψυχαὶ τελείως ἀπολαμβάνουσιν οἱ ἅγιοι, καθὸ δὲ οὐ μόνον ψυχαὶ ἦσαν, ἀλλὰ σώματα ἐνεδέδυντο, οὐ τελείως ἀπολαμβάνουσιν. ὡς γὰρ εἶδός ἐστιν ἐν τῷ σώματι ἡ ψυχή· καὶ ἡ μὲν ὕλη, ὅπερ ἐστὶ τὸ σῶμα, οὔπω ἀνέστη, οὐδ' ἀπείληφεν· ἡ δὲ ψυχὴ τελείως ἀπολαμβάνει. ὅτι δὲ τὸ συναμφότερον ἠγωνίσατο, οὔπω τελείως λέγομεν ἀπολαμβάνειν. ὅταν δὲ ἀπὸ μέρους τὸ πᾶν λογιζώμεθα καὶ τοῦ τιμιωτέρου, τελείως λέγομεν ἀπολαμβάνειν τοὺς ἁγίους. μαρτυρήσει τοῦτο καὶ ὁ μακάριος Γρηγόριος ὁ διάλογος ἐν τῷ κεφαλαίῳ τῶν διαλόγων. ἐπεὶ πῶς ἄλλως ἔχομεν ἐννοεῖν, ὅτι εἰ μὴ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν; εἰ γοῦν οὐκ ἀπέλαβον τὸ τέλειον, οὐδὲ πρεσβεύουσιν, ἀλλ' οὐδὲ πρεσβεύσουσιν, ἐν γὰρ τῷ μέλλοντι πρεσβεία οὐκ ἔστιν. Ἀλλ' ὅτι καὶ ἐν πυρὶ κολάζονται πρὸ τῆς κοινῆς ἀναστάσεως οἱ μὴ ἐνταῦθα ἱκανοποιήσαντες, ἀπὸ διηγήσεως τῶν πατέρων καὶ περὶ τούτου ἐμφανέστερον ποιήσομεν. Ἐν τῷ ἐπ' ἐκκλησίας ἀναγινωσκομένῳ λόγῳ, τῷ ἐπιγραφὴν ἔχοντι, Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ, μετὰ τῶν ἄλλων τῶν ὁμοίων τούτῳ καὶ τοῦτο περιέχεται· Ὅτι τις τῶν θεοφόρων πατέρων μαθητὴν ἔχων ἐν ἀμελείᾳ βιοῦντα, καὶ τοῦτον πρὸς τὸ τοῦ βίου πέρας ῥᾳθύμως ἐπιφθάσαντα, ὁ πανοικτίρμων καὶ φιλόψυχος κύριος μετὰ δακρύων αἰτησαμένου τοῦ γέροντος, ὡς κατὰ τὸν Λάζαρον πλούσιον, ἐν τῇ φλογὶ καυσούμενον μέχρι τοῦ τραχήλου ὑπέδειξεν· ὡς ἐντεῦθεν πολλὰ τοῦ ἁγίου πονήσαντος, καὶ σὺν δάκρυσι τὸν θεὸν ἐκλιπαρήσαντος, παντελεύθερον καὶ τοῦ πυρὸς λελυτρωμένον ἐν ὀπτασίᾳ τῷ γέροντι δεδεῖχθαι. διὰ γὰρ τῆς ἀμελείας τὴν κόλασιν ὑπέμεινε, διὰ τοῦτο καὶ εὐίλατος ἡ τοιαύτη ἁμαρτία. εἰ οὖν τοῦτο ψεῦδος, καὶ τὸ παρὰ Λατίνοις πουργατώριον ψεῦδός ἐστιν· Εἰ δὲ

τοῦτο ἀληθὲς, ἐπεὶ καὶ τὸ πλήρωμα τοῦ εὐαγγελίου ἐκ τῶν βίων τῶν ἁγίων πατέρων πιστεύομεν, πάντως ἀληθῆ εἰσι καὶ ἃ σὺν Λατίνοις λέγομεν, κἂν αὐτὸς ἀπαρέσκηται. Καὶ Μαλαχίας δὲ ὁ προφήτης φησίν· Ὡς πῦρ ἐν χωνευτηρίῳ, καὶ ὡς ποιὰ πλυνόντων
* Μαλ. 3, 3. πλυνεῖ καὶ καθαριεῖ ὁ Θεός τινας· * τὸ πῦρ οὖν ἐκεῖνο τὸ αἰώνιον οὐ καθαριεῖ τινας, οὐδὲ πλυνεῖ. εἰ οὖν οἱ ἁμαρτάνοντες ἀπὸ μόνης ἐξομολογήσεως ἐν τῷ τέλει τοῦ βίου συγχωροῦνται, περισσὰ πάντα ὅσα μετὰ θάνατον ἢ καὶ ζῶντος τοῦ ἐξομολογουμένου ἡ ἐκκλησία νενομοθέτηκε ποιεῖν ὑπὲρ τῶν ζώντων τε καὶ τεθνεώτων. ἀλλὰ καὶ οἱ ἀμετανοήτως ἀποθνήσκοντες ἁμαρτωλοὶ εἰς κόλασιν ἀπέρχονται. Φησὶ γὰρ ὁ θεῖος Μάξιμος πρὸς Κουβικουλάριον γράφων· Τίς γὰρ, ἀγαπητὲ, τῶν κατ' ἐμὲ ῥύποις ἁμαρτημάτων κατεστιγμένος οὐ φοβεῖται τὴν τῶν ἁγίων ἀγγέλων ἐπιστασίαν, ὑφ' ὧν κατὰ τὴν θείαν ψῆφον τῆς παρούσης ζωῆς τὸ πέρας δεχόμενος βίᾳ τοῦ σώματος μετ' ὀργῆς ἐξωθεῖται καὶ μὴ βουλόμενος; τίς κεκηλιδωμένην ἑαυτῷ συνεπιστάμενος τὴν συνείδησιν, οὐ δέδοικε τὴν ὠμοτάτην τῶν πονηρῶν δαιμόνων καὶ βαρβαρώδη ὑπάντησιν, ἑκάστου τούτων κατὰ τὸν ἀέρα μετὰ τὴν ἔξοδον πρὸς ἑαυτὸν ἀφειδῶς τὴν ἀθλίαν ψυχὴν ἕλκοντος; καὶ τῷ ἐλέγχῳ τῶν αὐτῇ πεπραγμένων τῆς ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἐλπίδος ἐλεεινὴν ἀπόγνωσιν; μετὰ δὲ τὴν γενομένην κατὰ τὸν ἀέρα πρὸς τὰ πνευματικὰ τῆς πονηρίας διάγνωσίν τε καὶ λογοθέτησιν, ἡ πρὸς τὸν ᾅδην κατάπτωσις διαδέχεται καὶ παροίκησις· ἐν ᾧ σκότος βαθὺ καὶ βαθυτάτη σιγή· τροφὴν ἔχουσαι αἱ ἐκεῖσε καταδεδικασμέναι ψυχαὶ τοὺς δριμυτάτους στεναγμοὺς, καὶ τὰ πικρότατα δάκρυα, καὶ τὴν ἐπὶ τοῖς δεινοῖς κατήφειαν· ἐκδεχόμεναι διὰ παντὸς οὐδὲν ἄλλο, ἢ μόνην τὴν ἐπὶ τῇ δικαίᾳ ψήφῳ δικαίαν ἀνταπόδοσιν. ταύτην νῦν συνίστησιν αὐτοῖς τὴν ἄπαυστον λύπην καὶ ὀδύνην ἡ τῆς ἀναστάσεως ἐλπὶς, ἡ τῆς φοβερᾶς τοῦ Χριστοῦ παρουσίας ἡμέρα, ἡ φρικωδεστάτη παράστασις, ἡ περὶ τῶν βεβιωμένων πάντων ἀπολογία· καθ' ἣν οἱ μὲν ἐκ δεξιῶν τοῦ Χριστοῦ στάντες λήψονται τῶν ἀπορρήτων ἀγαθῶν τὰς ἐπαγγελίας, οἱ δὲ τὴν ἀριστερὰν στάσιν λαχόντες τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸ ἐξώτερον σκότος, καὶ τὸν ἀκοίμητον σκώληκα, τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τὸ διηνεκὲς δάκρυον, καὶ τὴν ἀπέραντον αἰσχύνην. Καὶ ὁ μα-

κάριος Γρηγόριος ὁ διάλογος ἐν τῷ προμνημονευθέντι λόγῳ τῶν διαλόγων φησίν.

Πέτρος διάκονος. Συντίθεμαι· τοῦτο δὲ ἀκμὴν ἀπορῶ, εἰ καθὼς τὰς τῶν ἁγίων ψυχὰς ἐν τῷ οὐρανῷ εἶναι ἀπεδείχθη, οὕτω καὶ τὰς τῶν ἁμαρτωλῶν ἐν τῷ ᾅδῃ εἶναι πιστευτέον. τί δὲ περὶ τούτου τοῦ ζητήματος ἡ ἀλήθεια ἔχει ἀγνοῶ· ἡ γὰρ τῶν πολλῶν ὑπόληψις οὐκ ἔχει τὰς τῶν ἁμαρτωλῶν ψυχὰς πρὸ τῆς κρίσεως δύνασθαι τιμωρεῖσθαι.

Γρηγόριος. Ἐὰν τὰς τῶν ἁγίων ψυχὰς ἐν τῷ οὐρανῷ εἶναι ἐπίστευσας, δέον ἐστὶν ἵνα καὶ τὰς τῶν ἀδίκων ψυχὰς ἐν τῷ ᾅδῃ εἶναι ἐκ παντὸς πιστεύσῃς. ἐκ γὰρ τῆς ἀνταποδόσεως τῆς ἀϊδίου δικαιοσύνης, ἐξ ἧς οἱ δίκαιοι δοξάζονται, ἀναγκαῖον καὶ ἀκόλουθόν ἐστιν, ἵνα καὶ ἄδικοι πάντως κολάζωνται. καθάπερ γὰρ τοὺς ἐκλεκτοὺς ἡ μακαριότης εὐφραίνει, οὕτω πιστεύειν χρὴ, ὅτι καὶ τοὺς ἀδίκους ἀπὸ τῆς ἡμέρας τῆς ἐξόδου αὐτῶν τὸ πῦρ καταφλέγει. Ἰδοὺ δέδεικται σαφῶς, ὅτι καὶ οἱ ἀμετανοήτως ἀποθνήσκοντες εἰς κόλασιν ἀπέρχονται, ἐκδεχόμενοι καὶ τὴν ἐπένδυσιν τῶν σωμάτων, ἵνα τὸ συναμφότερον κολάζηται, ὅτε καὶ τελεία λέγεται κυρίως καὶ ἔστιν ἡ ἀπέραντος κόλασις. οὐ χρεία οὖν τοῦ λοιποῦ ἐπιδεικνύειν περὶ τούτου, ἀρκούντων τῶν εἰρημένων· εἰ δὲ καὶ τούτοις οὐ πεισθήσεται, οὐδ' ὅσα ἄν τις εἴπῃ, πεισθήσεται.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν ἀποστρεφόμεθα τὸ ἰουδαϊκὸν ἄζυμον, τοῖς ἀποστόλοις κανονίζουσιν ὑπακούοντες· οὗτοι δὲ ἐν τῷ αὐτῶν ὅρῳ σῶμα Χριστοῦ τὸ παρὰ τῶν Λατίνων ἱερουργούμενον αποφαίνονται.

ἈΠΟΛΟΓ. Ὡς ἔοικεν οὖν ὁ τοῦ θεοῦ ἄνθρωπος οὗτος ἀγνοεῖ, ὅσον τὸ διάφορον τοῦ ἰουδαϊκοῦ πάσχα καὶ τῶν ἀζύμων, καὶ τῆς μυστικῆς ἱερουργίας. ὁ γὰρ ἀποστολικὸς κανὼν τοὺς μετὰ Ἰουδαίων τὸ πάσχα τελοῦντας, ὅπερ ἐστὶν ὁ ἀμνὸς καὶ τὰ ἄζυμα, κωλύει· ὅπερ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος διὰ πολλῆς σπουδῆς εἶχε τοῦτο κατορθῶσαι· ὅπερ καὶ κατορθώσασα τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ γράφει· Εὐαγγελιζόμεθα ὑμῖν καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγιωτάτου πάσχα, ὅτι ταῖς ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος· ὥστε πάντας τοὺς τῆς ἑῴας ἀδελφοὺς, τοὺς μετὰ Ἰουδαίων τὸ πρότερον ποιοῦντας, σύμφωνα Ῥωμαίοις καὶ ὑμῖν καὶ

πᾶσι τοῖς ἐξ ἀρχῆς μεθ' ἡμῶν φυλάσσουσι, τὸ πάσχα ἐκ τοῦ δεῦρο μεθ' ἡμῶν ἄγειν. τελείας οὖν ἀναστάσεως γενομένης ἀτελῶς τινες ἑορτάζοντες ταύτην οὐκ ἐρυθριῶσιν. Αὐτὸς δὲ οὐκ οἶδ' ὅπως εἰπεῖν, προσποιούμενος μὴ εἰδέναι ὅσα τε λέγουσιν οἱ ἅγιοι, καὶ μάλιστα ὅτι ὁ Χριστὸς τὸ νομικὸν πάσχα τελέσας, μετὰ δὲ ταῦτα τὴν μυστικὴν ἐκείνην θυσίαν τετέλεκε, καὶ μετέδωκεν αὐτὸς τὴν μυστικὴν καὶ φρικτὴν ἱερουργίαν, καὶ τὰ θεῖα ῥήματα τά· Τοῦτό
* Ματθ. 26, 26. 28. ἐστι τὸ σῶμά μου· καί· Τοῦτό ἐστι τὸ αἷμά μου· * πάντα τὰ τελούμενα κατὰ τὸν δοθέντα παρὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ ὅρον τε καὶ κανόνα, εἰς τὴν τοῦ ἰουδαϊκοῦ πάσχα τελετὴν ἀναφέρει, καὶ τὸν κανόνα προβάλλεται. οὐκ οἶδεν οὖν ὁ τοῦ θεοῦ ἄνθρωπος, ὡς ἔοικε· κρεῖττον γὰρ τοῦτο λέγειν ἡμᾶς· ἢ οἶδε μὲν, ἑκουσίως δὲ ταῦτα λέγει, ἐξαπατῶν τοὺς ἀφελεστέρους. ἡμεῖς δὲ φαμὲν, ὅτι τέσσαρα περιεῖχεν ὁ παλαιὸς νόμος· κριτικά· μυστικὰ ἢ τυπικὰ, ἀμφότερα γὰρ ἓν δηλοῦσιν· ἠθικά· καὶ σκιώδη. καὶ τὰ μὲν κριτικὰ ἡμέρωσεν ὁ κύριος· τὴν γὰρ ἐπὶ μοιχείᾳ κατειλημμένην τοῦ νόμου κελεύοντος λιθοβολεῖν, ὁ κύριος εἴρηκεν· Ὅστις οὐχ ἥμαρτε,
* Ἰω. 8, 7. βαλλέτω λίθον ἐπ' αὐτήν· καὶ πάλιν· * Ὀδόντα ἀντὶ ὀδόντος· καὶ
* Ματθ. 5, 38. 39. τό· Ὅστις σε ῥαπίσει. * καὶ τί δεῖ λέγειν κατὰ μέρος, πάντων ταῦτα εἰδότων ἀκριβῶς; τὰ ἠθικὰ ηὔξησε διὰ τῆς εὐαγγελικῆς διδασκαλίας· ὅπερ θεμέλιον ἔχοντες οἵ τε ἀπόστολοι καὶ οἱ διδάσκαλοι πολλὰ περὶ ἀρετῆς εἶπον, καὶ τὴν κακίαν ἐστηλίτευσαν, καὶ ἀπεδίωξαν, τὴν δὲ σεμνότητα ἐτράνωσαν, καὶ ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνεφύτευσαν. τὰ δὲ τυπικὰ ἃ καὶ μυστικὰ καλοῦσιν ἀπέκοψε, τὴν περιτομὴν, καὶ τὸ σάββατον, καὶ τὰς ζωοθυσίας, καὶ τὸ πάσχα, καὶ τὸ ἀμνόν. διὰ τοῦτο καὶ ταῦτα ἐν Ἱεροσολύμοις ἐκέλευσε καὶ μόνον τελεῖσθαι, ἵνα καὶ ῥᾳδίως ἡ κατάλυσις αὐτῶν γένηται, τοῦ ναοῦ καὶ τῆς πόλεως κατασκαφέντων, ἄλλοθεν δὲ μὴ δυναμένων ταῦτα τελεῖν παύσωνται. τὰ δὲ σκιώδη ἀνεμόρφωσεν, ἀντὶ σκιᾶς τὴν ἀλήθειαν μορφώσας. αὐτὸς δὲ τὴν ἀναίμακτον καὶ φρικτὴν θυσίαν, τὴν τελειουμένην παρὰ τοῦ πνεύματος καὶ αὐτοῦ Χριστοῦ καὶ τοῦ πατρὸς, ὡς ἀδιαιρέτων ὄντων τῶν ἔργων τῆς ἁγίας τριάδος, εἰ καὶ αὕτη ἡ φωνὴ τοῦ σωτῆρός ἐστιν, ἡ κελεύουσα· Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου· ἢ τὸν ἄρτον, καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ εἰς σῶμα Χριστοῦ μεταβ-

ῥυθμίζουσα καὶ αἷμα, ὥς φησιν ὁ θεῖος Χρυσόστομος· εἰς τὴν τοῦ Ἰουδαϊκοῦ πάσχα τελετὴν ἀνάγει, καὶ τὸν κανόνα παρεξηγεῖται. ἀλλ' ἡμεῖς πάντα τῶν Ἰουδαίων τὰ μυστικὰ ἀκάθαρτα ἡγούμεθα, ὡς καὶ ὁ Χρυσόστομος ἐν τοῖς κατὰ Ἰουδαίων λόγοις τρανότερον παρίστησιν, ὧν ἕν ἐστι καὶ τὸ πάσχα, ὡς ἔξω τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις παρὰ τὴν τοῦ θείου νόμου κέλευσιν τελούμενα. προείπομεν καὶ περὶ τῆς μυστικῆς ταύτης θυσίας, καὶ οὐ χρὴ περὶ τούτου παλιλλογεῖν· εἰ καὶ ἐνταῦθα ὑπ' αὐτοῦ ἀναγκαζόμενοι λέγομεν, ὅσα δῆτα καὶ λέγομεν καὶ μὴ βουλόμενοι, αὐτὸς γὰρ ὁ αἴτιος.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν ἀθεμίτως, καὶ παρανόμως, καὶ τοῖς πατράσιν ἐξ ἐναντίου τὴν ἐν τῷ συμβόλῳ προσθήκην γεγενῆσθαί φαμεν· οὗτοι δὲ αὐτὴν θεμιθῶς καὶ εὐλόγως διορίζονται γεγενῆσθαι τοσοῦτον οἴδασι τῇ ἀληθείᾳ καὶ ἑαυτοῖς συμφωνεῖν.

ἈΠΟΛΟΓ. Καὶ ἡμεῖς πᾶσαν ἀνάπτυξιν καὶ σαφήνειαν μὴ ἐναντίαν οὖσαν τῇ δόξῃ τῶν ἁγίων, ἀλλ' ἐξ αὐτῶν μᾶλλον βεβαιουμένην, παρὰ συνόδου προστεθεῖσαν, ὅπου ἂν προστεθῇ, δεχόμεθα. τοῦτο καὶ Μάξιμος ὁ θεῖος βεβαιοῖ ἐν τῇ διαλέξει αὐτοῦ τῇ πρὸς τὸν τὰ Εὐνομίου φρονοῦντα. φησὶ Μακεδόνιος πρὸς τὸν Μάξιμον· Ὑπογράφεις οὖν τῇ ἐκθέσει Λουκιανοῦ; Μάξιμος· Τί κατέγνως τῆς ὑπὸ τῶν τιη' πατέρων ἁγίων τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐκτεθείσης, ἵνα καὶ ἄλλην περιβλέψῃς; Μακεδόνιος· Σὺ τί κατέγνως τῆς τοῦ Λουκιανοῦ; ὁ Ὀρθόδοξος· Κατέγνων τῆς προσθήκης, ἧς προσεθήκατε ἐναντία αὐτῆς. Μακεδόνιος· Ὑμεῖς γὰρ οὐ προσεθήκατε τῇ ἐν Νικαίᾳ; ὁ Ὀρθόδοξος· Ἀλλ' οὐκ ἐναντία αὐτῇ. Μακεδόνιος· Ὅλως προσεθήκατε. Ὀρθόδοξος· Τὰ τότε μὴ ζητηθέντα νῦν ἡρμήνευσαν οἱ πατέρες εὐσεβῶς. Διὸ καὶ ἡμεῖς τὴν τούτου μαρτυρίαν ἔχοντες καὶ τῶν λοιπῶν πατέρων τῶν λεγόντων, ὅτι ἀνάπτυξις οὐ κωλύεται συμφωνοῦσα τῇ ἱερᾷ γραφῇ τῇ ἀληθείᾳ συνηγορήσαμεν. οὐ γὰρ δύναται αὐτὸς ἀντειπεῖν, ὅτι πᾶσα ἡ θεία γραφὴ ἀνάπτυξιν δεχομένη οὐ κωλύεται· διὸ καὶ τὸ προστεθὲν ἀνάγκης γενομένης ἐν τῷ συμβόλῳ, δίκαιον ἔδοξε προσκεῖται. Καὶ ἔτι ἐκ τῆς βιβλιοπανσυλλέκτου ἀνθολογίας Εὐλογίου πατριάρχου Ἀλεξανδρείας. φησὶ γάρ· Ἀλλὰ γὰρ τῆς αἱρέσεως πάλιν ἡ ἀπόνοια τὴν τετάρτην μέμφεται σύνοδον, ὡς ὅρον ἐκθεμένην· διατεινο-

μένη τὴν τοιαύτην ἐπιχείρησιν ὑπὸ τῆς κατὰ τὴν Ἔφεσον πρώτης συνόδου παντελῶς ἀποκεκωλῦσθαι. καίτοι γε εἰ κατὰ τὸν λῆρον αὐτῶν ἀπεῖργεν ἡ σύνοδος, ἕτερον μηδ' ὅλως προάγειν, αὐτὴ καθ' ἑαυτῆς πρὸ τῶν ἄλλων τὴν καταδικάζουσαν ἐξήνεγκε ψῆφον· ὅρξει γὰρ αὐτὸ τοῦτο τυποῦσα, ἃ μηδετέρα τῶν πρὸ αὐτῆς διωρίσατο. ἀλλὰ καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις, αὐτῆς ἐστιν ὅρος, ὃ ταῖς πρεσβυτέραις τῶν συνόδων οὐ διώρισται. καὶ δὴ καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν' ἁγίων πατέρων ἐξ ὧν αὐτοὶ ληροῦσι παραγράφονται, ἥτις τῶν πνευματομάχων τὴν αἵρεσιν καθελοῦσα, τῷ κατὰ τὴν Νίκαιαν ἐκφωνηθέντι ὅρῳ τὴν περὶ τοῦ ἁγίου πνεύματος θεολογίαν προσθεῖσα συνήρμοσεν, εἰ γὰρ αἱ προλαβοῦσαι προστιθεῖσαι τὸν μῶμον ἐκφεύγουσιν, οὐδ' αἱ μετ' αὐτὰς ἐν τοῖς ὁμοίοις ἀνομοίως ἕξουσι τὴν κατάγνωσιν. οὕτω τὸ ἀσύνετον πάντα φύρει καὶ διαστρέφει. καὶ γὰρ ἡ ἐν Ἐφέσῳ σύνοδος πίστιν μὲν ἑτέραν, ἧς ἐναντία τὰ δόγματα πρὸς τὴν ἐν Νικαίᾳ καθέστηκε σύνοδον, παντελῶς ἐκτίθεσθαι διεκώλυσεν· ἀκηράτων δὲ τῶν ἐν αὐτῇ σωζομένων, ἅπερ ὁ καιρὸς ἀπαιτεῖ, προστιθέναι αὐτῆς τε γέγονεν ἔργον, καὶ τῶν πραγμάτων ἡ φύσις διδάσκαλος, καὶ τῆς ἐκκλησίας ὁρᾶται τοῦτο στέργουσα διὰ παντὸς ἡ παράδοσις, διὸ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, οὔπω τῆς οἰκουμενικῆς συγκροτηθείσης συνόδου, τοὺς ἐν αὐτῇ τῶν ἱερέων λογάδας ὁ θεσπέσιος ἀθροισάμενος Κύριλλος, καὶ πίστιν διαθέμενος ἔγγραφον, τῷ Νεστορίῳ διεπέμψατο. Καὶ μετά τινα ἐν τῇ αὐτῇ βίβλῳ Ἐφραιμίου τοῦ μεγάλου καὶ ταῦτα εὑρήσεις· Πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν τετάρτην σύνοδον, λέγοντες, ὡς ἐδεδογμάτιστο μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν πίστιν ἑτέραν παρ' ἣν ἐξέθετο αὐτή· καίτοι οὐ τοῦτο ἡ σύνοδος διωρίσατο, κἂν ἀναισχύντως οὗτοι καταψεύδονται ἀλλὰ τὴν πίστιν, ἣν οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες ἐξέθεντο, τιμῶσά τε καὶ βεβαιοῦσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν καὶ τὰ ὑπόλοιπα. δῆλον δέ ἐστιν ἐξ αὐτῶν μάλιστα τῶν συνοδικῶν φωνῶν, ὧν καὶ μόνων ἀναγινωσκομένων οὐδεμιᾶς ἄλλης δεῖται κατασκευῆς ἢ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. καὶ οὐχ ὥρισε μόνον τοῦτο, ἔπραξε δὲ ἄλλως· ἀλλ' ὡς ὥρισεν, οὕτω πανταχοῦ διαπραττομένη γνωρίζεται. καὶ γὰρ τοὺς τῇ εὐσεβείᾳ προσιόντας

οὐκ ἄλλο σύμβολον ἀλλὰ τῶν τῇ ἁγίων ἐκδιδάσκει καὶ παραδίδωσι. γέλωτα δὲ μᾶλλον καθ' ἑαυτῶν, ἢ διαβολὴν τῆς συνόδου καταχέουσιν ἐν οἷς φασιν, αὐτὴν ὑπὸ πολλῶν διασύρεσθαι· πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι, καίτοι ἀρχιερέων οὖσαι πλήρωμα; τὴν δὲ τῶν ρν', οὐδ' εἰ γέγονέ τινες τῶν Αἰγυπτίων εἰδέναι ἠθέλησαν. Ἀλλ' ἐάσωμεν τὸ ἀλόγιστον· τῶν γὰρ ἁγίων πατέρων οὕτω διασαφούντων, καὶ λήρους ἀναισχύντους καὶ ἀλογίστους ταῦτα ἀποφηναμένων, τοῖς τὰ τοιαῦτα φθεγγομένοις τί ἂν καὶ ἐροῦμεν ἡμεῖς; ἀντιφθεγξώμεθα τούτοις, ἢ στέρξωμεν τὰ παρ' αὐτῶν λεγόμενα; οὐκ ἔγωγε οἶμαι, ἐρεῖ πᾶς νοῦ καὶ φρενῶν κύριος.

Ὁ ἘΦΕΣΟΥ. Καὶ ἡμεῖς μὲν τὸν πάπαν ὡς ἕνα τῶν πατριαρχῶν λογιζόμεθα, καὶ τοῦτό γε ἂν ὀρθόδοξος ἦ· οὗτοι δὲ αὐτὸν βικάριον τοῦ Χριστοῦ, καὶ πατέρα, καὶ διδάσκαλον τῶν Χριστιανῶν ἁπάντων μάλα σεμνῶς ἀποφαίνονται.

ἈΠΟΛΟΓ. Ἀλλ' οὐδ' ἡμεῖς ὡς δύο καὶ τρεῖς αὐτὸν λέγομεν, ἀλλ' ὡς ἕνα τῶν πατριαρχῶν· ἀλλὰ καὶ ἐν τῇ ἑπτακαιδεκάτῃ ὁμιλίᾳ τῶν Πράξεων· Ὅρα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις πρόκριτος καὶ τὰ πρωτεῖα εἶχεν· εἰ γὰρ καὶ ἡ χειροτονία κοινὴ ἦν, ἀλλ' ὅμως ἐπεσπάσατο χάριν πλείονα. Πάντα δὲ ἀρχιερέα διάδοχον Χριστοῦ λέγομεν, καὶ ἐπὶ τῆς καθέδρας καθήμενον τοῦ Ἰησοῦ μου καὶ θεοῦ· αὐτὸς γάρ ἐστιν ὁ λέγων· Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Καὶ ταῦτα μὲν κοινῶς πρὸς πάντας, ἐπίσης γὰρ ἡ ἱερωσύνη πρὸς τὸ ὑπουργῆσαι τὸ θεῖον λουτρὸν, καὶ τὴν ἱερὰν μυσταγωγίαν τελέσαι, καὶ συγχώρησιν ἁμαρτιῶν δοῦναι τοῖς ἐξομολογουμένοις, καὶ ἱερὸν χρίσμα τελέσαι, καὶ μοναχὸν ἀποκεῖραι, καὶ ἔλαιον ἁγιάσαι καὶ χρίσαι, πρὸς ἀπόνιψιν ἁμαρτιῶν, καὶ ἱερέα κατὰ βαθμὸν χειροθετῆσαι· καὶ εἰς πάντα τὰ ἐκκλησιαστικὰ τὴν αὐτὴν ἰσχὺν καὶ ἴσην ἕκαστον οἴδαμεν ἔχειν. καὶ οὕτως ἔγνωμεν ἀκριβῶς παρὰ τῶν πατέρων ταῦτα λαβόντες. καὶ ὃ δὲ λέγομεν, οὐκ ἐξ ἡμῶν τοῦτο λέγομεν· φησὶ γὰρ Θεόδωρος ὁ Στουδίτης γράφων πρὸς Μιχαὴλ τὸν βασιλέα ἐκ προσώπου πάντων τῶν ἡγουμένων, ἐν τῇ ἐπιστολῇ ἧς ἡ ἀρχή· Ἡμεῖς ἐπὶ τὸ αὐτὸ συνεληλυθότες κατὰ κέλευσιν τῆς θεοσέπτου ὑμῶν βασιλείας, ἐλάχιστοι ἐπίσκοποι καὶ ἡγούμενοι· Εἰ δέ τι ἀμ-

φιβαλλόμενον ἢ ἀπιστούμενον τῇ θείᾳ ὑμῶν μεγαλονοίᾳ διαλύεσθαι παρὰ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγάλη καὶ θεοστήρικτος αὐτῆς χεὶρ, ὡς ζηλοτυποῦσα τὰ θεῖα ἐπ' ὠφελείᾳ τοῦ παντὸς, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν διασάφησιν, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη. αὕτη, χριστομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ἧς Πετρὸς πρωτόθρονος, πρὸς ὃν ὁ κύριός φησι· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι
* Ματθ. 16,18. ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. * Καὶ πάλιν ὁ αὐτὸς ἐν ἑτέρᾳ ἐπιστολῇ πρὸς Ναυκράτιον, ἧς ἡ ἀρχή· Οὐ πλησθήσεται τὸ οὖς μου ἀπὸ φωνῶν ἀκροάσεων· φησί· Μαρτυρῶ ἄρτι κατενώπιον Θεοῦ καὶ ἀνθρώπων, ἑαυτοὺς ἀπέῤῥηξαν τοῦ σώματος τοῦ Χριστοῦ, τοῦ κορυφαϊκοῦ θρόνου, ἐν ᾧ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως, ἧς οὐ κατίσχυσαν ἀπ' αἰῶνος οὐδ' ἂν κατισχύσωσι μέχρι συντελείας αἱ πύλαι τοῦ ᾅδου, τὰ τῶν αἱρετικῶν δηλαδὴ στόματα, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. Ἐν δὲ τῇ ἁγίᾳ τρίτῃ συνόδῳ Ἀρκάδιος ἐπίσκοπος εἶπε· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου πάπα Καιλεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι· ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης, ὁποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν. τὰ αὐτὰ καὶ Προϊεκτος. καὶ μετὰ πάνυ βραχέα φησί· Κύριλλος Ἀλεξανδρείας εἶπεν· ὑποδεχθὲν τὸ γράμμα τοῦ ἁγιωτάτου καὶ κατὰ πάντα ὁσιωτάτου τῆς ἁγίας ἀποστολικῆς ἐκκλησίας ἐπισκόπου τῆς Ῥωμαίων Καιλεστίνου, μετὰ τῆς προσφόρου τιμῆς ἀναγινωσκέσθω. Ἐν δὲ τῇ ἁγίᾳ τετάρτῃ συνόδῳ ὁ βασιλεὺς ἐν τῷ γράμματι, ὃ καὶ θεῖον γράμμα ἐπιγράφει, τοιάδε φησίν· Ἵνα ὁ μακαριώτατος ἐπίσκοπος τῆς Ῥωμαίων πόλεως, ᾧ τὴν ἱερωσύνην κατὰ πάντων ἡ ἀρχαιότης παρέσχε χώραν καὶ εὐπορίαν ἔχῃ περὶ πίστεως καὶ ἱερέων ἀνακρίνειν. Ἐπεὶ οὖν περὶ πίστεως καὶ ἱερέων εὐπορίαν ἔχει τοῦ ἀνακρῖναι, δικαίως καὶ διδάσκαλος τῶν Χριστιανῶν ἁπάντων ἐν τῷ ὅρῳ γράφεται.

Ὁ ἘΦΕΣΟΥ. Γένοιντο πατρὸς εὐτυχέστεροι, τὰ δ' ἄλλα ὅμοιοι· καὶ γὰρ δὴ κἀκεῖνος οὐκ εὐτυχεῖ, τὸν ἀντίπαπαν ἔχων ἐπιεικῶς διοχλοῦντα· καὶ οὗτοι τὸν πατέρα μιμεῖσθαι καὶ τὸν διδάσκαλον οὐκ ἀνέχονται.

'ΑΠΟΛΟΓ. Καὶ ἡμεῖς εὐχόμεθα τοσούτους διδασκάλους πλουτήσειν ἐπ' ἐκκλησίας διδάσκοντας ἐν ταῖς ἑορτασίμοις ἡμέραις καὶ ἐν ταῖς κυριακαῖς ὅσους καὶ ἡ τῶν Λατίνων ἐκκλησία πλουτεῖ, καὶ περὶ τὰ ἐκκλησιαστικὰ εὐτυχεῖ, καὶ τοσούτους μοναχοὺς ἀκτήμονας ἔχει, λέληθε δὲ αὐτὸν, ὅτι ἀντίπαπας ἐβούλετο μὲν γενέσθαι, ὑπὸ δὲ τῶν καλῶς φρονούντων καὶ καλῶς διευθετούντων τὰ κοινὰ, καὶ τὴν τιμὴν ἑαυτῶν περιποιουμένων *. καὶ διὰ ταῦτα καὶ τὸ μὴ εἶναι σχίσμα ἐν τῇ ἐκκλησίᾳ Χριστοῦ, ὅπερ ἐστὶ χεῖρον πάντων τῶν κακῶν, ἀντίπαπας οὐκ ἐγένετο. ἀλλὰ καὶ ἡ ἐν Βασιλείᾳ σύνοδος διελύθη, καὶ τὰ πάντα ἐν γαλήνῃ καὶ ἡσυχίᾳ. οὐκ ἔδει οὖν αὐτὸν ἄνθρωπον τοιοῦτον τῆς ἐκκλησίας κατεύχεσθαι, ἀλλὰ μᾶλλον ὑπερεύχεσθαι τὰ κρείττω καὶ βελτίω.

* ἴσως λείπει κεκώλυται.

'Ο 'ΕΦΕΣΟΥ. Φεύγετε οὖν αὐτοὺς, ἀδελφοὶ, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν· οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ· καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός· * οὐ θαῦμα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. Καὶ πάλιν ἀλλαχοῦ περὶ τῶν αὐτῶν ὁ αὐτὸς ἀπόστολος· Οἱ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν 'Ιησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων· * ὁ μέντοι στεῤῥὸς θεμέλιος τῆς πίστεως ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην.* Καὶ ἀλλαχοῦ πάλιν· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω.* βλέπετε προφητικῶς τό· Κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἵνα μή τις τὴν ὑπεροχὴν τοῦ πάπα προβάλληται. Καὶ ὁ ἠγαπημένος μαθητής· Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, εἰς οἰκίαν αὐτὸν μὴ λαμβάνετε, καὶ χαίρειν αὐτῷ μὴ λέγετε· ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.* Τούτων ὑμῖν ὑπὸ τῶν ἁγίων ἀποστόλων διωρισμένων, στήκετε κρατοῦντες τὰς παραδόσεις, ἃς παρελάβετε τάς τε ἐγγράφους καὶ ἀγράφους· ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ. Θεὸς δὲ ὁ πάντα δυνάμενος ἐκείνους τε ἐπιγνῶναι τὴν οἰκίαν πλάνην παρασκευάσειε, καὶ ἡμᾶς αὐτῶν ἀπαλλάξας ὡς πονηρῶν ζιζανίων οἷα καθαρὸν καὶ εὔχρηστον σῖτον εἰς τὰς ἑαυτοῦ

* Κορ. β'. 11, 14,

* 'Ρωμ. 16, 18.

* Τιμ. β'. 2, 19.

* Γαλ. 1, 8.

* 'Ιω. β'. 10. 11.

ἀποθήκας συνάξειν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις.

ἈΠΟΛΟΓ. Ἔδει μὲν ἡμᾶς μηδεμίαν ἀπολογίαν δοῦναι, ἐν οἷς ἐνταῦθα προφέρει· συνήθως γὰρ ποιεῖ προφέρων ὕβρεις καθ' ἡμῶν. ὁμῶς ἐροῦμεν ὀλίγα· καὶ γὰρ τὸ ὁμοούσιον, καὶ τὸ θεοτόκος, καὶ ὅσα οἱ ἅγιοι διετράνωσαν, αὐταῖς λέξεσιν οἱ ἀπόστολοι οὐκ εὐηγγελίσαντο· ἀλλ' ἡμεῖς ὅσα τε οἱ πατέρες ἡμῶν ἐθεολόγησαν καὶ ἐξήπλωσαν, ὡς ἀποστολικὰς παραδόσεις καὶ ταῦτα στέργομεν. εἰ οὖν τὸ ἐπιτίμιον τοῦ ἀποστόλου οἱ ταῦτα ἐκθέμενοι, καὶ ἡμεῖς ἐσμεν. ὅσα δὲ ἐκ τῶν ἀποστολικῶν ἐπιστολῶν καθ' ἡμῶν προφέρει, οὐ συμβάλουσι πρὸς ἡμᾶς. τὰς γὰρ παραδόσεις τῶν ἀποστόλων τάς τε ἐγγράφους καὶ ἀγράφους ταῖς εὐχαῖς αὐτῶν στηριζόμενοι βεβαίως κατέχομεν, εἰς τριάδα πιστεύοντες ὁμοούσιον, καὶ θεὸν σεσαρκωμένον ἐκ τῆς ἀειπαρθένου θεοτόκου γεννηθέντα. Ἀλλὰ ταῦτα μὲν εἴρηται οὐ κατὰ φιλόνεικον ἀπόδειξιν· οὐδὲ γὰρ βουλόμεθα ἐρίζειν τε καὶ φιλονεικεῖν, ἀλλὰ τὴν ἀλήθειαν ἐρευνᾷν διὰ τῆς ὁδηγούσης ἡμῖν παρὰ θεοῦ γνώσεως καὶ τῆς τῶν ἁγίων διδασκαλίας οἵτινες τὰ θεῖα δόγματα διετράνωσαν· οὐκ ἄλλως βουλόμενοι πείθειν ἀνθρώπους, ἢ ὡς οἱ τῆς ἐκκλησίας φωστῆρες διδάσκουσι· μάρτυς ὁ τῶν ἐννοιῶν δεσπότης, ὃς ἀπαιτήσει λόγον πάντα τὸν λαλοῦντα τὸ ψεῦδος. καὶ γὰρ ἐχθροὶ εἰρήνης οὔτε ποτὲ θελήσομεν γενέσθαι· ἐὰν γὰρ τὴν εἰρήνην ἀπολέσωμεν ἐχθροί ἐσμεν ἐκείνων τῶν ἀποστάντων παρὰ Χριστοῦ, εἰρήνη ἡμῖν ἀλλὰ ταύτην θέλομεν καὶ ποθοῦμεν κατέχειν. δυνατὸς δὲ ὁ θεὸς εἰρήνην δοῦναι καὶ πῆξαι καὶ βραβεῦσαι ἐν τῷ πληρώματι τῆς αὐτοῦ ἐκκλησίας, ἵνα πάντες ὁμοθυμαδὸν τὸ ἓν φρονοῦντες καὶ λέγοντες τῷ οὕτως εὐδοκήσαντι Χριστῷ τῷ θεῷ δόξαν ἀναπέμψωμεν· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



NIHIL OBSTAT

D. Bernardus Smith O. S. B. Censor deputatus.

REIMPRIMATUR

Fr. Hieronym. Gigli O. Praed. S. P. A. Magister.

REIMPRIMATUR

Petrus Castellacci-Villanova Archiep. Petr. Vicesg.

ALIA OPERA RECENTER EDITA.


3 2044 024 422 172

